



ACTA

ET

DIPLOMATA

GRAECA MEDII AEVI

SACRA ET PROFANA

COLLECTA EDIDERUNT

FRANCISCUS MIKLOSICH ET IOSEPHUS MÜLLER

VOLUMEN QUARTUM

VINDOBONAE
CAROLUS GEROLD
MDCCCLXXI

ACTA

ET

DIPLOMATA

MONASTERIORUM ET ECCLESIARUM ORIENTIS

SUMTUS PRAEBENTE CAESAREA SCIENTIARUM ACADEMIA VINDOBONENSI

COLLECTA EDIDERUNT

FR. MIKLOSICH
PROF. UNIVERSIT. VINDOBONENSIS

ET


IOS. MÜLLER
PROF. UNIVERSIT. TAURINENSIS

TOMUS PRIMUS.

VINDOBONAE

CAROLUS GEROLD

MDCCCLXXI



Huius libri exscripta sunt exemplaria trecenta.

PRAEFATIO.

Iam quartum collectionis nostrae documentorum byzantinorum volumen in lucem prodit, quo seriem actorum ad coenobia ecclesiasque graecas spectantium exordimur. hanc vero seriem, tum propter documenta quae continet antiquissima, tum propter rerum gravitatem et copiam maximi momenti futuram confidimus, praesertim si id bene cesserit, quod alter editorum praestare constituit: est nempe ei in votis eas regiones, quas olim imperatores byzantini tenuerunt, adire atque monumenta colligere, quae inedita ibi extare scimus.

Interea in hoc, quod nunc emittimus, volumine tres coëgimus codices diplomaticos (sive, ut aiunt, diplomataria), qui dispersi in tribus bibliothecis prae caeteris rerum delectu se commendare videbantur. quorum primus est codex coenobii S. Mariae Deiparae in monte Lembo apud Smyrnam, qui nunc signatus numero CXXV inter codices graecos historicos Bibliothecae Palatinae Vindobonensis asservatur. quomodo hic codex comparatus et quanti sit pretii, Nesselius exponit in Catalogo Bibliothecae Caesareae Manuscriptorum, parte V. pag 174: „centesimus vigesimus quintus codex manuscriptus historicus graecus est membranaceus, pervetustus et optimae notae, in quarto, sed difficilis lectu et

in principio atque alibi mutilus, constatque nunc foliis ducentis triginta quinque, et ab Augerio Busbeckio, ut ipse solita propriae manus inscriptione testatur, olim fuit comparatus Constantinopoli. continentur eo diplomata ccı. pertinentia ad originem, incrementum, privilegia, donationes et contractus liberi imperialis monasterii beatissimae Virginis Deiparae in monte Lembo apud urbem Smyrnam. dignissimus profecto est totus hic praestantissimus codex, ut a capite ad calcem diligentissime perlustretur et omnia eo comprehensa diplomata a verbo ad verbum studiosissime perlegantur et accurate considerentur. quod licet absque magni laboris taediosa longitudine non potuerit fieri, eam tamen molestiam utilitas inde proventura ubertim compensabit, postquam res ipsa testabitur, tam profanam quam ecclesiasticam imperii orientalis historiam beneficio istorum diplomatum incredibiliter illustratum iri et quidem potissimum respectu chronologiae aliarumque historicarum circumstantiarum, quae iam memoratis diplomatibus fideliter insertae sunt. minime etiam dubium est, quin hic ipse codex olim in ipso monasterio apud Smyrnam conscriptus et ad perpetuam memoriam ibi adservatus fuerit".

At si hunc codicem integrum evulgando laborem (quem fortasse improbum licet appellare) aequo animo suscepimus, una in re a Nesselii consilio discessimus. nimirum documenta quidem eodem prorsus ordine, quo in codice extant, edidimus, verum abstinuimus ab iis donationum, venditionum et permutationum formulis ubique repetendis, quas fere stereotypas dixeris. quod a nobis recte factum esse arbitramur.

Secundum in volumine locum obtinent documenta ad coenobium Sancti Pauli in Monte Latro apud Miletum pertinentia, quae forte inter miscellaneos codices Bibliothecae Vaticanae deteximus et, invitis custodibus, transcripsimus. est vero codex urbinas, signatus Nr. LXXX, chartaceus, saeculo XV. exaratus, valde aqua vitiatus et ideo, ob evanidum atramentum, lectu difficilis. quae vero lacunae in editione nostra occurrunt, monent de iis loci, in quibus textum legere omnino nequivimus. alienum a re est singula recensere varia de variis argumentis opuscula, quae codice vaticano continentur.

sed non licet silentio praetermittere, exiguam partem Actorum Patiarchatus Constantinopolitani, quae in primo collectionis nostrae volumine edidimus, in eo pariter exhiberi. iam vero in exemplari vindobonensi desideratur initium primi documenti voluminis primi (cod. hist. gr. XLIII.), gratulati igitur nobis sumus, quod in vaticano extare invenimus. ita factum est, ut lacunam voluminis primi explendi causa id initium documenti, quod legitur codicis folio 202b—203a, hic addere possimus.

Ὑπόμνημα γεγονὸς τοῖς μοναχοῖς τῆς περὶ τὴν δύσιν ἐν τῇ Βαγενετίᾳ πατριαρχικῆς μονῆς τοῦ Μεσοποτάμου.

Ὅρια μὴ μεταίρειν τοῖς αἰῶσι, γραφικῶς εἰπεῖν, συμπαρεκτεινόμενα καὶ οἷς χρήσασθαι τοὺς πατέρας συμβέβηκε, ἅτε καὶ καλῶς θεμένους αὐτά, τῶν εἰκότων ἂν εἴη καὶ τῶν σφόδρα μάλιστα ἀναγκαιοτάτων. μὴ γὰρ ὅτι τοῖς τῶν ἐκκλησιῶν ἄρχειν λαχοῦσιν ἢ καὶ ὅλως τεταγμένοις ἐν ὑπηρέταις εἶναι θεοῦ, ἀλλ' ἔτι καὶ πᾶσιν ἀνθρώποις, οἷς πλοῦτος ὄνομα τὸ Χριστοῦ, τὸ ἀπαραποίητά τε καὶ ἀμετακίνητα κεῖσθαι ὀφείλεται· οὕτω καὶ γὰρ τὸ τῆς εἰρήνης καλόν, ἣν ἀπὸ θεοῦ καὶ σωτῆρος ἡμῶν θεῖον κεκληρώμεθα κλῆρος, ἄσυλόν τε καὶ ἀναφαίρετον τηρηθήσεται καὶ πᾶσιν εὐστάθεια ἔσται διηνεκὴς καὶ γαλήνη θεοφιλὴς καὶ ὁμόνοια. τῆς τοίνυν καθ' ἡμᾶς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας ὑπερβλυσάσης δίκην σωτηρίου καὶ ἀενάου πηγῆς πανταχοῦ τὰ σωστικὰ διατάγματα καὶ ὑπὸ τῶν, οὓς αὕτη προβάλλεται, ποταμῶν ζωηρύττων καὶ θείων ὑδάτων τὰ τῶν ἁπανταχοῦ γῆς ἐκκλησιῶν ἀρδευούσης πρόσωπα καὶ τοῖς τούτων ζωτικοῖς τε καὶ ἀλλομένοις εὐφραινούσης ὁρμήμασι τὰς ὅπῃ ποτὲ εἰσὶ πόλεις συστήματά φημι τοῦ Χριστοῦ καὶ ἀντλουμένης μὲν ὑπὸ πασῶν τε καὶ πάντων, ληγούσης δὲ οὐδαμῶς, μᾶλλον μέντοι καὶ ὑπερεκρεούσης μέχρις ἑῴας, οὐδὲν δὲ ἧττον καὶ ἑσπερίου λήξεως, ὡς καὶ τῶν ἄλλων ἁπασῶν ἐκ ταύτης, ὡς ἐκ θείας ἀπορροῆς ἐθελουσῶν λιπαίνεσθαί τε καὶ ἄρδεσθαι. ἔχει μὲν αὕτη καὶ πασῶν. ἐντεῦθεν, οἷα μήτηρ τῶν ὅλων, ἐξουσίαν καὶ οἷον προνόμιον ἀρχικόν, ὀφειλουσῶν

αὐτῇ ἕπεσθαι, ὥσπερ τὸ λοιπὸν σῶμα τῇ κεφαλῇ, καὶ ποτίζει τοῖς ἀειζώοις καὶ σωτηριώδεσιν, ὡς ἔφημεν, νάμασιν τὰς προσερχομένας καὶ ὑποκειμένας αὐτῇ, καὶ ὡς ἀπὸ κέντρου οἱονεί τινας γραμμὰς τὰς περὶ κύκλῳ ἴσας τὰς αὐτῆς καὶ τελείας ἐν πᾶσιν ὑπερεκτείνει καὶ περιάγεται χάριτος ἢ μᾶλλον ὡς ἀπ' ἄλλου νοητοῦ παραδείσου εἰς τέσσαρας τὰ τοῦ κόσμου φημὶ πέρατα μεριζομένη ἀρχὰς ἄρδει τε καὶ πιαίνει ταῖς θεσπεσίαις αὐτῆς καὶ ἀρχικαῖς εἰσηγήσεσι, τὸν αὐτόν γε μὴν τρόπον δίδωσιν αἰσθέσθαι τῆς αὐτῆς θαυμασίας ἀρδείας τε καὶ ἐπιρροῆς καὶ ταῖς κατὰ τὴν ἑσπέραν εὐαγέσιν ἐκκλησίαις τε καὶ μοναῖς, καθ' ὧν δικαίως ἔχει τὸ κράτος, ὡς θεῷ μὲν ἀνακειμέναις καὶ τῇ ἐξ ὕψους περιλαμπομέναις ἀνατολῇ, οὐδὲν δὲ ἧττον ὑπ' αὐτὴν τυγχανούσαις καὶ δευτέρως τὰς τῆς πίστεως ἐντεῦθεν ὑποδεχομέναις αὐγάς. τούτων μία τις ἔστιν καὶ ἡ ἐν τῷ θέματι μὲν Βαγενιτίας τελοῦσα φερωνύμως διὰ τὸ ἀμφίρρυτον καὶ ἐξ ἐμβολῆς καὶ μίξεως ποταμῶν ἀποτετμημένη καὶ οἷον νῆσον εἶναι τοῦ Μεσοποτάμου κατωνομασμένη σεβασμία μονή, ὡς ἀνέκαθεν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ δομηθεῖσα, δικαιώμασί τε καὶ ὑπομνήμασι παρὰ τῶν ἀοιδίμων πατριαρχῶν αὐτῇ χαρισθεῖσιν τοῦτο πλουτήσασα καὶ εἰσέτι καὶ νῦν ἐν ταῖς ἱεραῖς ἁγιστίαις τὴν πατριαρχικὴν ἀναφορὰν ποιουμένη καὶ ἄλλα τε ὅσα τῆς πατριαρχικῆς περιωπῆς ἐστι δίκαια εὐνοϊκῶς ἅμα καὶ τοῖς ὅσα ὑπ' αὐτὴν εἰσὶ μονύδρια καὶ ἡσυχαστήρια, ἃ καὶ ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς ἀνίδρυται καὶ ἀνῳκοδόμηται ἀνυποστόλως τε καὶ ἀταράχως ἀποπληροῦσα. φθάνει μὲν οὖν ποτε ὁ τῆς κατὰ τὴν Ναυπακτίαν ἐπαρχίαν Χιμάρας ἐπίσκοπος, ὡς τῇ διαληφθείσῃ τῶν Μεσοποταμιτῶν μονῇ γειτνιώσης τῆς κατ' αὐτὸν ἐκκλησίας, οὐ καλῷ οὐδὲ δικαίῳ, πλεονεκτικῷ γε μὴν προσσχὼν ὄμματι, τὸ τῆς πατριαρχικῆς μεγαλειότητος ἀπ' αὐτῆς ἀφαιρήσεσθαι δίκαια ἐπιχειρήσας διὰ τὸ κατ' ἐκεῖνο καιροῦ μάλιστα πολλὰ συμβῆναι τὰ τῆς καιρικῆς περιπετείας ἐν τῷ μέσῳ σκάνδαλά τε καὶ περιπτώματα, ὥστε καὶ αὐτὸν δὴ τὸν εἰρημένον τῆς Χιμάρας ἐπίσκοπον οὐκ ὀλίγα τῶν ἀτόπων καὶ ὀχληρῶν ἐπὶ βλάβῃ τῆς μονῆς διαπράξασθαι, ὅτε δὴ καὶ τὰ ἐπ' αὐτῇ πατριαρχικὰ δίκαια ἐφ' ἑαυτὸν καὶ τὴν ἑαυτοῦ ἐκκλησίαν παρὰ πάντα τὸν εἰκότα λόγον ἐφέλκεσθαι σπεύδοντα, ἀλλ' οὖν οὐκ ἐπὶ πλεῖστον τῆς σφετέρας αὐθαδείας τε καὶ πλεονεξίας οὗτος ἀπώνατο, ἀλλὰ τῆς δικαιοσύνης καὶ τοῦ τῆς ἀλη-

θείας ἡλίου λάμψαντος τηλαυγέστερον χειμάρρου δίκην τὰ τῆς αὐτοῦ προπετείας μετ' οὐ πολὺ ἐξήρανται καὶ εἰς τὸ μὴ ὂν ἐκκεχώρηκεν ὡς εἰκός, καὶ εἰ μὴ ὡς ποιμήν, ὡς λύκος γοῦν ἐλήλεγκται μάτην χανὼν καὶ διὰ κενῆς λογισάμενος, ὑπὸ τῶν τότε ἀοιδίμων πατριαρχῶν ἐξοστρακισθεὶς διὰ τῶν ὑπ' αὐτοῦ γεγονότων ἐπὶ τούτοις ὑπομνημάτων ἐννομώτατά τε καὶ δικαιότατα. ὅθεν καὶ ἐν τῷ παρόντι ἡ μετριότης ἡμῶν, ὡς ἄνωθεν εἴρηται, μὴ ὅρια πατέρων μεταίρειν ἐθέλουσα καὶ θεῖον νόμον τὸν ἐπὶ τούτοις μάλιστα πληροῦσα, προνόμιόν τε καὶ δικαίωμα φυλάττουσα παλαιὸν τῇ μεγάλῃ ἐκκλησίᾳ παρ' αὐτοῦ τοῦ θεοῦ κείμενον, οὐχ ἥκιστα δὲ καὶ τῶν ἐν αὐτῇ εὐλαβεστάτων μοναχῶν ἀσκουμένων προσδεξαμένη ἀξίωσίν τε καὶ αἴτησιν στέργει τε ἤδη καὶ ἐπικυροῖ καὶ αὕτη διὰ τοῦ παρόντος αὐτῆς ὑπομνήματος πάντα τὰ ἐπὶ τῇ τοιαύτῃ τῶν Μεσοποταμιτῶν μονῇ, ἀλλὰ δὴ καὶ ἐπὶ τοῖς ὑπ' αὐτὴν ἡσυχαστηρίοις πατριαρχικὰ δίκαια καὶ προνόμια, καὶ οὐδεὶς οὐδόλως ἕξει τοῦ λοιποῦ ἄδειαν δι' ὄχλου γενέσθαι τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τούτων ἕνεκεν ἢ μὴν τοῖς ὑπ' αὐτήν, ὡς εἴρηται, τελοῦσιν ἡσυχαστηρίοις, εἰ μήπου γε ὁ τοιοῦτος ἐθέλει προδήλως, ὡς λόγους πατέρων καὶ διατάξεις ἀναιρεῖν ἀπαναιδευόμενος ἀφορισμοῦ δικαίῳ ἐπιτιμίῳ ὑποπεσεῖν, διὸ καὶ εἴ τις, οἷα φιλεῖ συμβαίνειν, καὶ μάλιστ' ἐν ταῖς πολυανθρώποις καὶ μεγίσταις τῶν εὐαγῶν συνοικιῶν καὶ τοῖς πολλάκις διειλημμένοις μοναχοῖς Μεσοποταμίταις στάσις συμβῇ καὶ ἀνακύψῃ ταραχώδης ὑπόθεσις, εἰ μή τις τῶν εὐδιαγνώστων αὕτη εἴη καὶ αὐτόθι τὴν λύσιν δυναμένων λαμβάνειν, εἰς τὴν πατριαρχικὴν ἀνατεθήσεται ψῆφόν τε καὶ διάγνωσιν, εἴγε δὴ πάντως τὰ δίκαια πράττειν καὶ τὰ προσήκοντα οἱ Μεσοποταμῖται μοναχοὶ ἐθελήσουσι καὶ τὰ αὐτοῖς ὀφειλόμενα, καθὼς καὶ τὸ ἄνωθεν ἐπ' αὐτοῖς ἔλαχε δίκαιον. οὕτω γὰρ καὶ τὸ καλὸν τῆς εὐταξίας καὶ ἔννομον κατὰ τὸ εἰκὸς τηρηθήσεται καὶ ἑκάστῳ τὸ πρόσφορον καὶ προσῆκον ἀποδοθήσεται, ὃ δὴ μάλιστα ταῖς ἐκκλησίαις τοῦ θεοῦ καὶ πᾶσι τοῖς ἱεροῖς εὐαγέσιν οἴκοις κόσμον φέρει τὸν εὐπρεπέστατον. τὸ γὰρ πολύαρχον πάντως καὶ ἄναρχον καὶ στασιῶδες, καὶ οὕτως οὐδαμοῦ τῇ εὐταξίᾳ τόπος καὶ τάξις ἀποδοθήσεται κτέ. **Acta Patriarchatus Constantinopolitani I. pag. 1. Nr. 1. lin. 1.**

Tertium denique diplomatarium in Athenaei Taurinensis Bibliotheca asservatur, quod ita describit Pasinus in suo catalogo (Tom. I. pag.

319. Cod. CCXXXVII.): „est codex membranaceus, constans foliis 258, saeculi XIII, optimae notae atque characteris, multis aureis litteris ac venustioribus ornamentis insignitus. habentur in eo diplomata varia et privilegia in gratiam monasteriorum Sanctissimae Deiparae a Prompto Auxilio in regione Demetriadis et Venerabilis Praecursoris Novae Petrae in territorio Druanubainis, nec non chartae donationum, venditionum et similia, quae a possessoribus simul omnia ordinata et in unum collecta postmodum ipsa imperatoris, nec non patriarchae Constantinopolitani manu subscripta fuere. quanti faciendus sit hic codex, norunt eruditi omnes, qui diplomatum veterumque chartarum utilitatem in rebus historicis tum profanis tum ecclesiasticis uno ore depraedicant. illud vero maxime dolendum, initia quam plurima diplomatum, quae ornamentis decorata erant, a manu, fortasse puerili, recisa fuisse nec non pleraque folia turpiter avulsa atque lacerata, unde factum est, ut paucae chartae integrae omnino supersint. praemittitur actis index uberrimus eorum omnium, quae codice continebantur, in quo et ipsa quoque diplomatum initia afferuntur. hic in duas veluti partes dispescitur: in prima parte chartae, privilegia atque diplomata caeteraque similia propriis numeris titulisque distincta recensentur; in secunda vero dinumerantur, quae aliis inserta sunt, ut nexum quemdam atque unanimitatem perficerent et praecedentia cum sequentibus coniungerent, ne egregium hoc opus disruptum et incompositum videretur. in fine habes imperatoris et patriarchae subscriptionem, et eodem folio ultimo verso est aurea tabella, in qua pictus cernitur ex una parte Ioasaph Maliasenus, ex altera vero Anna Palaeologina et medium inter eos monasterium, cui supereminet S. Ioannes Praecursor.“ eius tabellae exemplar vide apud Pasinum pag. 362.

In hac nostra editione diplomata recudimus, quae Pasinus vulgavit, cum exemplari diligenter collata; caetera e codice manu nostra descripsimus et nunc primum in lucem emittimus. introductionem illius, qui codicem condidit, et praefatiunculas, quae singulis actis praemittuntur, omisimus, nihil enim continent, quod historiae illustrandae inserviat. eas vero notitias, sane paucas, quae de familia κτητόρων monasteriorum et de actorum specie agunt, loco opportuno inseruimus. omisimus etiam indicem documentorum, codici praemis-

sum, tum quia nobis videbatur parum lucis et adiumenti adferre, tum quia integrum edidit Pasinus pag. 362 et seqq.

Codicibus recensitis, unde diplomata deprompsimus, superest, ut quaedam de indice chronologico subiiciamus, cuius compositio non parum difficultatis nobis praebuit. sunt enim complura in hoc volumine documenta, quibus annus non est subscriptus, sed tantum mensis et indictio. quapropter eam methodum in hac re secuti sumus, ut in indice diplomata, in quibus nullus indicatur annus, recenseamus post ea diplomata, quae annum praeferunt atque in codice proxime sunt praemissa.

Fine imposito eis, quae de hoc volumine dicenda erant, addimus quaedam, etsi pauca, supplementa. spectant ea ad tertium collectionis nostrae volumen, quo acta diplomatica de Italiae cum Byzantio commercio continentur.

Vir clar. Gargurević nobis suministravit privilegium, quod Constantinus Palaeologus mercatoribus Ragusaeis concessit, in tabulario Ragusaeo asservatum.

Ἐγὼ Γεώργιος Παλαιολόγος ὁ Κανταχουζηνὸς ἀναφέρω τὴν ἁγίαν σου βασιλείαν, νὰ ἔνε τοῦτο στέργον, καὶ καθὰ τὸ ἔγραφα ἐγὼ, νὰ τὸ γράφῃς καὶ ἐσύ.

Ἐπεὶ ὁρίσθην ἐγὼ Γεώργιος Παλαιολόγος ὁ Κανταχουζηνὸς παρὰ τοῦ ἁγίου μου αὐθέντου καὶ δεσπότου, κυροῦ Κωνσταντίνου τοῦ Παλαιολόγου, πρὸς τὸ ἵνα συμβιβάσω ἀπερχομένου μου ἀπὸ τῆς Βενετίας τὸ εὐγενὲς καὶ ἔνδοξον καὶ λαμπρὸν κουμούνιον τῆς Ῥαγούζης, νὰ ἔρχωνται εἰς τὸν τόπον τοῦ ἁγίου μου αὐθέντου καὶ δεσπότου, νὰ πραγματεύωνται ἐκεῖ κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν νομήν τε καὶ συνήθειαν τοῦ τόπου, οἷον τοῦ τόπου τῶν Παλαιῶν Πατρῶν καὶ τοῦ ἐπέκεινα ἄλλου τόπου μέχρι καὶ τῆς Καλομμάτας καὶ εἰς τὸν ἐπέκεινα ἄλλον τόπον τῆς Πελοποννήσου, πραγματεύωνται δὲ ἐν τούτοις τοῖς ῥηθεῖσι τόποις καθ᾽ ἣν νομὴν καὶ συνήθειαν ἔχωσιν ἐπιλαμβά-

νειν τῆς δόσεως τοῦ κομερκίου. κατὰ δὲ τὸν πρὸς ἐμὲ θεῖον καὶ προσκυνητὸν ὁρισμὸν τοῦ ἁγίου μου αὐθέντου καὶ δεσπότου ἦλθον ἐν τῇ Ῥαγούζᾳ, καὶ ἐποιήσαμεν, ἵνα εἰς μὲν τὰς ἁπάσας πραγματείας πραγματεύωνται κατὰ τὴν συνήθειαν τοῦ τόπου καὶ δίδωσιν τρία τὰ ἑκατόν. ὁμοίως εἰς τὸ μετάξιν, ἵνα πληρώσῃ εἰς τὴν λίτραν σολδία τρία, νὰ ἔχωσι δὲ πᾶσαν τιμὴν καὶ ἀγάπην καὶ ἀνάπαυσιν καὶ περίθαλψιν ἀφ' ἡμῶν. τὸ δὲ μέρος τῆς Ἀνδρούσης, ἐπειδὴ οὐδὲν ἠξεύρω τὸ σιτάρι, ποῦ νὰ καταβαίνῃ ἀπὸ τὸ Λεοντάρι καὶ ἀπὸ τὸν ἄλλον τόπον τὸν ἐπάνω, ἵνα πληρώνει τίποτε ἢ εἰς τὴν σκάλαν ἢ κουμέρκιν, διὰ τοῦτο οὐδὲν στήνω καθαρῶς, ἀλλὰ καὶ εἰς αὐτὸ νὰ ἀναφέρω τὸν αὐθέντην μου τὸν δεσπότην, καὶ θέλει ποιήσειν θεραπείαν, ἐπειδὴ θέλετε ἦσται φίλοι του. εἰς δὲ τὸν ἄλλον τόπον νὰ πράττουν ἐλεύθερα καὶ ἀνεμπόδιστα τὰς πραγματείας των κατὰ τὴν συνήθειαν τοῦ τόπου. εἰς λιθάρια καὶ μαργαριτάρια, εἰς μάλαγμα καὶ ἀσίμην, ἐὰν φέρετε εἰς τὸν τόπον, νὰ ἔχετε τὴν αὐτὴν νομὴν καὶ συνήθειαν τῆς ἐλευθερίας, ἣν ἄνωθεν εἴπομεν, καὶ κέκτηται ἐν τῷ τόπῳ τῶν Παλαιῶν Πατρῶν καὶ τοῦ ἄλλου ἡμετέρου εὑρημένου τόπου. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον γράμμα ἀπὸ τῆς πρὸς ἐμὲ ἐλεημοσύνης τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ δεσπότου, κυροῦ Κωνσταντίνου τοῦ Παλαιολόγου, καὶ ἐπεδόθη τοῖς ἄνωθεν εἰρημένοις ἄρχουσι εὐγενέσι καὶ ἐντίμοις καὶ λαμπροτάτοις κουμουνίου Ῥαγούζης κατὰ μῆνα φευρουάριον ιζʹ ἐν ἔτει ͵ςλϡθʹ.

[Τοῦ] ἁγίου ἡμῶν αὐθέντου καὶ δεσπότου Γεώργιος Κανταχουζηνὸς ὁ Παλαιολόγος.

Vir clar. Coelestinus Cavedonius, cuius mortem adhuc lugemus, ex exemplaribus, quae in Mutinensi tabulario extant in orginali chartaceo, duas Demetrii Palaeologi epistolas ad ducem Borsum Estensem datas vulgavit in libro, cui titulus: Atti e memorie della R. Deputazione di storia patria per le provincie modenesi e parmensi. vol. III. fasc. IV. pag. 282 et 284.

I. † Τῷ μεγαλοπρεπεῖ καὶ δυνατῷ ἀνδρί, μαρκίωνι τοῦ Ἐστένσου καὶ αὐθέντῃ τῆς Φεραρίας, συμπενθέρῳ ἡμῶν ποθεινοτάτῳ. †

Ἡμεῖς ἅμα μὲν δι' ἣν ἔχομεν διάθεσιν εἰς τὴν ἐνδοξότητά σου, ἅμα δὲ καὶ διά τινα, ἅπερ ἔχομεν χρείαν δηλῶσαι πρὸς αὐτήν, ὑπὸ

τῆς τοιαύτης κινούμενοι διαθέσεως ἐβουλόμεθα καὶ πρότερον πέμψαι τινὰ πρεσβευτὴν ἡμέτερον πρὸς αὐτήν. ὑπὸ δέ τινων καιρικῶν συμπτωμάτων ἐκωλυόμεθα μέχρι τοῦ νῦν. νῦν δὲ, ἐπεὶ καὶ ἄλλα τινὰ σὺν αὐτῷ ἀναγκάζουσιν ἡμᾶς πέμψαι αὐθέντην τινὰ ἡμέτερον, ἀποστέλλομεν ἤδη ἀπὸ τῶν ἡμετέρων ἀρχόντων τὸν κατὰ πάντα εὐγενῆ καὶ καὶ οἰκεῖον τῆς αὐλῆς μου, κύριον Ἀθανάσιον Λάσκαριν τὸν καβαλλάριον, ὃς καὶ δηλώσει πρὸς τὴν ἐνδοξότητά σου περί τε τὴν πρὸς αὐτὴν ἡμετέραν διάθεσιν καὶ περὶ ὧν ἄλλων πάντων ἔχομεν χρείαν. διὸ καὶ οὐδὲ πλατύτερον γράφομεν· τοῦτο μόνον πληροφοροῦμεν, ὅτι πάντα, ὅσα δηλώσει ὁ τοιοῦτος ἄρχων, εἰσὶν ἡμέτεροι λόγοι, εἰς τὸ τυχεῖν πίστεως παρὰ τῆς ἐνδοξότητός σου ἐν πᾶσι τούτοις, ὡς ἂν δηλώσει ὡς παρ' ἡμῶν †.

Μηνὶ νοεμβρίῳ ιη' ἰνδ. ιδ'.

† Δημήτριος δεσπότης Παλαιολόγος ὁ Πορφυρογέννητος.

Α Τ. Τῷ μεγαλοπρεπεῖ καὶ δυνατῷ ἀνδρὶ Μπόρσῳ, μαρκίωνι τῷ Ἐστένσῳ καὶ αὐθέντῃ τῆς Φεραρίας, συμπενθέρῳ τῆς βασιλείας μου ποθεινοτάτῳ.

II. † Τῷ μεγαλοπρεπεῖ καὶ δυνατῷ ἀνδρὶ κυρίῳ . . . . μαρκίωνι τοῦ Ἐστένσου καὶ αὐθέντῃ τῆς Φεραρίας, συμπενθέρῳ ἡμῶν ποθεινοτάτῳ †.

† Ἡμεῖς ἔχομεν φιλικὴν διάθεσιν εἰς τὴν μεγαλοπρέπειάν σου καὶ περὶ πολλοῦ ποιούμεθα, ἵνα καὶ γράφωμεν πρὸς αὐτὴν καὶ δεχώμεθα καὶ παρ' αὐτῆς γραφὰς εἰς πληροφορίαν καὶ ἔνδειξιν μείζονα τῆς παρ' ἑκατέρων πρὸς ἀλλήλους τοιαύτης ἡμῶν διαθέσεως, ἥντινα κατὰ τὸ εἰκὸς βουλόμεθα συνιστᾶν ἀεὶ παντὶ τρόπῳ καὶ βεβαιοῦν, οἴδαμεν δὲ καὶ τὴν μεγαλοπρέπειάν σου τὰ αὐτὰ βουλομένην. κατὰ γοῦν τὸν τοιοῦτον σκοπὸν ἡμῶν καὶ φροντίζομεν γράφειν πρὸς αὐτήν. ἐπεὶ οὖν καὶ κατὰ τὸ παρὸν ἔρχεται τῇ αὐτημερῇ ὁ ἀποκρισιάριος τοῦ αὐθέντου μου τοῦ βασιλέως, ὁ καὶ τῆς αὐλῆς μου κατὰ πάντα οἰκεῖος, κύριος Ἀνδρόνικος Βρυέννιος Λεοντάρης, γράφομεν ἤδη καὶ μετ' αὐτοῦ κατὰ τὴν τοιαύτην διάθεσιν ἡμῶν. ἀνεθήκαμεν δὲ αὐτῷ, ἵνα δηλώσῃ ἀφ' ἡμῶν πρὸς τὴν μεγαλοπρέπειάν σου, ὅσα μαθήσεται αὕτη παρ' αὐτοῦ. ἀξιοῦμεν δὲ μόνον, ἵνα καὶ αὕτη γράφῃ ἡμῖν καὶ

δῆλα ποιῇ περὶ ὧν ἂν εἴη ἐν χρείᾳ, ὡς ἂν ἐκπληρῶσαι ταῦτα μετ' εὐφροσύνης κατὰ τὴν εἰρημένην διάθεσιν. μηνὸς μαρτίου κς' †.

† Δημήτριος δεσπότης Παλαιολόγος ὁ Πορφυρογένητος †.

Α Τ. Τῷ μεγαλοπρεπεῖ καὶ δυνατῷ ἀνδρὶ κυρίῳ Μπόρσῳ Ἐστένσῳ καὶ αὐθέντῃ τῆς Φεραρίας, συμπενθέρῳ ἡμῶν ποθεινοτάτῳ.

Vindobonae et Augustae Taurinorum, mense iulio 1870.

Editores.

I.

Diplomatarium monasterii Beatae Virginis in monte Lembo prope Smyrnam e codice vindobonensi.

I. 6736—1228, mense augusto, ind. I.

Aurea bulla imperatoris Ioannis Ducae Vatatzae de monasterio restaurando.

Οἱ οὐρανοὶ φησ . . . .
γλώσσῃ μὴ . . . .
τὸν νοερὸν . . . .
εὔμουσόν τε . . . .
ὀφειλὴν εὐχαρ . . . .
εὐεργέτην ἂν . . . .
ἀποκεκρυμ . . . .
κόρον αὐτῷ ἢ . . . .
σατο· ἆρα φω . . . .
γήσει καὶ ἐν μο . . . λώσσῃ κ . . . .
ποικίλην οὕτω θεοῦ σοφίαν ἀν . . . . σει
ἢ καὶ μηχανήσεται πολύφωνον ἁρμονίαν ἐν μουσικοῖς τελεωτάτῳ συστήματι καὶ τῇ διὰ πασῶν συμφωνίᾳ δοξολογήσει τὸν εὐεργέτην· ἂν δὲ καὶ εἰς τὴν βασιλείαν τῆς αὐτοκρατορίας περιωπὴν ἐπῆρται, τὸ βάρος τῆς ὀφειλῆς ὑπερταλαντεύει πᾶσαν κίνησιν καὶ δύναμιν νοῦ καὶ σοφίαν γλώττης καὶ εὐπορίαν. καὶ οὕτως ὑπὲρ ἅπαντας καὶ οἱ βασιλεῖς τὴν δυνατὴν ἀμοιβὴν ὀφείλουσι τῷ Θεῷ. ὃ καὶ ὁ θεῖος χρησμῳδὸς Δαυῒδ ἐν πνεύματι παρυπέφηνεν . . . .
. . . . κύριε, λέγων
. . . . καὶ ᾀσάτωσαν

---

*) Initio quaedam desiderantur margine primi folii avulso.

δῆλα ποιῇ περὶ ὧν ἂν εἴη ἐν χρείᾳ, ὡς ἂν ἐκπλήρωσαι ταῦτα μετ' εὐφροσύνης κατὰ τὴν εἰρημένην διάθεσιν. μηνὸς μαρτίου κς' †.

† Δημήτριος δεσπότης Παλαιολόγος ὁ Πορφυρογέννητος †.

Α Τ. Τῷ μεγαλοπρεπεῖ καὶ δυνατῷ ἀνδρὶ κυρίῳ Μπόρσῳ Ἐστένσῳ καὶ αὐθέντῃ τῆς Φεραρίας, συμπενθέρῳ ἡμῶν ποθεινοτάτῳ.

Vindobonae et Augustae Taurinorum, mense iulio 1870.

Editores.

I.

Diplomatarium monasterii Beatae Virginis in monte Lembo prope Smyrnam e codice vindobonensi.

I. 6736—1228, mense augusto, ind. I.

Aurea bulla imperatoris Ioannis Ducae Vatatzae de monasterio restaurando.

Οἱ οὐρανοὶ φησ . . . .
γλώσσῃ μὴ . . . .
τὸν νοερὸν . . . .
εὔμουσόν τε . . . .
ὀφειλὴν εὐχαρ . . . .
εὐεργέτην ἂν . . . .
ἀποκεκρυμ . . . .
κόρον αὐτῷ ἢ . . . .
σατο· ἆρα φω . . . .
γήσει καὶ ἐν μο . . . λώσσῃ κ . . . .
ποικίλην οὕτω θεοῦ σοφίαν ἀν . . . . σει
ἢ καὶ μηχανήσεται κολόφωνον ἁρμονίαν ἐν μουσικοῖς τελεωτάτῳ συστήματι καὶ τῇ διὰ πασῶν συμφωνίᾳ δοξολογήσει τὸν εὐεργέτην· ἂν δὲ καὶ εἰς τὴν βασιλείαν τῆς αὐτοκρατορίας περιωπὴν ἐπῆρται, τὸ βάρος τῆς ὀφειλῆς ὑπερταλαντεύει πᾶσαν κίνησιν καὶ δύναμιν νοῦ καὶ σοφίαν γλώττης καὶ εὐπορίαν. καὶ οὕτως ὑπὲρ ἅπαντας καὶ οἱ βασιλεῖς τὴν δυνατὴν ἀμοιβὴν ὀφείλουσι τῷ Θεῷ. ὃ καὶ ὁ θεῖος χρησμῳδὸς Δαυῒδ ἐν πνεύματι παρυπέφηνεν . . . .
. . . . κύριε, λέγων
. . . . καὶ ᾀσάτωσαν

*) Initio quaedam desiderantur margine primi folii avulso.

σαντας ἐν τῇ Σμύρνῃ τρεῖς αὐταδέλφους, τοὺς παῖδας τῆς Μηλοῦς, ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας, ἀγγαρείας, παραγγαρείας, ζημίας, φωμοζημίας, καστροκτισίας, κατεργοκτισίας, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς, στυπαξούγγου, καννάβεως, ὑγροπίσσου, καύσεως καρβωνίων, μιτάτου καταθέσεως καὶ ἀπλήκτου, δουκικῆς καὶ κατεπανικικῆς χρείας, ἐννομίου, ἀέρος, ἐξελάσεως πλωΐμων καὶ κονταράτων, ἀπαιτήσεως συνδοσιῶν, δόσεως προβάτων, ζευγοαμαξίων ἐξελάσεως, ἄνευ μόνων τῶν τῷ δημοσίῳ ἀνηκόντων δύο κεφαλαίων τῆς ἀγάπης καὶ τῆς σιταρκίας, καὶ πάσης ἄλλης ὁποιασδήτινος ἐπηρείας, κἂν μὴ ῥητῶς αὕτη ἐξεφωνήθη ἐν τῷ παρόντι χρυσοβούλλῳ τῆς βασιλείας μου· κατὰ γὰρ τὸ καθόλου τῆς ἐξκουσσείας κεφάλαιον ἡ βασιλεία μου εὐδοκεῖ ἐξκουσσεύεσθαι πάντα τὰ τῇ τοιαύτῃ μονῇ διαφέροντα, ἀλλὰ δὴ καὶ τὸ ταύτης βιβάριον ἀπό τε βιβαροπάκτου, προσκυνητικίου, ὀψωνίου καὶ λοιπῶν ἑτέρων συνηθειῶν τῶν ἐτησίως ἀπὸ τῶν βιβαρίων ἀπαιτουμένων. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου τῷ μέρει τῆς τοιαύτης μονῆς εἰς ἀσφάλειαν αἰωνίζουσαν, ἀπολυθεὶς κατὰ τὸν αὔγουστον μῆνα τῆς πρώτης ἰνδ. τοῦ ͵ϛψ΄ τριακοστοῦ ἕκτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

Εἶχε τό· Ἰωάννης, ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Δούκας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

Primus edidit Zachariae, Ius graeco-romanum III. 568.

II. 6743—1235, mense martio, ind. VIII.

Descriptio possessionum monasterii facta a stratopedarcha Michaële Phoca.

† Ὁ καθολικὸς περίορος τῆς μονῆς ὁ καὶ παρὰ τοῦ στρατοπεδάρχου τοῦ Φωκᾶ γεγονὼς δι' ὁρισμοῦ βασιλικοῦ †.

† Ὁ πανοσιώτατος καθηγούμενος τῆς σεβασμίας αὐτοδεσπότου βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεομήτορος τῶν Λέμβων, ἱερομόναχος κῦρις Παῦλος, θεῖον καὶ βασιλικὸν προσκυνητὸν ὁρισμὸν ἡμῖν ἐνεφά-

νισεν οὑτωσὶ κατὰ ῥῆμα διαλαμβάνοντα· σύγγαμβρε τῆς βασιλείας μου, στρατοπεδάρχα τῶν Θρακησίων καὶ Φιλαδελφείας, κῦρις Φωκᾶ. ἡ βασιλεία μου ἀναγκαῖον ἔχουσα ἀποκατασταθῆναι τὴν μονὴν τῶν Λέμβου εἰς πάντα τὰ προσόντα αὐτῇ κτήματα διὰ περιόρου ἐγγράφου καὶ ἀποκαταστάσεως, ὡς ἂν οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοὶ ἔχωσι πᾶσαν ἀνενοχλησίαν, διορίζεταί σοι, ὡς ἂν ἀναθεωρήσῃς τὰ προσόντα τῇ τοιαύτῃ μονῇ κτήματα, ἀμπέλια, χωράφια, δένδρα, μυλῶνας καὶ αὐτοὺς δὴ τοὺς παροίκους, ὅσα μὲν ἡ βασιλεία μου ἐδωρήσατο τῇ τοιαύτῃ μονῇ, ὅσα ὁ καθηγούμενος τῆς τοιαύτης μονῆς ἐπεκτήσατο καὶ ὅσα ἐξ ἀγορασίας καὶ ὅσα ἀπὸ προσενέξεως εὐλόγου καὶ δικαίας προσεκυρώθησαν τῇ ῥηθείσῃ μονῇ, καὶ γνωρίσῃς τὰ ἅπαντα κτήματα ταύτης καὶ ποιήσῃς κατὰ τόπον περίορον καὶ εἰσάξῃς ἐν αὐτῷ ἅπαντα τὰ διαφέροντα τῇ τοιαύτῃ μονῇ κτήματα καὶ ποιήσῃς αὐτῇ πρακτικόν, ὡς ἂν οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοὶ διάγωσιν ἀνενοχλήτως καὶ ἀπαρεμποδίστως καὶ μὴ ἔχωσιν ἀπό τινος ὄχλησιν τινὰ ἢ ἐμποδισμόν, καὶ μετὰ ταῦτα ἀπόστειλον τὸν τοιοῦτον περίορον καὶ τὸ πρακτικὸν πρὸς τὴν βασιλείαν μου, ὡς ἂν διορίσηται καὶ γένηται τῇ τοιαύτῃ μονῇ χρυσόβουλλον τῆς βασιλείας μου. ἐπεὶ δὲ καί τινας ξένους καὶ τῷ δημοσίῳ ἀνεπιγνώστους προσεκάθισαν οἱ μοναχοὶ ἐν τοῖς ὑπ' αὐτῶν κτήμασιν εἰς συγκρότησιν καὶ δουλείαν αὐτῶν, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν κατὰ τὸν προσόντα αὐτοῖς ὁρισμὸν ἐπὶ τούτοις παραδώσῃς τούτους πρὸς αὐτούς, ἵν' ἔχωσι τούτους ὡς οἰκείους καὶ δεφενδεύωσιν αὐτοὺς καὶ ἐξκουσσεύωσιν κατὰ τὸ καθόλου τῆς ἐξκουσσείας κεφάλαιον. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει πρὸς σὲ καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός. εἶχε τό· μηνὶ δεκεβρίῳ ἰνδ. ή' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

Κατὰ γοῦν τὴν περίληψιν τοῦ τοιούτου βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ κατὰ τόπον παραγενόμενοι καὶ ἀναθεωρήσαντες πάντα τὰ προσόντα τῇ διαληφθείσῃ μονῇ κτήματα πεποιήκαμεν αὐτῇ διὰ τῆς παρούσης ἐγγράφου πράξεως περίορον καὶ πρακτικόν, εἰσάξαντες ἐν αὐτῇ καὶ καταγραψάμενοι πάντα τὰ ὡς εἴρηται ἀναντιρρήτως διαφέροντα τῇ τοιαύτῃ μονῇ οἱαδήτινα κτήματα, ὅσα τε δηλαδὴ ἐδωρήθησαν αὐτῇ διὰ προσκυνητῶν ὁρισμῶν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅσα ὁ καθηγούμενος ἐπεκτήσατο καὶ

ὅσα ἐξ ἀγορασίας καὶ ἐκ προσενέξεως εὐλόγου καὶ δικαίας περιήλθοσαν καὶ προσεχωρώθησαν τῇ αὐτῇ μονῇ, ἃ καὶ ἔχουσιν οὕτως· ἡ αὐτὴ σεβασμία μονὴ τῶν Λέμβου, ἧς ὁ περίορος τῶν δικαίων τοῦ ὀρεινοτέρου τόπου τῶν παρακειμένων βουνῶν καὶ πλησιαζόντων τῇ τοιαύτῃ μονῇ ἔχει οὕτως· ἄρχεται ἀπὸ πλησίον τῆς κεχαλασμένης ἐκκλησίας τοῦ ἁγίου Τρύφωνος, ἔχεται τοῦ πρὸς δύσιν ἀέρος, κατέρχεται κατ' εὐθεῖαν μέχρι καὶ τοῦ πυρροῦ κρημνοῦ, καὶ κρατῶν τὴν ῥάχιν ἀπέρχεται μέχρι καὶ τοῦ μονοπεύκου, εἶτα κλίνει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, περᾷ τὸ χειμερινὸν ῥυάκιν, τὸ ἐπιλεγόμενον τοῦ Βορβύθους, κατέρχεται κατ' εὐθεῖαν καὶ ἀκουμβίζει μέχρι καὶ τῆς βασιλικῆς ὁδοῦ τῆς πρὸς Σμύρνην ἀπαγούσης, ἐῶν δεξιὰ τὰ δίκαια τοῦ χωρίου Μανταίας, ἀριστερὰ τὰ περιοριζόμενα, ἔχεται τοῦ αὐτοῦ ἀέρος ἐπὶ πολὺ κατ' εὐθεῖαν καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ῥύακος τοῦ ἐγχωρίως ἐπιλεγομένου Χασκαυγῆ, ἀπὸ τούτου στρέφεται πρὸς ἀνατολάς, κρατῶν τὸν αὐτὸν ῥύακα, καὶ ἀπέρχεται εἰς τὸν βουνὸν τὸν ἐπιλεγόμενον Θοῦβον, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον, ἔκτοτε γαμματίζει πρὸς μεσημβρίαν, κρατῶν τὴν ἐκεῖσε παρακειμένην ῥάχιν, καὶ ἀπέρχεται μέχρι καὶ τῆς κορυφῆς τοῦ βουνοῦ, τοῦ λεγομένου τῶν Λέμβων, εἶτα στρέφεται καὶ αὖθις πρὸς ἀνατολάς, περᾷ τὸ ἐκεῖσε ὂν χειμερινὸν ῥυάκι, καὶ ἀπέρχεται εἰς τὴν τοποθεσίαν τὴν ἐπιλεγομένην τὰ Ἄνω Χανάβρου. ἀπὸ τούτου κρατῶν τὴν ἐκεῖσε παρακειμένην ῥάχιν τοῦ βουνοῦ καὶ περᾷ εἰς τὸν πορὸν, ἔνθα ἦν μετόχιον τῆς αὐτῆς μονῆς ποτὲ, εἰς ὄνομα ἱδρυμένον τοῦ ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων Μιχαήλ. ἀπὸ τούτου κλίνει πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ καταντᾷ μέχρι τῆς ὁδοῦ τῆς ἐπιλεγομένης Σταύριον, ἔκτοτε κρατῶν τὴν ῥάχιν τὴν ἐπιλεγομένην Βαλανίδα καὶ διαιρῶν δεξιὰ μὲν τὰ δίκαια τῆς Ῥούζης, ἀριστερὰ τὰ περιοριζόμενα, κρατῶν τὸν αὐτὸν ἀέρα ἐπὶ πολὺ, καὶ ἀπέρχεται μέχρι τῆς ῥάχεως τοῦ Βρυσοπηγαδίου, κλίνει πρὸς δύσιν, καὶ ἀπέρχεται μέχρι τῆς ῥάχεως τοῦ ἀνακεφαλίσματος, ἐῶν δεξιὰ τὰ δίκαια τοῦ ποτὲ χωρίου τοῦ Βρυσοπηγαδίου, ἀριστερὰ τὰ περιοριζόμενα, διαιρῶν τὰς καταρρεύσεις τῶν ὀμβριμαίων ὑδάτων ἔνθεν καὶ ἔνθεν. εἶτα στρέφεται πρὸς ἄρκτον καὶ περᾷ τὴν βασιλικὴν ὁδὸν καὶ ἀπέρχεται μέχρι καὶ πλησίον τῆς κεχαλασμένης ἐκκλησίας τοῦ ἁγίου Τρύφωνος, ἔνθα καὶ ἤρξατο. ἐντὸς δὲ τοῦ τοιούτου περιόρου εὑρέθη καὶ προά-

στειον τὸ ἐπιλεγόμενον τὰ Σφούρν[ου], ὅπερ ἦν ποτὲ ὑπὸ τὴν μονὴν τῶν Ῥουφινιανῶν καὶ περιῆλθε τῇ αὐτῇ μονῇ τῶν Λέμβου ἐκ προσενέξεως τοῦ ἀπὸ τῆς Σμύρνης βασιλικοῦ βεστιαρίτου κυροῦ Γεωργίου τοῦ Καλοειδᾶ, ἐπικυρωθείσης τῆς τοιαύτης προσενέξεως καὶ διὰ βασιλικοῦ. προσκυνητοῦ ὁρισμοῦ. ἐπεκτήσατο δὲ ἡ τοιαύτη μονὴ τῶν Λέμβου εἰς τὸ αὐτὸ προάστειον τὰ Σφούρν[ου] ἐξ οἰκείων ἐξόδων καὶ ὑδρομυλικὰ ὁλοκαιρινὰ ἐργαστήρια καὶ περιβόλιον, χρησιμεῦον εἰς κηπωρίον καὶ εἰς καταφυτεύσεις ὀπωροφόρων δένδρων· εὑρέθησαν ἐν τῷ τοιούτῳ προαστείῳ τὰ Σφούρν[ου] προσκαθήμενοι ἀμετόχως καὶ τρεῖς πάροικοι ἀπὸ τοῦ χωρίου τῶν Ποταμῶν, τελοῦντες ὑπὸ τὸν λίζιον βασιλικὸν καβαλλάριον τὸν Συργαρὴν, οἵτινες καὶ ἐπεφωνήθησαν παρ' ἡμῶν ἐγερθῆναι ἀπὸ τῶν δικαίων τῆς μονῆς καὶ ἀπελθεῖν, ἔνθα καὶ πρότερον ἐκάθηντο. εἰς τὸ χωρίον τὴν Μάνταιαν ἀντικρὺ τῶν ὀσπητίων τοῦ Θρακησ[ίου], καὶ ἄνωθεν τοῦ παρακειμένου βουνοῦ κέκτηται ἡ τοιαύτη μονὴ τῶν Λέμβου. μετόχιον τὸν ἅγιον Παντελεήμονα, περιελθὸν αὐτῇ ἐκ προσενέξεως τοῦ εἰς τὸ χωρίον τὴν Μάνταιαν οἰκοῦντος Ἀλεξίου ἱερέως τοῦ Τεσσαΐτου καὶ τοῦ μοναχοῦ Μαξίμου, ἐπικυρωθείσης τῆς τοιαύτης προσενέξεως καὶ διὰ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ. ἔχει οὖν τὸ τοιοῦτον μετόχιον ἐκκλησίαν θολωτὴν εἰς ὄνομα ἱδρυμένην τοῦ ἁγίου Παντελεήμονος καὶ ἔμπροσθεν τῆς αὐτῆς ἐκκλησίας πρόναον ὅμοιον, οὗ καὶ ἄνωθεν πύργος· ἑτέρα ἐκκλησία συνενωμένη τῇ τοῦ ἁγίου Παντελεήμονος ἐκκλησίᾳ εἰς ὄνομα ἱδρυμένη τῆς ὑπεραγίας θεοτόκου καὶ γύρωθεν τῶν τοιούτων δύο ἐκκλησιῶν κελλία τῶν μοναχῶν, καὶ ἔξωθεν αὐλὴ περιπεφραγμένη καὶ περιωρισμένη διὰ τείχους πλινθωτοῦ, ἔξωθεν δὲ τοῦ τοιούτου μετοχίου καὶ τῆς αὐλῆς δένδρα ὀπωροφόρα καὶ γῆ ὕπεργος ὀλιγοστὴ, τραχεινή· προσήρμοσαν δὲ τῷ τοιούτῳ μετοχίῳ τοῦ ἁγίου Παντελεήμονος ἐκ προσενέξεως τινῶν ἐποίκων τοῦ χωρίου Μανταίας καὶ δένδρα ἐλαϊκὰ καὶ χωράφια, κατεχόμενα καὶ δεσποζόμενα καὶ εἰσοδιαζόμενα ταῦτα παρὰ τοῦ μέρους τοῦ αὐτοῦ μετοχίου τοῦ ἁγίου Παντελεήμονος ἐπὶ χρόνοις ἱκανοῖς, ἃ καὶ ἔχουσιν οὕτως· εἰς τὸ χωρίον τὴν Μάνταιαν πλησίον τῶν ὀσπητίων τοῦ Θρακησ[ίου] αὐλὴ περιωρισμένη μετὰ κελλίου ἑνὸς καὶ ἐκκλησίας ἀσκεποῦς, χωράφιον σύνεγγυς τῆς τοιαύτης αὐλῆς περιωρισμένον διὰ τάφρου, ἔχον καὶ δένδρα ἐλαϊκὰ εἴκοσι ἐννέα. ἐν τῇ τοποθεσίᾳ τοῦ Παρακαλάμου ἐκ

προσενέξεως τοῦ Καντῆ δένδρα ἐλαϊκὰ πέντε. ἐν τῇ τοποθεσίᾳ τοῦ ἁγίου Κωνσταντίνου δένδρα ὅμοια δεκαοκτώ, ὧν τὰ μὲν τέσσαρα ἐκ προσενέξεως τοῦ Καποραδί[ου], τὰ δὲ δέκα πρὸς τοῖς τέσσαρσι κατεφυτεύθησαν παρὰ τῶν μοναχῶν. ἐν τῇ τοποθεσίᾳ τῆς ἁγίας Βαρβάρας ἐκ προσενέξεως τοῦ Καλομοιραστ[οῦ] δένδρα τέσσαρα. ἐν τῇ τοποθεσίᾳ τῶν Τραχεινῶν ἐκ προσενέξεως Στεφάνου τοῦ Γεγὲ δένδρα τρία. ἐν τῷ περιβολίῳ Νικήτα τοῦ Θεοφυλάκτ[ου] ἐκ προσενέξεως αὐτοῦ δένδρα δύο. ἐν τῇ τοποθεσίᾳ τῆς Χασκαυγῆς ἐκ προσενέξεως Νικολάου τοῦ Πλατανίτου δένδρα ὅμοια πέντε. ἐν τῇ τοποθεσίᾳ τῆς Γούρνης πλησίον τοῦ χωραφίου τοῦ Πλανίτου ἐκ προσενέξεως τοῦ Κουρτίκη δένδρα ὅμοια ἕνδεκα. ἐν τῇ αὐτῇ τοποθεσίᾳ ἐκ προσενέξεως τοῦ Κλαπατᾶ δένδρα ἕξ. ἐν τοῖς δικαίοις τῆς μητροπόλεως πλησίον τῆς Ῥεντακηνῆς ἐκ προσενέξεως τοῦ Πανναδίου δένδρα δύο. ἐν τῇ τοποθεσίᾳ τῆς Κόγχης πλησίον τῆς βασιλικῆς ὁδοῦ ἐκ προσενέξεως τοῦ Καζάνη δένδρα ὀκτώ. ἐν τῇ τοποθεσίᾳ τῆς Ἀμυγδάλας πλησίον τῆς ὁδοῦ τῆς ἀπαγούσης εἰς τὸ χωρίον τοῦ Παναρέτου ἐκ προσενέξεως τοῦ Σταθμιστοῦ δένδρα πέντε. ἐν τῇ τοποθεσίᾳ τοῦ Ξηροκάμπου πλησίον τοῦ Ἀγρηνοῦ ἐκ προσενέξεως τοῦ Μοσχοϊωάννου δένδρα πέντε. κατεφυτεύθησαν ἐν τῇ αὐτῇ τοποθεσίᾳ πλησίον τῶν τοιούτων δένδρων ἕτερα δένδρα ὅμοια δεκατρία. ἐν τῇ τοποθεσίᾳ τοῦ Ποταμοῦ τοῦ Βορβόθους πλησίον τοῦ προσκαθημένου τοῦ Μονομάχου ἐκ προσενέξεως τοῦ Πεπαγωμένου δένδρα πέντε. ἐν τῇ τοποθεσίᾳ τοῦ Παναρέτου πλησίον τοῦ Παναρέτου ἐξ προσενέξεως τοῦ Γουδέλη ἐκείνου δένδρα ὀκτώ. ἐν τῇ αὐτῇ τοποθεσίᾳ ἐκ προσενέξεως τῆς μοναχῆς Ζωναρᾶς δένδρα δύο. χωράφιον τοῦ ἁγίου Ἠλίου ἰδιοπεριόριστον μοδίου ἑνὸς ἐκ προσενέξεως τοῦ Γορδάτου, ἀπὸ τοῦ στίχου ὂν τοῦ Καπήλου. ἐν τῇ τοποθεσίᾳ τῆς Λαγωνικῆς ἐκ προσενέξεως τοῦ στίχου τοῦ Μαντειανοῦ χωράφιον μοδίων θαλα[σσιαίων] τριῶν, ἐν ᾧ καὶ ἀπιδέαι τρεῖς καὶ δρύες δύο. ἐν τῇ τοποθεσίᾳ τῆς Μελάγγης χωράφιον μοδίων δώδεκα. ἐν τῇ τοποθεσίᾳ τοῦ Καντζουρινοῦ πλησίον τῶν Πωλεάδων δένδρα ἐλαϊκὰ δώδεκα καὶ ἀπιδέαι τέσσαρες, ἅτινα καὶ προσηρμόσθησαν τῇ αὐτῇ μονῇ τῶν Λέμβου ἀνέκαθεν. ἐν τῇ τοποθεσίᾳ τοῦ Φοίνικος δένδρα ἐλαϊκὰ πεντήκοντα καὶ ὀκτώ, περιελθόντα τῇ αὐτῇ μονῇ ἐξ ἀγορασίας ἀπὸ τοῦ Καχαβᾶ. ἕτερον μετόχιον τῆς αὐτῆς μονῆς διακείμενον ἔξωθεν τοῦ τεί-

χους τοῦ παλαιοῦ κάστρου τῆς Σμύρνης καὶ ἐπιλεγόμενον ὁ ἅγιος Γεώργιος ὁ Ἐξωκαστρίτης, περιελθὸν καὶ αὐτὸ τῇ αὐτῇ μονῇ τῶν Λέμβου ἀπὸ δωρεᾶς βασιλικῆς καταβληθέντων χάριν αὐτοῦ καὶ νομισμάτων ἀπὸ τοῦ βασιλικοῦ βεστιαρίου πρός τινα προσγενῆ τοῦ μεγάλου οἰκονόμου τοῦ Ληστοῦ. εὑρέθη ἐν τῷ τοιούτῳ μετοχίῳ ἐκκλησία δρομικὴ εἰς ὄνομα ἱδρυμένη τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου μετὰ προπύλου καὶ κελλίων τεσσάρων εἰς καταμονὴν τῶν μοναχῶν. ὄπισθεν τῆς τοιαύτης ἐκκλησίας περιβόλιον ἰδιοπεριόριστον, ἔχον συκάμινα δένδρα καὶ ἕτερα ὀπωροφόρα διάφορα. ἔμπροσθεν τῆς αὐτῆς ἐκκλησίας ἀμπέλιον, περιπεφραγμένον καὶ αὐτὸ ἰδιοπεριόριστον, ὡσεὶ μοδίων ὂν θαλασσιαίων ἕξ. ἔσωθεν τοῦ τείχους τοῦ παλαιοκάστρου χωράφιον περιελθὸν τῇ μονῇ ἐκ προσενέξεως τῆς μοναχῆς κυρᾶς . . . . . . τῆς Ἀγγελίνης, διῆκον μέχρι καὶ τοῦ πλησιάζοντος αὐτὸ χωραφίου τοῦ Τζυκανδάλη παρακάτωθεν τοῦ αὐτοῦ χωραφίου τοῦ Τζυκανδάλη. ἕτερον χωράφιον περιελθὸν τῇ αὐτῇ μονῇ ἐξ ἀγορασίας μοδίου ἑνός. προσεκυρώθη τῇ τοιαύτῃ μονῇ τῶν Λέμβου διὰ δωρεαστικῶν προσκυνητῶν ὁρισμῶν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ ἡ κατὰ τὸν κάμπον τοῦ Μεμανιωμένου γῆ ὑπὸ τὸ βασιλικὸν ζευγηλατεῖον τῶν Παλατίων πρώην τελοῦσα καὶ παρεδόθη αὕτη τῷ μέρει τῆς αὐτῆς μονῆς παρὰ τοῦ πανσεβάστου σεβαστοῦ καὶ προκαθημένου τῆς Σμύρνης τοῦ Ἀλωποῦ καὶ τῶν ἐκκρίτων ἐποίκων τοῦ χωρίου Κουκούλης, ἧς δὴ γῆς καὶ ὁ περίορος διαιρούμενος ἐν τρισὶ κατατομαῖς καὶ τοποθεσίαις ἔχει οὕτως· ἄρχεται ἀπὸ τῆς ὁδοῦ τῆς ἀπαγούσης εἰς τὸ Σαρακηνικόν, ἧς πλησίον καὶ καταλύματα τοῦ προαστείου τοῦ Ἀριστηνοῦ, καὶ λάκκος, ἐν ᾗ ὁδῷ καὶ ἐπήχθη παρ' ἡμῶν στήλη διὰ κίονος ἄσπρου ἔχοντος ἐγκεκολαμμένα γράμματα καὶ δηλοῦντα· ὅρος Λέμβου. ἔχεται τοῦ πρὸς δύσιν ἀέρος καὶ ἀπέρχεται κατ' εὐθεῖαν τὸν αὐτὸν ἀέρα καὶ καταντᾷ εἰς τὸ παλαιοευκτήριον τοῦ ἁγίου Γεωργίου τὸ κεχαλασμένον μέχρι ἐδάφους, ἐν ᾧ ἵσταται καὶ πέτρα μαύρη. ἔχεται καὶ αὖθις τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον καὶ ἀπέρχεται εἰς τὸ ἕτερον κιόνι τὸ παρ' ἡμῶν ἐκεῖσε πηχθέν, ἔχον καὶ αὐτὸ γράμματα ὅμοια, διαιρῶν μὲν δεξιὰ τὰ χωράφια τοῦ Κρατεροῦ, ἀριστερὰ τὰ περιοριζόμενα. εἶτα κλίνει πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον καὶ καταντᾷ εἰς τὴν ἑτέραν στήλην τὴν διὰ τριγώνου μαύρης πέτρας παρ' ἡμῶν πηχθεῖσαν, ἔχουσαν

γράμματα ὅμοια. ἀπὸ ταύτης στρέφεται πρὸς δύσιν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, ἐῶν δεξιὰ διόλου τὰ χωράφια τοῦ Κρατεροῦ, ἀριστερὰ τὰ περιοριζόμενα, καὶ ἀκουμβίζει εἰς τὴν ἑτέραν στήλην τὴν μαρμαρίνην, πλατεῖαν οὖσαν καὶ ἔχουσαν γράμματα ὅμοια. ἀπὸ ταύτης στρέφεται πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ ἀπέρχεται κατ' εὐθεῖαν καὶ ἀποδιδοῖ εἰς τὸ χωράφιον τοῦ βασιλικοῦ βεστιαρίτου κυροῦ Ἰσαακίου τοῦ Λεβούνη, ἐν οἷς καὶ ἐπήχθη διὰ κιονίου μαύρου παρ' ἡμῶν ἔχοντος γράμματα ὅμοια, διαιρῶν δεξιὰ τὰ χωράφια τοῦ Μαυροράχου, ἀριστερὰ τὰ περιοριζόμενα. αὖθις στρέφεται πρὸς ἀνατολάς, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον, ἐῶν δεξιὰ τὰ δίκαια τοῦ Λεβούνη, ἀριστερὰ τὰ περιοριζόμενα. καὶ ἀπέρχεται εἰς τὴν ἑτέραν στήλην τὴν παρ' ἡμῶν πηχθεῖσαν διὰ κιονοκόμματος μαύρου, ἔχοντος γράμματα ὅμοια. ἀπὸ ταύτης κλίνει αὖθις πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος κατ' εὐθεῖαν καὶ ἀπέρχεται ἐπὶ πολὺ καὶ ἀκουμβίζει εἰς τὴν ἀριστερὰν στήλην τὴν παρ' ἡμῶν πηχθεῖσαν διὰ κιονίου μαύρου, ἔχοντος γράμματα ὅμοια. ἔκτοτε στρέφεται πρὸς ὀλίγον, ἐῶν δεξιὰ τὰ δίκαια τοῦ Λεβούνη, ἀριστερὰ τὰ περιοριζόμενα. καὶ αὖθις κλίνει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ποταμοῦ τοῦ Ἕρμωνος, διαιρῶν δεξιὰ [τὰ χωράφια] τοῦ Λεβούνη, ἀριστερὰ τὰ περιοριζόμενα, κρατεῖ τὸν αὐτὸν ἀέρα καὶ τὸ παραπόταμον ἐπὶ πολὺ καὶ καταντᾷ εἰς τὸν ἐγχωρίως ἐπιλεγόμενον Παλαιὸν Πόρον, εἰς ὃν καὶ ἐστήσαμεν στήλην διὰ ἡμίσεος κίονος ἔχοντος γράμματα ὅμοια. ἀπὸ τούτου στρέφεται πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος, κρατῶν τὴν ἐκεῖσε οὖσαν ὁδόν, ἐῶν δεξιὰ τὰ χωράφια τοῦ Φαγομόδη καὶ τῆς Πετριτζίνης, ἀριστερὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται κατ' εὐθεῖαν ἐπὶ πολὺ εἰς τὴν ὁδὸν τὴν πλησιάζουσαν τῷ προαστείῳ τοῦ Ἀριστηνοῦ καὶ εἰς τὰ καταλύματα καὶ εἰς τὸν λάκκον, ἔνθα καὶ ἤρξατο.

Ἐν τῷ αὐτῷ κάμπῳ τοῦ Μεμανιωμένου ἕτερον προάστειον τὸ ποτὲ ἐπιλεγόμενον τοῦ Ἀσάνη, οὗτινος ὁ περιορισμὸς ἔχει οὕτως· ἄρχεται ἀπὸ τοῦ ποτὲ ὄντος λάκκου καὶ τοῦ παλαιοῦ ὡρείου ὡς ἐν σχήματι τριόδου ὄντος, ἐν ᾧ καὶ παρ' ἡμῶν ἐπήχθη στήλη διὰ κίονος μαρμαρίνου ἄσπρου, ἔχοντος γράμματα ὅμοια. ἔχεται τοῦ πρὸς μεσημβρίαν ἀέρος, κρατῶν τὴν ἐκεῖσε παρακειμένην παλαιὸν ὁδόν, τὴν ἐπιλεγομένην ἐγχωρίως τὸ Ἁλικοβάσταγον, ἐῶν ἀριστερὰ τὰ χω-

ράφια τοῦ ἀπὸ τῆς Σμύρνης Ἀρταβάσδη, δεξιὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται τὴν αὐτὴν ὁδὸν τοῦ Ἁλικοβαστάγου κατ' ἰσότητα καὶ καταντᾷ εἰς τὴν ἑτέραν στήλην τὴν μαρμαρίνην τὴν τετράγωνον, ἣν ἡμεῖς ἐστήσαμεν, ἔχουσαν γράμματα ὅμοια. ἀπὸ ταύτης ἔχεται καὶ αὖθις τοῦ αὐτοῦ ἀέρος καὶ τῆς παλαιᾶς ὁδοῦ τοῦ Ἁλικοβαστάγου καὶ ὁδεύει ἐπὶ πολὺ μεχρὶ καὶ τῆς εἰς τὸν Κούκουλον κατερχομένης ἑτέρας ὁδοῦ, ἐν ᾗ καὶ ἐπήχθη παρ' ἡμῶν στήλη διὰ μαρμάρου πλατ[έως], ἔχοντος περὶ τὸ ἄκρον λαξευτοὺς σταυροὺς καὶ γράμματα ὅμοια. ἀπὸ ταύτης στρέφεται πρὸς δυσμάς, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ τῆς εἰς τὸν Κούκουλον ἀπαγούσης ὁδοῦ, ἐῶν ἀριστερὰ τὰ δίκαια τοῦ χωραφίου τῆς Πέτρας, δεξιὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται ἐφ' ἱκανὸν μέχρι καὶ τῶν χωραφίων τῆς Κομνηνῆς τοῦ κυροῦ Ἀληθινοῦ, ἔνθα καὶ εἰσὶ βροῦλλαι, καὶ ἐπήχθη καὶ παρ' ἡμῶν στήλη διὰ μαύρας πέτρας, ἔχουσα γράμματα ὅμοια. εἶτα ἀπὸ ταύτης κλίνει πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ τοῦ Ἁλικοβαστάγου καὶ ἀπέρχεται ἐπὶ πολὺ μέχρι καὶ τῆς ἑτέρας στήλης τῆς διὰ μαύρας τριγώνου πέτρας, πηχθείσης παρ' ἡμῶν, ἐχούσης γράμματα ὅμοια, ἐῶν ἀριστερὰ μὲν τὰ δίκαια τῶν προπαραδοθέντων χωραφίων τῷ πρωτοβεστιαρίτῃ, δεξιὰ δὲ τὰ περιοριζόμενα. ἀπὸ τῆς τοιαύτης στήλης ἔχεται καὶ αὖθις τοῦ αὐτοῦ ἀέρος καὶ τοῦ Ἁλικοβαστάγου καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ἄκρου χωραφίου τοῦ Ληστοῦ καὶ τοῦ παρακειμένου Ἁλικοβαστάγου. ἔκτοτε γαμματίζει πρὸς ὀλίγον κατ' ἀνατολὰς καὶ ἀπέρχεται εἰς τὴν ἑτέραν στήλην τὴν διὰ κίονος ἄσπρου παρ' ἡμῶν πηχθεῖσαν, ἔχοντος γράμματα ὅμοια. ἀπὸ ταύτης κλίνει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, ἐῶν ἀριστερὰ [τὰ χωράφια] τῆς Πετριτζίνης καὶ τῆς Τζιβριλλίνης, δεξιὰ τὰ περιοριζόμενα καὶ καταντᾷ εἰς τὴν ἑτέραν στήλην τὴν διὰ μαύρας πέτρας πλατείας πηχθεῖσαν παρ' ἡμῶν, ἔχουσαν γράμματα ὅμοια. ἀπὸ ταύτης στρέφεται πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ καταντᾷ εἰς τὸ παλαιὸν ὡρεῖον καὶ εἰς τὴν διὰ κίονος στήλην, ἔνθα καὶ ἤρξατο.

Ὁ δὲ περίορος τῶν ἑτέρων χωραφιαίων τοπίων τῶν τε ὑπέργων καὶ τῶν νομαδιαίων τῶν πλησίον καὶ γύρωθεν τῶν Παλατίων ἔχει οὕτως· ἄρχεται ἀπὸ τῆς παλαιᾶς ὁδοῦ τῆς ἀπὸ τοῦ πύργου κατερχομένης, κρατῶν τὸ ἐκεῖσε παρακείμενον ξηρορύακον τὸ καὶ ὡς ἐν σχήματι τάφρου ὂν καὶ πρὸς ἄρκτον ἀποβλέπον, ἐν τῇ ὁδῷ καὶ ἐστή-

σαμεν στήλην διὰ μαύρας πέτρας ἐχούσης γράμματα ὅμοια. ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ ἀπέρχεται ἐφ' ἱκανὸν μέχρι καὶ τῆς βασιλικῆς ὁδοῦ τῆς ἀπὸ τοῦ λιβαδίου τῶν Ἀββάδων κατερχομένης, ἐν ᾗ καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας τετραγώνου, ἐχούσης γράμματα ὅμοια, ἐῶν ἀριστερὰ μὲν τὰ δίκαια τῶν Σμυρναίων, δεξιὰ τὰ περιοριζόμενα. ἀπὸ ταύτης στρέφεται πρὸς ἀνατολάς, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ τῆς βασιλικῆς ὁδοῦ, ἐῶν ἀριστερὰ τὰ δίκαια τῆς ἐν τῇ Σμύρνῃ μονῆς τοῦ Σωτῆρος Χριστοῦ, τῆς τοῦ Καμελαυκᾶ ἐπιλεγομένης, δεξιὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ῥύακος τοῦ ἀπὸ τῆς Ἁγίας κατερχομένου καὶ τοῦ ἄκρου τοῦ παρακειμένου πετροβούνου, ἐν ᾧ καὶ ἐν μιᾷ τῶν ἐκεῖσε μεγάλων ῥιζιμαίων πετρῶν ἐνεκολάψαμεν γράμματα ὅμοια. εἶτα ἀπὸ ταύτης στρέφεται πρὸς ἀνατολάς, ἐῶν δεξιὰ μὲν τὰ δίκαια τοῦ Δερματᾶ καὶ τοῦ Κολελοῦ, καὶ ἀπέρχεται μέχρι τοῦ ῥύακος τοῦ ἀπὸ τῆς ἁγίας Ἑλένης κατερχομένου. ἀπὸ τούτου κλίνει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, κρατῶν τοῦ εἰρημένου ῥύακος κατ' εὐθεῖαν, καὶ ἀπέρχεται τῆς ὁδοῦ τῆς πρὸς τὸν Κούκουλον ἀπαγούσης, ἐν ᾗ καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας, ἐχούσης γράμματα ὅμοια. εἶτα κάμπτει πρὸς δυσμάς, ἔχεται τοῦ αὐτοῦ ἀέρος, κρατῶν τὴν ὁδὸν κατ' εὐθεῖαν, καὶ ἀπέρχεται μέχρι καὶ τῶν χωραφίων τῶν Τραχεινῶν, ἐν ᾧ καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας, ἐχούσης γράμματα ὅμοια. εἶτα στρέφεται πρὸς ἄρκτον, κρατῶν τὸν αὐτὸν ἀέρα ἐπὶ πολύ, ἐῶν ἀριστερὰ μὲν τὰ δίκαια τῶν Σμυρναίων, δεξιὰ τὰ περιοριζόμενα. εἶτα ἔχεται τοῦ αὐτοῦ ἀέρος ἐπὶ πολὺ καὶ ἀπέρχεται μέχρι καὶ τῶν χωραφίων τῶν Τραχεινῶν τῶν διαφερόντων τῷ Σμύρνῳ Μάντει, τῶν καὶ πλησιαζόντων τῷ ἐκεῖσε παρακειμένῳ λιβαδίῳ τῷ καὶ λάκκῳ ἐοικότι, ἐν οἷς καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας, ἔχουσαν γράμματα ὅμοια. ἀπὸ ταύτης ἔχεται τοῦ αὐτοῦ ἀέρος τοῦ πρὸς δυσμὰς ὁδεύοντος τούτου ἐφ' ἱκανόν, κρατῶν τὴν παλαιὸν ὁδόν, καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ἄκρου τοῦ Ξηροτροχάλη καὶ τῆς ἐκεῖσε παρακειμένης τάφρου, ἐῶν ἀριστερὰ μὲν τὰ δίκαια τοῦ Μάντει, δεξιὰ τὰ περιοριζόμενα. εἶτα γαμματίζει πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ ἀπέρχεται μέχρι καὶ τῆς παλαιᾶς ὁδοῦ τῆς πρὸς τὸν πύργον ἀπερχομένης, ἐν ᾗ καὶ ἐστήσαμεν στήλην μαρμαρίνην πλατεῖαν, γράμματα ἔχουσαν ὅμοια. ἀπὸ ταύτης στρέφεται καὶ αὖθις πρὸς δυσμάς, ἔχεται τοῦ αὐ-

τοῦ ἀέρος καὶ τῆς παλαιᾶς ὁδοῦ καὶ καταντᾷ εἰς τὴν προτέραν στήλην τὴν ἐξ ἀρχῆς πηχθεῖσαν παρ' ἡμῶν, ἔνθα καὶ ἤρξατο. σύνεγγος δὲ καὶ πλησίον τοῦ τοιούτου περιόρου τῆς μονῆς παράκειται καὶ λιβάδιον τὸ ἐπιλεγόμενον τῶν 'Αββάδων, ὅπερ καὶ εἰς κεράμερον ποτὲ ἐχρημάτισε καὶ εἰς κοπὴν χόρτου λόγῳ τῶν ἐν τοῖς Παλατίοις ὀσπητίων, καὶ ὀφείλει καὶ τὸ τοιοῦτον λιβάδιον κατέχεσθαι καὶ δεσπόζεσθαι παρὰ τῆς αὐτῆς μονῆς τῶν Λέμβου, ὡς ὑπὸ τὰ δίκαια τῶν Παλατίων ἀποταχθὲν καὶ τὸ τοιοῦτον λιβάδιον. ἐντὸς δὲ τῆς τῶν Παλατίων περιοχῆς εὑρέθη καὶ περιβόλιον ἰδιοπεριόριστον περιπεφραγμένον διὰ τείχους πλινθωτοῦ, ἔχον ὀπωροφόρα δένδρα διάφορα καὶ χωράφιον χερσαῖον ὀλιγοστόν, ὃ δὴ περιβόλιον καὶ ἐδωρήθη τῇ τοιαύτῃ μονῇ διὰ βασιλικῶν προσκυνητῶν ὁρισμῶν καὶ κατέχεται παρ' αὐτῆς.

Χωρίον ἡ Βάρη ἤτοι τὰ Μῆλα τὸ ὑπὸ τὴν σεβασμίαν μονὴν ποτὲ ὂν τοῦ Παντοκράτορος καὶ δωρηθὲν τῇ τοιαύτῃ μονῇ τῶν Λέμβου διὰ προσκυνητοῦ ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως. οἱ ἐν τῷ τοιούτῳ χωρίῳ προσκαθήμενοι πάροικοι πρὸς ὄνομα ἔχουσιν οὕτως· Εὐδοκία χήρα ἡ γονὴ τοῦ Κουτλοῦ ἔχει υἱοὺς Κωνσταντῖνον, 'Ιωάννην καὶ Γεώργιον ἀνηλίκους. . . . Γρηγόριος ὁ Πονηρὸς ἔχει γυναῖκα Καλήν, υἱὸν Νικήταν . . . 'Ιωάννης ὁ Χαμαικριτὴς ἔχει γυναῖκα Ἄνναν, υἱὸν ἀνήλικον Νικόλαον, θυγατέρα Εἰρήνην . . . Ἄννα χήρα ἡ γονὴ τοῦ Χαμαικριτοῦ Κωνσταντίνου ἔχει υἱὸν 'Ιωάννην, θυγατέρα Μαρίαν ἀνηλίκους, ἑτέραν θυγατέρα Σοφίαν, γαμβρὸν ἐπ' αὐτῇ τὸν Γαλατᾶν . . . Καλὴ χήρα ἡ τοῦ 'Αλεξανδρέως ἔχει ἄνδρα Κωνσταντῖνον, θυγατέρας Εὐδοκίαν καὶ Καλήν . . . Νικήτας ὁ Καταφυγιώτης ἔχει γυναῖκα Μαρίαν, θυγατέρας Καλήν, Εἰρήνην καὶ 'Ανναν, υἱὸν ἀνήλικον 'Ιωάννην . . . Ξένος ὁ Λεγᾶς ἔχει γυναῖκα Ἄνναν, υἱοὺς ἀνηλίκους Γεώργιον καὶ Νικόλαον, θυγατέρα Εὐδοκίαν . . . Στέφανος ὁ γαμβρὸς τοῦ Λεγᾶ ἔχει γυναῖκα Καλήν, υἱοὺς ἀνηλίκους Γεώργιον καὶ Νικόλαον, θυγατέρα ἀνήλικον Εἰρήνην . . . Μαρία χήρα ἡ τοῦ Γουναροπούλου ἔχει υἱοὺς ἀνηλίκους Γεώργιον καὶ 'Ιωάννην . . . Εὐδοκία χήρα ἡ τοῦ Γουναροπούλου ἔχει υἱὸν Μιχαήλ, θυγατέρα Εἰρήνην, γαμβρὸν ἐπ' αὐτῇ Γεώργιον τὸν Λινταΐτην . . . Εἰρήνη χήρα ἡ τοῦ Βασιλικοῦ ἔχει υἱοὺς Κωνσταντῖνον καὶ Μιχαὴλ ἀνηλίκους, θυγατέρα Εὐδοκίαν, γαμβρὸν ἐπ' αὐτῇ 'Ιωάννην . . . 'Ιωάννης ὁ Βλαττερὸς ἔχει υἱοὺς Μιχαήλ, Στέφανον καὶ Κων-

σταντῖνον ἀνηλίκους ... Μιχαὴλ ὁ υἱὸς τοῦ Κιρκαλοῦ ἔχει γυναῖκα Σοφίαν, θυγατέρα Εἰρήνην καὶ Καλὴν, υἱὸν ἀνήλικον ... Γεώργιος ὁ Μοσχόχειρ ἔχει γυναῖκα Μαρίαν, υἱὸν ἀνήλικον Νικόλαον Παντάπορον. Ιωάννης ὁ Μηλᾶς ἔχει γυναῖκα Μαρίαν, υἱὸν ἀνήλικον Νικήταν, Κωνσταντῖνον καὶ Λέοντα ἀνηλίκους, θυγατέρα Εὐδοκίαν, ἀδελφὸν Λέοντα, νύμφην ἐπ' αὐτῷ Εἰρήνην, ἀνεψιὸν Ἰωάννην τὸν υἱὸν τοῦ Στεφάνου ... Διὰ τῶν ἐν τῷ τοιούτῳ χωρίῳ προσκαθημένων ξένων καὶ τῶν δημοσίῳ ἀνεπιγνώστων· Μιχαὴλ ὁ Πιλάτος ἔχει γυναῖκα Ἄνναν, υἱὸν ἀνήλικον Νικόλαον. Γεώργιος ὁ Πατροκωμηνὸς ἔχει γυναῖκα Ἄνναν. Λέων ὁ Ἀνυφάντορος ἔχει υἱοὺς Νικόλαον καὶ Ἰωάννην ἀνηλίκους. ὁ Καλοειδὴς ἔχει γυναῖκα Ἄνναν. Κωνσταντῖνος ὁ Λιγηρὸς ἔχει γυναῖκα Εὐδοκίαν. Στέφανος ὁ Κουμπαριώτης ἔχει γυναῖκα Εὐδοκίαν, υἱοὺς Λιγηρὸν, Νικόλαον καὶ Νικήταν ἀνηλίκους. εὑρέθησαν ἐν τῷ τοιούτῳ χωρίῳ καὶ ἐξηλειμμέναι στάσεις δύο, ἥ τε τοῦ Σπανοῦ καὶ τοῦ Μηνωνάρη, ἀλλὰ δὴ καὶ χωράφια τινὰ ἀπὸ τῶν Γουναροπούλων, ἅτινα καὶ παρεδόθησαν τῷ μέρει τῆς μονῆς, ὥστε κατέχεσθαι καὶ νέμεσθαι παρ' αὐτῆς.

Ὁ δὲ περίορος τοῦ αὐτοῦ χωρίου τῆς Βάρης καὶ τῶν Μήλων ἔχει οὕτως· ἄρχεται ἀπὸ τῆς μεγάλης πέτρας τῆς εἰς ὄψιν τῆς γῆς κειμένης καὶ πλησιαζούσης τῷ κλώσματι τῆς θαλάσσης τῆς κατ' εὐθεῖαν τοῦ ῥύακος τοῦ Σωματᾶ καὶ τῆς τοποθεσίας τῆς ἐπιλεγομένης τῶν Ἁγίων Ἀναργύρων. ἤτοι τῆς κεχαλασμένης ἐκκλησίας αὐτῶν, ἐν ᾗ πέτρα εὑρέθη καὶ πηγάδιον ποτὲ παλαιὸν, καὶ ἐλαξεύθησαν παρ' ἡμῶν γράμματα, δηλοῦντα· ὅρος Λέμβων. ὁδεύει πρὸς μεσημβρίαν τὸν αἰγιαλὸν, καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ἀκρωτηρίου τοῦ ἁγίου Θεοδώρου, ἐν ᾧ ἐν μιᾷ τῶν ἐκεῖσε πετρῶν [ῥι]ζιμαίων ἐλαξεύσαμεν γράμματα ὅμοια, κρατῶν τὸν αὐτὸν ἀέρα καὶ αἰγιαλὸν καὶ ἀπέρχεται μέχρι τοῦ ποταμοῦ τοῦ προαστείου καλουμένου Δημοσίου κατερχομένου καὶ τῆς ἐν αὐτῷ γενομένης εἰσροῆς τοῦ ὕδατος τοῦ θαλασσιαίου, κρατῶν καὶ αὖθις τὸν αὐτὸν ἀέρα καὶ αἰγιαλὸν, καὶ ἀπέρχεται μέχρι καὶ τῆς ἐμβάσεως τοῦ ποταμοῦ τοῦ λεγομένου Μεσαίου καὶ εἰσάγοντος ἀπὸ τῆς θαλάσσης τὸ ὕδωρ εἰς τὰς νῦν εὑρεθείσας ἅλυκας τὰς ὑπὸ τὸ περιοριζόμενον, ἐν αἷς ἁλυκαῖς καὶ ἐστήσαμεν στήλην διὰ μαύρης τετραγώνου πέτρας, ἐχούσης γράμματα ὅμοια. εἶτα ἐᾷ τὸν αὐτὸν ἀέρα καὶ αἰγιαλὸν καὶ στρέφεται πρὸς ἀνα-

τυλάς, διαιρῶν δεξιὰ μὲν τὰ δίκαια τοῦ προαστείου τοῦ ποτὲ ὄντος ὑπὸ τὴν ἁγίαν Σοφίαν, ἀριστερὰ τὰ περιοριζόμενα, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον, καὶ ἀπέρχεται μέχρι καὶ τῶν χωραφίων τοῦ Γουναροπούλου, ἐν οἷς καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας τετραγώνου, ἐχούσης γράμματα ὅμοια, κρατῶν καὶ αὖθις τὸν αὐτὸν ἀέρα, καὶ ἀπέρχεται μέχρι καὶ τοῦ τριόδου, ἐν ᾧ εὑρέθη καὶ παλαιὸς μαρμάρινος ὅρος, εἰς ὃν καὶ ἡμεῖς ἐνεκολάψαμεν γράμματα ὅμοια. ἔχεται καὶ αὖθις τοῦ αὐτοῦ ἀέρος, ὁδεύει τοῦτον ἐπὶ πολὺ κατ' εὐθεῖαν καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ἑτέρου μαρμαρίνου ὅρου, ἐν ᾧ καὶ ἐλαξεύσαμεν γράμματα ὅμοια. ἀπὸ τούτου γαμματίζει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, καὶ ἀπέρχεται μέχρι καὶ τοῦ παλαιοτράφου τοῦ κατ' εὐθεῖαν τοῦ βήματος τῆς ἐκκλησίας τῶν Ἁγίων Τεσσαράκοντα, στρέφεται πρὸς ἀνατολὰς, κρατῶν τὸν παλαιότραφον καὶ τὴν ὁδὸν τὴν ἀπερχομένην πρὸς τὸ Νύμφαιον, εἶτα περικλᾶθεται καὶ καταντᾷ μέχρι καὶ τῆς τάφρου, ἐᾷ τὴν ὁδὸν, περιειλεῖ μικρὸν πρὸς ἄρκτον, ἀνατολικὸν, στρέφεται αὖθις πρὸς ἀνατολὰς, κρατῶν τὴν λοφώδη τάφρον, διαιρῶν ὁμοίως, καὶ ἀπέρχεται τοῦ ἑτέρου ὅρου τοῦ διὰ ἡμίσεως κιονίου ἱσταμένου μέσου τοῦ χωραφίου, τοῦ μέρους τῆς Πρινοβάρεως καὶ ἐπιλεγομένου Διακονίας καὶ τοῦ περιοριζομένου, ἐν ᾧ καὶ διὰ τὸ χωσθῆναι τὸν τοιοῦτον ὅρον καὶ μὴ φαίνεσθαι ἐστήσαμεν ἐπάνω αὐτοῦ στήλην διὰ μαύρης πέτρας, ἐχούσης γράμματα ὅμοια. ἐκεῖθεν αὖθις γαμματίζει πρὸς ἄρκτον, διαιρῶν δεξιὰ τὸ δηλωθὲν χωράφιον, ἀριστερὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται μέχρι καὶ τῆς τάφρου τοῦ Δρομῶνος τοῦ καλουμένου Βλάση καὶ ὑπὸ τὰ περιοριζόμενα. ἐκεῖθεν ἄρχεται τῆς τάφρου, στρέφεται πρὸς ἀνατολὰς, κρατεῖ ταύτην καὶ ἀπέρχεται μέχρι τῆς ὁδοῦ τῆς ἀπερχομένης ἀπὸ τοῦ χωρίου τοῦ Πρινοβάρεως εἰς τὴν Σμύρνην, κρατεῖ τὴν τοιαύτην ὁδὸν, καὶ ἀπέρχεται μέχρι τῆς πρὸς ἄρκτον ἀκρογωνίου ταύτης, διαιρῶν δεξιὰ μὲν τὰ δίκαια τῆς Πρινοβάρεως, ἀριστερὰ τὰ περιοριζόμενα, στρέφεται πρὸς δύσιν, κρατεῖ τὴν τάφρον, καὶ ἀπέρχεται μέχρι τοῦ διὰ κιονοκομμάτων ὅρου παλαιοῦ, ἐν ᾧ καὶ ἐλαξεύσαμεν γράμματα ὅμοια, περιειλεῖ πρὸς ἄρκτον, κρατεῖ τὸ ὡς σχῆμα τάφρου ἐν τῷ περιβολίῳ τοῦ Λανδρᾶ μέχρι τοῦ τέλους τούτου, ἔκτοτε στρέφεται πρὸς δύσιν, κρατεῖ τὴν χαμαιλὴν τάφρον τοῦ περιβολίου, καὶ ἀπέρχεται μέχρι τοῦ ἑτέρου ἀκρογωνίου ταύτης, περιειλεῖ καὶ αὖθις μικρὸν

πρὸς ἄρκτον, κρατεῖ τὴν τάφρον, καὶ ἀπέρχεται πρὸς ὀλίγον, εἶτα στρέφεται πρὸς ἀνατολάς, κρατεῖ τὴν τάφρον μέχρι τοῦ ἀκρογώνου ταύτης, γαμματίζει καὶ αὖθις πρὸς ἄρκτον, καὶ κρατεῖ τὴν τάφρον, διαιρῶν δεξιὰ διόλου τὰ δίκαια τοῦ χωρίου Πρινοβάρεως, ἀριστερὰ τὰ περιοριζόμενα, στρέφεται πρὸς ἀνατολάς, καὶ ἀπέρχεται τοῦ διὰ λίθου σταυροειδοῦς ὅρου τοῦ λεγομένου Σταυρωτοῦ, κλίνει πρὸς μεσημβρίαν, κρατεῖ τὴν τάφρον τὴν ὡς ἐν σχήματι ῥυακίου, καὶ ἀπέρχεται πρὸς ὀλίγον, στρέφεται καὶ αὖθις πρὸς δύσιν, κρατεῖ τὴν τάφρον, καὶ ἀπέρχεται μέχρι τοῦ ἀκρογώνου τοῦ χωραφίου τοῦ παπᾶ Προκοπίου τοῦ ὑπὸ τὰ δίκαια τῆς Πρινοβάρεως, αὖθις στρέφεται πρὸς ἄρκτον, ὁδεύει κατ' εὐθεῖαν, κρατεῖ τὴν τάφρον, καὶ ἀπέρχεται μέχρι τῶν προπόδων τοῦ βουνοῦ, ἔνθα διὰ λίθων πολλῶν ῥιζιμαίων λόφωμά τι ἐστὶν, ἀναφορᾷ πρὸς ἄρκτον, διαιρῶν τὰ δίκαια τῆς Πρινοβάρεως, ἀριστερὰ τὰ περιοριζόμενα, ἃ καὶ ἀπέρχεται μέχρι τῆς τοποθεσίας τῆς ἐπιλεγομένης τῶν Καλυβίων τῆς Μανικαραίας, ἔνθα εὑρέθησαν κατὰ γῆς κείμεναι ῥιζιμαῖαι σεμναὶ πέτραι, καὶ ἐν μιᾷ τούτων ἐγκεκολαμμένα ἀπὸ παλαιοῦ γράμματα δηλοῦντα· ὅρος Μήλων, ἐν ᾗ πέτρᾳ καὶ παρ' ἡμῶν ἐλαξεύθησαν γράμματα δηλοῦντα· ὅρος Λέμβου. ἀπὸ τῆς εἰρημένης τοποθεσίας κλίνει πρὸς δυτικώτερον ἄρκτον, ἐῶν δεξιὰ τὰ τῆς Πρινοβάρεως δίκαια, ἀριστερὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται μέχρι τοῦ ἀκροβουνου, ἔνθα ἦσαν ποτὲ παλαιὰ κουμάσσια τοῦ Προστάτου καὶ τοῦ Βλαττεροῦ, ἔνθα εὑρέθησαν καὶ ἐν μιᾷ τῶν ἐκεῖσε ῥιζιμαίων μεγάλων πετρῶν γράμματα ἀπὸ παλαιοῦ δηλοῦντα· ὅρος βασιλικός, ἐν ᾗ πέτρᾳ καὶ παρ' ἡμῶν ἐλαξεύθησαν γράμματα δηλοῦντα· ὅρος Λέμβου. στρέφεται καὶ αὖθις πρὸς ἀνατολὰς πρὸς ὀλίγον, καὶ περᾷ τὸ ἐκεῖσε χειμερινὸν ῥυάκιον ἀνωφορῶν, καὶ ἀνέρχεται τῆς κορυφῆς τοῦ βουνοῦ τοῦ λεγομένου Μαζοχόρτου, στρέφεται πρὸς δύσιν, κρατῶν τὴν ῥάχιν ἐπὶ πολὺ, διαιρῶν δεξιὰ μὲν τὰς καταρρεύσεις τῶν ὀμβριμαίων ὑδάτων πρὸς τὰ δίκαια τοῦ προαστείου Τηγανίων τῆς μητροπόλεως Σμύρνης, ἀριστερὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται μέχρι τῆς κορυφῆς τοῦ ξυλοκάστρου, περιειλεῖ πρὸς μεσημβρίαν κατωφερὲς, καὶ ἀπέρχεται μέχρι τοῦ ἄνωθεν ῥηθέντος ῥυακίου τοῦ Σωματᾶ καὶ τοῦ αἰγιαλοῦ, ὅθεν καὶ ἤρξατο. ἐντὸς δὲ τοῦ τοιούτου περιόρου καὶ τοῦ αναγεγραμμένου χωρίου τῆς Βάρης ἤτοι τῶν Μήλων κέκτηται ἡ μονὴ μετόχιον τὸν ἅγιον Γεώργιον, ἐν ᾧ καὶ ἀνῳκοδο-

μηθησαν κελλία παρὰ τῶν μοναχῶν εἰς καταμονὴν αὐτῶν καὶ ἄλλοτα εἰς τὴν τῶν ζῴων αὐτῶν ἀνάπαυσιν. κατεφύτευσαν δὲ οἱ αὐτοὶ μοναχοὶ σύνεγγυς καὶ πλησίον τοῦ αὐτοῦ μετοχίου καὶ ἐντὸς τῶν δικαίων καὶ τῆς περιοχῆς τοῦ τοιούτου χωρίου καὶ ἀμπέλιον μοδίων θαλασσιαίων δεκαπέντε. ἐντὸς τοῦ περιόρου τοῦ τοιούτου χωρίου εὑρέθησαν καὶ ἐκκλησίαι δύο, ἡ μὲν μία δρομικὴ εἰς ὄνομα ἱδρυμένη τῆς ἁγίας Μαρίνης, ἐν ᾗ καὶ προσκάθηνται μοναχοὶ τρεῖς, ἡ ἑτέρα δὲ ὁ ἅγιος Θεόδωρος, ἐν ᾗ προσκάθηται μοναχὸς εἷς. εὑρέθη καὶ ἑτέρα ἐκκλησία κεχαλασμένη εἰς ὄνομα ποτὲ ἱδρυμένη τοῦ ἁγίου Ἰωάννου, ἧς πλησίον ἐστὶ καὶ σχῆμα χειμερινοῦ μυλοστασίου καὶ ποταμὸς ὁ κατερχόμενος ἀπὸ τοῦ χωρίου τῶν Μήλων ὁ ἐπιλεγόμενος Δημοσιάτης, ἐν ᾧ καὶ εἰσροὴ γίνεται θαλασσιαίου ὕδατος καὶ ἀγρεύονται κατὰ καιροὺς καὶ ἰχθύες. ἐπεκτήσατο ἡ τοιαύτη μονὴ ἐξ οἰκείων ἐξόδων καὶ κόπων καὶ τὸ ἐν τῇ λαγκάδι τοῦ κατὰ τὴν Σμύρνην θαλαττιαίου κόλπου βιβάριον τὸ ἐπιλεγόμενον ὁ Γῦρος σὺν τῇ ἐξ ἀνέμου καὶ τοῖς αὐλακίοις, ὅπερ ἦν ποτὲ ἀχρήσιμον, πορισθέντος αὐτῇ χάριν τούτου καὶ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ. ὁ δὲ περιορισμὸς τοῦ τοιούτου βιβαρίου ἔχει οὕτως· ἄρχεται ἀπὸ τοῦ αὐλακίου τοῦ ἐπιλεγομένου τοῦ Ὀφικίνου καὶ ἀπέρχεται μέχρι καὶ τῆς λάμπης τοῦ Κουρτίκη. ἡ αὐτὴ μονὴ τῶν Λέμβου κέκτηται καὶ ἀμπέλιον εἰς τὸ χωρίον τὴν Δροῦν μοδίων ἐγχωρίων δώδεκα ἐν δυσὶ τοποθεσίαις, περιελθόντα αὐτῇ ἐκ προσενέξεως τοῦ Κομνηνοῦ κῦρ Δαυίδ, εἰς ἃ δὴ ἀμπέλια διὰ τὸ εἶναι ταῦτα ἀπημέλητα καὶ σχεδὸν ἠφανισμένα κατεβάλλοντο οἱ μοναχοὶ καὶ ἐξόδους οὐκ ὀλίγας καὶ κόπους καὶ ἐβελτίωσαν ταῦτα. ὡσαύτως κέκτηται εἰς τὸ αὐτὸ χωρίον τὴν Δροῦν ἡ αὐτὴ μονὴ ἐκ προσενέξεως τοῦ ἱερομονάχου Μαξίμου ἀμπέλιον μοδίων δύο ἐν τῇ τοποθεσίᾳ τοῦ Ἀληθινοῦ ἀτελῶς πάντη καὶ ἀβαρῶς. ἡ αὐτὴ μονὴ τῶν Λέμβου ἐξκουσσεύει διὰ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ καὶ χρυσοβούλλου καὶ τὸ ἐννόμιον τῶν ζῴων τῶν παροίκων τοῦ ἀναγεγραμμένου χωρίου τῶν Μήλων, ἀλλὰ δὴ καὶ τὸ ἐννόμιον τῶν οἰκείων ζῴων αὐτῆς, ὡσαύτως καὶ τὸν ἀέρα τοῦ αὐτοῦ χωρίου, διεφενδεύει δὲ καὶ τοὺς τοιούτους παροίκους ἀπὸ πάσης καὶ παντοίας ἀγγαρείας, παραγγαρείας, ζημίας, καστροκτισίας, κατεργοκτισίας, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς, στυπαξεύγγου, καννάβεως, ὑγροπίσσου, καύσεως καρβωνίων, μιτάτου καταθέσεως καὶ ἀπλήκτου,

δουκικῆς καὶ κατεπανικῆς χρείας, ἐξελάσεως πλωΐμων καὶ κονταράτων, ἀπαιτήσεως συνδοσιῶν, δόσεως προβάτων, ἐξελάσεως ζευγοαμαξιῶν, ἀπαιτήσεως ἀρμενοπάννων καὶ καζακάδων καὶ πάσης ἄλλης οἱασδήτινος ἐπηρείας. ὡσαύτως δεφενδεύει ἡ τοιαύτη μονὴ διὰ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ καὶ χρυσοβούλλου καὶ τὸ βιβάριον αὐτῆς ἀπό τε τοῦ βιβαροπάκτου, προσκυνητικίου, ὀψωνίου, ἐξελάσεως πλωΐμων καὶ λοιπῶν ἑτέρων συνηθειῶν τῶν ἐτησίως ἀπὸ τῶν βιβαρίων ἀπαιτουμένων. τῆς τοιαύτης οὖν ἐγγράφου ἀποκαταστάσεως καὶ πράξεως παρ' ἡμῶν γεγονυίας τῆς καὶ ἀρκεῖν ὀφειλούσης τῇ τοιαύτῃ μονῇ ἀντὶ πρακτικοῦ καὶ περιόρου διὰ τῆς συνήθους ὑμετέρας ὑπογραφῆς καὶ μολυβδίνης βούλλης ὑποσημηνάμενοι ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ τῶν Λέμβου εἰς ἀσφάλειαν μηνὶ μαρτίῳ ἰνδικτιῶνος η' ἔτους ςφμγ' †.

† Εἶχε καὶ ὑπογραφήν· † Ὁ δοῦλος καὶ σύγγαμβρος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ στρατοπεδάρχης τοῦ θέματος τῶν Θρακησίων καὶ Φιλαδελφείας Μιχαὴλ ὁ Φωκᾶς †.

III. 6743—1235, mense iunio, ind. VIII.

Aurea bulla imp. Ioannis Ducae Vatatzae de possessionibus monasterii.

† Ἡ εἰς τὸ κατὰ τὴν Σμύρνην ὄρος τὸ ἐπιλεγόμενον τὰ Λέμβου μονὴ ὑπὸ πολλοῦ τοῦ χρόνου πεπονηκυῖα εἰς τοῦτο κατήντησεν ἐπιτριβῆς τε καὶ ἀφαντώσεως, ὡς μηδὲ ψιλὸν ὄνομα τὸ ποτὲ μονὴν εἶναι αὐτὴν περισώζεσθαι, ἀλλὰ μόνον εὐσημοτέραν εἶναι τῶν ἐκεῖσε δρυῶν ἢ λίθων ἢ τινὸς ἄλλης ἐπισημασίας, ὅσαι τόπων ἐνσημαίνουσιν ἰδιότητας· ὁ ἱερὸς καὶ γὰρ ἐσώζετο σηκὸς μόνος, καὶ οὗτος πολὺ τὸ ἐξίτηλον καὶ ἀμυδρὸν δεδυστυχηκώς. ἀλλ' ἦν ἑτέρωθεν ὁ χῶρος ὑπολαλῶν μυρία τὰ ἐκ τῆς ἡσυχίας αὐτὸν πεπλουτηκέναι καλά, δι' ἃ καὶ τὴν μονὴν συστῆναι τὰ πρῶτα τῇ βασιλείᾳ μου ἔδοξε. δι' αὐτὰ δὲ καὶ αὖθις οὐ φωναῖς, ἀλλὰ πράγμασιν αὐτοῖς ἀπλέτων φωνῶν δραστικωτέροις παρεκάλει τὴν καινουργίαν, διὸ καὶ ἡ βασιλεία μου περιέστησεν αὐτὴν εἰς τὸ νῦν ὁρώμενον εἶδος, ἔν τε τῇ τοῦ ναοῦ φιλοκαλίᾳ, τῇ καταστάσει τῶν κελλίων, οἷς τε εἰς καταμονὴν χρῶνται οἱ

ἐνασκούμενοι καὶ οἷς εἰς ταμεῖα τῶν ἐν αὐτοῖς χρειωδῶν καὶ οἷς ἑτέροις πολυειδέσιν ὑπηρετοῦνται, καὶ μοναχοὺς ἐκάθισεν ἐν αὐτῇ καὶ τρόπους, ἐξ ὧν αὐτοῖς ὁ πορισμὸς τοῦ ζῆν ἐχορήγησε, καὶ χρυσόβουλλος λόγος αὐτοῖς προσαπελύθη τῆς βασιλείας μου, διαλαμβάνων τὴν ἐπιγεγενημένην τῇ μονῇ κατάστασιν ἐπὶ τούτοις· ἀλλὰ τοῦ χρόνου προκόπτοντος καὶ τῶν κατὰ τὴν μονὴν συμπροκοπτόντων καὶ συνεπιδιδόντων τῷ χρόνῳ, δέον ἦν καὶ τοὺς περὶ αὐτὰ συνεξαλλοιοῦσθαι λόγους, εἰ μέλλουσι τὴν τῶν πραγμάτων ἀλήθειαν ἀφηγεῖσθαι καὶ μὴ χειρόνως ἢ κρειττόνως ἐξαγγέλλειν αὐτά, ἀλλὰ κατὰ τὴν εἰκονογράφον τέχνην τὴν τὰς ὑπάρξεις τῶν πραγμάτων διαμορφοῦσαν, ὡς ἔχουσι, καὶ πρὸς τὸ ἀληθὲς αὐτὰ ἐξινδάλλουσαν. ἐπεὶ γοῦν ἐπέκεινα τῶν ἐμπεριειλημμένων τῷ προτέρῳ χρυσοβούλλῳ τῆς βασιλείας μου πραγμάτων τῆς μονῆς προσεπεκτήθησαν ταύτῃ καὶ ἕτερα, τὰ μὲν δι' ὁρισμῶν τῆς βασιλείας μου, τὰ δε ἐξ ἀγορασίας, τὰ δὲ καὶ ἀπὸ προσενέξεων, καθὼς ὁ καθ' ὁρισμὸν τῆς βασιλείας μου γεγονὼς τῇ μονῇ ἔγγραφος περίορος παρὰ τοῦ περιποθήτου συγγάμβρου τῆς βασιλείας μου, στρατοπεδάρχου τοῦ θέματος τῶν Θρακησίων καὶ τῆς Φιλαδελφείας, κυροῦ Μιχαὴλ τοῦ Φωκᾶ, διατρανοῖ, καὶ ἐδεήθησαν τῆς βασιλείας μου οἱ μοναχοὶ διὰ ἑτέρου περιεκτικωτέρου χρυσοβούλλου τῆς βασιλείας μου περισχεθῆναι ταῦτα πάντα, ἃ καὶ εἰσὶ ταῦτα· ἐντὸς τοῦ περιόρου τῆς μονῆς προάστειον τὸ ἐπιλεγόμενον τὰ Σφούρνου, ὅπερ περιῆλθε τῇ μονῇ ἐκ προσενέξεως τοῦ Καλοειδᾶ Γεωργίου. ἐν τῷ αὐτῷ προαστείῳ ὑδρομυλικὸν ἐργαστήριον ὁλοκαιρινὸν καὶ περιβόλιον μετὰ δένδρων ὀπωροφόρων, ἅπερ ἐπεκτήσατο ἡ μονὴ ἐξ οἰκείων ἐξόδων. εἰς τὸ χωρίον τὴν Μάνταιαν μετόχιον ὁ ἅγιος Παντελεήμων, περιελθὸν αὐτῇ ἐκ προσενέξεως Ἀλεξίου ἱερέως τοῦ Τεσαΐτου καὶ τοῦ μοναχοῦ Μαξίμου. ἔχει τὸ τοιοῦτον μετόχιον καὶ ἐκκλησίαν ἑτέραν ἐπ' ὀνόματι τῆς ὑπεραγίας Θεοτόκου καὶ γύρωθεν κελλία καὶ αὐλήν, δένδρα ὀπωροφόρα διάφορα καὶ γῆν ὕπεργον. ἔχει τὸ αὐτὸ μετόχιον καὶ δένδρα ἐλαϊκὰ καὶ χωράφια διακείμενα εἰς τὴν Μάνταιαν, περιελθόντα τῇ μονῇ ἐκ προσενέξεως τῶν ἀπὸ τῆς Μανταίας χωριτῶν τῶν ὀνομαστὶ δηλουμένων ἐν τῷ περιόρῳ, καὶ αὐλὴν περιωρισμένην μετὰ κελλίου ἑνὸς καὶ ἐκκλησίας ἀσκεποῦς, χωράφιον σύνεγγυς τῆς τοιαύτης αὐλῆς ἔχον καὶ δένδρα ἐλαϊκά, κατεχόμενον παρὰ τῆς μονῆς ἐξ ἀμνημονεύτων χρόνων. ἐν τῇ τοποθεσίᾳ

τοῦ Καζουριῶνος δένδρα ἐλαϊκὰ δώδεκα καὶ ἀπιδέαι τέσσαρες, ἅτινα καὶ προσήρμοσαν τῇ μονῇ ἀνέκαθεν. ἐν τῇ τοποθεσίᾳ τοῦ Φοίνικος δένδρα ἐλαϊκὰ πεντηκονταοκτώ, περιελθόντα ταύτῃ ἐξ ἀγορασίας ἀπὸ τοῦ Κακαβᾶ. ἔχει ἡ μονὴ μετόχιον ἀπὸ δωρεᾶς τῆς βασιλείας μου διακείμενον πλησίον τοῦ κάστρου τῆς Σμύρνης ἐπ' ὀνόματι τοῦ ἁγίου Γεωργίου, ὄπισθεν τῆς ἐκκλησίας τοῦ τοιούτου μετοχίου περιβόλιον ἰδιοπεριόριστον, ἔχον συκαμινέας καὶ ἕτερα δένδρα ὀπωροφόρα διάφορα, ἔμπροσθεν τῆς αὐτῆς ἐκκλησίας ἀμπέλιον. ἔσωθεν τοῦ τείχους· τοῦ Παλαιοκάστρου τῆς Σμύρνης χωράφιον, περιελθὸν τῇ μονῇ ἐκ προσενέξεως τῆς μοναχῆς Ἀγγελίνας, παρακάτωθεν τοῦ χωραφίου τοῦ Τζυκανδάλη ἕτερον χωράφιον περιελθὸν ταύτῃ ἐξ ἀγορασίας. ἔχει ἡ τοιαύτη μονὴ ἀπὸ δωρεᾶς τῆς βασιλείας μου τὴν κατὰ τὸν κάμπον τοῦ Μεμανιωμένου γῆν τὴν ὑπὸ τὸ ζευγηλατεῖον τῶν Παλατίων πρώην τελοῦσαν, ἧς τὰ σημεῖα ῥητῶς δηλοῦνται ἐν τῷ προσόντι τῇ μονῇ περιόρῳ. ἐν τῷ αὐτῷ κάμπῳ τοῦ Μεμανιωμένου καὶ προάστειον τὸ ἐπιλεγόμενον τοῦ Ἀσάνη. πλησίον καὶ γύρωθεν τῶν Παλατίων ἕτερα χωραφιαῖα τόπια ὄπεργα καὶ νομαδιαῖα ὑπὸ τὰ δίκαια τῶν Παλατίων καὶ λιβάδιον τὸ ἐπιλεγόμενον τῶν Ἀββάδων. ἔχει ἡ μονὴ ἐντὸς τῆς τῶν Παλατίων περιοχῆς καὶ περιβόλιον περιελθὸν αὐτῇ ἀπὸ δωρεᾶς τῆς βασιλείας μου. χωρίον ἡ Βάρη ἤτοι τὰ Μῆλα σὺν τοῖς ἐν αὐτῷ προσκαθημένοις παροίκοις καὶ τῷ δημοσίῳ ἀνεπιγνώστοις καὶ τοῖς ἐν τῇ Σμύρνῃ προσκαθημένοις παισὶ τῆς Μηλοῦς διὰ ὑπηρεσίαν καὶ χρῆσιν τῶν μοναχῶν, ὅπερ ἐδωρήθη τῇ μονῇ δι' ὁρισμοῦ τῆς βασιλείας μου. ἐν τῷ αὐτῷ χωρίῳ δύο ἐξηλειμμέναι στάσεις ἤτοι τοῦ Σπανοῦ καὶ τοῦ Μηνωνάρι, ἀλλὰ δὴ καὶ χωράφια ἀπὸ τῶν Γουναροπούλων. ἐν τῇ γῇ τῶν Παλατίων παρεδόθησαν τῇ μονῇ διὰ πρακτικοῦ τοῦ ῥηθέντος κυροῦ Μιχαὴλ τοῦ Φωκᾶ καὶ ξένοι εἰς συγκρότησιν τῶν δουλειῶν τῶν μοναχῶν. ἐντὸς τοῦ τοιούτου χωρίου μετόχιον ὁ ἅγιος Γεώργιος, ἐν ᾧ καὶ κελλία. σύνεγγυς καὶ πλησίον τούτου κατεφυτεύθη παρὰ τῶν μοναχῶν καὶ ἀμπέλιον. ἐν τῇ περιοχῇ τοῦ αὐτοῦ χωρίου τῶν Μήλων καὶ ἐκκλησίαι δύο, ἡ μὲν μία δρομικὴ εἰς ὄνομα τῆς ἁγίας Μαρίνης ἱδρυμένη, ἡ δὲ ἑτέρα ὁ ἅγιος Θεόδωρος. ἑτέρα ἐκκλησία κεχαλασμένη ὁ ἅγιος Ἰωάννης, ἧς πλησίον ἐστὶ καὶ σχῆμα χειμερινοῦ μυλοστασίου καὶ ποταμὸς ὁ κατερχόμενος ἀπὸ τοῦ χωρίου τῶν Μήλων ὁ ἐπιλεγόμενος Δημοσιάτης, ἐν ᾧ καὶ εἰσροὴ γί-

νεται θαλασσίου ὕδατος καὶ ἀγρεύονται κατὰ καιροὺς καὶ ἰχθύες. ἐπεκτήθη τῇ μονῇ ἐξ οἰκείων ἐξόδων καὶ κόπων τὸ ἐν τῇ λαγκάδι τοῦ κατὰ Σμύρνην θαλαττιαίου κόλπου βιβάριον τὸ ἐπιλεγόμενον ὁ Γῦρος σὺν τῇ ἐξ ἀνέμου καὶ τοῖς αὐλακίοις, χορισθέντος περὶ τούτου τῇ μονῇ καὶ ὁρισμοῦ τῆς βασιλείας μου. εἰς τὸ χωρίον τὴν Δρουν ἀμπέλιον ἐν δυσὶ τοποθεσίαις, ὡσεὶ μοδίων ἐγχωρίων δώδεκα, περιελθόντα ταύτῃ ἐκ προσενέξεως τοῦ Κομνηνοῦ κυροῦ Δαυίδ. εἰς τὸ αὐτὸ χωρίον ἕτερον ἀμπέλιον μοδίων δύο, περιελθὸν ταύτῃ ἐκ προσενέξεως τοῦ ἱερομονάχου Μαξίμου. ἡ βασιλεία μου τῇ δεήσει τῶν μοναχῶν προσχοῦσα καὶ τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων ἐχορήγησε, δι' οὗ καὶ παρακελεύεται, ἀπαρασπάστως πάντη καὶ ἀμετακινήτως καὶ κατὰ τὸν τῆς δεσποτείας λόγον κατέχειν τὴν μονὴν πάντα τὰ ἀνωτέρω ῥητῶς δεδηλωμένα καὶ τὴν ἐκ πάντων εἴσοδον ἀποφέρεσθαι καὶ ἐξκουσσεύειν αὐτὰ καὶ οὓς ἔχει ἡ μονὴ παροίκους καὶ ἑτέρους ξένους καὶ τῷ δημοσίῳ ἀνεπιγνώστους ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας, ἤγουν ἀγγαρείας, ζημίας, φωμοζημίας, καστροκτισίας, κατεργοκτισίας, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς, στυπαξούγγου, καννάβεως, ὑγροπίσσου, καύσεως καρβωνίου, μιτάτου καταθέσεως καὶ ἀπλήκτου, χρείας δουκικῆς καὶ κατεπανικῆς, ἐξελάσεως πλωΐμων καὶ κονταράτων, ἀπαιτήσεως συνδοσιῶν, δόσεως προβάτων, ἐξελάσεως ζευγοκμαξιῶν, ἀπαιτήσεως ἀρμενοπάνων καὶ καζακάδων, ἀέρος, ἐννομίου τῶν οἰκείων ζώων τῆς μονῆς καὶ τῶν ζώων τῶν παροίκων καὶ πάσης ἄλλης ὁποιασδήτινος ἐπηρείας καὶ συζητήσεως, κἂν μὴ ῥητῶς αὕτη ἐξεφωνήθη ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου. κατὰ γὰρ τὸ καθόλου τῆς ἐξκουσσείας κεφάλαιον ἡ βασιλεία μου εὐδοκεῖ ἐξκουσσεύεσθαι πάντα τὰ τῇ τοιαύτῃ μονῇ διαφέροντα, ἀλλὰ δὴ καὶ τὸ ταύτης βιβάριον ἀπό τε βιβαροπάκτου, προσκυνητικίου, ζητήσεως πλωΐμων καὶ λοιπῶν ἑτέρων συνηθειῶν τῶν ἐτησίως ἀπὸ τῶν βιβαρίων ἀπαιτουμένων. διὰ γὰρ τοῦτο ἐπεβραβεύθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῶν Λέμβου εἰς ἀσφάλειαν αὐτῆς αἰωνίζουσαν καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ τὸν Ἰούνιον μῆνα τῆς ὀγδόης ἰνδικτιῶνος καὶ τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ τεσσαρακοστοῦ τρίτου ἔτους, ἐν ᾧ

καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †

† Εἶχε τό· Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Δούκας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

IV. 6760—1251, mense septembri, ind. X.

Aurea bulla imp. Ioannis Ducae Vatatzae, qua confirmat privilegia monasterii.

† Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης, οἶκος δὲ ἄρα Κυρίου ἐστὶν ἡ βασίλισσα καὶ ὑπέραγνος μήτηρ αὐτοῦ, τὸ τερπνὸν παλάτιον τοῦ παμβασιλέως Θεοῦ καὶ ὁ θρόνος ὁ τῆς τούτου μεγαλειότητος, οὗ ἡ τῆς καθαρότητος καὶ τοῦ κάλλους εὐπρέπεια πολὺ τὸ ἀσύγκριτον καὶ ὑπὲρ τῶν ἀΰλων τάξεων κέκτηται. καὶ διὰ τοῦτο κατὰ τὸν προφήτην ἐπιθυμήσας τοῦ ταύτης κάλλους ὁ βασιλεὺς κατέβη ὡς ὑετὸς ἐπὶ πόκῳ, καὶ ὡς τόπῳ ἐκλελεγμένῳ καὶ ἀφιερωμένῳ ταύτην αὐτῷ σκήνωμα τῆς τούτου ὡραιότητός τε καὶ δόξης εἰργάσατο. ταύτην ἡ βασιλεία μου ἠγάπησε μὲν καὶ ὡς μητέρα Θεοῦ, καθὰ καὶ χρέος τοῦτο μέγα χριστιανοῖς, ἠγάπησε δὲ καὶ ὡς ὑπερασπιστὶν καὶ ὑπέρμαχον οὖσαν τῆς βασιλείας μου, ὡς ἀνάδοχον ταύτης τῆς πρὸς ἀνάβασιν τελείας ἀνδρότητος καὶ ὡς χρεὼν ἑτέρων πολλῶν τῶν πρὸς αὐτὴν ὀφειλέτιν οὖσαν τῆς βασιλείας μου. ἀμέλει τοι καὶ τῇ κατὰ τὴν Σμύρνην ὄρος τὸ ἐπιλεγόμενον τῶν Λέμβου σεβασμίᾳ μονῇ τῇ ἐπ' ὀνόματι τῆς θεομήτορος ἐνιδρυμένῃ καὶ τιμωμένῃ τῇ πρὸ χρόνων ἤδη τριάκοντα καὶ τεσσάρων ὑπὸ τοῦ μακροῦ χρόνου πονησάσῃ καὶ συντριβείσῃ καὶ εἰς τοῦτο καταντησάσῃ ὡς μικροῦ δεῖν καὶ εἰς ἀφάντωσιν παντελῆ γενέσθαι, τὰ κατ' αὐτὴν τῷ μακαρίτῃ πάππῳ τῆς βασιλείας μου δῆλα γενόμενα ταῦτα εἰς μονὴν καὶ πάλιν συστῆναι τὰ πρῶτα ἔδοξεν ἐκείνῳ. καὶ τῇ βουλήσει καὶ τὸ ἔργον καθείπετο, πολλὰ φιλοτιμησαμένῳ περὶ τῆς καινουργήσεως καὶ ἀνακαινίσεως τῆς τοιαύτης μονῆς καὶ εἰς τὸ νῦν ὁρώμενον εἶδος περιστήσαντι αὐτὴν καὶ τρόπους δ' ἐξ ὧν οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοὶ πορισμοὺς ζωῆς ἔχουσιν, ἐχορήγησε ταύτῃ

καὶ χρυσοβουλλίοις λόγοις τούτου δυσὶν ἅπαντα τὰ κατ' αὐτὴν περιεθρίγγωσε καὶ ὡς τείχοις κατωχυρώσατο. καὶ ἣν μὲν ἡ εἰρημένη μονὴ κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ χρυσοβούλλων καὶ ὁρισμῶν τῶν ἀοιδίμων βασιλέων, τοῦ τε πάππου καὶ πατρὸς τῆς βασιλείας μου κατέχουσα καὶ νεμομένη πάντα τὰ προσκυρωθέντα αὐτῇ· εἰς δέ γε πλείονα ἀσφάλειαν αὐτῶν καὶ ἑδραίωσιν ἡ βασιλεία μου τὸ μὲν διὰ τὴν ἣν ὡς εἴρηκεν ἀγάπην ὅτι κέκτηται πρὸς τὴν οἰκοκυρίαν ταύτης τὴν θεομήτορα, τὸ δὲ καὶ διὰ τὸ τὴν τοιαύτην μονὴν ἀνανεωθῆναι καὶ καινουργηθῆναι παρὰ τοῦ ἀοιδίμου αὐθέντου καὶ πάππου τῆς βασιλείας μου τοῦ βασιλέως, τὸν παρόντα χρυσόβουλλον λόγον ἐπορέγει αὐτῇ, δι' οὗ καὶ διορίζεται ἔχειν τὸ στέργον καὶ ἀπαρέγκλιτον τὰ προσόντα τῇ τοιαύτῃ μονῇ χρυσόβουλλά τε καὶ ὁρισμούς, ἀλλὰ δὴ καὶ τὸν ὅρον τὸν παρὰ τοῦ Φωκᾶ ἐκείνου γεγονότα καὶ τὰ λοιπὰ δικαιώματα καὶ κατέχειν τὸ μέρος τῆς τοιαύτης μονῆς καὶ νέμεσθαι ἀδιασείστως, ἀνενοχλήτως καὶ ἀναφαιρέτως ἅπαντα τὰ ἐν αὐτοῖς ἐμπεριειλημμένα, ἃ καὶ ἔχουσιν οὕτως· προάστειον ἐντὸς τοῦ περιόρου τῆς μονῆς τὸ ἐπιλεγόμενον τὰ Σφούρνου, ὅπερ περιῆλθεν αὐτῇ ἐκ προσενέξεως τοῦ Καλοειδᾶ Γεωργίου, ὑδρομυλικὸν ἐργαστήριον ἐν αὐτῷ καὶ περιβόλιον μετὰ δένδρων ὀπωροφόρων, ἅπερ ἐπεκτήσατο ἡ μονὴ ἐξ οἰκείων ἐξόδων. εἰς τὸ χωρίον τὴν Μάνταιαν μετόχιον ὁ ἅγιος Παντελεήμων, περιελθὸν αὐτῇ ἐκ προσενέξεως Ἀλεξίου ἱερέως τοῦ Τεσαΐτου καὶ τοῦ μοναχοῦ Μαξίμου. ἐν τῷ αὐτῷ μετοχίῳ δένδρα ὀπωροφόρα διάφορα καὶ ἐλαϊκά, γῆ ὕπεργος καὶ χωράφια διακείμενα εἰς τὴν Μάνταιαν, περιελθόντα τῇ μονῇ ἐκ προσενέξεως τῶν ἀπὸ τῆς Μανταίας χωριτῶν. χωράφιον σύνεγγυς τῆς τοιαύτης αὐλῆς ἔχον καὶ δένδρα ἐλαϊκά. ἐν τῇ τοποθεσίᾳ τοῦ Καζουριῶνος δένδρα ἐλαϊκὰ δώδεκα καὶ ἀπιδέαι τέσσαρες. ἐν τῇ τοποθεσίᾳ τοῦ Φοίνικος δένδρα ἐλαϊκὰ πεντηκονταοκτώ, περιελθόντα ταύτῃ ἐξ ἀγορασίας ἀπὸ τοῦ Κακαβᾶ. μετόχιον ἀπὸ δωρεᾶς τοῦ πάππου τῆς βασιλείας μου, διακείμενον πλησίον τῆς Σμύρνης ἐπ' ὀνόματι τοῦ ἁγίου Γεωργίου, ἐν ᾧ καὶ περιβόλιον ἰδιοπεριόριστον, ἔχον συκαμινέας, δένδρα ὀπωροφόρα καὶ ἀμπέλιον. ἔσωθεν τοῦ τείχους τοῦ Παλαιοκάστρου τῆς Σμύρνης χωράφιον περιελθὸν τῇ μονῇ ἐκ προσενέξεως τῆς μοναχῆς Ἀγγελίνης. ἕτερον χωράφιον περιελθὸν ταύτῃ ἐξ ἀγορασίας πλησίον τοῦ Τζυκανδύλη. γῆ ἀπὸ δωρεᾶς τοῦ πάππου τῆς

βασιλείας μου δοθεῖσα αὐτῇ. ἡ κατὰ τὸν κάμπον τοῦ Μεμανιωμένου καὶ ὑπὸ τὸ ζευγηλατεῖον τῶν Παλατίων πρώην τελοῦσα, ἧς τὰ σημεῖα δηλοῦνται ἐν τῷ προσόντι τῇ μονῇ περιόρφ. ἐν τῷ αὐτῷ κάμπῳ καὶ προάστειον τὸ ἐπιλεγόμενον τοῦ Ἀσάνη. ἕτερα χωραφιαῖα τόπια πλησίον τῶν Παλατίων ὕπεργα καὶ νομαδιαῖα. ὑπὸ τὰ δίκαια τῶν Παλατίων καὶ λιβάδιον τὸ ἐπιλεγόμενον τῶν Ἀββάδων. ἐντὸς τῆς τῶν Παλατίων περιοχῆς περιβόλιον, περιελθὸν αὐτῇ ἀπὸ δωρεᾶς τοῦ πάππου τῆς βασιλείας μου. χωρίον ἡ Βάρη ἤτοι τὰ Μῆλα σὺν τοῖς ἐν αὐτῷ προσκαθημένοις παροίκοις καὶ τῷ δημοσίῳ ἀνεπιγνώστοις καὶ τοῖς ἐν τῇ Σμύρνῃ προσκαθημένοις παισὶ τῆς Μηλοῦς. ἐν τῷ αὐτῷ χωρίῳ δύο ἐξηλειμμέναι στάσεις τοῦ Σπανοῦ καὶ τοῦ Μηνωνάρη, ἀλλὰ δὴ καὶ χωράφια ἀπὸ τῶν Γουναροπούλων. ἐν τῇ γῇ τῶν Παλατίων ξένοι παραδοθέντες τῇ μονῇ διὰ πρακτικοῦ τοῦ ῥηθέντος κυροῦ Μιχαὴλ τοῦ Φωκᾶ. ἐντὸς τοῦ τοιούτου χωρίου μετόχιον ὁ ἅγιος Γεώργιος, ἐν ᾧ καὶ κελλία σύνεγγυς καὶ πλησίον τούτου ἀμπέλιον. ἐν τῇ περιοχῇ τοῦ αὐτοῦ χωρίου τῶν Μήλων ἐκκλησίαι δύο, ἡ μὲν μία εἰς ὄνομα ἱδρυμένη τῆς ἁγίας Μαρίνης, ἡ δὲ ἑτέρα ὁ ἅγιος Θεόδωρος. ἑτέρα ἐκκλησία κεχαλασμένη ὁ ἅγιος Ἰωάννης, ἧς πλησίον ἐστὶ καὶ σχῆμα χειμερινοῦ μυλοστασίου καὶ ποταμὸς ὁ κατερχόμενος ὁ ἐπιλεγόμενος Δημοσιάτης, ἐν ᾧ καὶ εἰσροὴ γίνεται θαλασσίου ὕδατος καὶ ἀγρεύονται κατὰ καιροὺς καὶ ἰχθύες. ἐπεκτήθη τῇ μονῇ ἐξ οἰκείων ἐξόδων καὶ κόπων τὸ ἐν τῇ λαγκάδι τοῦ κατὰ τὴν Σμύρνην θαλαττιαίου κόλπου βιβάριον τὸ ἐπιλεγόμενον ὁ Γῦρος σὺν τῇ ἐξ ἀνέμου καὶ τοῖς αὐλακίοις, ποριοθέντος περὶ τούτου τῇ μονῇ καὶ ὁρισμοῦ τοῦ πάππου τῆς βασιλείας μου. εἰς τὸ χωρίον τὴν Δροῦν ἀμπέλια ἐν δυσὶ τοποθεσίαις ὡσεὶ μοδίων ἐγχωρίων δώδεκα, περιελθόντα ταύτῃ ἐκ προσενέξεως τοῦ κυροῦ Δαυίδ. εἰς τὸ αὐτὸ χωρίον ἕτερον ἀμπέλιον μοδίων δύο, περιελθὸν ταύτῃ ἐκ προσενέξεως τοῦ ἱερομονάχου Μαξίμου. μετὰ δὲ τὴν περίληψιν τῶν εἰρημένων χρυσοβούλλων περιῆλθον τῇ μονῇ καὶ κατὰ δίκαιον λόγον ἕτερα ταῦτα· μετόχιον εἰς τοὺς Πλάνους μετὰ χωραφίων καὶ δένδρων ἐλαϊκῶν, περιελθὸν τῇ τοιαύτῃ μονῇ ἐκ προσενέξεως τοῦ Πλανήτου ἐκείνου τοῦ μοναχοῦ Μαξίμου. δένδρα ἐλαϊκὰ δεκαέξ, περιελθόντα ἐκ προσενέξεως τοῦ ἑτέρου Πλανήτου τοῦ Νικοδήμου, τὰ ἅπερ εἶχεν ὁ Πετρίτζης. ἕτερα δένδρα τοῦ αὐτοῦ Νικοδήμου ἐλαϊκὰ πέντε. μετόχιον ὁ ἅγιος Γεώργιος

ὁ Πασπαριώτης μετὰ νομαδιαίας γῆς καὶ καματηρᾶς. δένδρα ἐλαϊκὰ εἰς τὴν Μάνταιαν ἀπὸ τοῦ στίχου τοῦ Χαντέα καὶ ἐξ ἀγορασίας τοῦ Πορινᾶ καὶ μυλών. ἕτερος μυλὼν εἰς τὴν Βάρην ἀπὸ Ἰωάννου τοῦ Πονηροῦ. ἐντὸς τοῦ νέου κάστρου τῆς Σμύρνης ὀσπήτια ἰδιοπεριόριστα μετὰ ἐκκλησίας καὶ κινστέρνης μικρᾶς ἐξ ἀγορασίας ἀπὸ τοῦ Ταπεινοῦ. χωράφιον ἀπὸ τοῦ Βαρύχειρος καλούμενον εἰς τὸ μετόχιον τῶν Παλατίων. ἕτερον χωράφιον εἰς τὸν αὐτὸν τόπον ἀπὸ τῶν Κατζιβαρηνῶν ἐξ ἀγορασίας. χωράφιον εἰς τὸν Ἀσάνην ἀπὸ προσενέξεως χορᾶς Εἰρήνης τῆς Ἀγγελίνας. εἰς τὴν Βάρην χωράφιον ἀπὸ προσενέξεως τῆς Βραναίνης, ὃ καὶ ἀμπέλιον κατεφυτεύθη παρὰ τῶν μοναχῶν. ὁ εἰς τὴν Βάρην καθήμενος ἐξ Ἰουδαίων καὶ ὁ Πλανήτης Βασίλειος. χειρογρύπιον ὀφεῖλον ἐξκουσσεύεσθαι καὶ τοῦτο ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας. χωράφια καὶ ἀμπέλια τὰ ἐν ταῖς περιλήψεσι τῶν χρυσοβούλλων καὶ προσταγμάτων τῶν προσόντων αὐτοῖς περιγραφόμενα, ἅπερ ἐκράτει ὁ Πόθος καὶ ὁ Μαντειανὸς καὶ οἱ προσγενεῖς αὐτοῦ τὰ ἐπιλεγόμενα τὸ Δημόσιον. εἰς τὴν Μάνταιαν χωράφιον τὸ ἐπιλεγόμενον τοῦ ἁγίου Ἡλίου ἰδιοπεριόριστον ἐκ προσενέξεως τοῦ Γορδᾶ. καὶ ἐκ προσενέξεως τοῦ στίχου τοῦ Μαντειανοῦ χωράφια μοδίων δεκατριῶν, ἐν ᾧ καὶ ἀπιδέαι τρεῖς. ὡσαύτως ὀφείλει ἔχειν καὶ τὸ ὕδωρ τοῦ κατερχομένου ποταμοῦ ἀπὸ τοῦ ὄρους τῆς μονῆς καὶ δεσπόζειν αὐτὸ, καθὼς προκατεῖχε καὶ ἐδέσποζεν. ἡ βασιλεία μου γοῦν τῇ δεήσει τῶν μοναχῶν προσχοῦσα καὶ τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς τῇ σεβασμίᾳ μονῇ τοῦ Λέμβου ἐχορήγησε, δι' οὗ καὶ παρακελεύεται ἀπαρασπάστως πάντη καὶ ἀμετακινήτως καὶ κατὰ τὸν τῆς δεσποτείας λόγον κατέχειν τὴν μονὴν πάντα τὰ ἀνωτέρω ῥητῶς δεδηλωμένα καὶ τὴν ἐκ πάντων εἴσοδον ἀποφέρεσθαι καὶ ἐξκουσσεύειν αὐτὰ καὶ οὓς ἔχει ἡ μονὴ παροίκους καὶ ἑτέρους ξένους καὶ τῷ δημοσίῳ ἀνεπιγνώστους ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας τοῖς ἐν τοῖς χρυσοβούλλοις προσοδσιν ἐμπεριειλημμένης, ἀλλὰ δὴ καὶ τὸ ταύτης βιβάριον ἀπό τε βιβαροπάκτου, προσκυνητικίου, ὀψωνίου καὶ λοιπῶν ἑτέρων συνηθειῶν. διὰ γὰρ τοῦτο ἐπεβραβεύθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῶν Λέμβου εἰς ἀσφάλειαν αὐτῆς αἰωνίζουσαν καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ τὸν σεπτέβριον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑξη-

κοστοῦ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Εἶχε τό· Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Δούκας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

V. 6771—1262. mense decembri, ind. VI.

Aurea bulla imp. Michaëlis Palaeologi, qua confirmantur privilegia et possessiones monasterii.

Πρὸς τοὺς χαίρειν μὲν εἰπόντας τοῖς χαμερπέσι πᾶσι καὶ γεηροῖς, ὑψελοτέραν δ' ἀσπαζομένους πολιτείαν καὶ ἐφιεμένους ἀξιαγάστου διαγωγῆς καὶ ἀγγελικῆς καὶ τὴν μὲν προαιρετικὴν ζωὴν ὡς ἄγος τι βδελυξαμένους καὶ ἀποστραφέντας τήν τε κοσμικὴν τύρβην ὡς ἄχθος ἐτώσιον ἀπωμισαμένους, ἐμμελῶς δὲ φιλοσοφοῦντας καὶ μεγαλοψύχως περὶ τὸν αἱρετὸν θάνατον, κούφοις τε πτίλοις αἰθεροδρομεῖν ἐπειγομένους μετάρσιον καὶ ὅλους ἀφιερωθέντας τῷ Θεῷ καὶ ἀνατεθειμένους αὐτῷ πάντως ἂν εἴη ἄξιον περὶ πολλοῦ τὴν βασιλείαν μου τίθεσθαι καὶ προνοεῖσθαι τούτων, ὡς καὶ τῆς βασιλείας μου τὸ θεῖον δι' αὐτῶν πρὸς ἔλεον ταύτης ἐπικεκλημένης καὶ ἀρωγὴν καὶ τῷ πρὸς αὐτὰς οἴκτῳ τὸν ἐκ Θεοῦ οἶκτον ἀντιμετρούσης αὐτῇ. τοίνυν καὶ οἷς μὲν φροντιστηρίοις μοναστῶν καὶ καταγωγίοις καὶ τόποις ἀφοσιωθεῖσι Θεῷ ἀπρονόητα τὰ περὶ ταῦτα διέμενε καὶ ὄχλησιν προξενοῦντα τοῖς ἐν τούτοις περιπολοῦσι καὶ ἀγελάζουσιν, ὡς ὅρον ἀμετακίνητον, πρὸς τὰ ἑκάστῳ τούτων ἀπονενεμημένα δίκαια χρυσόβουλλα ταύτης ἡ βασιλεία μου τούτοις ἐβράβευσέ τε καὶ ἔθετο καὶ τὸ ἀνενόχλητον δι' αὐτῶν περιεποιήσατο, οἷς δὲ παρὰ τῶν [πρὸ] τῆς βασιλείας μου βεβασιλευκότων διὰ χρυσοβούλλων καὶ προσταγμάτων τὸ ἀπερίσπαστον καὶ ἀτάραχον περιεποιήθη, καὶ ἡ βασιλεία μου προνοητικώτερον διατεθεῖσα περὶ αὐτὰ, ἐπεκράτυνε ταῦτα καὶ ἐπεστήριξε καὶ τὸ πάγιον ἔχειν προεμηθεύσατο. ἐπεὶ δὲ μετὰ τῶν ἄλλων καὶ ὁ τιμιώτατος καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς ἐπ' ὀνόματι τιμωμένης τῆς ὑπεράγνου μου θεομήτορος καὶ οὕτω

σως ἐπικεκλημένης τῶν Λέμβων, ἀναδραμὼν εἰς τὴν βασιλείαν μου ἐδεήθη αὐτῆς χρυσοβούλλου τυχεῖν τῆς βασιλείας μου, ἐπικυροῦντος καὶ ἑδράζοντος τὰ προσόντα ταύτῃ δικαιώματα, τό τε χρυσόβουλλον τοῦ μακαρίτου βασιλέως ἐκείνου, αὐθέντου καὶ θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἀλλὰ δὴ καὶ τὰ προστάγματα τὰ παρ' ἐκείνου, τὰ καὶ τοῦ ἀοιδίμου βασιλέως ἐκείνου καὶ ἐξαδέλφου τῆς βασιλείας μου, κυροῦ Θεοδώρου τοῦ Λάσκαρι, ἡ βασιλεία μου πρὸς τὴν δέησιν τοῦ δηλωθέντος τιμιωτάτου καθηγουμένου τοῦ ἱερομονάχου Γερασίμου ἐπικλινὲς οὖς προσχοῦσα, ἀσμένως αὐτὴν δέχεται καὶ ἑτοίμως πληροῖ καὶ τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἐπορέγει τῇ ὑπ' αὐτὸν σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τῶν Λέμβων, δι' οὗ καὶ διορίζεται, τὸ στέργον ἔχειν καὶ ἀπαρέγκλιτον πάντη τὰ ὡς εἴρηται προσόντα ταύτῃ χαρτῷα δικαιώματα, τόν τε χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως ἐκείνου, αὐθέντου καὶ θείου τῆς βασιλείας μου, προστάγματά τε καὶ λοιπὰ πρὸς πάσας τὰς περιλήψεις καὶ διαστίξεις αὐτῶν, ὥστε κατέχειν τοὺς ἐν τῇ τοιαύτῃ μονῇ μοναχοὺς καὶ νέμεσθαι ἀνενοχλήτως ἅπαντα τὰ πράγματα τῆς τοιαύτης μονῆς τὰ ἐν διαφόροις εἴδεσι θεωρούμενα καὶ ἐν τοῖς δηλωθεῖσι δικαιώμασι κατὰ μέρος περιειλημμένα, ἤγουν μετόχια τὰ ἐν ἄλλοις καὶ ἄλλοις τόποις διακείμενα, χωρία, παροίκους τε καὶ ξένους καὶ ἀνεπιγνώστους, γῆν ὅσην χρόσιμον καὶ ὅσην νομαδιαίαν, ἀμπελῶνας, περιβόλια, ἐλαϊκὰ δένδρα, ὑδρομυλικὰ ἐργαστήρια, τὸ ἐν τῷ κόλπῳ τῆς Σμύρνης βιβάριον τὸ ἐπονομαζόμενον ὁ Γῦρος μετὰ τῶν δικαίων αὐτοῦ τῶν ἕως τῆς σήμερον κατεχομένων καὶ νεμομένων παρὰ τῆς μονῆς, ὁθενδήποτε καὶ ὁπωσδήποτε περιῆλθε ταῦτα τῷ μέρει τῆς δηλωθείσης μονῆς, εἴτε ἀπὸ δωρεᾶς τῶν ἀοιδίμων βασιλέων ἐκείνων τῶν προσγενῶν τῆς βασιλείας μου, εἴτε ἀπὸ κτητορικῶν δικαίων, εἴτε ἀπὸ ἐξωνήσεως τῶν ἐν τῇ τοιαύτῃ μονῇ μοναχῶν, εἴτε ἐξ ἰδίων τούτων ἀναστημάτων, εἴτε ἀπὸ προσενέξεως τινῶν φιλοχρίστων, εἴτε ἀλλοτρόπως κατὰ δίκαιον λόγον προσηρμόσαντο ταύτῃ, καθὼς κατέχονται ταῦτα μέχρι τῆς σήμερον παρὰ τοῦ μέρους αὐτῆς. ταῦτ' οὖν ἅπαντα εὐδοκεῖ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς κατέχειν τὸ μέρος τῆς εἰρημένης μονῆς καὶ νέμεσθαι ἀπερικόπως παντί, ἀπερισπάστως τε καὶ ἀδιασείστως, ὡς ὀφείλοντος τοῦ τοιούτου χρυσοβούλλου τῆς βασιλείας μου προσεῖναι παντὶ τῷ μέρει αὐτῆς εἰς ἐπι-

στηριγμὸν μὲν καὶ ἀσφάλειαν τούτου, ἀποτροπὴν δὲ καὶ ἀποσόβησιν παντὸς προσώπου τοῦ ἀδίκως καὶ πλεονεκτικῶς πειρωμένου ἐπιφύεσθαι τοῖς ἀνήκουσι ταύτῃ δικαίοις καὶ ἔξω τῆς περιλήψεως τῶν ὡς εἴρηται προσόντων ταύτῃ δικαιωμάτων ἅρπαγα χεῖρα καὶ πόδα δυνάστην ἐπιβαλεῖν τοῖς περὶ αὐτὴν πράγμασιν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τῶν Λέμβων καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα δεκέβριον τῆς νῦν τρεχούσης ἕκτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑβδομηκοστοῦ πρώτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Εἶχε τό· Μιχαὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος, δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρό'ς †.

VI. 6792—1284, mense aprili, ind. XII.

Aurea bulla imper. Andronici II. Palaeologi, qua confirmantur privilegia et possessiones monasterii.

† Ἕτερον χρυσόβουλλον τοῦ αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου κυροῦ Ἀνδρονίκου Κομνηνοῦ τοῦ Παλαιολόγου †.

† Τῇ ὑπεράγνῳ μου δεσποίνῃ καὶ θεομήτορι ὁπόσον ἄν τις καὶ ἀποδοίη, χρέος μέν τι ἀπέτισεν, ἐπειδὴ καὶ πάντες ὀφείλουσιν, οὐ μὴν δ' ὁπόσον ἦν ἄξιον· ἀεὶ γὰρ πλεῖον ἐστὶ τὸ λειπόμενον ἢ ὅσον ἕκαστος δίδωσι, καὶ ὅ τι ἄν τις παρέχῃ, λαμβάνειν μᾶλλον ἐστὶ καὶ κέρδος ἑαυτῷ προξενεῖ. καὶ τοῦτο μὲν δὴ κοινὸν ἐς πάντας, ὅσοι τῶν παρ' αὐτῆς βοηθημάτων μετέχουσι, τῇ δ' ἡμετέρᾳ βασιλείᾳ πλείων μὲν ἡ παρὰ ταύτης βοήθεια, πολυειδῆ καὶ μέγιστα τὰ χαρίσματα, πλεῖστον δὲ καὶ ἀπῃτημένον χρέος τῶν τοσούτων εὐεργεσιῶν καὶ δωρεῶν, ὧνπερ καθ' ἑκάστην ἐπαπολαύει· οὐ γὰρ δὴ τοῦτο μόνον, ὅπερ εἰμί, τῆς θειοτέρας ταύτης ἐπισκοπῆς καὶ χάριτος ἐξαρτᾶν ἔχομεν, ἀλλὰ καὶ τὴν τῶν πραγμάτων διεξαγωγὴν καὶ τῶν ὑπὸ χεῖρα κυβέρνησιν ἀπολαμβάνειν ὁσημέραι παρὰ ταύτης πιστεύομεν· καὶ τὴν τῶν τοσούτων

ἀγαθῶν χορηγίαν ὅσωνπερ οὐκ ἔστιν εἰπεῖν οὐδὲ ἐξηγήσασθαι, ἀλλὰ τὴν περὶ ἐμὲ τοσαύτην χρηστότητα μικραῖς τισιν ἀμοιβαῖς καὶ ταπειναῖς δεξιούμεθα. καὶ ὅσον παραστῆσαι μόνον τὸ εὔγνωμον καὶ προσφέρομεν ὥσπερ τι δῶρον τὴν ὁμολογίαν τῆς χάριτος, ἐπεὶ κἂν ὅσα τις ἐπινοήσειεν εἰς ἀντάμειψιν, κἂν ὅσα καὶ ἀνταποδώσει, τὴν ἀξίαν οὐκ ἀπέτισεν ἀμοιβήν, τὸν δυνατὸν δὲ τρόπον τὰ τῆς ὀφειλῆς διεμέτρησεν. ἐντεῦθεν τοῖς ἱεροῖς σεμνείοις τοῖς τῷ τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος ἐπισεμνευομένοις ὀνόματι ταύτην ὡς ἐνὸν ποιούμεθα τὴν ἀπότισιν τῷ τὰ παρὰ τῶν ἐν αὐτῇ μοναχῶν ἐξῃτημένα παρευθὺς ἐπιτελεῖν καὶ παρέχειν ταύτῃ, χάριν μικρὰν μέν, ἐκ φιλοτίμου δὲ χορηγουμένην ψυχῆς. πρὸς δὴ τοῖς ἄλλοις καὶ τὴν σεβασμίαν μονὴν τῆς βασιλείας μου τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος τὴν τῶν Λέμβων κεκλημένην τοιούτῳ δεξιούμεθα τρόπῳ, καὶ προσεπιτηδεύομεν οὕτω τὴν ὀφειλομένην καὶ δικαίαν ἀντάμειψιν. ἐπεὶ τοίνυν οἱ ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ ἐνασκούμενοι μοναχοὶ παρεκλήτευσαν τὴν βασιλείαν μου χρυσοβούλλου ταύτης τυχεῖν εἰς ἅπερ εὑρίσκεται κατέχουσα καὶ νεμομένη ἔκπαλαι καὶ μέχρι τοῦ νῦν διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως, τοῦ θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἀλλὰ δὴ καὶ διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου καὶ ἑτέρων διαφόρων δικαιωμάτων, ὥστε κατέχειν ταῦτα καὶ εἰς τὸ ἑξῆς ἀνενοχλήτως τε καὶ ἀναφαιρέτως, ἡ βασιλεία μου εὐμενῶς τὴν τούτων προσηκαμένη παράκλησιν τὸν παρόντα χρυσόβουλλον λόγον ἐπορέγει αὐτοῖς, δι᾽ οὗ προστάσσει καὶ διορίζεται, κατέχειν ταύτην καὶ εἰς τὸ ἑξῆς τὰ προσόντα αὐτῇ διὰ τῶν εἰρημένων χρυσοβούλλων καὶ ἑτέρων δικαιωμάτων, καθὼς κατέχει ταῦτα μέχρι τοῦ νῦν, τὰ καὶ ἔχοντα οὕτως· τὸ ἐντὸς τοῦ περιόρου αὐτῆς προάστειον τὸ ἐπιλεγόμενον τὰ Σφούρνου, ὅπερ περιῆλθεν αὐτῇ ἐκ προσενέξεως τοῦ Καλοειδᾶ Γεωργίου. τὸ ἐν τῷ αὐτῷ προαστείῳ ὑδρομυλικὸν ὁλοκαιρινὸν ἐργαστήριον καὶ περιβόλιον μετὰ δένδρων ὀπωροφόρων, ἅπερ ἐπεκτήθησαν ταύτῃ ἐξ οἰκείων ἀναλωμάτων καὶ ἐξόδων. εἰς τὸ χωρίον τὴν Μάνταιαν μετόχιον τοῦ ἁγίου Παντελεήμονος, περιελθὸν τῇ μονῇ ἐκ προσενέξεως Ἀλεξίου ἱερέως τοῦ Τσαΐτου καὶ τοῦ μοναχοῦ Μαξίμου, ὅπερ ἔχει καὶ ἑτέραν ἐκκλησίαν τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ γύρωθεν ταύτης κελλία καὶ αὐλήν, δένδρα ὀπωροφόρα διά-

φορα καὶ γῆν ὕπεργον. ἔχει δὲ τὸ αὐτὸ μετόχιον καὶ δένδρα ἐλαϊκὰ καὶ χωράφια διακείμενα εἰς τὴν Μάνταιαν, περιελθόντα τῇ μονῇ ἐκ προσενέξεως τῶν ἀπὸ τῆς Μανταίας χωριτῶν τῶν ὀνομαστὶ δηλουμένων ἐν τῷ γράμματι τοῦ περιόρου αὐτῆς καὶ αὐλὴν περιωρισμένην μετὰ κελλίων καὶ ἐκκλησίας. χωράφιον σύνεγγυς τῆς τοιαύτης αὐλῆς ἔχον καὶ δένδρα ἐλαϊκὰ κατεχόμενα παρὰ τῆς μονῆς ἐξ ἀμνημονεύτων χρόνων. ἐν τῇ τοποθεσίᾳ τοῦ Φοίνικος δένδρα ἐλαϊκὰ πεντηκονταοκτώ, περιελθόντα ταύτῃ ἐξ ἀγορασίας ἀπὸ τοῦ Κακαβᾶ. τὸ πλησίον τοῦ κάστρου Σμύρνης μετόχιον τοῦ ἁγίου Γεωργίου, ἔχον ὄπισθεν τῆς ἐκκλησίας περιβόλιον ἰδιοπεριόριστον, ἐν ᾧ εἰσὶ συκαμινέαι καὶ ἕτερα ὀπωροφόρα δένδρα διάφορα, ἔμπροσθεν δὲ τῆς αὐτῆς ἐκκλησίας καὶ ἀμπέλιον. ἔσωθεν τοῦ τείχους τοῦ Παλαιοκάστρου τῆς Σμύρνης χωράφιον, περιελθὸν τῇ μονῇ ἐκ προσενέξεως τῆς μοναχῆς Ἀγγελίνης καὶ τοῦ Τζυκανδύλη, ὅπερ κατεφύτευσαν οἱ μοναχοὶ εἰς ἀμπελῶνα. τὴν εἰς τὸν κάμπον τοῦ Μεμανιωμένου γῆν, ἥτις ἦν πρότερον ὑπὸ τὸ ζευγηλατεῖον τῶν Παλατίων, ἧς τὰ σημεῖα ῥητῶς δηλοῦνται ἐν τῷ προσόντι τῇ μονῇ γράμματι τοῦ περιόρου αὐτῆς. ἐν τῷ αὐτῷ κάμπῳ τοῦ Μεμανιωμένου προάστειον τὸ ἐπιλεγόμενον τοῦ Ἀσάνη. πλησίον καὶ γύρωθεν τῶν Παλατίων ἕτερα χωραφιαῖα τόπια ὕπεργα καὶ νομαδιαῖα ὑπὸ τὰ δίκαια τῶν Παλατίων καὶ λιβάδιον τὸ ἐπιλεγόμενον τῶν Ἀββάδων. ἐντὸς τῆς περιοχῆς τῶν Παλατίων περιβόλιον. χωρίον τὴν Βάρην ἤτοι τὰ Μῆλα σὺν τοῖς ἐν αὐτῷ προσκαθημένοις παροίκοις καὶ τῷ δημοσίῳ ἀνεπιγνώστοις. ἐν τῷ αὐτῷ χωρίῳ δύο ἐξηλειμμένας στάσεις ἤτοι τοῦ Σπανοῦ καὶ τοῦ Μηνωνάρη, ἀλλὰ δὴ καὶ χωράφια ἀπὸ τοῦ Γουναροπούλου. τοὺς ἐν τῇ γῇ τῶν Παλατίων παραδοθέντας τῇ τοιαύτῃ μονῇ διὰ πρακτικοῦ τοῦ κυροῦ Μιχαὴλ τοῦ Φωκᾶ ξένους εἰς συγκρότησιν τῶν δουλειῶν τῶν μοναχῶν. τὸ εἰς τὴν Βάρην μετόχιον τοῦ ἁγίου Γεωργίου, ἐν ᾧ εἰσὶ καὶ κελλία σύνεγγυς. πλησίον δὲ τούτου κατεφυτεύθη παρὰ τῶν μοναχῶν καὶ ἀμπέλιον. ἐν τῇ περιοχῇ τοῦ αὐτοῦ χωρίου τῶν Μήλων καὶ ἐκκλησίας δύο, ὧν ἡ [μὲν] μία εἰς ὄνομα τιμωμένη τῆς ἁγίας Μαρίνης, ἡ δὲ ἑτέρα εἰς ὄνομα τοῦ ἁγίου Θεοδώρου. ἑτέραν ἐκκλησίαν κεχαλασμένην τοῦ ἁγίου Ἰωάννου, ἧς πλησίον ἐστὶ καὶ μυλοτόπιον. καὶ τὸν ποταμὸν τὸν κατερχόμενον ἀπὸ τοῦ χωρίου τῶν Μήλων τὸν ἐπιλεγόμενον Δημοσιάτην, ἐν ᾧ καὶ εἰσροὴ γίνεται θαλασσίου ὕδατος,

ἀγρεύονται δὲ κατὰ καιροὺς καὶ ἰχθύες. τὸ ἐπικτηθὲν τῇ μονῇ βιβάριον ἐξ οἰκείων ἐξόδων ἐν τῇ λαγκάδι τοῦ κατὰ Σμύρνην θαλαττίου κόλπου, ὃ καὶ ἐπονομάζεται Γῦρος σὺν τῇ ἐξ ἀνέμου καὶ τοῖς ὀυλακίοις. τὰ εἰς τὴν Μάνταιαν τεσσαρακοντατέσσαρα ἐλαϊκὰ δένδρα, ἅπερ προσεκυρώθησαν ταύτῃ ἀπὸ προσενέξεως τοῦ Βρανᾶ κυροῦ Θεοδώρου ἐπὶ τῷ κατέχειν ταῦτα καὶ τελεῖν κατ' ἔτος πρὸς τοὺς ἀπὸ τῆς Μανταίας τόν τε Κοσκινᾶν καὶ τὸν Θωμᾶν λεγομένους τοὺς διαπωλήσαντας ταῦτα πρὸς τὸν Βρανᾶν ὑπέρπυρον ἓν καὶ κοκκία ὀκτώ. τὰ εἰς τὴν τοιαύτην χώραν οἰκήματα τοῦ Γορδάτου Θεοδώρου καὶ τὸ πλησίον αὐτοῖς ἀμπέλιον, ἅπερ τελευτῶν ὁ τοιοῦτος Γορδάτος ἐπαφῆκεν ἐνδιαθήκως πρὸς τὴν τοιαύτην μονήν. τὸ πλησίον τῶν Γενικοῦ μετόχιον τὸ εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένον τῆς Ἁμαναριωτίσσης μετὰ τῆς ἐκκλησίας τῆς ἁγίας Μαρίνης καὶ τοῦ ἐν αὐτῇ χωραφιαίου τόπου καὶ περιβολίου καὶ τῶν λοιπῶν δικαίων αὐτοῦ, ὅπερ ἐξεδόθη πρὸς τὴν μονὴν διὰ γράμματος τοῦ θεοφιλεστάτου ἐπισκόπου Μονίκου. τὸ εἰς τὸν κάμπον τοῦ Μεμανιωμένου χωράφιον τῆς ἁγίας Παρασκευῆς ἐπιλεγόμενον, ὅπερ περιῆλθε ταύτῃ ἀπὸ προσενέξεως τοῦ Γαράρη Θεοδώρου. τὸ εἰς τὸν αὐτὸν κάμπον ἤγουν εἰς τὸ χωρίον τὸν Πύργον περιελθὸν αὐτῇ χωράφιον ἐξ ἀγορασίας ἀπὸ τῆς μονῆς τῶν Ἡρινῶν. τὸ περὶ τὸν τοιοῦτον κάμπον προσκυρωθὲν αὐτῇ χωράφιον παρὰ τῆς Ἀγγελίνης τὸ ἐπιλεγόμενον Ἄρμενον ὡσεὶ μοδίων ὂν τεσσαράκοντα. τὸ ἀπὸ προσενέξεως περιελθὸν αὐτῇ χωράφιον ἀπὸ τῆς πανυπερσεβάστης ἐκείνης τῆς Ζαγαρομματίνης. τὸ εἰς τὴν Μάνταιαν μετόχιον τὸ ἐπιλεγόμενον τοῦ Πλάνου τὸ ἀνεγερθὲν παρὰ τῶν μοναχῶν ἔν τινι χωραφίῳ περιελθόντι τῇ μονῇ ἀπὸ προσενέξεως τῶν δύο ἀδελφῶν τῶν Πλανιτῶν. τὸ εἰς τὸ ὄρος τῶν Λέμβων διακείμενον μετόχιον τοῦ ἁγίου Γεωργίου τοῦ Ἀσκουρβουλιώτου λεγόμενον μετὰ τῆς περιοχῆς αὐτοῦ, ὅπερ ἐξέδοτο πρὸς τὴν μονὴν ὁ προαρχιερατεύσας ἐν τῇ Σμύρνῃ. τοὺς ἐντὸς τοῦ περιόρου ταύτης ἀνεγερθέντας παρὰ τῶν μοναχῶν δύο μυλῶνας. τὸ εἰς τὴν ἐπίσκεψιν τῆς Πέτρας μετόχιον αὐτοῦ τὸ εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπονομαζόμενον τοῦ Πλατέος μετὰ τῆς περιοχῆς καὶ τῶν δικαίων αὐτοῦ.

Ταῦτα δὴ πάντα καθέξει καὶ νεμηθήσεται ἡ τοιαύτη σεβασμία μονὴ τῇ δυνάμει καὶ ἐπικυρώσει τοῦ παρόντος χρυσοβούλλου λόγου

τῆς βασιλείας μου ἀπαρασάλευτα πάντη καὶ ἀδιάσειστα καὶ ἀνώτερα τῶν δημοσιακῶν ἐπηρειῶν καὶ συζητήσεων, καθὼς εὑρίσκεται κατέχουσα καὶ νεμομένη ταῦτα μέχρι τοῦ νῦν· στέργειν γὰρ βούλεται ἡ βασιλεία μου τὰ προσόντα τῇ εἰρημένῃ μονῇ τοιαῦτα χρυσόβουλλα καὶ λοιπὰ δικαιώματα κατὰ πάσας τὰς περιλήψεις αὐτῶν· διὰ γὰρ τοῦτο ἐγεγόνει τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῶν Λέμβων καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα ἀπρίλλιον τῆς νῦν τρεχούσης δωδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἐνvενηκοστοῦ δευτέρου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος†.

† Εἶχε τό· Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

VII. 6742—6747, 1234—1239.

Acta de possessione praedii dicti Sphurni.

I. Τὰ δικαιώματα τοῦ προαστείου τῶν Σφούρνων .....ν πρῶτον ἐκδοτήριον.

† Ὁ δοῦλος τοῦ κρα[ταιοῦ καὶ ἁγίου] ἡμῶν αὐθέντου καὶ βασιλέως Γεώργιος ὁ Καλοειδᾶς οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνον	Μαρίας	Σίγνον Εἰρήνης	τῆς Ῥηγαίνης
τῆς συζύγου	αὐτοῦ	καὶ μητρὸς	αὐτῆς.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὁ δοῦλος τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Γεώργιος ὁ Καλοειδᾶς καὶ Μαρία ἡ τούτου γνησία σύζυγος, ἔτι δὲ καὶ Εἰρήνη ἡ Ῥήγαινα ἡ μήτηρ αὐτῆς, ὁ μὲν οἰκείαις χερσὶ προτάξας, αἱ δὲ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς πονήσασαι τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον [ἀσφάλειαν τιθέμεθα]. καὶ γὰρ ἀπὸ τῆς σήμερον, πέμπτης τοῦ παρόντος ἰανουαρίου μηνὸς τῆς νῦν τρεχούσης ἑβδόμης ἰνδικτιῶνος, ἐκδιδοῦμεν τὸ προάστειον ἡμῶν

τὸ ἐπιλεγόμενον τὰ Σφούρνου τὸ περιελθὸν τὸν παπποῦν ἡμῶν τὸν πανσέβαστον σεβαστὸν τὸν Κασταμονίτην κῦριν . . . . . . ὅπερ ἐκέκτητο ἀπὸ τῆς σεβασμίας μονῆς τῶν Ῥοφινιανῶν. ἄρχεται δὲ ὁ τούτου περιορισμὸς ἀπὸ τοῦ λουτροῦ τοῦ καὶ πλησίον τῆς μονῆς τῶν Λέμβων καὶ κρατῶν τὸ ἀναρύακον διόλου ἄχρι τῆς μονῆς τῶν Χαννάβρων παρὰ τὸν ποταμὸν κλείων ἔσωθεν τὰς βουκοσλαίας, ἀπέρχεται ἄχρι τοῦ ἁγίου Βασιλείου, εἶτα κλίνει ἀντιπερνῶν τὸν αὐτὸν ποταμὸν καὶ κρατῶν διόλου τὴν λαγκάδα καὶ τὸν θόλον, καὶ ἔρχεται ἄχρι τῆς ἐκκλησίας τοῦ ἁγίου Γεωργίου, κατέρχεται τὴν αὐτὴν λαγκάδα ἄχρι τῆς . . . . τοῦ Περδικάρη, ἄρχεται καὶ ἀποδιδοῖεν . . . . το, ἐντὸς δὲ τοῦ τοιούτου περιορισμοῦ . . . . θησαν χωράφια ὀλιγοστὰ καὶ ἐλαῖ[κὰ δένδρα] . . . αν . . . . καρέαι καὶ λοιπὰ δένδρα . . . . ἐκδιδοῦμεν δὲ τὸ τοιοῦτον ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας ἐν [τῇ] σεβασμίᾳ βασιλικῇ ἁγίᾳ μονῇ τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης καὶ πρὸς σέ, τὸν πανηγιασμένον καθηγούμενον τῆς αὐτῆς μονῆς, κῦρον Παῦλον, καὶ πρὸς τοὺς ὑπὸ σὲ ἀσκουμένους μοναχούς, τοῦ ἔχειν καὶ κατέχειν αὐτὸ ἡ μονὴ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους καὶ μέχρις ἂν τὸ περίγειον συνίσταται καὶ ὁ ἥλιος ἐφορᾷ τὸ πᾶν, κτᾶσθαι, χρᾶσθαι καὶ νέμεσθαι κυρίως, αὐθεντικῶς, ἰδικῶς καὶ μονομερῶς. ὅστις δὲ ἀφ' ἡμῶν λαλήσαι ποτὲ τῶν καιρῶν ὑπὲρ ἀνατροπῆς ἢ εὐλόγου ἢ ἀνευλόγου ἐπὶ ἀθετήσει τῆς παρούσης ἡμῶν προσενέξεως, μὴ μόνον οὐ μὴ εἰσακούεται, ἀλλὰ καὶ κατησχυμένος ἀποπέμπεται ἀπὸ παντὸς δικαστηρίου ἐμφαντιζομένου. τοῦ παρόντος ἐκδοτηρίου ἐγγράφου ἡμῶν. μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις τοῦ ,ςφμβ' ἔτους.

† Ἀλέξιος ἱερεὺς ὁ Τεσαΐτης παρὼν καὶ μαρτυρῶν ὑπέγραφα †.

Σίγνον τοῦ Πα	Νικήτα φλαγόνος.	Σίγνον τοῦ Ψι	Νικολάο θυρίτου.	Σίγνον τοῦ Χα	Γεωργίου κοτούβη.	Σίγνον τοῦ	Μιχαὴλ Πατζινάκη.

† Θεόδωρος ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μάντας ὁ Κάλλιστος γράψας ὑπέγραφα.

II. Πρόσταγμα ἐπικυρωτικὸν εἰς τὸ ἐκδοτήριον τοῦ προαστείου τῶν Σφούρνου.

Ἐπεὶ ὁ ἀπὸ τῆς Σμύρνης Γεώργιος ὁ Καλοειδᾶς κεκτημένος ἀπὸ γυναικείας αὐτοῦ προικὸς προάστειον ἐπιλεγόμενον τὰ Σφούρνου, περιϊστάμενον εἰς γῆν μοδίων δέκα, καὶ μήτε τέλος ἢ βάρος ἐπιγινώσκων ὑπὲρ αὐτοῦ, προσήνεγκε τοῦτο τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων καὶ δι' ἐγγράφου αὐτοῦ δέδωκε πρὸς τὴν τοιαύτην μονήν, δηλοῦντος καὶ τὸν περίορον τοῦ τοιούτου προαστείου, καὶ ἐδεήθη ὁ καθηγούμενος τῆς τοιαύτης μονῆς καὶ ὁρισμοῦ τῆς βασιλείας μου ἐπικυροῦντος τὴν τοιαύτην τοῦ Καλοειδᾶ ἔγγραφον προσένεξιν, ἡ βασιλεία μου τὴν τούτου προσηκαμένη δέησιν διορίζεται διὰ τῆς παρούσης προστάξεως προσεῖναι τοῦτο τῇ μονῇ ἀναφαιρέτως πάντη καὶ ἀναποσπάστως καὶ νέμεσθαι παρ' αὐτῆς, καθ' ὃν τρόπον καὶ παρὰ τοῦ Καλοειδᾶ ἐνέμετο, ἀτελῶς πάντη καὶ ἀβαρῶς, εἴπερ καὶ ἐπὶ τῷ Καλοειδᾷ οὐκ ἐπέγνω τοῦτο βάρος, καὶ τὴν ἐκ τούτου πρόσοδον εἰσοδιάζεσθαι, ὅθεν καὶ οὐδεὶς τῶν ἁπάντων ἢ τὸ τοῦ δημοσίου μέρος ὀφείλει ἀμετόχως ἢ πλεονεκτικῶς ἐπαγαγεῖν ποτὲ τῇ μονῇ ὑπὲρ τούτου διασεισμόν τινα ἢ ἐπήρειαν, ἢ ἀποσπᾶσαί τι τοῦ ἀνήκοντος αὐτοῦ περιόρου, ἐμφανιζομένης τῆς παρούσης προστάξεως τῆς βασιλείας μου, ἥτις καὶ ἐγεγόνει τῷ μέρει τῆς μονῆς εἰς ἀσφάλειαν.

Εἶχε τό· μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος ζ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς †.

III. Σημειομάρτυρον γράμμα ὑπὲρ τοῦ προαστείου τῶν Σφούρνου γεγονὸς τοπικῶς †.

Σίγνον	Βλασίου Σίγνον	Μιχαὴλ Σίγνον	Μιχαὴλ Σίγνον	Θεοδώρου τοῦ
μοναχοῦ τοῦ	Ποταμη- τοῦ νοῦ. Βρουλλᾶ	καὶ Πο- τοῦ ταμηνοῦ. Τζο-	καπίτη. Τζυκα	πίτη.
Σίγνον	Κωνσταν- Σίγνον τίνου	Γεωρ- Σίγνον γίου	Ἰωάννου Σίγνον	Κων- σταντίνου
τοῦ Τζυ	καπίτη. τοῦ Ζω	μοῦ. τοῦ	Δαμαλᾶ. τοῦ	Χωσαίνη.
Σίγνον	Λέοντος Σίγνον	Νικήτα Σίγνον	Κωνσταντίνου	
τοῦ Ἀττι	κωμίτου. τοῦ Μα	μούνη. τοῦ	Πετράτη.	

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἡμεῖς οἱ ἔποικοι χωρίου τοῦ Ποταμοῦ, ὅ τε μοναχὸς Βλάσιος, Μιχαὴλ ὁ Βρουλλᾶς, καὶ ἡμεῖς οἱ ἕτεροι οἱ ἀπὸ χωρίου τῆς Ῥούζης, Μιχαὴλ ὁ Τζοκαπίτης, Θεόδωρος ὁ Τζοκαπίτης, Κωνσταντῖνος ὁ Τζοκαπίτης, Κωνσταντῖνος ὁ Τζοκαπίτης, Γεώργιος ὁ Ζωμός, καὶ ἡμεῖς οἱ ἔποικοι χωρίου Παυχώμης, ὅ τε Ἰωάννης ὁ Δαμαλᾶς, Κωνσταντῖνος ὁ Χωσαίνης, Κωνσταντῖνος ὁ Πετράτης, Λέων ὁ Ἀττικωμίτης, καὶ ἀπὸ τοῦ χωρίου τῆς Δρούς Νικήτας ὁ Καμόνης καὶ ἕτεροι οὐκ ὀλίγοι οἱ ἄνωθεν τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως προτάξαντες ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα ἐπὶ θεοῦ φόβου καὶ πάσης ἀληθείας ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανούργως καὶ ἀπεριέργως, ὡς καὶ τὸν θεὸν ἔχοντες πρὸ ὀφθαλμῶν τὸν μέλλοντα κρῖναι δικαίους καὶ ἀδίκους, καὶ μάρτυς καὶ κριτὴς αὐτός ἐστιν ὁ θεός, οὐ λέγομεν ψεῦδος, ὅτι τὸ τόπιον τὸ ἐπιλεγόμενον τὰ Σφούρνου τὸ καὶ πλησίον τῆς βασιλικῆς μονῆς τῶν Λέμβων ἣν ποτὲ τῆς μονῆς τῶν Ῥουφινιανῶν, ἐνεμόμεθα δὲ καὶ ἡμεῖς οἱ σιγνογραφήσαντες καὶ οἱ γονεῖς ἡμῶν τὸ τοιοῦτον τόπιον τὸ ἐπιλεγόμενον τὰ Σφούρνου, ἐμουρταζόμεθα δὲ παρὰ τῆς πανσεβάστης σεβαστῆς τῆς Κασταμονιτίσσης, ἀλλὰ καὶ μυλικὰ ἐργαστήρια, εἴπερ ἐγένοντο, ὡς καὶ ἡμεῖς οἱ Ῥουζᾶται εἴχομεν μυλικὸν ἐργαστήριον, καὶ ἐδίδομεν τὸ μυλόπακτον τὴν ῥηθεῖσαν σεβαστὴν ὡς ἔχουσαν τὸ δίκαιον ἀπὸ τοῦ Γεγέ, ἐπὶ δὲ τῇ ἐπιδρομῇ τῶν ἀθέων Λατίνων ἤτοι τοῦ Φιλάντρος ὁρισθεὶς ὁ περιπόθητος αὐτάδελφος τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου αὐθέντου καὶ βασιλέως ἡμῶν, κυροῦ Θεοδώρου τοῦ Λάσκαρι, κῦρ Γεώργιος ὁ σεβαστοκράτωρ, εἰς τὸ ἐξοικῆσαι τὸ θέμα τῶν Θρακησίων τοὺς μὲν εἰς τὰ κάστρα, τοὺς δὲ εἰς τὰ ὀρεινὰ καὶ ὀχυρώτερα μέρη μετὰ πάντων, καὶ ἡμεῖς οἱ πέριξ τοῦ τόπου, ἤγουν Ῥουζᾶται, Παυχωμῖται, Δρουῖται καὶ αὐτοὶ οἱ Ποταμηνοὶ καὶ ἕτεροι, ὡς προείρηται, οὐκ ὀλίγοι, οἱ μὲν εἰς τὰ Σφούρνου, οἱ δὲ εἰς τὰ Χανάβρου. μετὰ δὲ τὴν ἀποστροφὴν τῶν ἀθέων Λατίνων ὑπεστράφημεν καὶ ἡμεῖς εἰς τὸ οἰκεῖον χωρίον ἕκαστος καὶ αὐτοὶ οἱ Ποταμηνοί, ἔνθα τὸ οἴκημα εἶχον. ὁδηγηθεὶς δὲ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς εἰς τὸ ἀνακαινίσαι τὴν σεβασμίαν μονὴν τῆς ὑπεραγίας θεοτόκου τῶν Λέμβων, εἰς ἣν καὶ αὐτοὶ οἱ Ποταμηνοὶ εἶχον τὴν οἴκησιν ὡς πρόσφυγες ποτέ, εὗρε δὲ τὸν μοναχὸν Βλάσιον προσκαθήμενον ὁ κραταιὸς

καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, προηγήσατο [illegible] Σίμωνι προσετότι συνεργὸν δὲ καὶ ἐπίτροπον τὸν πανσέβαστον σεβαστὸν τὸν Καδιανόν, οἵτινες προσέφερον Λέοντα τὸν Ποταμηνὸν ἤτοι τὸν Μαγκανάρη εἰς τὸ ἐνεργεῖν τὸ ὑδρομυλικὸν ἐργαστήριον μετὰ τοῦ μισθοῦ αὐτοῦ· μετὰ δὲ τὴν παρέλευσιν τοῦ προρρηθέντος μοναχοῦ κῦρ Σίμωνος ἐλθόντος τοῦ κῦρ Γερασίμου τοῦ Ὀφικιάνου ἀπὸ τῆς μονῆς τοῦ ἁγίου Παύλου ἐξ ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἡγουμένου εἰσῆλθον τοῦ καθίσαι οἱ Ποταμηνοὶ εἰς τὸ τοιοῦτον τόπιον τὰ Σφούρνου, καὶ οὐκ ἐπαρεχώρει αὐτοὺς ὁ ἡγούμενος καὶ αὐτοὶ οἱ μοναχοί, ἀνέβη δὲ ὁ λίζιος καβαλλάριος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ ἑνώθη μετὰ τοῦ καθηγουμένου, καὶ πολλὰ παρακλητεύσας αὐτὸν παρεχώρησεν αὐτοὺς προσκαθίσαι διὰ τὸ τὴν μονὴν εἶναι ὀχυρωτάτην καὶ τὴν τῶν μοναχῶν ὀλιγότητα καὶ τὸ ἄγριον τοῦ τόπου. καὶ ὁμολογοῦμεν ἐπὶ φόβου θεοῦ καὶ πάσης ἀληθείας, ὅτι οὐκ εἶχον γονικὴν κληρονομίαν οἱ Ποταμηνοὶ εἰς τὰ Σφούρνου, ἀλλ' ὡς ξένοι καὶ ἐπίδημοι προσεκάθισαν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα ἡμῶν ἐμμάρτυρος ἀσφάλεια εἰς πίστωσιν μηνὶ ἰουλίῳ ἰνδικτιῶνος η' †.

†. Ὁ κατ' ἐντολὴν τοῦ πατριαρχικοῦ ἐξάρχου κῦρ Ἀλεξίου εὐτελὴς διάκονος τῶν πατριαρχικῶν δικαίων καὶ γραφεὺς τοῦ ὕφους Στέφανος ὁ Κασταμονίτης μαρτυρῶν ὁμοίως ὑπέγραφα †.

IV. Κρισίμη γραφὴ ἀποκαταστατικὴ περὶ τοῦ προαστείου τῶν Σφούρνου τοῦ Ἀγγέλου κυροῦ Ἰωάννου.

Ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς ὑπεραγίας θεοτόκου τῶν Λέμβων, ἱερομόναχος κῦρ Παῦλος, θεῖον καὶ βασιλικὸν προσκυνητὸν ὁρισμὸν ἡμῖν ἐνεχείρισεν οὑτωσὶ κατὰ ῥῆμα διοριζόμενον· περιπόθητε θεῖε τῆς βασιλείας μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Ἰωάννη Ἄγγελε. ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβων ὑπέμνησε τὴν βασιλείαν μου, ὅτι πάροικοι τοῦ ἀνδρικωτάτου καβαλλαρίου τῆς βασιλείας μου τοῦ Συργαρῆ προσεκάθισαν εἰς τόπον τῆς ὑπ' αὐτὸν μονῆς τὸν ἐπιλεγόμενον τὰ Σφούρνου, καὶ οὐκ ὀλίγας

ζημίας ποιοῦσιν εἰς αὐτόν, καὶ διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν ἐπιστῇς κατὰ τόπους καὶ τηρήσῃς τὰ περὶ τού[του], καὶ εἴπερ εὑρήσεις προσκαθημένους τοὺς παροίκους τοῦ Συργαρῆ ἐν τῷ ῥηθέντι τοπίῳ τῆς μονῆς, ἵνα ἐγείρῃς αὐτοὺς καὶ μὴ βουλομένους, καὶ προσκαθίσῃς αὐτοὺς εἰς τόπον διαφέροντα τῷ Συργαρῇ, καὶ μὴ παραχωρήσῃς ἀδικεῖσθαι τῷ μέρει τῆς μονῆς παρὰ τοῦ Συργαρῆ. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει πρὸς σὲ καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός. εἶχε τό· μηνὶ Ἰουνίῳ ἰνδικτιῶνος η΄ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός. ὡσαύτως ἐνεφάνισαν ἡμῖν καὶ ἕτερον βασιλικὸν προσκυνητὸν ὁρισμὸν οἱ ἀπὸ τῆς προνοίας τοῦ αὐτοῦ Συργαρῆ Ποταμηνοὶ ἐξ ὑπομνήσεως αὐτῶν γεγονότα οὕτω κατὰ ῥῆμα διακελευόμενον· τολμῶντες οἱ ἀνάξιοι δοῦλοι τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου ἀναφέρομεν, δέσποτα ἡμῶν ἅγιε, οἱ ἀπὸ τοῦ ἀγριδίου τὰ Ποταμοῦ ὁρμώμενοι πάροικοι τοῦ καβαλλαρίου τοῦ Συργαρῆ καὶ ἔκπαλαι προσκαθήμενοι οἱ γονεῖς ἡμῶν εἰς τόπον τὸν ἐπιλεγόμενον τὰ Σφούρνου καὶ εἰς αὐτὸν τὰ Ποταμοῦ καὶ συνεστήσαντο βελτιώματα καὶ ὡς εἴχομεν ταῦτα ἡμεῖς ἀπὸ τῶν γονέων μας, προσεπεκτησάμεθα καὶ ἕτερα ὑποστατικά, ὥστε δύνασθαι ἡμᾶς διδόναι τὰ ἀνήκοντα ἡμῖν τέλη καὶ δημοσιακὰ ζητήματα, εἰς δὲ τὴν μονὴν τῆς ὑπεραγίας θεοτόκου τῆς Λεμβιωτίσσης ἀπεχαρισάμεθα ὑδρομυλικὸν ἐργαστήριον εἰς μνημόσυνον τῶν γονέων ἡμῶν. τὰ νῦν δὲ ὁ καθηγούμενος τῆς τοιαύτης μονῆς οὐκ ἀρκεῖται εἰς τὸν τόπον τοῦ ὑδρομυλικοῦ ἐργαστηρίου, ἀλλὰ πειρᾶται ἐξωθῆσαι ἡμᾶς καὶ ἀπὸ τῶν γονικῶν ἡμῶν βελτιωμάτων· καὶ δεόμεθα καὶ παρακαλοῦμεν τὸ ἔνθεον κράτος τῆς ἁγίας βασιλείας σου, ἵνα μὴ ἐκτοπισθῶμεν ἀπὸ τῶν οἰκιῶν ἡμῶν, καὶ οὕτω γινομένου οὐ παυσόμεθα ὑπερεύχεσθαι τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου, ἧς ὡς δοῦλοι τολμήσαντες ἐδεήθημεν. καὶ ὄπισθεν· δέησις ἀναξίων δούλων τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου παροίκων τῶν Ποταμηνῶν. καὶ τό· ὁ περιπόθητος θεῖος τῆς βασιλείας μου καὶ δοὺξ τοῦ θέματος τῶν Θρακησίων κῦρ Ἰωάννης ὁ Ἄγγελος, ἵνα τηρήσῃ τὰ περὶ ὧν τῇ βασιλείᾳ μου ὑπεμνήσατε, καὶ εἴπερ εὑρήσει, ὡς εἰς τὸ ἐντὸς δηλούμενον ἀγρίδιον ἔκπαλαι καὶ πρὸ χρόνων πολλῶν ἦσαν οἱ γονεῖς ὑμῶν προσκαθήμενοι ἐν τῷ τοιούτῳ τοπίῳ, συνεστήσαντο βελτιώματα, ἅπερ καὶ ὑμεῖς εὑρόντες προσεπεκτήσασθαι καὶ ἕτερα, δι' ὧν δύνασθαι [διδόναι] πάντα τὰ ἀνήκοντα ὑμῖν παροικικὰ καὶ δη-

μοσιακὰ ζητήματα, ὁ δέ γε καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς Λεμβιωτίσσης πειρᾶται ἐξοικῆσαι ὑμᾶς ἀπὸ τῶν γονικῶν ὑμῶν ὑποστάσεων, ἵνα ποιήσῃ ἐφ' ὑμῖν τὸ ἀνενόχλητον καὶ οὐ μὴ παραχωρήσει τῷ μέρει τῆς τοιαύτης μονῆς μεταστῆσαι ὑμᾶς ἀπὸ τῶν γονικῶν ὑμῶν ὑποστάσεων. διὰ γὰρ τοῦτο ἐγεγόνει ὑμῖν καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμὸς εἰς ὑμετέραν ἀσφάλειαν. εἶχε τὸ· μηνὶ ἰουλίῳ ἰνδικτιῶνος η' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

Κατὰ γοῦν τὴν περίληψιν τῶν τοιούτων θείων καὶ βασιλικῶν προσκυνητῶν ὁρισμῶν ἐν τῷ εἰρημένῳ τοπίῳ παρεγενόμεθα μετακαλεσάμενοι καὶ ἀπὸ πλησιοχώρων τοὺς δηλωθησομένους ἐποίκους, ἤγουν ἀπὸ τῆς Ῥοῦζης Μιχαὴλ τὸν Τζυκαπίτην, Γεώργιον τὸν Ζῶμον καὶ Θεόδωρον τὸν Τζυκαπίτην· ἀπὸ χωρίου τῆς Δροῦς Νικόλαον τὸν Μαρούν[ην] καὶ Ἰωάννην τὸν Πολίτην, παρῆσαν δὲ καὶ ἀπὸ τῆς προνοίας τοῦ Συργαρῆ ὅ τε Νικόλαος ἱερεὺς καὶ νομικός, ὁ Λαοδικηνός, ὁ Τοξαρᾶς Ἰωάννης, Ἰωάννης ὁ Καβαλᾶς, Μιχαὴλ ὁ υἱὸς τῆς Σαπωνοῦς, ξένος ὁ Πωλέας καὶ Κωνσταντῖνος ὁ Κοσκινᾶς. καὶ ἀπὸ τῆς προνοίας τοῦ πανσεβάστου προκαθημένου τοῦ Ἀλωποῦ Κωνσταντῖνος ὁ Ζωναρᾶς καὶ Ἰωάννης ὁ Σμυρναῖος. διῆγον δὲ μεθ' ἡμῶν ὅ τε πανσέβαστος καστροφύλαξ Σμύρνης κῦρ Θεοφύλακτος ὁ Βραχιονίτης καὶ ὁ γνήσιος υἱὸς τοῦ πανιερωτάτου καὶ πανυπερτίμου Σμύρνης κῦρ Κωνσταντῖνος ὁ Καλοκτένης καὶ ὁ πανεντιμότατος καὶ μέγας οἰκονόμος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Νικόλαος ὁ Καλοσιναρᾶς. καὶ ἐνώπιον τῶν ἀναγεγραμμένων ὑπαναγνόντες τοὺς τοιούτους θείους καὶ βασιλικοὺς προσκυνητοὺς ὁρισμοὺς ἐρώτησιν ἐθέμεθα, καὶ εὐθέως οἱ ἀπὸ τῆς Ῥούζης οἰκήτορες καὶ τῆς Δροῦς ὁμοφώνως πρὸς ἡμᾶς ἐξεῖπον, ὡς τὸ αὐτὸ τόπιον τὸ ἐπιλεγόμενον τὰ Σφούρνου οὐ τοῖς δημοσιαρίοις Μαντειανοῖς παροίκοις ἢ αὐτοῖς τοῖς Ποταμηνοῖς γονικόθεν προσήρμοσεν, ἀλλὰ καθ' ὃν καιρὸν τὸ τοῦ Φιλάντρος ἐκείνου φοσσάτον τῇ ἡμῶν χώρᾳ περιεπάτησε καὶ ὁ περιπόθητος αὐτάδελφος τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου βασιλέως ἡμῶν τοῦ Λάσκαρι κῦρ Θεοδώρου ὁ σεβαστοκράτωρ κῦρ Γεώργιος τὰς χώρας ἁπάσας τοῦ θέματος τῶν Θρακησίων ἐξοικῶν καὶ εἰς ὀχυρωτάτους τόπους μετοικῶν μετὰ τῶν ἄλλων καὶ αὐτοὺς δὴ τοὺς Ποταμηνοὺς ἐκ τῶν προτέρων αὐτῶν οἰκιῶν μετανάστας ἐποιήσατο καὶ τὸν αὐτὸν

τόπον τὰ Σφούρνου ὡς ὀχυρώτερον τῶν ἄλλων τοπίων εὑρόντες εἰς αὐτὸν προσεκάθισαν, ὃς δὴ τόπος τῇ τῶν Ῥουφινιανῶν μονῇ μετὰ τῶν ἄλλων ὧν εἶχεν ὑποστατικῶν ἐν τῇ Μανταίᾳ προσήρμοζε, μετὰ δὲ τὸ γενέσθαι τὴν τοῦ Φιλάντρα ὑποστροφὴν πάλιν εἰς τὰς οἰκίας αὐτῶν προσεκάθισαν· κατεκάμνετο δὲ τὸ τοιοῦτον τόπιον παρά τε τῶν Ῥουζιτῶν καὶ τῶν Δρουϊτῶν, ἐμορτάζοντο δὲ παρά τινος παροίκου τῆς μονῆς τῶν Ῥοφινιανῶν τοῦ ἐπιλεγομένου Γεγέ, ἐξ ἀποστολῆς δῆθεν τοῦ μέρους τοῦ Λαγκιδᾶ ἤτοι τῆς Κασταμονιτίσσης, εἶτα ἐπὶ τῇ ἡγουμενείᾳ τοῦ μοναχοῦ Γερασίμου τοῦ Ὀφικιάνου προσελθόντες αὐτῷ οἱ Ποταμηνοὶ καὶ ὁ κατέχων αὐτοὺς εἰς πρόνοιαν λίζιος καβαλλάριος τοῦ αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου ὁ Σοργαρῆς τῷ αὐτῷ καθηγουμένῳ παρεκλήτευσαν, ὅπως καὶ πάλιν προσκαθίσωσιν εἰς τὸ τοιοῦτον τόπιον τὰ Σφούρνου, καὶ οὐ κατά τι δικαιοῦνται οἱ Ποταμηνοὶ ὡς γονικάριοι, ἀλλὰ πρὸς καιρὸν προσεκάθισαν διὰ τὴν τοῦ καιροῦ ἐναντιότητα, αἱ οἰκίαι δὲ καὶ τὰ χωραφιαῖα τόπια τῶν Ποταμηνῶν γνώριμα πᾶσιν εἰσίν, ἅτινα καὶ δι' αὐτῶν τῶν Ποταμηνῶν μέχρι τοῦ νῦν κατακάμνονται καὶ εἰσοδιάζονται. τούτων οὕτως εἰς τὰς ἡμετέρας ἀκροάσεις γεγονότων, τοῖς μὲν Ποταμηνοῖς κατὰ τὸν βασιλικὸν προσκυνητὸν ὁρισμὸν ἀπὸ τοῦ τοιούτου τοπίου μετοικήσαμεν καὶ εἰς τὰς προτέρας αὐτῶν οἰκίας προσκαθίσαι ἐπεφωνησάμεθα.

Διεκρίναμεν δὲ εἰς τὰ παρ' αὐτῶν καταφυτευθέντα ὑποκλήματα ἔμπροσθεν τῶν καλοβίων αὐτῶν ὡς δῆθεν κραββατίνας ἐπιδοῦναι τῷ μέρει τῆς εἰρημένης μονῆς χάριν τούτων τίμημά τι ὀλιγοστὸν καὶ ἔκτοτε εἶναι τὴν τοιαύτην μονὴν ἀνενόχλητον ἕνεκεν τοῦ τοιούτου τοπίου. διὰ γὰρ τοῦτο καὶ τὴν παροῦσαν ἡμετέραν ἀποκαταστατικὴν γραφὴν πεποιηκότες ἐπιδεδώκαμεν τῇ εἰρημένῃ μονῇ εἰς ἀσφάλειαν μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος ἐννάτης.

† Ὁ δοῦλος καὶ θεῖος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως δοὺξ τοῦ θέματος τῶν *Θρακησίων* Ἰωάννης ὁ Ἄγγελος †.

V. Πρόσταγμα ἐπικυροῦν τὴν ἄνωθεν ἀποκαταστατικὴν κρίσιν τοῦ προαστείου τῶν Σφούρνου.

† Ἔφθασε μὲν καθ' ὁρισμὸν τῆς βασιλείας μου τηρηθῆναι ἡ μέσον τῆς σεβασμίας μονῆς τῶν Λέμβων καὶ τῶν ἐποίκων τοῦ ἀγριδίου Σφούρνου τοῦ ὑπὸ τὸν ἀνδρικώτατον καὶ πιστότατον λίζιον τῆς βασιλείας μου καβαλλάριον τὸν Συργαρὴν ὑπόθεσις παρὰ τοῦ περιποθήτου θείου τῆς βασιλείας μου, τοῦ δουκὸς τοῦ θέματος τῶν Θρακησίων, κυροῦ Ἰωάννου τοῦ Ἀγγέλου· ἐπεὶ δ' ἐκ διμεροῦς κρίσεως ἀνεφάνη, ὡς τὸ τοιοῦτον ἀγρίδιον ἡ Σφούρνους οὐκ ἦν γονικὸν ὑποστατικὸν τῶν Ποταμηνῶν ἢ τῶν Μαντειανῶν παροίκων, ἀλλὰ τῇ κατὰ τὴν Κωνσταντινούπολιν διακειμένῃ σεβασμίᾳ μονῇ τῶν Ῥουφινιανῶν ἀρχῆθεν διέφερε καὶ παρὰ τοῦ μέρους τῆς τοιαύτης μονῆς πάντοτε ἐμορτάζετο· ὅτε δὲ ἡ τῶν Λατίνων ἦν καταδρομὴ κατὰ τῆς ἀνατολῆς, καὶ τὸ τοιοῦτον ἀγρίδιον, ὡς εἰς ὀχύρωμα κείμενον, εἰς κρεσφύγετον ἐχρήσαντο οἱ Ποταμηνοὶ κατ' ἐπιτροπὴν τοῦ θείου ἐκείνου τῆς βασιλείας μου, τοῦ Λάσκαρι κυροῦ Γεωργίου, καὶ ἔκτοτε τὴν τούτων ἀμετόχως ἔσχον νομήν, καὶ οὕτως παρὰ τοῦ περιποθήτου θείου τῆς βασιλείας μου, τοῦ δουκὸς τοῦ θέματος τῶν Θρακησίων, κυροῦ Ἰωάννου τοῦ Ἀγγέλου, ἐξώσθησαν οὗτοι ἀπὸ τῆς τοῦ τοιούτου ἀγριδίου νομῆς, καὶ ἡ μονὴ τῶν Λέμβων ἐδικαιώθη ἐγγράφως εἰς τὴν τούτου κατοχὴν καὶ νομήν, καθὼς ἀριδηλότερον ἡ παροῦσα αὐτοῖς ἀποκατάστασις παριστᾷ, ἐδεήθησαν δὲ οἱ μοναχοὶ Λεμβηνοὶ καὶ ὁρισμοῦ τῆς βασιλείας μου στηρίζοντος αὐτοὺς εἰς τὴν τούτου κατοχὴν καὶ νομήν, ἡ βασιλεία μου τῆς δεήσεως αὐτῶν ἐπακούσασα ἐπικυροῖ διὰ τῆς παρούσης προστάξεως τὴν γεγονυῖαν τοῖς Λεμβηνοῖς ἀποκατάστασιν ἐπὶ τῷ τοιούτῳ ἀγριδίῳ, καὶ διορίζεται τὸ στέργον ἔχειν καὶ ἀδιάπτωτον κατὰ πάσας τὰς περιλήψεις αὐτῆς, ὡς τοῦ μέρους τῆς σεβασμίας μονῆς τῶν Λέμβων ἀπερικόπου ὀφείλοντος ἔχειν τὴν τούτου νομήν, τῶν δὲ Ποταμηνῶν ὀφειλόντων ἐπὶ ταῖς οἰκείαις ἀρκεῖσθαι παροικικαῖς ὑποστάσεσιν. ἐπὶ τούτῳ ἐγεγόνει τῷ μέρει τῆς σεβασμίας μονῆς τῶν Λέμβων εἰς ἀσφάλειαν καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός †.

† Εἶχε τὸ· μηνὶ ἰανουαρίῳ ἰνδικτιῶνος ἐννά-

της δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

VI. Ἕτερον σημείωμα ὑπὲρ τοῦ προαστείου τῶν Σφούρνου, γεγονὸς παρὰ τοῦ μητροπολίτου Σμύρνης κυροῦ Γεωργίου τοῦ Καλοκτένους.

† Μηνὶ μαΐῳ ιε' ἡμέρᾳ ἕκτῃ ἰνδικτιῶνος δεκάτης.

Ὁ πανοσιώτατος ἐν ἱερομονάχοις καὶ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς ἁγίας μονῆς τῆς ὑπεράγνου ἡμῶν θεομήτορος τῶν Λέμβων, κῦρις Παῦλος, ὑπόμνησιν ἐποιήσατο εἰς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα μετὰ τῶν ὑπ' αὐτῶν τιμιωτάτων μοναχῶν περί τινος τοπίου, τὰ Σφούρνου καλουμένου, [κατεχομένου] παρὰ τοῦ λιζίου καβαλλαρίου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Συργαρῆ, παρῆν ἐν τῇ τοιαύτῃ ὑπομνήσει καὶ ὁ τοιοῦτος καβαλλάριος δικαίῳ τε οἰκείῳ καὶ δικαίῳ τῶν παροίκων αὐτοῦ τῶν Ποταμηνῶν, τῶν καὶ ἀνακαλουμένων τὸ τοιοῦτον τόπιον τὰ Σφούρνου, καὶ δι' ὄχλου πολλοῦ γινόμενα τὰ μέρη ἀμφότερα, ὥρισεν ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς τῷ περιποθήτῳ αὐταδέλφῳ τῆς ἁγίας αὐτοῦ βασιλείας, τῷ πανευγενεστάτῳ Κομνηνῷ τῷ Τορνίκῃ τηρῆσαι τὴν τοιαύτην ὑπόθεσιν διμερῶς καὶ ἔκτοτε τὸ ἐπικριθὲν παρὰ τῆς αὐτοῦ ἀντιλήψεως στερκτέον εἶναι χωρίς τινος δικαιολογίας, καὶ δικαιολογουμένων καὶ ἀμφοτέρων τῶν μερῶν περὶ τοῦ τοπίου τὰ Σφούρνου, αὐτίκα ἐνεχείρισεν ὁ διαληφθεὶς καθηγούμενος κρίσιν καὶ ἀποκατάστασιν δικαίαν τοῦ περιποθήτου θείου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Ἀγγέλου γεγονυίας τῷ καθηγουμένῳ, ὅτε τὴν δουκικὴν ἀρχὴν περιεῖπε τοῦ θέματος τῶν Θρακησίων, καὶ ἀναγνοὺς τὰ ἐν αὐτῇ ὁ περιπόθητος αὐτάδελφος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἐξεῖπε τῷ Συργαρῇ, ὡς οὐκ ἔχουσι δίκαιον οἱ πάροικοί σου κατοικεῖν εἰς τὸν αὐτὸν τόπον, ἀλλ' ἐκεῖσε ὀφείλουσι καθίσαι, ἔνθα καὶ σωζομένης τῆς πόλεως ἐκάθηντο. ὁ δέ γε Συργαρὴς ἔλεγεν, ὡς ἀδικοῦνται οἱ πάροικοι αὐτοῦ. αὐτίκα καὶ ὁ Κομνηνὸς ἐξεῖπε τὰ μέρη ἀμφότερα, καὶ ἐπεὶ οὐκ ἀναπαύεσθαι εἰς τοῦτο ἂς ἐπομόσωνται οἱ

μάρτυρες, οὓς προσεκαλέσατο ὁ περιπόθητος θεῖος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὁ Ἄγγελος, ὅτε τὴν τοιαύτην κρίσιν ἐποίησε, καὶ κατεδέξαντο τοῦτο τὰ μέρη ἀμφότερα, ἵνα χωρισθῶσι τὰ δίκαια τῶν Ῥοφινιανῶν διὰ σταυροδιαβασίας. καὶ μέντοι καὶ μετακαλεσάμενοι καὶ ἡμεῖς τὰ μέρη ἀμφότερα, ὡς ἵνα παρουσιάσωμεν εἰς τὸν τοιοῦτον τόπον τὰ Σφούρνου, ὃ καὶ ποιήσαντες καὶ καταλαβόντες τὴν σήμερον πάλιν ἦσαν τὰ μέρη δικαιολογούμενα. αὐτίκα καὶ ὁ καθηγούμενος παρέστησε τοὺς προμαρτυρήσαντας Ῥουζάτας, τόν γε Θεόδωρον τὸν Τζυκαπίτην, τὸν Ζῶμον, τὸν Βρουλλᾶν καὶ τὸν ἕτερον Τζυκαπίτην παρουσίᾳ τοῦ διαληφθέντος καβαλλαρίου καὶ τῶν Μαντειανῶν παροίκων αὐτοῦ, τοῦ Τοξαρᾶ Ἰωάννου καὶ τοῦ Καλομοιραστοῦ Ξένου καὶ αὐτῶν τῶν ἑτέρων παροίκων αὐτοῦ τῶν Ποταμηνῶν· ὥρμησαν οἱ εἰρημένοι Ῥουζάται μετὰ προθυμίας ὅτι πολλῆς χωρῆσαι τὰ δίκαια τῶν Ῥοφινιανῶν μετὰ σταυροῦ, ἀλλ' ἔλεγον, δεῖξαι ἔχουσι καὶ τὰ γονικὰ αὐτῶν δὴ τῶν Ποταμηνῶν, ἔνθα τὴν σήμερον ἀναφαίνονται, ἐν ᾧ καὶ ἐλαῖαι ἵστανται, καρέαι, ῥοϊδέαι, συκαῖ, ναὶ μὴν καὶ αὐτὰ* τὰ οἰκήματα, εἰς ἃ οἱ γονεῖς τῶν Ποταμηνῶν προσεκάθηντο. ἡμεῖς οὖν παρεκλητεύσαμεν μὴ τελεσθῆναι τὸν τοιοῦτον ὅρκον, ἵνα μὴ διὰ οὐδαμινῶν καινοτομηθῇ τὸ θεῖον, καὶ συνηρέσθη ὁ ῥηθεὶς καθηγούμενος μετὰ τοῦ ὅλου μέρους τῆς μονῆς δοθῆναι τῷ καβαλλαρίῳ καὶ τοῖς παροίκοις αὐτοῦ ἀντὶ τῶν ἀναστημάτων ὧν ἀνέστησαν κραββατίνου ἀμπέλου καὶ ἑτέρων διαφόρων δένδρων, τὸ μέχρι καὶ τοῦ δικαίου προεκτιμηθὲν νομισματικὸν ποσὸν δοθῇ τοῖς Ποταμηνοῖς παρὰ τοῦ μέρους τῆς μονῆς, καὶ οὕτως ἀπέχειν αὐτοὺς τέλεον ἀπὸ τοῦ τοπίου τῶν Σφούρνων. εἶτα πάλιν ἐζήτησαν οἱ Ποταμηνοὶ καὶ ὁ αὐθέντης αὐτῶν δοθῆναι αὐτοῖς παρὰ τοῦ ῥηθέντος καθηγουμένου εἰς περιαίρεσιν παντὸς σκανδάλου τόπιον εἰς τὸ οἰκῆσαι τοῖς Ποταμηνοῖς παροίκοις τοῦ Συργαρῆ. ὁ δέ γε καθηγούμενος ὅλως εἰς τοῦτο οὐ κατένευσε διὰ τὸ εἶναι, ἔλεγεν, εἰς βλάβην τῆς ὑπ' αὐτὸν σεβασμίας βασιλικῆς ἁγίας μονῆς. ἀπὸ παρακλήσεως δὲ πολλῆς ἡμετέρας ἐπετυπώθη ἐνώπιον ἡμῶν καὶ τῶν ἄνωθεν δηλουμένων δοθῆναι αὐτοῖς τόπιον ἀνατολικὸν μέρος τοῦ ἁγίου Γεωργίου, ἐν ᾧ καὶ ἁλῶνιν, τὸ καὶ χωριζόμενον ἀπὸ τοῦ κατερχομένου ῥύακος μέχρι καὶ τῶν πευκῶν καὶ μὴ μετέχειν πέραθεν τοῦ ῥύακος τοῦ ἀποβλεπομένου ἀρκτώου μέρους, καὶ μυλῶνα ὁμοίως δοθῆναι

αὐτοῖς ἀνενέργητον, καὶ οὕτως μηδέν τι δοθῆναι τοῖς Ποταμηνοῖς παρὰ τοῦ μέρους τῆς μονῆς χάριν τῶν ἀναστημάτων ὧν ἀνέστησαν εἰς τὸ τόπιον τὰ Σφούρνου διὰ τὸ καταλογισθὲν τὸ τοιοῦτον τόπιον χάριν τῆς τιμῆς τῶν ἀναστημάτων αὐτῶν· ἀπὸ γὰρ τοῦ ἀλῶνος ὑπετοπώθη δοθῆναι αὐτοῖς τὸ τόπιον κατ' εὐθεῖαν μέχρι καὶ τῶν πευκῶν. ἀπὸ θελήσεως οὖν καὶ ἀμφοτέρων τῶν μερῶν τὴν παροῦσαν σημείωσιν ἐξεθέμεθα μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις †.

† Ὁ σημειούμενος δικαίῳ τοῦ παναγιωτάτου αὐθέντου καὶ δεσπότου μου τοῦ πανυπερτίμου ἀρχιεπισκόπου Σμύρνης, ἀχρεῖος ἐν διακόνοις, μέγας οἰκονόμος ὁ Καλοσινάρης Νικήτας.

Εἶχε καὶ ὄπισθεν ταῦτα· μηνὶ μαΐῳ ιθ' ἡμέρᾳ τρίτῃ ἰνδικτιῶνος ι' ἐπὶ παρουσίᾳ τῶν θεοφιλεστάτων κληρικῶν καὶ ἀρχόντων τῆς καθ' ἡμᾶς ἁγιωτάτης μητροπόλεως Σμύρνης τοῦ τε χαρτοφύλακος τοῦ Ἀγάλλωνος, τοῦ πρωτεκδίκου τοῦ Καθαροῦ, τοῦ ἱερέως τοῦ Βλαστάρη καὶ ἑτέρων †.

† Τὸ παρὸν σημείωμα κατ' ἐπιτροπὴν ἡμετέραν γεγονὸς ἐπεγράφη καὶ παρ' ἡμῶν βεβαιώσεως ἕνεκα μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις.

† Ὁ μητροπολίτης Σμύρνης Γεώργιος †.

VIII. Sine anno.

Acta, quibus monasterio conceditur et confirmatur possessio cellae S. Georgii Exocastritae et bonorum omnium, quae dictae cellae donatae fuerant.

I. Πρόσταγμα δωρεαστικὸν βεβουλλωμένον καὶ μετὰ κηροῦ χάριν τοῦ εἰς τὴν Σμύρνην μετοχίου τοῦ ἁγίου Γεωργίου τοῦ Ἐξωκαστρίτου †.

Ἐπεί, ὡς ὑπεμνήσθη ἡ βασιλεία μου, τὸ κατὰ τὴν Σμύρνην διακείμενον εὐκτήριον ὁ ἅγιος Γεώργιος ὁ Ἐξωκαστρίτης παρά τινος ἀνυφαντόρου ἀνεγερθὲν ἀκαταδούλωτον εἰάθη παρ' ἐκείνου, καὶ οὐδεὶς μετουσίαν ἔχει τινὰ ἐν τῷ τοιούτῳ εὐκτηρίῳ, εἰ μὴ ὁ μητροπολίτης Σμύρνης ἀναφορὰν, ἀρτίως δὲ εἰς τὸ τοιοῦτον εὐκτήριον κάθηται κοσμικός τις προσγενὴς τοῦ μεγάλου οἰκονόμου τῆς αὐτῆς μη-

τροπόλεως, τοῦ Ληστοῦ, ἀνήκειον δὲ καὶ ἔξω τῆς πρεπούσης τοῖς ἱεροῖς εὐλαβείας καὶ καταστάσεως τῇ βασιλείᾳ μου τοῦτο ἔδοξε, διορίζεται διὰ τῆς παρούσης προστάξεως, ἀνατεθειμένον εἶναι αὐτὸ τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων τῇ ἀρτίως ἀνακαινιζομένῃ παρὰ τῆς βασιλείας μου καὶ οἰκονομεῖσθαι τοῦτο εἴς τε τοὺς θείους ὕμνους καὶ τὰς ἱεροτελεστείας καὶ τὴν λυχναψίαν καὶ τὴν λοιπὴν πᾶσαν ἐπιμέλειαν παρὰ τοῦ καθηγουμένου τῆς αὐτῆς μονῆς, τοῦ ἀρχιερέως τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης ὀφείλοντος ἔχειν τὴν ἀναφορὰν καὶ μόνην ἐν ταῖς θείαις ἱεροτελεστίαις καὶ πλεῖον μηδὲν, καθὼς ὑπεμνήσθη ἡ βασιλεία μου. εἰάθη τοῦτο εἶναι ἐλεύθερον καὶ παρὰ τοῦ ἀνεγείραντος αὐτὸ ἀνοφάντορος, τοῦ πανσεβάστου σεβαστοῦ προκαθημένου Σμύρνης κυροῦ Γεωργίου τοῦ Μονομάχου ὀφείλοντος παραδοῦναι πρὸς αὐτὸν τὸ τοιοῦτον εὐκτήριον μετὰ πάσης τῆς περιοχῆς αὐτοῦ καὶ τῶν τούτῳ διαφερόντων.

† Εἶχε τό· μηνὶ ὀκτωβρίῳ ἰνδικτιῶνος πρώτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. † Τὸ καθ' ὁρισμὸν βασιλικὸν γεγονὸς παραδοτικὸν γράμμα χάριν τοῦ μετοχίου τοῦ ἁγίου Γεωργίου τοῦ Ἐξωκαστρίτου ὑπὸ τοῦ προκαθημένου τῆς Σμύρνης πανσεβάστου κυροῦ Γεωργίου τοῦ Μονομάχου †.

† Μηνὶ νοεμβρίῳ τρίτῃ ἡμέρᾳ δ' ἐπὶ παρουσίᾳ τῶν κληρικῶν τοῦ τε Ζωγράφου κυροῦ Ξένου, τοῦ μεγάλου σακελλαρίου κυροῦ Κωνσταντίνου τοῦ Βαρυπάτου, τοῦ νομικοῦ Νικολάου τοῦ Σοροπούλου, τοῦ περιποθήτου συμπενθεροῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως κυροῦ Λέοντος τοῦ Βοτέρη, τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Μανουὴλ καὶ ἑτέρων †.

† Ἐνεχείρισεν ἡμῖν ὁ πανοσιώτατος καθηγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεομήτορος τῶν Λέμβου, μοναχὸς κῦρις Γεράσιμος, θεῖον καὶ βασιλικὸν προσκυνητὸν ὁρισμὸν τάδε κατὰ ῥῆμα διοριζόμενον· ἐπεὶ ὡς ὑπεμνήσθη etc. ut supra in antecedente diplomate usque δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας

χειρὸς καὶ τὴν διὰ κηροῦ σφραγῖδα καὶ τὸ διὰ τοῦ Τορνίκη Δημητρίου. κατὰ τὴν περίληψιν γοῦν τοῦ τοιούτου προσκυνητοῦ βασιλικοῦ ὁρισμοῦ παραδεδώκαμεν τὸ τοιοῦτον εὐκτήριον πρὸς τὸν δηλωθέντα καθηγούμενον τῆς σεβασμίας βασιλικῆς καὶ ἁγίας μονῆς. τὰ δὲ ἐν αὐτῷ καθευρεθέντα βιβλία εἰσὶ ταῦτα· εὐαγγέλιον κυριακοδρόμιν, ἀπόστολος, εὐχολόγιον, τυπικόν, ἀναγνωστικὸν ἀρχόμενον ἀπὸ τοῦ ἰανουαρίου μηνὸς μέχρι καὶ τοῦ ἀπριλλίου, ἕτερον ἀναγνωστικόν, ὁ Γρηγόριος ὁ θεολόγος, ἕτερον ἀναγνωστικὸν τοῦ αὐτοῦ, ἑξαμην[αῖα] δύο πρῶτον καὶ δεύτερον μῆνα, ἕτερον βιβλίον, κανόνες τοῦ ἁγίου Γεωργίου.

Ὑπισχνούμενος ὁ μέγας οἰκονόμος ἐπιδοῦναι καὶ τὰ ἕτερα βιβλία· Στεφάνου Ἀργυροῦντος ἁγίου, τὰ ἱερὰ τῆς λειτουργίας, κηρία, λαμπάδας τρεῖς, βλατὴν τῆς ἁγίας τραπέζης, ὀσπήτιον, κεραμόστεγα ἐννέα, ἀφ' ὧν τὸ ἓν πύργος πίθος, μεστὸς οἴνου καὶ ἕτεροι πίθοι εὔχεροι, ἀμπέλιον τὸ ἐντὸς τῆς μονῆς, ἁλωκὴν καὶ τῶν ἑτέρων ὅλων ὑποστατικῶν μέλλουσι παραδοθῆναι αὐτῷ. ταῦτα οὕτως εὑρόντες παραδεδώκαμεν καθ' ὁρισμὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τῷ ῥηθέντι καθηγουμένῳ μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος πρώτης.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως προκαθήμενος Σμύρνης Γεώργιος σεβαστὸς ὁ Μονομάχος †.

III. † Ἕτερον πρόσταγμα δωρεαστικὸν χάριν τῆς σιταρκίας, ἧς ἔδιδε κατέτος τὸ μετόχιον τοῦ ἁγίου Γεωργίου τοῦ Ἐξωκαστρίτου.

† Ἡ βασιλεία μου ἀποχαρίζεται διὰ τῆς παρούσης τῷ κατὰ τὴν Σμύρνην μετοχίῳ τῆς σεβασμίας μονῆς τῶν Λέμβων τῷ ἐπιλεγομένῳ ὁ ἅγιος Γεώργιος ὁ Ἐξωκαστρίτης τὸ ἐπικείμενον αὐτῷ χάριν σιταρκίας ὑπέρπυρον ἕν, καὶ διορίζεται διὰ τῆς παρούσης προστάξεως μηδόλως ἀπαιτεῖσθαι τοῦτο παρὰ τῶν κατὰ καιροὺς ποιουμένων τὴν τῆς σιταρκίας ἀπαίτησιν ἐν τῇ χώρᾳ τῆς Σμύρνης δικαίῳ τοῦ δημοσίου, ἀλλ' ἐᾶσθαι τοῦτο ἀναπαίτητον ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, λέγεσθαι ὀφεῖλον καὶ τοῖς τοιούτοις ἀπαιτηταῖς τοῦ κεφαλαίου τῆς

σιταρκίας δι' ἐμφανείας σημειωμάτων προβαινόντων κατὰ τὸ σύνηθες. καταστρωθήσεται γοῦν δι' εἴδησιν. ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις καὶ ἐν τοῖς χαρτίοις τοῦ θεοφολάκτου βεστιαρίου τῆς βασιλείας μου, ἥτις ἐγεγόνει καὶ ἐπεδόθη τῷ μέρει τῆς μονῆς τῶν Λέμβων εἰς ἀσφάλειαν αἰωνίζουσαν.

† Εἶχε τό· μηνὶ αὐγούστῳ ἰνδικτιῶνος πέμπτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

IX. 6739—1231, mense ianuario, ind IV.

Monacha Xene Angelina cellae S. Georgii Exocastritae donat campum.

† Δωρεαστικὸν ἔγγραφον γεγονὸς παρὰ Ξένης μοναχῆς τῆς Ἀγγελίνης χάριν τοῦ χωραφίου τοῦ ἐπιλεγομένου Περιβόλιον καὶ ὧν ἔχει δένδρων.

Σίγνον	Ξένης
μοναχῆς	τῆς Ἀγγελίνης.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ξένη μοναχὴ ἡ Ἀγγελίνα ἡ ἐν τῷ παρόντι ὕφει ἤγουν ἐν τῇ ἀρχῇ αὐτοῦ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐγχαράξασα οἰκειοχείρως τὸ παρὸν δωρεαστικὸν ἔγγραφον τίθεμαι καὶ ποιῶ ἑκουσίως καὶ ἀμεταμελήτως, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἀπάτης ἢ χλεύης ἢ μηχανῆς ἢ ἄλλης τινὸς ἐπιψόγου αἰτίας καὶ τῆς ἐκ νόμων ἀποτετραμμένης, ἀλλὰ σὺν προθυμίᾳ μου πάσῃ, ὁλοψύχῳ προθέσει καὶ πολλῇ τῇ ἀποδοχῇ καὶ μεμεριμνημένου σκοποῦ πρὸς σέ, τὸν πανοσιώτατον πατέρα ἡμῶν καὶ καθηγούμενον τῆς σεβασμίας μονῆς τοῦ ἐν μάρτυσι περιωνύμου μεγαλομάρτυρος Γεωργίου τοῦ Ἐξωκαστρίτου τοῦ ἐν τῷ κατὰ τὴν Σμύρνην κάστρῳ διακειμένου καὶ πρὸς ἅπαν τὸ μέρος τῆς κατὰ σὲ ἁγίας μονῆς, καθὼς δηλωθήσεται. καὶ γὰρ τὸ ἀποδιδόναι τὰ μὲν καίσαρος καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ, θεία τις ἐστὶν ἐντολή. διά τοι τοῦτο κἀγὼ Ξένη μοναχὴ ἡ Ἀγγελίνα ἔφθασα πρὸ χρόνων ἱκανῶν μετὰ τῆς περιποθήτου μου αὐταδέλφης, τῆς πανευγενεστάτης ἐκείνης κυρᾶς Ἀγγελίνης, ἐκδοῦναι χάριν ψυχικῆς ἡμῶν σωτηρίας πρὸς τὴν δηλωθεῖσαν ἁγίαν μονὴν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου χωρά-

φιον τὸ πλησίον καὶ συνενωμένον μετὰ τῶν χωραφίων τῆς δηλωθείσης μονῆς καὶ ἐπιλεγόμενον τὸ Περιβόλιον, ὅπερ ἀρτίως ἔχει ἐντὸς τούτου καὶ δένδρα συκάμινα. ἔφθασε γοῦν ἐκ ποδῶν γενέσθαι τὸ παρ' ἡμῶν γεγονὸς δωρεαστιτὸν ἔγγραφον πρὸς τὴν σεβασμίαν μονήν· ἀναμαθοῦσα τοίνυν ἔγωγε τὴν ἀφάντωσιν τοῦ ἐγγράφου ἡμῶν ἠθέλησα ἀντ' ἐκείνου ποιῆσαι ἕτερον ἔγγραφον, καὶ ἰδοὺ διὰ τοῦ παρόντος μου ἐγγράφου συμφωνῶ καὶ ἀσφαλίζομαι πρὸς σὲ, τὸν τιμιώτατον αὐτῆς καθηγούμενον κῦριν Γεράσιμον, καὶ πρὸς ἅπαν τὸ μέρος τῆς κατὰ σὲ ἁγίας μονῆς καὶ πρὸς τοὺς μέλλοντας μετὰ τὴν σὴν πρὸς κύριον ἐκδημίαν τῆς προστασίας τῆς ἡγουμενείας ἐπιστατεῖν, ὡς οὐδέποτε γενήσεταί τις ἀνατροπὴ ἐπὶ τῷ παρόντι δωρεαστικῷ ἐγγράφῳ ἡμῶν, ἀλλ' ἵνα κατέχηται τὸ τοιοῦτον χωράφιον παρὰ σοῦ καὶ τοῦ μέρους τῆς ὑπὸ σὲ σεβασμίας μονῆς καὶ τῶν ὑπ' αὐτὴν ἐνασκουμένων μοναχῶν ἀδιασείστως πάντη καὶ ἀμετακινήτως εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους καὶ ποιεῖν ἐπ' αὐτῷ, εἴ τι καὶ βούλει, μὴ παρά τινος ἀνατρεπόμενοι τὸ σύνολον· καὶ οὐκ ὀφείλω ἔγωγε αὐτὴ ἢ τίς τῶν ἐμῶν συγγενῶν τε καὶ τῶν πόρρωθεν ἀπὸ τοῦ νῦν πώποτε εἰς μετάμελόν τινα ἐλθεῖν· εἰ γὰρ βουληθῶ ποτε τῶν καιρῶν, οὐ μόνον οὐ μὴ εἰσακούσομαι, ἐφ' οἷς ἂν ἔχω λέγειν, ἢ εἰς ἄρνησιν τοῦ παρόντος μου ἐγγράφου χωρῆσαι βουληθῶ ἢ ἀνατρέψαι καὶ ἀθετῆσαι ἓν καὶ μόνον ῥῆμα τῶν ἐντεῦθεν ἀναγεγραμμένων, ἀλλ' ἵνα ἐκδιώκωμαι ἄπρακτος καὶ ἀνήκοος ἀπὸ παντὸς δικαστηριακοῦ βήματος, ἐπισπᾶσθαι καὶ τὰς ἀρὰς τῶν τριακοσίων ὀκτωκαίδεκα ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, ζημιουμένη πρὸς μὲν τῷ μέρει τῆς κατὰ σὲ μονῆς τῇ ἐμφανείᾳ τοῦ παρόντος ἐγγράφου μου νομίσματα λίτραν μίαν χρυσᾶ, πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τρίτον τούτων, σὺν τῷ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν μου δωρεαστικὸν ἔγγραφον, ὅπερ ἐγράφη παρ' ἐμοῦ τοῦ προσκληθέντος ἱερομνήμονος τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας, Ἰωάννου ἱερέως τοῦ Κονίδη, ἐνώπιον τῶν ὑποτεταγμένων μαρτύρων μηνὶ ἰανουαρίῳ ἰνδικτιῶνος δ' ἔτους ,ϛφλθ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Μιχαὴλ ὁ Φωκᾶς †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐ-

θέντου καὶ βασιλέως Μανουὴλ ὁ Ἄγγελος μαρτυρῶν ὑπέγραψα †.

† Ἰωάννης ἱερεὺς καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας ὁ Σελλάρης τὰ ἄνωθεν μαρτυρῶν ὑπέγραψα †.

† Ὁ ἱερομνήμων τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας Ἰωάννης ὁ Κονίδης προσκληθεὶς παρὰ τῆς ἄνωθεν σιγνογραφησάσης καὶ τὰ ἐν τῷ παρόντι γράψας καὶ μαρτυρῶν ὑπέγραψα καὶ αὐτός †.

X. 6739—1230, mense septembri, ind. IV.

Donatio salinae facta cellae S. Georgii Exocastritae.

† Ἐκδοτήριον ἔγγραφον τῶν παίδων τοῦ Βάλκη χάριν τῆς ἁλυκῆς ἧς ἐπαφῆκεν ὁ πατὴρ αὐτῶν εἰς τὸν ἅγιον Γεώργιον τὸν Ἐξωκαστρίτην χάριν καταθεσίμου ἐκείνου †.

Σίγνον	Ξένου	Σίγνον	Ἄννης	Σίγνον	Γεωργίου τοῦ
τοῦ	Βάλκη.	τῆς γνησίας	συζύγου αὐτοῦ.	γνησίου	υἱοῦ αὐτοῦ.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου, ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ἐπὶ τῆς βασιλείας τῶν εὐσεβεστάτων καὶ ἐκ θεοῦ ἐστεμμένων βασιλέων ἡμῶν, Ἰωάννου μεγάλου βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων τοῦ Δούκα καὶ Εἰρήνης τῆς εὐσεβεστάτης αὐγούστης, Ξένος ὁ Βάλκης καὶ Ἄννα ἡ γνησία σύζυγος αὐτοῦ καὶ Γεώργιος ὁ γνήσιος υἱὸς τούτων, οἱ καὶ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ἐγχαράξαντες τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον καὶ εἰς τὸ ἑξῆς σύμφωνον καὶ ἐκδοτικὴν ἀσφάλειαν τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπαναύργως, ἀμεταμελήτως, καθαρῶς, ἀπεριέργως καὶ ἐκτὸς δολεροῦ τρόπου, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ ἄλλης ὁποιασοῦν ἀφορμῆς καὶ προφάσεως, ἀλλὰ μᾶλλον μετὰ πάσης ἡμῶν τῆς προθυμίας καὶ ἁπλότητος πρὸς σέ, τὸν πανοσιώτατον καὶ ἡγιασμένον καθηγούμενον τῆς αὐτοδεσπότου σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῆς ἐν τῷ

ὄρει διακειμένης καὶ ἐγχωρίως ἐπικαλουμένης τῆς ὑπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου τῆς Λεμβιωτίσσης, τὸν ἱερομόναχον κῦριν Γεράσιμον, καὶ πρὸς τοὺς ὑπ' αὐτὴν ἀσκουμένους μοναχοὺς ἅπαντας, ἀλλὰ δὴ καὶ πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς. καὶ γὰρ ὁ πατὴρ ἡμῶν ὁ διὰ τοῦ μοναχικοῦ σχήματος ἐπικληθεὶς Γεράσιμος τῷ τέλει τοῦ βίου χρησάμενος ᾑρετίσατο ἐν τῇ μονῇ τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Ἐξωκαστρίτου τὸ σῶμα αὐτοῦ ἐνσοριασθῆναι, καὶ προσεκύρωσεν εἰς μνημόσυνον αὐτοῦ ἐτήσιον ἐν τῇ ἁγίᾳ ταύτῃ μονῇ ἀφ' ὧν εἶχεν ἀλοκῶν ἐργαστηρίων ἀλοκὴν μίαν ὕπεργον· μετὰ δὲ τὴν ἀποβίωσιν τοῦ κτήτορος ἐκείνου τῆς ἁγίας ταύτης μονῆς τοῦ πανάγίου Γεωργίου κατείχετο παρ' ἐμοῦ ἡ ἥμισυ εἴσοδος τῆς τοιαύτης ἀλοκῆς ἕως τῆς σήμερον· τὰ νῦν δὲ ὁ ῥηθεὶς καθηγούμενος ἐνεφάνισε τὴν καθαρὰν διαθήκην τοῦ κτήτορος ἐνώπιον τοῦ πανσεβάστου σεβαστοῦ πανοικειοτάτου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, προκαθημένου Σμύρνης, κυροῦ Γεωργίου τοῦ Μονομάχου, καὶ εὗρεν ἐν ταύτῃ τῇ διαθήκῃ καὶ τὴν τοῦ Βάλκη διακειμένην ὅλην ἀλοκήν. καὶ πολλῶν λόγων χυθέντων μέσον ἡμῶν περί τε τῆς ἥμισυ καὶ τῆς ὅλης ταύτης εἰσόδου ὕστερον μετὰ πάσης ἡμῶν τῆς προθυμίας καὶ ἁπλότητος καὶ παραινέσεως τοῦ αὐθέντου ἡμῶν, τοῦ προκαθημένου καὶ ἑτέρων εἰρηνοποιῶν ἀνδρῶν τῶν ἐκεῖσε παραγενομένων καὶ ἐπὶ πλέον μνημόσυνον τοῦ πατρός μου ἐκείνου τὰς συνήθεις προταγὰς οἱ ὁμόζυγοι ἡμεῖς ἐπεδώκαμεν τῷ μέρει τῆς μονῆς δι' ἀσφάλειαν περισσοτέραν τῆς διαθήκης τοῦ πατρός μου ἐκείνου. ὅθεν καὶ ὀφείλει ἡ ῥηθεῖσα σεβασμία ἁγία μονὴ ἔχειν καὶ κατέχειν τὴν τοιαύτην ἀλοκὴν ἅπασαν τὴν διακειμένην ἐν τῇ τοποθεσίᾳ τοῦ Λιγῶνος, τὴν καὶ πλησίον ἀπὸ μέρους ἀνατολικοῦ τῆς ἀλοκῆς τοῦ Πιθιανοῦ, ἀπὸ δὲ δυσικοῦ μέρους τοῦ νομικοῦ τοῦ Καμπάνη καὶ τῆς Πετριτζίνης. μέσον δὲ τούτων ἡ δοθεῖσα ἀλοκὴ παρὰ τοῦ Ξένου τοῦ Βάλκη ἡ οὖσα χωρισμάτων ὀκτώ, κατέχειν ταύτην καὶ νέμεσθαι ἡ ἁγία μονὴ κυρίως, αὐθεντικῶς καὶ μονομερῶς μετὰ παντὸς τοῦ μέρους αὐτῆς, ἔστ' ἂν τὸ περίγειον συνίσταται καὶ ἐφορᾷ καὶ τὸ πᾶν ὁ ἥλιος, ἄδειαν ἔχουσα ἡ μονὴ ἐπ' αὐτῇ ποιεῖν καὶ πράττειν εἰς αὐτὴν κατὰ τὸ αὐτῆς βουλητόν, καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς τελείοις καὶ ἀληθέσι δεσπόταις τὴν ἐξουσίαν παρέχουσιν ἐν τοῖς ἰδίοις ποιεῖν, μὴ ἀνακαλουμένων τῶν ὁμοζύγων ἡμῶν ἢ ἀπὸ τῶν ἐξ

ὀσφύος τεχθέντων παίδων ἡμῶν ἐπ' αὐτὴν νομήν τινά ποτε ἢ μερικὴν ἢ ὁλόκληρον, ἢ ἀπὸ τῶν καθ' αἷμα προσῳκειωμένων συγγενῶν ἡμῶν ἢ τῶν πόρρω τὴν οἱανοῦν ὄχλησιν προσενεγκεῖν τῇ ῥηθείσῃ ἁγίᾳ μονῇ· πρὸς τὸ μὴ εἰσακούεται ὅλως, ἀλλ' ἡμεῖς ὀφείλομεν διεκδικεῖν καὶ δεφενδεύειν τὴν δηλωθεῖσαν ἁγίαν μονὴν μετὰ παντὸς τοῦ μέρους ἡμῶν καὶ ἐκ πάσης ἡμῶν τῆς περιουσίας ἀνενόχλητον καὶ ἀζήμιον. οὕτως οὖν τῆς παρούσης ἡμῶν ἐκδοτηρίου συμφωνίας καὶ ἀσφαλείας τῆς καὶ τόπον ἐπεχούσης καθαρᾶς καὶ φανερᾶς δωρεᾶς, λοιπὸν καὶ ἐπερωτώμενοι ὁμολογοῦμεν τοῦ μὴ εἰς ἀνατροπὴν ἢ μεταμέλειαν αὐτῆς ὅλως χωρηθῶμεν ἢ ἑνὸς καὶ μόνου φιλοῦ ῥήματος ἐναλλάξαι ἢ ἀθετῆσαι ἢ ἔξωθεν τῆς παρούσης ἡμῶν συμφωνίας βουληθῇ διαπράξασθαι πρὸς τὸ μὴ εἰσακούεται ὅλως τοῦ ἐγγράφου ἡμῶν ἐμφανιζομένου, ἀλλὰ καὶ πρὸ δίκης ἁπάσης καὶ δίχα δόσεως λιβέλλου καὶ δικαστικῆς ἀκολουθίας καὶ παντὸς ἑτέρου δικαστικοῦ διατάγματος μόνῃ τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμετέρου ἐγγράφου ἵνα ἀπέρχηται ἀπὸ παντὸς νόμου καὶ δικαστηρίου καταδεδικασμένος καὶ ὑπὲρ προστίμου παρέχειν ἐν τῇ μονῇ νομίσματα χρυσᾶ εἰκοσιπέντε καὶ εἰς τὸ δημόσιον τὸ κατὰ νόμους, ἀλλὰ καὶ τὰς ἀρὰς ἐπισπάσηται τῶν τριακοσίων ὀκτωκαίδεκα ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ συναρίθμιος μετὰ τοῦ προδότου Ἰούδα λογισθήσεται· τοῦ γὰρ παρόντος ἡμῶν ἐγγράφου ἀρκεῖν ὀφείλ[οντος] τῷ μέρει τῆς μονῆς ἀντὶ σωματικῆς παραδόσεως καὶ εἰς σχολὴν νομικήν· πρὸς τῷ καὶ οὕτως ἐρρῶσθαι καὶ βεβαίαν διαμένειν τὴν παροῦσαν ἡμῶν ἐκδοτήριον συμφωνίαν εἰς τὸν αἰῶνα τὸν ἅπαντα ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων μηνὶ σεπτεβρίῳ ἰνδικτιῶνος δ' ἔτους ,ϛφλθ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Γεώργιος σεβαστὸς ὁ Μονομάχος †.

† Ὁ δοῦλος τοῦ βασιλέως τοῦ ἁγίου Μιχαὴλ σεβαστὸς ὁ Καδιανὸς μαρτυρῶν ὑπέγραφα †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Θεοφύλακτος σεβαστὸς ὁ Βραχιωνίτης †.

† Ὁ μέγας οἰκονόμος τῆς ἁγιωτάτης μητρο-

πόλεως Σμύρνης Λέων ὁ Ληστὴς μαρτυρῶν ὑπέγραφα †.

† Ὁ εὐτελὴς διάκονος, νομικὸς καὶ πρωτονοτάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Θεόδωρος ὁ Ἀστραγαλῖνος καὶ αὐτὸς μαρτυρῶν ὑπέγραφα †.

† Ὁ εὐτελὴς ἱερεύς, νομικὸς καὶ σακελίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ πριμμικήριος τῶν ταβουλλαρίων Ἰωάννης ὁ Καμπάνης καὶ αὐτὸς ὁμοίως τὰ τῷ ὕφει δηλούμενα γράφας καὶ μαρτυρῶν ὑπέγραφα †.

XI. 6739—1231, mense iulio, ind. IV.

Anna Comnena vendit monasterio campum in castro antiquo Smyrnae.

† Ἕτερον πρατήριον ἔγγραφον τῆς γυναικὸς τοῦ Κομνηνοῦ ἐκείνου κυροῦ Μανουὴλ χάριν τοῦ πλησιάζοντος χωραφίου τὸν ἐντὸς τοῦ παλαιοῦ κάστρου ναὸν τοῦ ἁγίου Δημητρίου.

Σίγνον | Ἄννης
τῆς γνησίας γυ|ναικὸς
τοῦ ἀποιχομένου ἐκεί|νου κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἄννα ἡ γνησία σύζυγος τοῦ ἀποιχομένου ἐκείνου κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ ἡ ἄνωθεν τοῦ παρόντος ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἰδιοχείρως ποιήσασα τὴν παροῦσαν ἔγγραφον καθαράν, φανερὰν πρᾶσιν τὴν ἐσαεὶ τὸ ἀστασίαστόν τε καὶ ἀπερικλόνητον ἔχειν ὀφείλουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν μέχρι καὶ ψιλοῦ ῥήματος τίθεμαι καὶ ποιῶ ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανούργως καὶ ἀμεταμελήτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ ἄλλης τινὸς ἐπιφόγου καὶ τῆς τῶν νόμων ἀποτετραμμένης αἰτίας, ἀλλὰ μᾶλλον σὺν προθυμίᾳ ἡμῶν πάσῃ καὶ ὁλοψύχῳ βουλῇ καὶ θελήσει καὶ τῇ συναινέσει παντὸς τοῦ μέρους ἡμῶν πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου

θεοτόκου τῆς Λεμβιωτίσσης, τὸν ἱερομόναχὸν κῦριν Γεράσιμον, καθὼς δηλωθήσεται· καὶ γὰρ τὸ χωράφιόν μου, ὅπερ κέκτημαι εἰς τὸ παλαιὸν κάστρον τῆς Σμύρνης πλησίον τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου, τὸ ἔχον μὲν ἀπὸ δυτικοῦ μέρους τὸ ἕτερόν μου χωράφιον, ὅπερ δέδωκα τῇ περιποθήτῳ μου θυγατρί, ἀπὸ δὲ ἀνατολικοῦ μέρους τὸ περιβόλιον τῆς Ἀγγελίνης, ἤγουν τὸ μέσον τούτων, οἷον καὶ ὅσον ἐστί, πιπράσκω πρὸς σέ, τὸν καθηγούμενον τῆς ὑπεραγίας θεοτόκου ἐπὶ τιμήματι νομίσματος ὑπερπύρου ἑνός, ὅπερ τίμημα λαβὼν τὴν σήμερον ἀπὸ τῶν χειρῶν σου σῷον καὶ ἀνελλιπὲς κατὰ τὸ ἀπαράλειπτον, καὶ ἰδοὺ ὀφείλει ἔχειν καὶ κατέχειν αὐτὸ ἡ μονὴ τῆς ὑπεραγίας θεοτόκου κυρίως, ἐξουσιαστικῶς, ἰδικῶς, μονομερῶς, ἀπαρασπάστως, ἀκωλύτως καὶ ἀνεπιφωνήτως, ἄδειαν ἔχοντός σου ἐπὶ τούτῳ καὶ πᾶσαν ἐξουσίαν πωλεῖν αὐτό, χαρίζειν, ἀνταλλάττειν καὶ ἄλλως, ὡς δόξει σοι, τὰ περὶ τούτου διοικεῖν καὶ οἰκονομεῖν, καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς τελείοις δεσπόταις τὴν ἐξουσίαν παρέχουσιν ἐν τοῖς ἰδίοις ποιεῖν, καὶ οὐ μὴ εὑρήσεις ὄχλησιν ποτὲ τῶν καιρῶν ἢ ἀφ' ἡμῶν τῶν πιπρασάντων ἢ καὶ ξένων προσώπων μέχρι ψιλοῦ ῥήματος. εἰ δ' οὖν, οὐ μόνον τὸ τίμημα ἵνα ἀντιστρέψωμεν ἐπὶ τὸ διπλάσιον, ἀλλὰ ζημιωθησόμεθα καὶ εἰς τὸν δημόσιον ὑπέρπυρον ἕν, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγοντες ἢ ἐκκλησιαστικήν. μηνὶ ἰουλίῳ ἰνδικτιῶνος δ' ἔτους ,ςφλθ' †.

Σίγνον τοῦ Βάλκη	Ξένου καὶ μάρτυρος.	Σίγνον τοῦ Μη	Ἰωάννου λᾶ καὶ μάρτυρος.	Σίγνον Μηλᾶ	Λέοντος τοῦ καὶ μάρτυρος.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικός, κληρικὸς καὶ ἄρχων τῶν μοναστηρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Νικόλαος ὁ Συρόπουλος, γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

XII. 6746—1237, mense novembri, ind. XI.

Georgius, metropolita Smyrnae, et clerici eius donant monasterio campum situm in loco dicto Ommata.

† Τὸ χωράφιον τὸ ὂν καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τοῦ Ὀμματᾶ τὸ καὶ περιελθὸν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ μητροπόλει Σμύρνης ἀπὸ προσενέξεως τῆς εὐγενεστάτης Κομνηνῆς Ἄννης καὶ πλησίον

καὶ συγκεκολλημένον τῆς μονῆς τοῦ ἁγίου Γεωργίου τοῦ Ἐξωκαστρίτου, τῆς ἀνατεθειμένης εἰς μετόχιον εἰς τὴν σεβασμίαν βασιλικὴν καὶ ἁγίαν μονὴν τῆς ὑπεράγνου ἡμῶν θεομήτορος τῶν Λέμβων καὶ πλησίον τῶν χωραφίων . . . . τὸ καὶ ἐν τῷ κατωτέρῳ μέρει τῆς δόσεως συγκεκολλημένον μετὰ τοῦ ἑτέρου χωραφίου τῆς ῥηθείσης μονῆς τοῦ ἁγίου Γεωργίου καὶ ἁπλῶς μέσον ὂν τὸ τοιοῦτον χωράφιον, ἤγουν τῶν δικαίων τῆς μονῆς τοῦ Ἐξωκαστρίτου καὶ τῶν, ὡς εἴρηται χωραφίων, οἷον καὶ ὅσον ἐστὶν, ἐκδιδόαμεν αὐτὸ τῇ διαληφθείσῃ σεβασμίᾳ ἁγίᾳ μονῇ τῶν Λέμβων καὶ τῷ ταύτης προεστῶτι, πανοσιωτάτῳ καὶ ἡγιασμένῳ ἐν ἱερομονάχοις, κυρῷ Παύλῳ, καὶ ἁπλῶς τῷ ὅλῳ μέρει τῆς τοιαύτης σεβασμίας ἁγίας βασιλικῆς μονῆς, ὥστε κατέχειν αὐτὸ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, καὶ ποιεῖν ἐπ' αὐτῷ πάντα τὰ δοκοῦντα τῇ τοιαύτῃ ἁγίᾳ μονῇ, εἴτε εἰς κηπωρίον ἔχειν αὐτὸ ἢ καὶ εἰς ἀμπελῶνα καταφυτεῦσαι ἢ καὶ εἰς δαπητικὴν τῆς μονῆς ἀνάπαυσιν ἀνεγείρειν ἐπ' αὐτῷ, ἐπιτελεῖν δὲ χάριν τοῦ τοιούτου χωραφίου, κἂν εἰς οἵαν ἄρα βελτίωσιν τοῦτο ἀποκαταστήσῃ, πρὸς τὴν καθ' ἡμᾶς ἁγιωτάτην μητρόπολιν ἑκάστῳ χρόνῳ κηροῦ λίτραν μίαν, καὶ οὕτως μὴ ὑφορᾶσθαι ἔκπτωσιν τῆς κατοχῆς καὶ νομῆς τοῦ τοιούτου χωραφίου, διὸ καὶ οἱ μεθ' ἡμᾶς ἐλευσόμενοι ἁγιώτατοι ἀρχιερεῖς ἕξουσιν ἄδειαν ἢ οἱ τὰ τῆς ἁγιωτάτης μητροπόλεως οἰκονομοῦντες ὅλως παρασαλεῦσαι τῷ μέρει τῆς μονῆς τῶν Λέμβων ἕνεκεν τῆς κατοχῆς καὶ νομῆς τοῦ τοιούτου χωραφίου, ἵνα καὶ οἱ μετ' ἐκείνους ἁγιώτατοι ἀρχιερεῖς τὰς ἐκδόσεις καὶ πράξεις αὐτῶν στερκτέας κατὰ πάντη καὶ ἐπὶ πᾶσιν ἔχωσι καὶ ἀπαρασαλεύτους, ὡς καὶ ἡμεῖς ποιήσαντες εἰς τὰς τῶν πρὸ ἡμῶν ἁγιωτάτων ἀρχιερέων· ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα συγιλλιώδης γραφὴ ἐγεγόνει τῷ διαληφθέντι πανοσιωτάτῳ καθηγουμένῳ τῆς πολλάκις ῥηθείσης μονῆς τῶν Λέμβων, ἡγιασμένῳ ἐν ἱερομονάχοις, κυρῷ Παύλῳ, καὶ τῷ ὅλῳ μέρει αὐτῆς εἰς ἀσφάλειαν, ὑπογραφὲν καὶ παρ' ἡμῶν τῶν ἐλλογιμωτέρων κληρικῶν καὶ ἀρχόντων τῆς καθ' ἡμᾶς ἁγιωτάτης μητροπόλεως Σμύρνης, μηνὶ νοεμβρίῳ, ἰνδικτιῶνος ια' ἔτους ,ςψμς' †.

† Ὁ μητροπολίτης Σμύρνης καὶ ὑπέρτιμος Γεώργιος †.

† Ὁ ἀχρεῖος ἐν διακόνοις, μέγας οἰκονόμος τῆς

ἁγιωτάτης μητροπόλεως Σμύρνης ὁ Καλοσινάρης Νικήτας προτροπῇ δεσποτικῇ αὐθεντικῇ ἡμῶν ὑπέγραφε †.

† Ὁ πρωτοπαπᾶς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Μιχαὴλ ὁ Μασταυρηνὸς καὶ αὐτὸς μαρτυρῶν ὑπέγραφα †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ αὐτὸς μαρτυρῶν ὑπέγραφα †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ πρωτέκδικος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Κωνσταντῖνος ὁ Καθαρὸς καὶ αὐτὸς ὑπέγραφα †.

XIII. Sine anno, mense februario, ind. V.

Imperator confirmat monasterio exemptionem a vectigali piscationis.

† Ἕτερον πρόσταγμα ἐξκουσσεῦον τὸ τέλος τῆς ἁλείας τοῦ χειρογρυπίου τῆς μονῆς †.

† Οἰκεῖε τῇ βασιλείᾳ μου πιγκέρνη, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, Κομνηνὲ κῦρ Ἰωάννη Κανταχουζηνέ. τὸ μέρος τῆς σεβασμίας μονῆς τῶν Λέμβων ἀνέφερε τῇ βασιλείᾳ μου, ὡς ὁ βεστιαρίτης τῆς βασιλείας μου, ὁ Καδιανὸς, ἔχων διὰ πρακτικοῦ αὐτοῦ τὴν ἁλείαν τῶν ἁλιευτικῶν σανδαλίων οὐκ ἀρκεῖται εἰς τὸ ἀναλαμβάνειν τούτου, ἀφ' ὧν ἀνήκει τοῦτο αὐτῷ, ἀλλὰ διασείει καὶ τὴν τοιαύτην μονὴν εἰς ὃ ἔχει χειρογρύπιον, καὶ ταῦτα ἔχουσαν ὁρισμὸν τῆς βασιλείας μου, ἵνα μὴ διασείηται αὕτη εἰς τοῦτο παρὰ τοῦ τοιούτου Καδιανοῦ. διορίζεται οὖν σοι ἡ βασιλεία μου, ὡς ἂν εἴπερ ἔχει ὁρισμὸν ἡ μονὴ εἰς τὸ μὴ διασείεσθαι παρὰ τοῦ εἰρημένου Καδιανοῦ διὰ τὸ ἔχειν αὐτὸν τὸ δίκαιον τῆς ἁλείας, ἐπιφωνήσῃς αὐτῷ ἀπέχειν τέλεον ἀπὸ τοῦ τοιούτου χειρογρυπίου αὐτῆς καὶ μὴ ἐνοχλεῖν κατά τι ἕνεκα τούτου τῷ μέρει τῆς δηλωθείσης μονῆς, ἀλλὰ καί, εἴ τι παραλόγως ἀπῆρεν ὁ Καδιανὸς ἐκ τῶν μοναχῶν ἕνεκα τῆς τοιαύτης ὑποθέσεως, καταναγκάσῃς αὐτὸν ἀντιστρέψαι αὐτοῖς, ἀντιστρέψῃς δὲ εἰς ἀσφάλειαν αὐτοῖς καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

Εἶχε τὸ μηνὶ φευρουαρίῳ ἰνδ. πέμπτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

XIV. Sine anno, mense maio, ind. IX.

Dirimitur controversia de possessione quarumdan domorum a monasterio emptarum in castro novo Smyrnae.

† Σημειομαρτύριον γράμμα περὶ τῶν ἐντὸς τοῦ Νέου Κάστρου οἰκημάτων, ὧν ἐξωνήσατο ἡ μονὴ ἀπὸ τοῦ σεβαστοῦ τοῦ Μονομάχου †

† Μηνὶ μαΐῳ θ' ἰνδ. α' ἐπὶ παρουσίᾳ τῶν χρησιμωτάτων βασιλικῶν ἀνθρώπων, τοῦ τε πανσεβάστου προκαθημένου κάστρου Σμύρνης, κυροῦ Γεωργίου τοῦ Καλοειδᾶ, τοῦ πανσεβάστου Λωσταρᾶ κυροῦ Νικηφόρου, τοῦ πανσεβάστου Ταπεινοῦ κυροῦ Νικήτα, τοῦ Βατάτζου κυροῦ Ἰωάννου, τοῦ ἐλλογιμωτάτου γραμματικοῦ τοῦ θέματος τῶν θρακησίων, κυροῦ Γεωργίου τοῦ Προβατᾶ, ἐντυχόντος καὶ τοῦ ἱερωτάτου ἐπισκόπου Ψιθύρων καὶ ἀπὸ τῶν κληρικῶν τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης τοῦ πρωτεκδίκου κυροῦ Ἰωάννου τοῦ Κουνάλη τοῦ ῥαιφερενδαρίου καὶ ταβουλλαρίου, κυροῦ Ἰωάννου τοῦ Ἀργυροπούλου καὶ ἑτέρων †.

† Ἔφθασε μὲν πρότριτα ὁ τιμιώτατος καθηγούμενος τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῶν Λέμβων, ἱερομόναχος κῦρ . . . καὶ οἱ ὑπ' αὐτὸν μοναχοὶ ἐξωνήσασθαι ὀσπήτια ἐντὸς τοῦ κάστρου τὰ παρὰ τοῦ πανσεβάστου Μονομάχου ἐκείνου ἀνεγερθέντα ἀπὸ τοῦ πανσεβάστου Ταπεινοῦ δι' ἐνυπογράφου πρατηρίου γράμματος αὐτοῦ τε καὶ τῶν παίδων αὐτοῦ, ἐν ᾧ δὴ πρατηρίῳ ἐγγράφῳ καὶ ἐμπεριειλημμένα εἰσὶ πάντα τὰ οἰκήματα καὶ ἡ τούτων εἰσοδοέξοδος, ἄνευ μέντοι τοῦ ἑνὸς ὀσπητίου καὶ τοῦ κελλοπούλου τοῦ προδοθέντος ἀπὸ διατάξεως τοῦ Μονομάχου ἐκείνου κῦρ Θεοδώρου πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τοῦ ἐν θαύμασι περιωνύμου ἁγίου μυροβλύτου Νικολάου τοῦ οὕτωσὶν ἐπονομαζομένου τοῦ Καλόφα, ἔνθεν τοι καὶ οὐκ ὀλίγαι διενέξεις τε καὶ ὀχλήσεις συνέβησαν μέσον τῶν δηλουμένων δύο καθηγουμένων, τῶν Λέμβων τέ φημι καὶ τοῦ ἁγίου Νικολάου, τοῦ μὲν καθηγουμένου τῆς τοῦ ἁγίου Νικολάου μονῆς προφασιζομένου τῷ λόγῳ τῆς πλησιότητος ὡς προδοθὲν αὐτῷ τὸ ἓν ὀσπήτιον, ὡς προείρηται, καὶ τὸ κελλίον, τοῦ δὲ τῆς τῶν Λέμβων ἑδραιουμένου ἀπὸ τῆς τοῦ πρατηρίου ἐγγράφου παραδηλώσεως. τοιγαροῦν καὶ ὁρισμὸν βασιλικὸν προσκυνητὸν ἐπορίσατο ὁ τῆς τοῦ ἁγίου

Νικολάου μονῆς καθηγούμενος ἕνεκα τῆς ἀναγεγραμμένης τῶν ὀσπητίων ὑποθέσεως. τὴν σήμερον γοῦν καταλαβὼν πρὸς τὸν ἁγιώτατον ἡμῶν δεσπότην, τὸν μητροπολίτην Σμύρνης καὶ πανυπέρτιμον, ὁ τῆς τῶν Λέμβων καθηγούμενος, ἐφεπομένους ἔχων μετ' αὐτὸν καὶ τοὺς ἄνωθεν κατ' ὄνομα δηλωθέντας ἀξιοπίστους μάρτυρας, ἐξ ἀξιώσεως αὐτῶν τῇ τοῦ ἁγίου Νικολάου μονῇ ὁμοθυμαδὸν ἐπιδεδημήκασι καὶ μετὰ τοῦ ἐν αὐτῇ καθηγουμένου προσκαθίσαντες ἀρχῆς ἐπ' ἄκρας τὴν τῶν ὀσπητίων ὑπόθεσιν ἤρξαντο τρακταΐζεσθαι, ὕστερον δὲ πάντων συνέθετο ὁ πολλαχῶς εἰρημένος καθηγούμενος τῇ τοῦ ἁγίου Νικολάου, τῇ βουλῇ καὶ θελήσει τῶν ὑπ' αὐτὸν μοναχῶν, ὡς δι' ὅλης τῆς ἐρχομένης κυριακῆς ἤγουν τῆς ἑκκαιδεκάτης τοῦ παρόντος ἰουνίου μηνὸς ἢ τὸ τίμημα τῶν οἰκημάτων ἀντιστρέψῃ πρὸς τὸν καθηγούμενον τῶν Λέμβων ἢ τὰ ὀσπήτια καθέξει ἀνενοχλήτως πάντη καὶ ἀνεμποδίστως, καθὼς καὶ τὸ πρατήριον αὐτοῦ δηλοποιεῖ ἔγγραφον, δοθῇ δὲ αὐτῷ καὶ ὁ ὑπὲρ τούτων γεγονὼς ὁρισμός. τούτων οὕτως ἐχόντων καὶ τὸ παρὸν ἐξετέθη σημείωμα εἰς ἀσφάλειαν μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ πρωτέκδικος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Ἰωάννης ὁ Κουνάλλης †.

XV, XVI. 6740—6741—1232—1233, ind. V, VI.

Alexius Tesaites monasterio donat monasteriolum Sancti Panteleemonis, ut sit praedium eius.

I. † Γράμμα ἐκδοτήριον τοῦ ἁγίου μεγαλομάρτυρος Παντελεήμονος εἶναι εἰς μετόχιον τῆς τῶν Λέμβων μονῆς †.

Μηνὶ μαρτίῳ ἰνδ. ἕκτης παρεδόθη παρ' ἐμοῦ, Ἀλεξίου ἱερέως τοῦ Τεσαΐτου, καὶ υἱοῦ τοῦ κτήτορος, ἡ μονὴ τοῦ ἁγίου μεγαλομάρτυρος Παντελεήμονος πρὸς σέ, τὸν καθηγούμενον τῆς σεβασμίας μονῆς τῶν Λέμβων, εἰς ἀνέγερσιν καὶ σύστασιν καὶ βελτίωσιν τῆς αὐτῆς μονῆς, πρῶτον μὲν ὁ αὐτὸς εἰκονογραφημένος μετὰ καὶ εἰκόνων ἱσταμένων ἄνωθεν τοῦ τέμπλου, τοῦ Χριστοῦ, τῆς αὐτοῦ μητρὸς καὶ θεοτόκου καὶ τοῦ Προδρόμου· ἑτέρα θεοτόκος ἐν εἰκόνι, σίγνον ἐχούσῃ ὄπισθεν τὸν ἅγιον Παντελεήμονα, τὸν ἅγιον Γεώργιον καὶ τὸν

ἅγιον Δημήτριον, ἱερὰ τῆς αὐτῆς ἐκκλησίας ἀλλαγή, ποτηροκαλύμματα, ἐνδυταὶ δύο τῆς ἁγίας τραπέζης, βιβλία ἤγουν ὀκτώηχος δικάνονος, ψαλτήριον, εὐχολόγιον, εὐαγγέλιον, κοντάκιον, τριώδιον, προφητικὸν, μηναῖον περιέχον μῆνας τρεῖς, τοπικὸν, ἀναγνωστικὸν, πεντηκοστάριν καὶ ἡ ἀκολουθία τοῦ ἁγίου συνενωμένη, στεφάνιν τοῦ ἁγίου λαιμὶν, βούλλας ἓξ καὶ ἕτερα ἀσήμια, ἤγουν χεὶρ καὶ πούς, μαννουάλιον ἓν ἐπτάφωτον καὶ λάμνα χυτὴ καὶ ἑτέραι σιδηραῖ δύο καὶ ἔμπροσθεν τοῦ ἁγίου ναοῦ πρόπυλον μετὰ πύργου καὶ ἑτέρα ἐκκλησία ἱστορισμένη ἀπὸ ἄρκτου, ἡ ὑπεραγία θεοτόκος, καὶ αὐλὴν γύρωθεν ἔχουσαν, κελλία ἑπτὰ, πόρτας δύο καὶ τὰ ὑλικὰ τῆς αὐτῆς μονῆς, λισκάρια δύο, ἀξινάριον ἓν, ἀξινοτζάπιον ἓν, ἀρηλόπουλα τρία, χαλκοτζόκια δύο, κεραστικὰ τέσσαρα, τηγάνοι δύο, πιθόπουλα πέντε καὶ μέγας εἷς, σκουτελλοπίνακα δεκαέξ, ξυλοπίνακα, διάφορα σκάφη, τράπεζα ξύλινος μεγάλη καὶ ἑτέρα τράπεζα μαρμάρινος, καὶ γύρωθεν τῆς μονῆς συκαῖ δώδεκα, ἀπιδεία λ', χωράφια διάφορα τῆς μονῆς, δένδρα ἐλαϊκὰ τὰ ἐντὸς τῆς μονῆς καὶ ἐκτὸς ἑκατὸν πεντήκοντα, χωράφιον ἐν τῇ Μελλάγγῃ μοδίων εἰκοσιτεσσάρων, χωράφιον τοῦ ἁγίου Ἠλίου, ἕτερον χωράφιον τοῦ Μαδαριώτου, ἕτερον χωράφιον τοῦ ἁγίου Ζαχαρίου μοδίων δέκα, ἀμπέλιον μοδίου ἑνὸς, βοΐδιον μετὰ τῆς κατασπορᾶς αὐτοῦ καὶ ὀνικὸν καὶ ἕτερα δένδρα ἐλαϊκὰ δεκατέσσαρα καὶ χωράφιον μοδίων ἓξ καὶ εὐκτήριον ἀνοικοδόμητον, ὅπερ ἔστω καὶ αὐτὸ μετὰ θάνατόν μου ὡς εἰς μετόχιον εἰς τὴν μονὴν καὶ μελίσσια τριάκοντα. ἡ δὲ παροῦσα ἔκδοσις ἐγένετο ἐνώπιον τοῦ εὐγενεστάτου κυροῦ Γεωργίου τοῦ Καλοειδᾶ, τοῦ θεοσεβεστάτου ἱερέως τοῦ Πολυκάρπου τοῦ Χαντρομμάτου, τοῦ εὐλαβεστάτου ἀναγνώστου Μιχαὴλ τοῦ Κισσιανοῦ καὶ τῶν ἐντὸς μοναχῶν τῆς μονῆς καὶ ἑτέρων. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Θεόδωρος ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μάντας ὁ Κάλλιστος γράψας ὑπέγραψα †.

Π. † Ἡ διαθήκη τοῦ κτήτορος τοῦ μετοχίου τοῦ ἁγίου Παντελεήμονος †.

† Ἀλέξιος ἱερεὺς ὁ Τεσαΐτης οἰκείᾳ χειρὶ προέταξα †.

† Οἱ θείους οἴκους ἀνεγείροντες ἐν τρισὶν ὑποθέσεσιν τοῦτο ποιοῦσι, τὸ μὲν πρῶτον εἰς τὸ ἐξομνεῖσθαι τὸ θεῖον, τὸ δὲ δεύτερον εἰς τὸ ὑπερεύχεσθαι τοῦ κράτους τῶν βασιλέων, τὸ τρίτον δὲ εἰς τὸ μνημονεύειν τοὺς ἐκεῖσε τεθαμμένους καὶ ἁπανταχοῦ ὀρθοδόξους, ὅθεν κἀγὼ Ἀλέξιος ἱερεὺς ὁ Τεσαΐτης, ὁ ἄνωθεν τοῦ παρόντος ὕφους οἰκειοχείρως προτάξας, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἐκδοτηριακὴν συμφωνίαν καὶ ἀσφάλειαν τίθεμαι καὶ ποιῶ ἑκουσίως καὶ ἀμεταμελήτως, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ συναρπαγῆς ἢ ἰδιωτίας ἢ ἀγροικίας ἢ νομίμου φάκτου ἀγνοίας ἢ ἄλλης δή τινος συμπλοκῆς, μᾶλλον μὲν οὖν μετὰ πάσης μου τῆς προθυμίας καὶ ἁπλότητος τίθεμαι καὶ ποιῶ ἑκουσίως καὶ ἀμεταμελήτως πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεραμώμου δεσποίνης ἡμῶν θεοτόκου τῶν Λέμβων, κὺρ Γεράσιμον, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος τῆς αὐτῆς ἁγίας μονῆς· καὶ γὰρ τὸ παρὰ τοῦ πατρός μου ἐκείνου τοῦ μακαρίτου κυροῦ Λουκᾶ κατεχόμενον εὐκτήριον, τὸ καὶ ἐπονομαζόμενον ὁ ἅγιος Παντελεήμων, τὸ καὶ διακείμενον ἐν τῷ ἐπάνω ὄρει τῆς Μανταίας ἀπὸ μεσημβρίας τῆς αὐτῆς χώρας, ὃ καὶ ἀνήγειρε καὶ ἐκαινογράφησε καὶ κελλία ἐν αὐτῷ καὶ μοναχοὺς προσέφερεν, ἐλθόντος δὲ αὐτοῦ, ἵνα χρήσηται τῷ τέλει τοῦ βίου, διετάξατο καὶ ἐπαφῆκεν ἡμῖν ὡς γνησίῳ αὐτοῦ παιδί, ἀποκαθιστῶν, μοι κληρονόμον καὶ κτήτορα ἐν τῇ τοιαύτῃ μονῇ, μετὰ δὲ τὴν ἀποβίωσιν ἐκείνου ἠθέλησάν τινες τῶν χαιρεκάκων ἀνθρώπων εἰς ὀχλήσεις πολλὰς ὑποφέρειν μοι διὰ τὴν τοῦ ἁγίου Παντελεήμονος μονήν. δραξάμενος γοῦν ἐγὼ τούτου, ἀνέδραμον πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα, καὶ ὑπέμνησα ὑπὲρ τούτου, ἠμφάνισα δὲ καὶ τὴν τοῦ πατρός μου διαθήκην, καὶ ἐδεξάμην θεῖον καὶ βασιλικὸν προσκυνητὸν ὁρισμὸν τοῦ ἔχειν τὸ στέργον τὰ τῆς διαθήκης καὶ τῆς μονῆς· ἐλθὼν δὲ τὰ νῦν ἐθεασάμην τὴν τοιαύτην μονήν, ὅτι ἀπέρχεται εἰς παντελῆ ἀφανισμὸν καὶ ὁ ναὸς ἄψαλτος καὶ ἀλειτούργητος καὶ τὰ παρὰ τῆς μονῆς κατεχόμενα πράγματα καὶ φοβηθεὶς τὸ κρίμα

ὡς ἁμαρτωλὸς προσῆλθον τῷ παναγιασμένῳ καθηγουμένῳ τῆς σεβασμίας βασιλικῆς ἁγίας μονῆς τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, κυρῷ Γερασίμῳ, τοῦ ἀναλαβεῖν τὸ τοιοῦτον εὐκτήριον καὶ ποιῆσαι τοῦτο μετόχιον τῆς ἄνωθεν δηλωθείσης βασιλικῆς ἁγίας μονῆς τῆς παναχράντου θεοτόκου, ὁπότε δὲ τῶν καιρῶν βουληθῆναί με ἀποκαρῆναι μὴ παρά τινος κωλυομένου, ἀλλ' ἀπεντεῦθεν εἰσέρχεσθαι καὶ ἀποκείρεσθαι ὑπό τε τοῦ αὐτοῦ ἡγουμένου καὶ τοῦ μέρους τῆς αὐτῆς μονῆς καὶ εἶναι κἀμὲ ἀδελφὸν ἐν τῇ ὑπ' αὐτοὺς μονῇ μετὰ καὶ τῶν ἄλλων, φροντίζειν δὲ τὸν αὐτὸν καθηγούμενον εἰς πᾶσαν καὶ παντοίαν περιποίησιν τοῦ ἄνωθεν δηλωθέντος μετοχίου, ἐκδίδωμι δὲ τοῦτο ἀπὸ τῆς σήμερον μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, ἤγουν δένδρων ἐλαιοφόρων, ἀροσίμου γῆς τε καὶ χερσαίας, ἔνθα ἂν καὶ διάκειται κατὰ τόπους, ἅτινα καὶ ὀφείλουσι κατατεθῆναι ἐν ἑτέρῳ λεπτομερεῖ καταστίχῳ ἤγουν τὰ βιβλία καὶ τὰ ἕτερα πάντα τὰ κατεχόμενα παρὰ τοῦ αὐτοῦ μετοχίου, καὶ ὀφείλεις σὺ ὁ καθηγούμενος καὶ οἱ ὑπὸ σὲ μοναχοὶ τοῦ παραλαβεῖν ταῦτα ἀπὸ τῆς σήμερον, ἤγουν τὸ μετόχιον καὶ τὰ ἐν αὐτῷ προσκυρωθέντα δίκαια καὶ ἔχειν ὑμᾶς ἐξουσίαν τοῦ ποιεῖν ἐπ' αὐτῷ, ὅπερ ἄρα καὶ βούλεσθε, ὁ δέ γε πανιερώτατος μητροπολίτης Σμύρνης ὀφείλει ἔχειν τὴν ἀναφορὰν αὐτοῦ καὶ μόνην. ὅστις δὲ ἐξ ἡμῶν ποτὲ τῶν καιρῶν βουληθῇ ἐπὶ ἀθετήσει τοῦ παρ' ἐμοῦ γεγονότος ἐκδοτηρίου ἐγγράφου, μὴ μόνον τὴν τοῦ δημοσίου ἀγανάκτησιν ὑποστήσεται, ἀλλὰ καὶ τὰς ἀρὰς ἐπισπάσεται τῶν τριακοσίων ὀκτωκαίδεκα ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα λογισθήσεται καὶ μετὰ τῶν κεκραγότων· ἆρον, ἆρον, σταύρωσον τὸν υἱὸν τοῦ θεοῦ. μηνὶ μαρτίῳ ἰνδ. ε'. ἔτους ,ςψμ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Γεώργιος ὁ Καλοειδᾶς, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Μανουὴλ ὁ Θρακήσης, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †.

† Θεόδωρος ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μάντας ὁ

Κάλλιστος παρὼν καὶ αὐτὸς τὰ ὅμοια μαρτυρῶν ὑπέγραφα †.

XVII. 6739—1231, mense augusto, ind. IV.

Xenus Legas et familia eius vendunt monasterio olivas in vico Panareti.

† Τὸ πρατήριον ἔγγραφον τῶν ἐλαϊκῶν δένδρων τοῦ Λεγᾶ †.

Σίγνον	Ξένου	Σίγνον	Ἄννης	Σίγνον	Γεωργίου
τοῦ	Λεγᾶ.	τῆς συμ	βίου αὐτοῦ.	τοῦ υἱοῦ	αὐτοῦ.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ξένος ὁ Λεγᾶς καὶ Ἄννα ἡ τούτου γνησία σύζυγος, ἔτι δὲ καὶ Γεώργιος ὁ υἱὸς αὐτῶν, οἱ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ποιήσαντες τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν καὶ εἰς τὸ ἑξῆς μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νομίμου ἀσφαλείας καθαράν, φανερὰν πρᾶσιν τὴν ἐσαεὶ τὸ ἀπαράθραυστον καὶ ἀπερικλόνητον ἔχειν ὀφείλουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτε καιρῷ ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι, οὐ παρ' ἡμῶν αὐτῶν τῶν ἀπεμπολούντων, οὐ παρ' ἑτέρου οἱουδήτινος προσώπου συγγενικοῦ ἢ καὶ ἀλλοτρίου τὸ σύνολον, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανούργως καὶ ἀμεταμελήτως, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἰδιωτίας ἢ ἀγροικίας ἢ νομίμου φάκτου ἀγνοίας ἢ ἄλλης τινὸς ἐπὶ τῆς τῶν νόμων ἀποτετραμμένης αἰτίας, μᾶλλον μὲν οὖν μετὰ πάσης ἡμῶν τῆς προθυμίας καὶ ἁπλότητος, χρονίας τε διασκέψεως καὶ μεταμεριμνημένου σκοποῦ, ἅμα καὶ τῇ συναινέσει παντὸς τοῦ μέρους ἡμῶν τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεοτόκου τῆς Λεμβιωτίσσης, κῦρ Γεράσιμον, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος τῆς μονῆς, καθὼς δηλωθήσεται· καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ ὄντα ἐν τῷ χωρίῳ τοῦ Παναρέτου καὶ ἐν τῇ τοποθεσίᾳ τοῦ Φοίνικος ἐπιλεγομένῃ, τὰ καὶ πλησιαστὰς ἔχοντα ἀπὸ μὲν ἀνατολῆς τὰ ἐλαϊκὰ δένδρα τὰ παρ' ἐμοῦ δωρηθέντα τῇ θυγατρί μου χάριν προικὸς αὐτῆς, ἀπὸ δὲ δύσεως τὰ τῶν Κακαβάδων, ἀπὸ ἄρκτου τὰ τοῦ Ζωναρᾶ καὶ ἀπὸ μεσ-

ημβρίας πάλιν τὰ τῶν Καχαβάδων, ἤγουν δένδρα ἐλαϊκὰ δεκαοκτὼ μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν βουληθέντες ἐκποιήσασθαι τὴν πρᾶσιν τούτων διεφημίσαμεν, ἥτις δὴ καὶ εἰς τὰς ἀκοὰς προῆλθε καὶ ἔφθασε σοῦ, τοῦ πανοσιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, κυροῦ Γερασίμου, ἠθέλησας αὐτὰ ἐξωνήσασθαι. καὶ λόγων μέσον ἡμῶν γινομένων περὶ τοῦ τιμήματος αὐτῶν ὕστερον περιεστήσαμεν αὐτὰ ἐκ συμφωνίας καὶ ἀρεσκείας ἡμῶν εἰς νομίσματα χρυσᾶ πέντε, ἃ δὴ νομίσματα λαβόντες ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμῶν χεῖρας ἐνώπιον καὶ ὄψει τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων καὶ τελείως ἐκστάντες τῆς διακατοχῆς καὶ νομῆς ἐκχωρούμεθά σοι ἐπιλαβέσθαι αὐτῶν καὶ χρᾶσθαι καὶ νέμεσθαι, μέχρις ἂν τόδε τὸ περίγειον συνίσταται καὶ ὁ ἥλιος ἐφορᾷ τὸ πᾶν, ἄδειαν ἔχοντός σου καὶ πᾶσαν ἐξουσίαν τοῦ πωλεῖν αὐτὰ καὶ δωρεῖσθαι, ἀνταλάττειν, ἐκριζεῖν καὶ τἄλλα πάντα ποιεῖν κατὰ τὸν ἀρέσκοντα δηλαδὴ καὶ νομιζόμενον τρόπον, καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς τελείοις καὶ ἀληθέσι δεσπόταις δεσπόζειν παρακελεύονται. σωματικῶς οὖν τὴν σήμερον παρεδόθησάν σοι παρ' ἡμῶν, καὶ οὐδέποτε χωρήσωμεν πρὸς ἀνατροπὴν τῆς παρούσης πράσεως ἡμῶν, ὀφείλει δὲ ἐπιτελεῖν ἡ μονὴ ἑκάστῳ καιρῷ ὑπὲρ ἐπιτελείας νόμισμα πραττόμενον ἓν πρὸς τὸν πανευγενέστατον λίζιον καβαλλάριον τὸν Σοργαρῆν, ὅστις δὲ ἐξ ἡμῶν βουληθῇ ὑπὲρ ἀνατροπῆς τῆς παρούσης πράσεως ἡμῶν [χωρεῖν], μὴ μόνον οὐ μὴ εἰσακούηται, ἀλλὰ καὶ δόσεως λόγῳ προστίμου ὑπόκειται νομίσματα ὑπέρπυρα δέκα καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγων. μηνὶ αὐγούστῳ ἰνδ. δ', ἔτους ,ϛφλθ' †.

Σίγνον	Κωνσταντίνου	Σίγνον	Νικήτα	Σίγνον	Κωνσταντίνου
τοῦ Κο	πτιανᾶ.	τοῦ Μελ	ιγαλᾶ.	τοῦ Ἀρ	μένη.

Σίγνον	Νικολάου	Σίγνον	Νικήτα
τοῦ	Ματζούκη.	τοῦ Κα	χαβᾶ †.

† Θεόδωρος ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας ὁ Κάλλιστος καὶ αὐτὸς τὰ ὅμοια μαρτυρῶν γράφας ὑπέγραφα †.

XVIII. Sine anno, mense iulio, ind. XI.

Bardas Lebunes, praefectus Smyrnae, et Ioannes Galenus adiudicant monasterio possessionem olivarum, quas Cazanes iniuste usurpaverat.

† Ἔγγραφον παλαιὸν τάξιν ἐπέχων σημειώματος χάριν τῶν ἐλαιῶν, ἃς καθήρπασεν ὁ Καζάνης †.

† Μηνὶ ἰουλίῳ ιη', ἡμέρᾳ τρίτῃ, ἰνδ. ια', ἐπὶ παρουσίᾳ τοῦ μεγαλεπιφανεστάτου κυροῦ Ἀλεξίου τοῦ Κασταμονίτου, τοῦ μεγαλεπιφανεστάτου κυροῦ Σωτηρίχου τοῦ Ἀληθινοῦ, τοῦ μεγαλεπιφανεστάτου κυροῦ Μιχαὴλ τοῦ Καλοειδᾶ, τοῦ κουροπαλάτου κυροῦ Βασιλείου τοῦ Χρυσοβέργου, τοῦ Χρυσοχόου κυροῦ Ἰωάννου, τοῦ Κανάκη κυροῦ Μιχαήλ, τοῦ Κουραπαλάτη κυροῦ Λέοντος, τοῦ Βενετικοπούλου καὶ ἑτέρων †.

† Ὁ τῆς σεβασμίας μονῆς τῆς ὑπὸ τὴν δεσποτείαν τῆς μεγάλης ἐκκλησίας τῆς οὑτωσὶν ἐπονομαζομένης Λεμβιωτίσσης καθηγούμενος, μοναχὸς Λεόντιος, πρὸς ἡμᾶς ἀφικόμενος ἔλεγεν ἀδικεῖσθαι τὴν μονὴν παρὰ τοῦ ἐν τῇ Μανταίᾳ τὰς οἰκήσεις ποιουμένου Νικολάου τοῦ Καζάνη ἐπί τισι δένδροις ἐλαϊκοῖς, καὶ ταῦτα τῇ μονῇ διαφέροντα, παρ' αὐτῇ κατέχοντά τε καὶ νέμοντα, σὺν ἐπὶ τούτοις ὑπέδειξεν ἡμῖν καί τινα ὑπομνήματα παρ' αὐτοῦ γεγονότα πρὸς τὸν ἁγιώτατον δεσπότην τὸν οἰκουμενικὸν πατριάρχην, δηλοῦντα, ὡς ἔκπαλαι τῶν χρόνων, πολλῶν μὲν καὶ ἄλλων ὧν ἡ ῥηθεῖσα μονὴ ἀκινήτων ἐκέκτητο πρὸ τῆς τῶν ἀθέων Ἀγαρηνῶν ἐπιδρομῆς, εἶχε καί τινα δένδρα ἐλαϊκὰ μέχρι τῶν τριάκοντα καὶ ἐννέα τὸν ἀριθμὸν, ἀλλ' ἐπεὶ καὶ αὕτη ἠρήμωτο καὶ τελείως σχεδὸν ἠφάνιστο, εἰκὸς ἦν καὶ τὰ ὑπ' αὐτὴν ἀφανισθῆναι καὶ τοῖς βουλομένοις γενέσθαι καθάρπαγμα, ὃ καὶ ἐπὶ τοῖς εἰρημένοις δένδροις γέγονε· τὶς γὰρ ἀπὸ τῆς Μανταίας, Καζάνης τούτου τὸ ἐπώνυμον, ὢν καὶ αὐτὸς ὑπὸ τὴν δεσποτείαν τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἀπόρου ὄντος καὶ μήτινος δεσπότου φαινομένου, ἐπὶ τούτῳ κατεκράτησε καὶ μέχρι τοῦ νῦν δεσπόζει καὶ νέμεται· ὅθεν καὶ δεσποτικῆς πατριαρχικῆς ἐπιλύσεως ἔτυχον, διοριζομένης περὶ τούτου διαιτῆσαι καὶ ἀποκαταστῆσαι τὴν μονὴν ἀδιαστίκτως ἐπὶ τῇ δεσποτείᾳ καὶ κατοχῇ τῶν ἐλαϊκῶν δένδρων, τόν τε πανιερώτατον μητροπολίτην Σμύρνης κῦρ Κωνσταντῖνον καὶ τὸν ἐν τοῖς κτήμασι τῆς μεγάλης ἐκκλησίας τῷ τότε ἐνερ-

γοῦντα τῆς ὑπὸ τὸ πετίτον Σμύρνης, τὸν μεγαλεπιφανέστατον κῦριν Ἀλέξιον τὸν Κασταμονίτην, δι' ὧν καὶ γέγονεν ἀποκατάστασις τῇ μονῇ παρ' αὐτῶν, ἣν καὶ οἰκείοις ὀφθαλμοῖς ἐθεασάμεθα καὶ ἀνέγνωμεν. μετάκλητον γοῦν ποιησάμενοι καὶ τὸν δηλωθέντα Λέοντα τὸν Καζάνην ἐζητήσαμεν, πῶς καὶ ποίῳ τρόπῳ τὰ ἐν τῷ ὑπομνήματι τῶν μοναχῶν δηλούμενα δένδρα, ἐφ' οἷς καὶ ἀποκαταστάσεως ἔτυχον καὶ ἐν τῷ πρακτικῷ τῷ παρὰ τοῦ Κασταμονίτου γεγονότι καταγεγραμμένα ἐν τῷ στίχῳ τῆς μονῆς, δι' ὧν καὶ τέλος τῇ μονῇ ἐπέθηκε καὶ μέχρι τῆς σήμερον παρὰ τῶν μοναχῶν δίδοται, κατέχεις καὶ νέμεσαι. ὑπέδειξεν ἡμῖν ἀποκατάστασιν ἔγγραφον γεγονυῖαν πρὸς αὐτὰ τὰ δηλωθέντα δένδρα παρὰ τοῦ μεγαλεπιφανεστάτου ἐκείνου Λαγγιδᾶ· ἀλλ' ἐπεὶ εὕρομεν ἐν τῇ τοιαύτῃ ἀποκαταστάσει κατεστρωμένον ὑπόμνημα καὶ ἐπ' αὐτῷ ἐξενεχθεῖσαν λύσιν πατριαρχικὴν διοριζομένην μέν, τὸν τότε τοὺς τῆς μητροπόλεως Σμύρνης οἴακας διθύνοντα καὶ αὐτὸν δὴ τὸν Λαγγιδᾶν ποιήσασθαι ἔρευναν καὶ οὕτως ἀποκατάστασιν. τὴν δὲ γενομένην πρᾶξιν παρὰ τοῦ Λαγγιδᾶ καὶ μόνου κἂν καὶ ἐφαίνετο γεγονέναι ταύτην παρ' αὐτοῦ καὶ τοῦ δικαίῳ τοῦ μητροπολίτου ἐξ ἐντολῆς ἐκείνου καὶ τὰ παρ' αὐτοῦ πραχθέντα εὔλογα ὄντα κἀκείνῳ στερκτέα λογισθήσονται, οὐκ ἐπαρεδεξάμεθα διὰ τὸ μὴ καὶ τοῦ μητροπολίτου φέρειν τὴν τοιαύτην ἀποκατάστασιν ὑπογραφήν, κἀκ τούτου ἔγνωμεν δίκαιον ἔχειν τῇ μονῇ ἐπὶ τῇ κατοχῇ καὶ νομῇ καὶ δεσποτείᾳ τῶν πολλάκις διαληφθέντων ἐλαϊκῶν δένδρων κατὰ τὴν πρὸς τὴν μονὴν γεγονυῖαν παρὰ τοῦ μητροπολίτου καὶ τοῦ Κασταμονίτου ἀποκατάστασιν, καθὼς καὶ αἱ παρὰ τῶν μοναχῶν δεσποτικαὶ πατριαρχικαὶ ἐπιλύσεις προκομισθεῖσαι ἡμῖν ἀνατάττουσιν. ὅθεν καὶ διὰ τοῦ παρόντος ἡμῶν ἐγγράφου τοῦ καὶ τάξιν σημειώματος ἔχοντος ἀποκαθιστῶμεν τῇ μονῇ ἐπὶ τῇ κατοχῇ καὶ δεσποτείᾳ τῶν τριακονταεννέα ἐλαϊκῶν δένδρων, ὥστε κατέχειν ταῦτα καὶ νέμεσθαι μὴ παρά τινος ἐμποδιζομένη. διά τοι τοῦτο καὶ τῇ ἡμῶν ὑπογραφῇ πιστωθὲν τὸ παρὸν ἔγγραφον ἐπεδόθη τῇ μονῇ εἰς οἰκείαν ἀσφάλειαν μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Οἱ κατεπάνω Σμύρνης Βάρδας ὁ Λεβούνης καὶ Ἰωάννης ὁ Γαληνός †.

XIX. Sine anno, mense septembri, ind. VIII.

Ioannes Chante et familia eius vendunt Ioanni Mancapha olivas in vico Paracalamo.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Χάντε περὶ τῶν εἰς τὸν Παρακάλαμον ἐλαϊκῶν δένδρων καὶ τῆς περιεχούσης αὐτὰ γῆς †.

Σίγνον	Ἰωάν-νου	Σίγνον	Ἄν-νης	Σίγνον	Γεωρ-γίου	Σίγνον	Μιχαὴλ
τοῦ Χά	ντε.	τῆς συμβίου	αὐτοῦ.	τοῦ υἱ	οῦ αὐτοῦ.	τοῦ ἑτέρου	αὐταδέλ-φου αὐτοῦ.

Σίγνον	Βασιλείου	Σίγνον	Μαρίας
τοῦ ἑτέρου	αὐταδέλφου αὐτοῦ.	τῆς αὐτα	δέλφης αὐτοῦ.

Σίγνον	Καλῆς
τῆς ἑτέρας	αὐταδέλφης αὐτοῦ.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἰωάννης ὁ Χάντε, Ἄννα ἡ σύμβιος αὐτοῦ, ἔτι δὲ καὶ οἱ τούτων γνήσιοι παῖδες ὅ τε Γεώργιος, ὁ Μιχαήλ, ὁ Βασίλειος, Μαρία καὶ Καλή, οἱ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ποιήσαντες τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν καὶ εἰς τὸ ἑξῆς μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νομίμου ἀσφαλείας καθαράν, φανερὰν πρᾶσιν τὴν ἐς ἀεὶ τὸ ἀπαράθραυστον καὶ ἀπερικλόνητον ὀφείλειν ἔχουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἢ καὶ ὀφὲ ἀνατραπῆναι ὀφείλουσαν ἢ ὁπωσοῦν παρασαλευθῆναι οὐ παρ' ἡμῶν αὐτῶν τῶν ἀπεμπολούντων, οὐ παρ' ἑτέρου οἱουδήτινος προσώπου συγγενικοῦ ἢ καὶ ἀλλοτρίου τὸ σύνολον, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίᾳ τῇ γνώμῃ καὶ ἀμεταμελήτῳ τρόπῳ πρὸς σέ, τὸν τοῦ θεοσεβεστάτου ἱερέως κυροῦ Νικηφόρου τοῦ Βεργοῦ υἱόν, κὺρ Ἰωάννην τὸν Μαγκαφᾶν, καὶ διὰ σοῦ πρὸς τὰ ὑπὸ σὲ μέρη ἅπαντα, κληρονόμους καὶ διαδόχους καὶ παντοίους σου τοὺς διακατόχους, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ παρ' ἐμοῦ ἀνασταθέντα ἐν τῷ χωρίῳ ἡμῶν τῷ Παρακαλάμῳ τὰ πλησίον τοῦ Ἀλλαγάτορος κυροῦ Κωνσταντίνου, ἤγουν ἐλαιόφυτα εἰκοσιδύο μετὰ τῆς ἀνηκούσης αὐτῶν γῆς καὶ μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, βουληθέντες ἐκποιήσα-

σθαι, τὴν πρᾶσιν τούτων διεφημίσαμεν, ὡς δὲ ἡ περὶ αὐτῶν φήμη ἔφθασε καὶ εἰς ἀκοάς, προῆλθε τὰς σάς, τοῦ κυροῦ Ἰωάννου τοῦ Μαγκαφᾶ, ἠθέλησας αὐτὰ ἐξωνήσασθαι καὶ λόγων μέσον ἡμῶν γινομένων περὶ τοῦ τιμήματος αὐτῶν, ὕστερον περιεστήσαμεν αὐτὰ ἐκ συμφωνίας καὶ ἀρεσκείας ἡμῶν εἰς νομίσματα .... καινούργια δεκαέξ, ἃ δὴ νομίσματα καὶ λαβόντες ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμῶν χεῖρας ἐνώπιον καὶ ὄψει τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων, καὶ τελείως ἐκστάντες τῆς αὐτῶν διακατοχῆς καὶ νομῆς ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτῶν καὶ χρᾶσθαι καὶ νέμεσθαι μετὰ τῶν κληρονόμων καὶ διαδόχων καὶ παντοίων τῶν διακατόχων σου εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς ἅπαντας χρόνους, ἄδειαν ἔχοντός σου καὶ πᾶσαν ἐξουσίαν, ὥστε πωλεῖν αὐτὰ καὶ δωρεῖσθαι, ἀναλλάττειν, προικοδοτεῖν καὶ τἄλλα πάντα ποιεῖν καὶ ἄλλως, ὡς δόξει ὑμῖν, καὶ βουλῆς καὶ θελήσεως ἔχειν ὑμᾶς, κατὰ τὸν ἀρέσκοντα δηλαδὴ καὶ νομιζόμενόν σοι τρόπον καὶ καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς τελείοις καὶ ἀληθέσι δεσπόταις τῶν ἀνηκόντων αὐτοῖς δεσπόζειν παρακελεύονται. σωματικῶς οὖν ἀπὸ τῆς σήμερον παρεδόθησάν σοι καὶ οὐδέποτε χωρήσομεν πρὸς ἀνατροπὴν τῆς παρούσης πράσεως ἡμῶν, συμφωνοῦμεν δὲ καὶ ἀσφαλιζόμεθα στέργειν ἡμᾶς ταύτην καὶ φυλάττειν ἀπερικλόνητον, εἰ δὲ κατά τι ἐναντιωθῶμεν ταῦτα, οὐ μόνον οὐ μὴ εἰσακουσθησόμεθα. ἀλλὰ καὶ δόσεως λόγῳ προστίμου ἀποδώσομεν νομίσματα ...... τριάκοντα καὶ ἓξ καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγοντες. ὀφείλεις δὲ τελεῖν πρὸς ἡμᾶς ἕκαστον χρόνον νόμισμα πραττόμενον ἀνεπαυξήτως. μηνὶ σεμτεμβρίῳ ἰνδ. η' †.

Λέων ἱερεὺς ὁ Συρόπουλος παρὼν καὶ αὐτὸς ἐπὶ τῇ παρούσῃ πράσει καὶ μαρτυρῶν ὑπέγραφα †.

Σίγνον	μαρτύρου Κωνσταντίνου
τοῦ	Μαυροϊωάννου.

† Ὁ εὐτελὴς διάκονος καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Γεώργιος ὁ Κάλλιστος παρὼν καὶ αὐτὸς μαρτυρῶν γράψας ὑπέγραφα †.

XX. 6750—1242, mense martio, ind. I.

Maximus et Basilius Planetae monasterio donant campos et arbores in vico Mantaea.

† Τὸ ἐκδοτήριον γράμμα τοῦ μοναχοῦ Μαξίμου τοῦ Πλανήτου καὶ τοῦ αὐταδέλφου αὐτοῦ Βασιλείου †.

Σίγνον	Μαξίμου	Σίγνον	Βασιλείου
τοῦ	Πλανήτου.	τοῦ Πλανήτου	καὶ αὐταδέλφου αὐτοῦ.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου, ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ἐπὶ τῆς βασιλείας τῶν εὐσεβεστάτων καὶ ἐκ θεοῦ ἐστεμμένων κοσμοποθήτων αὐθεντῶν καὶ βασιλέων ἡμῶν, κυροῦ Ἰωάννου τοῦ Δούκα καὶ Ἄννης, Μάξιμος μοναχὸς ὁ Πλανήτης καὶ Βασίλειος, ὁ τούτου αὐτάδελφος, ἔτι δὲ καὶ ἡ μήτηρ ἡμῶν, οἱ ἄνωθεν τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκείαις χερσὶ σιγνογραφήσαντες, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἁπλῆν, ἀμετάτρεπτον, ἀναλλοίωτον, καθαρὰν προσένεξιν τοῦ γραφομένου ἀκινήτου πράγματος ἡμῶν, πᾶσαν τὴν ἐκ τῶν πανευσεβῶν καὶ θείων νόμων ἰσχὺν καὶ δύναμιν ἔχουσαν καὶ μηδαμῶς ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ὀφείλουσαν ἢ ἀλλοιωθῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι, οὐ παρ' ἡμῶν αὐτῶν τῶν προσενεγκάντων, οὐ παρά τινος τῶν τοῦ μέρους [ἡμῶν] καὶ τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν, οὐ παρ' ἑτέρου οἱουδήτινος τῶν ἁπάντων ἰδίου ἡμῶν καὶ συγγενικοῦ προσώπου ἢ ἀλλοτρίου καθ' οἱονδήτινα τρόπον ἔγγραφον ἢ ἄγραφον ἢ νομικὴν ἰσχὺν καὶ βοήθειαν, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ῥᾳδιουργίας ἢ ἰδιωτίας ἢ ἀπάτης ἢ πλάνης ἢ χλεύης ἢ μηχανῆς ἢ νομίμου καὶ φάκτου ἀγνοίας ἢ δυναστείας ἀρχοντικῆς ἢ ἄλλης τινὸς αἰτίας ἐπιφόγου τῆς τῶν νόμων ἀποτετραμμένης, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ, ὁλοψύχῳ τε προθέσει καὶ πολλῇ τῇ ἀποδοχῇ καὶ ἁπλότητι, χρονίᾳ τε τῇ διασκέψει καὶ μεμεριμνημένῳ σκοπῷ καὶ τρόπῳ πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς καὶ ἁγίας μονῆς τῆς πανυπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης ἐγχωρίως ἐπιλεγομένης, κῦρ

Ἀθανάσιον, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος τῆς τοιαύτης μονῆς, καθὼς δηλωθήσεται. καὶ γὰρ θεοῦ βουλήσει, ἐπεὶ ἀπεκάρην τὰς τρίχας τῆς κεφαλῆς κατὰ μοναχοὺς καὶ ἐθέμην ζῆσειν καὶ ἀποθανεῖν εἰς ταύτην, προσηνέγκαμεν οἱ ἀμφότεροι πρὸς τὴν αὐτὴν μονὴν τὰ ὁποιοδήτινα γονικῶς ἡμῶν ὑποστατικά, οἷα καὶ ὅσα εἰσὶ τὰ ἐν τῇ Μανταίᾳ, δένδρα τε καὶ χωράφια, σὺν τῷ διαφέροντι ὕδατι τῷ δικαίῳ τῶν Πλανητῶν καὶ τῶν Μεθρωνῶν ἄνευ τῶν ἐξ ὠνήσεως καὶ ἀγορᾶς περιελθόντων μοι ἐξ αὐτῶν τῶν χωραφίων τῶν Στραγαλῶν, τῶν ἐν τῇ Σμύρνῃ ὑποστατικῶν μετὰ τοῦ ἀνήκοντος αὐτῶν τελεσμάτων ὑπερπύρων τριῶν συμβιβασθέντων ἡμῶν φημὶ σὺν παντὶ τῷ μέρει τῆς μονῆς, κατέχειν τε καὶ δεσπόζειν ἀπὸ τῶν τοιούτων ἀκινήτων τὴν μὲν μονὴν τὰ ἅπαντα ἥμισυ, τὸν δὲ αὐτάδελφόν μου, τὸν κῦρ Βασίλειον, καὶ τὴν μητέρα μου τὰ ἕτερα ἥμισα μέχρι καὶ τῆς ὅλης αὐτῶν βιοτῆς καὶ τελεῖν πρὸς τὴν μονὴν τὸν ἀνήκοντα ἐπιτελεσμόν, ὅ τε αὐτάδελφός μου καὶ ἡ μήτηρ μου ἀνεπαυξήτως τὸ ἓν ἥμισυ ὑπέρπυρον, καὶ διαφενδεύεσθαι καὶ φρουρεῖσθαι παρὰ τῆς μονῆς ἀπὸ τῶν ἐπερχομένων ὁποιωνδήτινων σκανδάλων ὑποκειμένων ὡσαύτως καὶ τῶν ἀτελῶν καὶ ἀνηλίκων παίδων φρουρουμένων καὶ τούτων καὶ τηρουμένων ἀπὸ βλάβης τε παντοίας καὶ ὀχλήσεως δημοσιακῆς τε καὶ ἄλλης τῆς ἐπερχομένης αὐτούς, ἀλλ' οὔτε παρὰ τοῦ μέρους τῆς μονῆς εὑρήσουσι ζήτησιν τινὰ ἢ παροικίας νομὴν ἢ συγκρότησιν, καθὼς τὰ ἀμφότερα μέρη ἐξησφαλισάμεθα. τούτων οὕτως ἐχόντων καὶ νεμομένων ἀνὰ μέρος ἕκαστον τὴν μερίδα αὐτῶν, ὁ μὲν αὐτάδελφός μου καὶ ἡ μήτηρ μου ἵνα κατέχωσι καὶ δεσπόζωσι ταῦτα μέχρι καὶ τῆς ὅλης αὐτῶν βιοτῆς, μετὰ δὲ τὸν θάνατον τούτων ἵν' ἐπανέρχηται καὶ πάλιν πρὸς τὴν μονὴν καὶ ἡ τούτων μερίς, εἴπερ καλῶς διιθύνονται, ἀφεξαιρουμένων τῶν παίδων ἀπὸ τῶν τοιούτων πραγμάτων εἰς τὸν ἅπαντα αἰῶνα. ὑπετυπώθη μοι γοῦν παρὰ τοῦ καθηγουμένου καὶ τῆς μονῆς ἔχειν με παντοίαν οἰκονομίαν καὶ τὴν ἐνδυμασίαν ὡς καὶ οἱ τῷ θεῷ τῆς μονῆς ἱερατεύοντες. νέμηται δὲ καὶ ὁ Καλαμπάκης ἀπὸ τῆς μερίδος τοῦ μέλιτος τὸ τέταρτον, ὅθεν καὶ ὡς προσενεγκόντες τὰ τοιαῦτα ἡμεῖς τῇ μονῇ, ὀφείλει ταῦτα ἐπιλαβέσθαι ἀπεντεῦθεν, οὐ μόνον τῆς δεσποτείας τούτων, ἀλλὰ καὶ τῆς νομῆς καὶ τῆς χρήσεως, καὶ ἀπό γε τοῦ νῦν καθέξεται ταῦτα δεσποτικῶς, ἔχοντες ἐπ' ἀδείας ἀνεγεῖραι οἰκήματα ἐν αὐτοῖς κατὰ τὸ βουλητέον ἡμῖν, θείοις

ναοῖς καὶ ξενῶσι καὶ εὐαγέσιν οἴκοις ἀφιερεῖν καὶ πάντα πράττειν ἐν αὐτοῖς, ὅσα οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς ἀληθέσι δεσπόταις ἐπὶ τοῖς ὑπ' αὐτῶν δεσποζομένοις διαπράττεσθαι διορίζονται. καὶ λοιπὸν ἐπερωτώμενοι ὁμολογοῦμεν τοῦ μὴ εἰς ἀνατροπὴν καὶ ἀθέτησιν χωρῆσαι τῆς παρούσης ἡμῶν προσενέξεως, μερικὴν ἢ καθ' ὁλόκληρον, μήτε μὴν μεταμέλῳ οἱῳδήτινι χρήσασθαι, ἀναιροῦμεν ἀπ' ἐμαυτῶν πάντα μετάμελον τρόπον καὶ αὐτὸν δὴ τὸν περὶ ἀχαριστίας κείμενον νόμον, καὶ οὐδ' αὐτῷ τῷ νόμῳ χρησόμεθα πώποτε εἰς βοήθειαν ἡμῶν τῶν ἀναιρουμένων τὴν τοιαύτην προσένεξιν, ὑπεξιστάμεθα γὰρ καὶ τῆς ἐντεῦθεν ἐπερχομένης ἡμῖν βοηθείας καὶ αὐτοῦ δὴ τοῦ βενιαλίου δόγματος τοῦ βοηθοῦντος τοὺς ἀπατωμένους συμφωνουμένων φυλάσσειν τὴν παροῦσαν ἡμῶν προσένεξιν ἀναλλοίωτον ἐς ἀεί. εἴπερ δὲ τοίνυν ἀπὸ τοῦ παρόντος μετάμελοι γινόμεθα καὶ ἢ νομὴν ἢ χρῆσιν ἢ δεσποτείαν ἢ ὅλως μετουσίαν τινὰ προβαλλόμεθα ἐπὶ τῷ προσενεχθέντι ἡμῖν τὴν σήμερον πράγματι οἱῳδήτινι ἢ ἀντίχαριν ἐκζητήσωμεν ἢ ἑτέρου νόμου ἰσχὺν τὸ σύνολον προβαλλώμεθα ἢ ὑπόσχεσιν ἔγγραφον ἢ ἄγραφον ἐξ ὑμῶν ἐκζητήσωμεν ἢ πρὸς ἄλλο τι ἀνατρεπτικὸν καὶ ἐναντίον ἐκκλίνωμεν πρὸς τὸ ἀναλῦσαι ἢ ἀθετῆσαι ἓν καὶ μόνον ῥῆμα τῶν ἐνταῦθα ἀναγεγραμμένων, προβαλλόμεθα βίαν ἢ φόβον ἢ δόλον ἢ περιγραφὴν ἢ νομίμου φάκτου ἄγνοιαν ἢ ἰδιωτίαν ἢ ἀγροικίαν ἢ γυναικείαν αἰδῶ καὶ ὑποστολὴν ἢ συναρπαγὴν ἢ χλεύην ἢ ῥᾳδιουργίαν ἢ ἕτερόν τι δικαιολόγημα, ἀφ' ὧν οἱ περὶ τῶν δικανικῶν ἱκανοὶ εἰώθασι προτιθέναι εἰς τὴν τῶν ἐγγράφων ἀναίρεσιν καὶ ἀθέτησιν τῶν συμφωνηθέντων, οὐ μόνον οὐ μὴ εἰσακουσόμεθα ἐφ' οἷς ἂν ἔχωμεν λέγειν, ἀλλὰ σὺν τῷ μὴ εἰσακούεσθαι καὶ προστίμου δώσει ὑποκεισόμεθα παρέχειν πρὸς μὲν παντὶ τῷ μέρει τῆς μονῆς ὑπέρπυρα λίτρας τρεῖς, πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τρίτον τούτων, πρὸς τὸ καὶ οὕτως ἐρρῶσθαι τὴν παροῦσαν προσένεξιν εἰς τὸν ἅπαντα αἰῶνα τὴν καὶ γραφεῖσαν καὶ ἑρμηνευθεῖσαν διὰ τοῦ ταβουλλαρίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Γεωργίου ἱερέως τοῦ Ἀληθινοῦ, καὶ ὡς πάντα ἐπιγνόντες δι' αὐτοῦ ὁμολογοῦμεν τούτοις στοιχεῖν, ὅθεν καὶ ἀρεσθέντες προετάξαμεν ἄνωθεν τοὺς τιμίους σταυροὺς ἀντισυγγράφως ἀποδόντες ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων μηνὶ μαρτίῳ ἰνδ. πρώτῃ ἔτους ,ϛψν' †.

† Ὁ πρωτονοτάριος τῆς ἁγιωτάτης μητροπό-

λεως Σμύρνης ὁ Κασταμονίτης παρήμην ἐπὶ τῇ παρούσῃ ἀπλῇ δωρεᾷ καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ πρωτέκδικος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Ἰωάννης ὁ Κουνάλλης παρὼν ἐπὶ τῇ παρούσῃ ἀπλῇ δωρεᾷ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ ταπεινὸς ἱερεὺς Νικόλαος καὶ δευτερεύων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης παρὼν ἐπὶ τῇ παρούσῃ ἀπλῇ δωρεᾷ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Μιχαὴλ ὁ Καβαλλᾶς παρὼν ἐπὶ τῇ παρούσῃ προσενέξει μαρτυρῶν ὑπέγραψα †.

† Ὁ εὐτελὴς ιέρεὺς καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Γεώργιος ὁ Ὀλυμπίτης παρὼν ἐπὶ τῇ παρούσῃ προσενέξει καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ ἀχρεῖος ἐν ἱερεῦσι καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Γεώργιος ὁ Ἀληθινὸς τοῖς παροῦσι γράφας καὶ μαρτυρῶν ὑπέγραψα †

XXI. 6765—1257, mense iunio, ind. XV.

Miles Michaël Petritzes monasterio confirmat possessionem olivarum in vico Mantaea.

† Ἕτερον γράμμα ἀποφλητικὸν ὡς ἐκδοτήριον στρατιώτου τοῦ Πετρίτζη χάριν τοῦ ὑποστατικοῦ τοῦ Πλανίτου †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Μιχαὴλ ὁ Πετρίτζης οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου, ὑπερευλογημένης, ὑπεράγνου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μιχαὴλ ὁ Πετρίτζης, ὁ ἄνω-

θεν καὶ κατ' ἀρχὴν τοῦ παρόντος ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οἰκειοχείρως προτάξας τίθεμαι καὶ ποιῶ ἑκουσίως, αὐτοθελῶς, ἀπανούργως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ δόλου ἢ φόβου ἢ ἀπάτης ἢ χλεύης ἢ ἄλλης τινὸς ἐπιψόγου καὶ τῆς τῶν νόμων ἀποτρεπομένης αἰτίας, ἀλλὰ σὺν προθυμίᾳ μου πάσῃ, ὁλοψύχῳ τῇ προθέσει καὶ μεμεριμνημένῳ σκοπῷ πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τὴν οὕτωσὶν ἐπικεκλημένην τῶν Λέμβων καὶ πρὸς τοὺς ἐπ' αὐτῇ ἀσκουμένους μοναχούς, τόν τε ἐν μοναχοῖς καθηγούμενον ταύτης, κῦρ Κύριλλον, καὶ τοὺς ὑπ' αὐτοῦ μοναχούς, καὶ γὰρ ἐπεὶ πρὸ χρόνων οὐκ ὀλίγων ἔφθασεν ὁ ἐν τῇ Μανταίᾳ τὴν οἴκησιν ἔχων ἐκεῖνος ὁ διὰ τοῦ θείου καὶ ἁγίου σχήματος μετονομασθεὶς Νικόδημος μοναχὸς ἐκδοῦναι ἐν τῇ τελευταίᾳ αὐτοῦ ἀναπνοῇ ὑπὸ διαθηκῴου αὐτοῦ γράμματος ἐν τῷ γονικῷ αὐτοῦ εὐκτηρίῳ καὶ θείῳ οἴκῳ τῷ ὄντι ἐν τῇ θέσει τῆς Μανταίας καὶ ἐντὸς τῶν δικαίων τῶν καλουμένων Πλανιτῶν καὶ ἐγχωρίως ἐπονομαζομένῳ Νεῷ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Πολυκάρπου δένδρα ἐλαϊκὰ τὸν ἀριθμὸν ὡσεὶ δεκαέξ, ἅτινα ὑπὲρ τοῦ ναοῦ κατεφύτευσε χάριν ψυχικῆς αὐτοῦ σωτηρίας ὑπὲρ φωταυγείας καὶ περιποιήσεως τοῦ δηλωθέντος ναοῦ καὶ οὔτε ἐν πρακτικοῖς στρατιωτικοῖς πρακτικωθέντα, οὔτε μὴν ἐν τῇ τοῦ πανευγενεστάτου Κομνηνοῦ ἐκείνου τοῦ Πιγκέρνη ἀπογραφῇ τηρηθέντα ἢ παραδοθέντα ἔν τινι πρακτικῷ στρατιωτικῷ ἢ καὶ δημοσιακῷ, ἀλλ' ἄνετα τὸ καθόλου ἀφεθέντα καὶ ἀπαράδοτα ὡς προσκυρωθέντα τῷ ἁγίῳ ναῷ τοῦ ἐν ἁγίοις ἰσαποστόλου Πολυκάρπου, καθώσπερ καὶ ἡ τοῦ Νικοδήμου ἐκείνου μοναχοῦ ἐμπεριειλημμένη διάταξις προσκυροῖ ταῦτα τῷ ναῷ ἀραῖς φρικώδεσι τῶν θεοφόρων πατέρων περιέφραξε καὶ ἑτέραις δυσφορήτοις γύρωθεν περιεστάφρευσεν κατὰ τοῦ ἐπιχειρησαμένου διαρρῆξαι τὸ ἐκείνου μνημόσυνον καὶ τὰ ἐλαϊκὰ δένδρα ἀποσπάσαι τοῦ θείου ναοῦ, καὶ καθέξει ταύτας ἐκ κορυφῆς καὶ μέχρι πελμάτων ποδῶν, ὁ δέ γε εὐκτήριος οὗτος καὶ θεῖος ναὸς εἰς πτῶσιν ἐκ τῶν χρόνων κατήντησεν· ἐπεὶ δὲ ἀπὸ τοῦ χρόνου τὰ πάντα καινοτομοῦνται καὶ τειρεύονται, καὶ ὁ τοιοῦτος θεῖος ναὸς ἐκ προσενέξεως τῶν Πλανιτῶν προσῆλθε τῇ πανσέπτῳ καὶ ἁγίᾳ βασιλικῇ μονῇ τῶν Λέμβων, ὃν καὶ ἠθέλησεν ἀνακαινίσαι καὶ εἰς μετόχιον ἀναδεῖξαι ἐξ οἰκείων κόπων αὐτῆς καὶ ὁρισμοὺς θείους καὶ προσκυνητοὺς ὑπὲρ αὐτοῦ ἐπεβραβεύ-

θη τῇ μονῇ, ἐπικυροῦντας τὴν τῶν Πλανιτῶν προσένεξιν, ἀλλὰ καὶ γράμματα τῆς πατριαρχικῆς μεγαλειότητος φέροντα μάχαιραν ἀμφίθηκτον πνευματικὴν κατὰ τῶν ἐπιχειρησάντων κατὰ τῆς μονῆς κατησφάλιστο, ἀλλὰ καὶ ἐγὼ ὁ προρρηθεὶς Πετρίτζης αἱρετισάμενος διενοχλῆσαι ταυτηνὶ τὴν ἁγίαν καὶ σεβασμίαν βασιλικὴν μονὴν ἕνεκα τῶν τοιούτων δένδρων δεκαὲξ τῶν ελαϊκῶν, ἐπεὶ ὁ μοναχὸς ἐκεῖνος Νικόδημος ὑπὸ παροικίαν ἦν τῆς ἡμετέρας προνοίας, ὅθεν καὶ ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβου τὰ χαρτῷα αὐτοῦ δικαιώματα εἰς μέσον ἡμῶν προήγαγε καὶ ἐδίδου ἀναγινώσκεσθαι. ὡς γοῦν ἔφθασεν ἡ τοῦ μοναχοῦ Νικοδήμου διαθήκη, καὶ τὸ ἐπ' αὐτῇ φρικῶδες ἐπιτίμιον ἐξεφων[ήθη], ἐννεὸς ἐγεγόνειν καὶ ἀναίσθητος. εἰδὼς δὲ, ὡς οὐδὲ ἐν τῷ ἡμετέρῳ πρακτικῷ τῷ τοῦ Πιγκέρνη ἐκείνου εἰσὶ καταγεγραμμένα, καὶ δεδιὼς τῷ παρὰ τοῦ θεοῦ ἀφύκτῳ κατακρίματι, πρὸς τὸν τιμιώτατον καθηγούμενον ταυτησὶ τῆς μονῆς, κῦρ Κύριλλον, ἀνέκραξα, ὡς ἀμέτοχος εἰμὶ ὁ αὐτὸς, καλῶς καὶ ὡς δεῖ προσκυρωθέντων τῶν δηλωθέντων ἐλαϊκῶν δένδρων ἐν τῷ τοῦ παναγίου μου Πολυκάρπου θείῳ ναῷ· ἀσύνετος γὰρ λογισθήσεται ὁ τὰ δικαιώματα τηρήσας ταῦτα τοῦ ναοῦ τοῦ θείου Πολυκάρπου καὶ οὐ μὴ συνήσῃ καὶ ἀποφεύξηται πόρρωθεν. ὁ δέ γε τῆς μονῆς τῶν Λέμβου τιμιώτατος καθηγούμενος καὶ οἱ ὑπ' αὐτὸν μοναχοί, ἰδόντες ἀποβαλλόμενον τὰ τοιαῦτα ἐλαϊκὰ δένδρα, ἐζήτησαν καὶ δι' ἡμετέρου ἐγγράφου προσκυρωθῆναι τὰ πολλαχῶς δηλούμενα δένδρα τῇ σεβασμίᾳ καὶ ἁγίᾳ βασιλικῇ μονῇ τῶν Λέμβου, ἔνθεν τοι καὶ οὐδεὶς πόδα ἀπὸ τοῦδε ἐπαγαγεῖν εἰς τὰ τοιαῦτα δένδρα καὶ ὄχλησιν τῇ μονῇ ἐπιβαλεῖν, ἀλλ' ἀπέχειν τέλεον ἀπὸ τούτων τῇ ἐμφανείᾳ τῶν προσόντων χαρτῴων δικαιωμάτων καὶ τοῦ ἐσύστερον γεγονότος ἐκδοτηρίου ἐγγράφου, εἰ καὶ μὴ βούλεται ὁ αὐτὸς ἐπισπάσασθαι τὰς πολυπλόκους ἀρὰς τῶν ἐν τῇ διαθήκῃ ἐμπεριειλημμένων ἁγίων τῶν ἀποχωριζόντων αὐτὸν ἀπὸ τῆς τῶν χριστιανῶν μερίδος καὶ τῷ προδότῃ Ἰούδᾳ ἰσομερισθήσονται, ἐμμένειν δὲ τὴν παροῦσάν μου ἀσφαλῆ ἔγγραφον ἀπαράθραυστον καὶ βεβαίαν εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους, ὡς καλῶς καὶ ἐν φόβῳ θεοῦ γεγονυίαν ἐπὶ τῇ τῶν Λέμβων ἁγίᾳ καὶ βασιλικῇ μονῇ καὶ ἐρρῶσθαι καὶ βεβαιοῦσθαι εἰς τὸν αἰῶνα τὸν ἅπαντα, μέχρις ἂν ὁ ἥλιος τὸ πᾶν ἐφορᾷ, γραφέντος τοῦ ὕφους τῇ ἡμῶν προτροπῇ διὰ χειρὸς Ἰωάννου διακόνου, νομικοῦ τῆς Σμύρ-

θεν καὶ κατ' ἀρχὴν τοῦ παρόντος ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οἰκειοχείρως προτάξας τίθεμαι καὶ ποιῶ ἑκουσίως, αὐτοθελῶς, ἀπανούργως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ δόλου ἢ φόβου ἢ ἀπάτης ἢ χλεύης ἢ ἄλλης τινὸς ἐπιψόγου καὶ τῆς τῶν νόμων ἀποτρεπομένης αἰτίας, ἀλλὰ σὺν προθυμίᾳ μου πάσῃ, ὁλοψύχῳ τῇ προθέσει καὶ μεμεριμνημένῳ σκοπῷ πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τὴν οὑτωσὶν ἐπικεκλημένην τῶν Λέμβων καὶ πρὸς τοὺς ἐπ' αὐτῇ ἀσκουμένους μοναχούς, τόν τε ἐν μοναχοῖς καθηγούμενον ταύτης, κῦρ Κύριλλον, καὶ τοὺς ὑπ' αὐτοῦ μοναχούς, καὶ γὰρ ἐπεὶ πρὸ χρόνων οὐκ ὀλίγων ἔφθασεν ὁ ἐν τῇ Μανταίᾳ τὴν οἴκησιν ἔχων ἐκεῖνος ὁ διὰ τοῦ θείου καὶ ἁγίου σχήματος μετονομασθεὶς Νικόδημος μοναχὸς ἐκδοῦναι ἐν τῇ τελευταίᾳ αὐτοῦ ἀναπνοῇ ὑπὸ διαθηκῴου αὐτοῦ γράμματος ἐν τῷ γονικῷ αὐτοῦ εὐκτηρίῳ καὶ θείῳ οἴκῳ τῷ ὄντι ἐν τῇ θέσει τῆς Μανταίας καὶ ἐντὸς τῶν δικαίων τῶν καλουμένων Πλανιτῶν καὶ ἐγχωρίως ἐπονομαζομένῳ Νεῷ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Πολυκάρπου δένδρα ἐλαϊκὰ τὸν ἀριθμὸν ὡσεὶ δεκαέξ, ἅτινα ὑπὲρ τοῦ ναοῦ κατεφύτευσε χάριν ψυχικῆς αὐτοῦ σωτηρίας ὑπὲρ φωταυγείας καὶ περιποιήσεως τοῦ δηλωθέντος ναοῦ καὶ οὔτε ἐν πρακτικοῖς στρατιωτικοῖς πρακτικωθέντα, οὔτε μὴν ἐν τῇ τοῦ πανευγενεστάτου Κομνηνοῦ ἐκείνου τοῦ Πιγκέρνη ἀπογραφῇ τηρηθέντα ἢ παραδοθέντα ἔν τινι πρακτικῷ στρατιωτικῷ ἢ καὶ δημοσιακῷ, ἀλλ' ἄνευ τὸ καθόλου ἀφεθέντα καὶ ἀπαράδοτα ὡς προσκυρωθέντα τῷ ἁγίῳ ναῷ τοῦ ἐν ἁγίοις ἰσαποστόλου Πολυκάρπου, καθώσπερ καὶ ἡ τοῦ Νικοδήμου ἐκείνου μοναχοῦ ἐμπεριειλημμένη διάταξις προσκυροῖ ταῦτα τῷ ναῷ ἀραῖς φρικώδεσι τῶν θεοφόρων πατέρων περιέφραξε καὶ ἑτέραις δυσφορήτοις γύρωθεν περιεστάφρευσεν κατὰ τοῦ ἐπιχειρησαμένου διαρρῆξαι τὸ ἐκείνου μνημόσυνον καὶ τὰ ἐλαϊκὰ δένδρα ἀποσπάσαι τοῦ θείου ναοῦ, καὶ καθέξει ταύτας ἐκ κορυφῆς καὶ μέχρι πελμάτων ποδῶν, ὁ δέ γε εὐκτήριος οὗτος καὶ θεῖος ναὸς εἰς πτῶσιν ἐκ τῶν χρόνων κατήντησεν· ἐπεὶ δὲ ἀπὸ τοῦ χρόνου τὰ πάντα καινοτομοῦνται καὶ τειρεύονται, καὶ ὁ τοιοῦτος θεῖος ναὸς ἐκ προσενέξεως τῶν Πλανιτῶν προσῆλθε τῇ πανσέπτῳ καὶ ἁγίᾳ βασιλικῇ μονῇ τῶν Λέμβων, ὃν καὶ ἠθέλησεν ἀνακαινίσαι καὶ εἰς μετόχιον ἀναδεῖξαι ἐξ οἰκείων κόπων αὐτῆς καὶ ὁρισμοὺς θείους καὶ προσκυνητοὺς ὑπὲρ αὐτοῦ ἐπεβραβεύ-

θη τῇ μονῇ, ἐπικυροῦντας τὴν τῶν Πλανιτῶν προσένεξιν, ἀλλὰ καὶ γράμματα τῆς πατριαρχικῆς μεγαλειότητος φέροντα μάχαιραν ἀμφίθηκτον πνευματικὴν κατὰ τῶν ἐπιχειρησάντων κατὰ τῆς μονῆς κατησφάλιστο, ἀλλὰ καὶ ἐγὼ ὁ προρρηθεὶς Πετρίτζης αἱρετισάμενος διενοχλῆσαι ταυτηνὶ τὴν ἁγίαν καὶ σεβασμίαν βασιλικὴν μονὴν ἕνεκα τῶν τοιούτων δένδρων δεκαὲξ τῶν ελαϊκῶν, ἐπεὶ ὁ μοναχὸς ἐκεῖνος Νικόδημος ὑπὸ παροικίαν ἣν τῆς ἡμετέρας προνοίας, ὅθεν καὶ ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβου τὰ χαρτῷα αὐτοῦ δικαιώματα εἰς μέσον ἡμῶν προήγαγε καὶ ἐδίδου ἀναγινώσκεσθαι. ὡς γοῦν ἔφθασεν ἡ τοῦ μοναχοῦ Νικοδήμου διαθήκη, καὶ τὸ ἐπ' αὐτῇ φρικῶδες ἐπιτίμιον ἐξεφων[ήθη], ἐννεὸς ἐγεγόνειν καὶ ἀναίσθητος. εἰδὼς δὲ, ὡς οὐδὲ ἐν τῷ ἡμετέρῳ πρακτικῷ τῷ τοῦ Πιγκέρνη ἐκείνου εἰσὶ καταγεγραμμένα, καὶ δεδιὼς τῷ παρὰ τοῦ θεοῦ ἀφύκτῳ κατακρίματι, πρὸς τὸν τιμιώτατον καθηγούμενον ταυτησὶ τῆς μονῆς, κῦρ Κύριλλον, ἀνέκραξα, ὡς ἀμέτοχος εἰμὶ ὁ αὐτὸς, καλῶς καὶ ὡς δεῖ προσκυρωθέντων τῶν δηλωθέντων ἐλαϊκῶν δένδρων ἐν τῷ τοῦ παναγίου μου Πολυκάρπου θείῳ ναῷ· ἀσύνετος γὰρ λογισθήσεται ὁ τὰ δικαιώματα ˙τηρήσας ταῦτα τοῦ ναοῦ τοῦ θείου Πολυκάρπου καὶ οὐ μὴ συνήσῃ καὶ ἀποφεύξηται πόρρωθεν. ὁ δέ γε τῆς μονῆς τῶν Λέμβου τιμιώτατος καθηγούμενος καὶ οἱ ὑπ' αὐτὸν μοναχοὶ, ἰδόντες ἀποβαλλόμενον τὰ τοιαῦτα ἐλαϊκὰ δένδρα, ἐζήτησαν καὶ δι' ἡμετέρου ἐγγράφου προσκυρωθῆναι τὰ πολλαχῶς δηλούμενα δένδρα τῇ σεβασμίᾳ καὶ ἁγίᾳ βασιλικῇ μονῇ τῶν Λέμβου, ἔνθεν τοι καὶ οὐδεὶς πόδα ἀπὸ τοῦδε ἐπαγαγεῖν εἰς τὰ τοιαῦτα δένδρα καὶ ὄχλησιν τῇ μονῇ ἐκβαλεῖν, ἀλλ' ἀπέχειν τέλεον ἀπὸ τούτων τῇ ἐμφανείᾳ τῶν προσόντων χαρτῴων δικαιωμάτων καὶ τοῦ ἐσύστερον γεγονότος ἐκδοτηρίου ἐγγράφου, εἰ καὶ μὴ βούλεται ὁ αὐτὸς ἐπισπάσασθαι τὰς πολυπλόκους ἀρὰς τῶν ἐν τῇ διαθήκῃ ἐμπεριειλημμένων ἁγίων τῶν ἀποχωρ μιζόντων αὐτὸν ἀπὸ τῆς τῶν χριστιανῶν μερίδος καὶ τῷ προδότῃ Ἰούδᾳ ἰσομερισθήσονται, ἐμμένειν δὲ τὴν παροῦσάν μου ἀσφαλῆ ἔγγραφον ἀπαράθραυστον καὶ βεβαίαν εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους, ὡς καλῶς καὶ ἐν φόβῳ θεοῦ γεγονυίαν ἐπὶ τῇ τῶν Λέμβων ἁγίᾳ καὶ βασιλικῇ μονῇ καὶ ἐρρῶσθαι καὶ βεβαιοῦσθαι εἰς τὸν αἰῶνα τὸν ἅπαντα, μέχρις ἂν ὁ ἥλιος τὸ πᾶν ἐφορᾷ, γραφέντος τοῦ ὕφους τῇ ἡμῶν προτροπῇ διὰ χειρὸς Ἰωάννου διακόνου, νομικοῦ τῆς Σμύρ-

νης καὶ λογοθέτου τοῦ Ἀργυροπούλου. μηνὶ ἰουνίῳ ἰνδ. ιε' ἔτους ,ςφξε' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, προκαθήμενος Σμύρνης, Γεώργιος ὁ Καλοειδᾶς, ὡς τὸ ὕφος δηλοῖ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἰωάννης ὁ Ῥαβδοκανάκης, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †.

Σίγνον	μάρτυρος
Ἰωάννου	τοῦ Βατάτζη.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Φίλιππος ὁ Μαγκωνίτης, παρὼν ἐπὶ τῇ παρούσῃ ὁμολογίᾳ, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †.

† Ὁ πρωτέκδικος καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰωάννης ὁ Κουνάλλης, τὴν παροῦσαν τῶν προειρημμένων ἐλαϊκῶν δένδρων ἀπόφλησιν μαρτυρῶν ὑπέγραψα †. † Ὁ εὐτελὴς διάκονος, ἱερομνήμων καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Μιχαὴλ ὁ Ἀστραγαλῆ, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †. † Ὁ ἀχρεῖος ἐν ἱερεῦσιν, ὑπομνηματογράφος καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Γεώργιος ὁ Ἀληθινός, παρὼν καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ ταπεινὸς διάκονος, λογοθέτης καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰωάννης ὁ Ἀργυρόπουλος, τὴν παροῦσαν ἔκδοσιν τῶν εἰρημμένων ἐλαϊκῶν δένδρων μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

XXII. Sine anno, mense martio, ind. I.

Iudicium Ioannis Tornicae, ducis thematis Thracesiorum.

† Ἕτερον γράμμα τοῦ Τορνίκη κυροῦ Ἰωάννου κρίσιμον χάριν τοῦ ὑποστατικοῦ τῶν Πλανιτῶν διὰ τὸ τέλος, ὅπερ ἐζήτουν ὑπὲρ αὐτοῦ οἱ προσγενεῖς τούτου †.

† Ἐπεὶ ὁ Πλανίτης ἐκεῖνος Μιχαὴλ ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Μάξιμος ἔφθασεν ἐάσαι εἰς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου θεομήτορος ἡμῶν τῆς ἐπονομαζομένης τῶν Λέμβων ψυχικῆς ἕνεκα σωτηρίας αὐτοῦ ἀπὸ τοῦ γονικοῦ αὐτοῦ ὑποστατικοῦ χωράφια καὶ ἐλαϊκὰ δένδρα μετὰ καὶ ἐπιτελείας κατ' ἔτος ὑπερπύρων ἓν ἥμισυ, ὁ δέ γε αὐτάδελφος ἐκείνου Βασίλειος καὶ ὁ υἱὸς ἐκείνου Κωνσταντῖνος οὐκ εἴασαν ταῦτα τῇ δηλωθείσῃ μονῇ, ἀλλὰ ἀφείλοντο ταῦτα ἄλλο ἀλλαχοῦ τὰ τοιαῦτα ἀπεμπολήσαντες, μὴ καταλείψαντες καὶ τὴν μονὴν ἢ δένδρον ἢ χωράφιον, καὶ μὴ μόνον ὅτι ἀφείλοντο τὸ ῥηθὲν πρᾶγμα καὶ ἀπεμπόλησαν αὐτὸ πρὸς οὓς ἐβούλοντο, ἀλλὰ καθεῖλκον καὶ τὴν μονὴν εἰς ἐπιτέλειαν· καταλαβόντες οὖν πρὸς μὲ οἱ μοναχοὶ καὶ ὁ υἱὸς ἐκείνου τοῦ Πλανίτου, τὰ τῆς ὑποθέσεως ἡμῖν ἐξεῖπον, καὶ παρ' ἐμοῦ πεμφθεὶς ὁ ἀπὸ τῆς Σμύρνης Μακρηνὸς ἀπῆλθεν, ἵνα τηρήσῃ, εἰ ἀληθῶς λέγουσιν οἱ μοναχοί, ὅτι ἀφείλοντο τὰ ἐλαϊκὰ δένδρα καὶ τὰ χωράφια ὁ υἱὸς τοῦ Πλανίτου ἐκείνου καὶ ὁ πατράδελφος αὐτοῦ καὶ εἰς ἑτέρους ἀπεμπόλησαν ταῦτα, ἀπελθὼν δὲ ὁ δηλωθεὶς Μακρηνὸς εὗρεν ἀληθολογοῦντας τοὺς μοναχούς, καὶ γὰρ καταλαβόντος αὐτοῦ εἰς τὴν Μάνταιαν ἐμαρτύρησε νομικὸς ὁ Φιλοκονηγήτης, ἀπεμπολῆσαι αὐτοὺς πρός τε τὸν κῦρ Παῦλον ἐλαίας καὶ χωράφια ὑπερπύρων δεκαὲξ, ὁμοίως ἐμαρτύρησε καὶ Μανουὴλ ὁ Πωλέας, πωλῆσαι αὐτοὺς πρὸς τὸν Βρανᾶν δένδρα ἐλαϊκὰ καὶ χωράφια ὑπερπύρων τεσσαράκοντα, πρὸς τὸν Ξανθὸν χωράφια ὑπερπύρων δέκα καὶ ἐκ δευτέρου πρὸς τὸν Βρανᾶν χωράφια καὶ ἐλαίας ὑπερπύρων εἰκοσιέξ, κρατεῖ καὶ ὁ Ῥεντάκης ἐλαίας τέσσαρας καὶ χωράφιον μοδίου ἑνὸς καὶ ἡ ἀνεψιὰ αὐτοῦ ἡ μοναχὴ χωράφιον μοδίου ἑνὸς καὶ ἐλαίας δέκα, οὐχ εὗρον δὲ καὶ τὴν μονὴν ἀπὸ τοῦ αὐτῶν πράγματος εἰ μὴ εἰς τὴν αὐλὴν τοῦ μετοχίου ὡσεὶ μοδίου ἑνὸς τετάρτ[ου] καὶ ἐλαίας εἰκοσιτρεῖς ὄπισθεν τοῦ μετοχίου, ἅπερ

μεμαρτύρητο παρὰ τοῦ μοναχοῦ Βαρνάβα τοῦ Πλανήτου μετ' ἐντολῆς, ὡς οὐκ εἰσὶν ἀπὸ τοῦ στίχου αὐτῶν, ἀλλὰ κατεφυτεύθησαν παρὰ τοῦ μοναχοῦ Γαβριὴλ τοῦ Πλανίτου τῆς .... λόγῳ τοῦ ἁγίου Πολυκάρπου. καὶ ἐπεὶ ἐτηρήσαμεν ἀκριβῶς καὶ οὐχ εὕρομεν τὴν σεβασμίαν μονὴν τῶν Λέμβων ἀπὸ τοῦ αὐτοῦ πράγματος τὸ τυχόν, ἐγεγόνει πρὸς αὐτοὺς ἡ παροῦσα ἡμετέρα γραφὴ κρισίμη, ἵνα μηδόλως ἔχωσί τι λέγειν ἢ ὁ στρατιώτης ἢ ἕτερός τις, ἀλλὰ ἀπέχωσι τέλεον ἀπὸ τῆς μονῆς καὶ ἀπὸ τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν τῇ ἐμφανείᾳ τῆς ἡμετέρας ἀποκαταστατικῆς γραφῆς. μηνὶ μαρτίῳ ἰνδ. α' †.

† Ὁ δοῦλος καὶ ἐξάδελφος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως δοὺξ καὶ κελευστὴς τοῦ θέματος τῶν Θρακησίων, Ἰωάννης ὁ Τορνίκης †.

XXIII. 6763—1255, mense februario, ind. XIII.

Testamentum Maximi Planetae.

† Τὸ διαθηκῶον γράμμα τοῦ μοναχοῦ Μαξίμου τοῦ Πλανίτου, ὅπερ περιέχει οὑτωσί †.

Διάταξις ἐμοῦ τοῦ μοναχοῦ Μαξίμου τοῦ Πλανίτου, ἣν διεταξάμην ἐπὶ παρουσίᾳ τοῦ πατρός μου τοῦ καθηγουμένου καὶ τοῦ πνευματικοῦ μου πατρὸς, τοῦ ἱερομονάχου κυροῦ Ἰωακεὶμ, τοῦ ἱερομονάχου Ματθαίου, τοῦ ἱερομονάχου Δαυὶδ καὶ πάντων μου τῶν ἀδελφῶν, πρῶτον μὲν ἐπὶ θεῷ μάρτυρι· ἅπερ κρατῶ, εἰσὶν ὑπέρπυρα λβ' καὶ ὑπερπύρων δύο χρασὶν, ἅπερ καὶ παρέδωκα πρὸς τὸν πατέρα μου, τὰ μὲν ιε' ἵνα δώσει τῷ Κωνσταντίνῳ τῷ υἱῷ μου, τὰ δὲ ιζ' καὶ τὸ χρασὶν ἔχῃ τὸ μοναστήριον. ἔχω καὶ δύο γούνας, καὶ τὴν μὲν μίαν ἐπαφίημι τὴν μητέρα μου, τὴν δὲ ἑτέραν καὶ πανὶν πέντε σπιθαμὰς καὶ τὰ φελλοϋποδήματά μου καὶ τὰ χαμηλὰ καὶ τὸ περιστήθιόν μου τὸ καλλιώτερον καὶ δέρμα ἀλωπικὸν καὶ ποκάμισον λινοῦν καὶ τὴν κάππαν καὶ τὸ λέντιον ἀφίημι τὸν Κωνσταντῖνον, καὶ πλέον τούτων οὐκ ἐκράτουν. τὸ δὲ πρᾶγμά μου, ὅπερ ἀνεβίβασα εἰς τὸ ὀσπήτιον τῆς μητρός μου, ὅτε ἀπεκάρην, ἔστι τοῦτο· σχολαρίκια μεγάλα καὶ ἑτέραν ζυγὴν χωρὶς μαργάρων, κομποθηλ.. χρυσῆν, τραχήλιον μετὰ μαργάρων, μοσχερὸν ἀργυροῦν μετὰ ἀλύσεως, θηριακάριν

ἀργυροῦν μετὰ ἁλύσεως, σαβανολουτρικὸν καδδαροσπιχότερον, ἐφάπλωμα, καθεξαμίτιν κόκκινον, σεντάκιν κουκκούμιν μέγα, κεραστικὸν, ὀδοντογλύπτιν ἀργυροῦν, δακτύλια χρυσᾶ τρία καὶ ἕτερον ἓν μέγα μάλαγμα· καὶ ταῦτα μὲν πάντα ἀφίημι τῷ υἱῷ μου τῷ Θεοφιλοπούλῳ· ὁμοίως καὶ τὰ ὀσπήτια τῆς μητρὸς αὐτοῦ, δύο πίθους συκαμίνους, ἀμπέλιον τῆς μητρὸς αὐτοῦ εἰς τὸ Σταύριν, τὸ δὲ λωρίκιν, τὰ δύο κασσίδια καὶ τὸ πιθὶν ἀφίημι τοῖς δυσὶ παισίν· ἔστι καὶ ἡ τζόχα καὶ ἐγκόλπιον ἀργυροῦν, ἣν δὲ τζόχαν ἔκοψα τῷ Κωνσταντίνῳ· τὸ ζωνάριόν μου τὸ ἀργυροῦν καὶ τὸ μέγα κακκούμιν τὸ γονικόν μου καὶ τὸ σάβανον, ὅπερ μοὶ ἔδωκεν ὁ Βασίλειος, συνδὸν ζυγὴ φραγγικὴ, τὸ ἐφάπλωμα τὸ αὐδ·ν, ἅπερ καὶ ἐπαφίημι τῷ Κωνσταντίνῳ. ὁμοίως ἀφίημι αὐτῷ καὶ τὸν ἀγοραστόν μου ἄμπελον τὸν εἰς τὸ Σταυρίν, καὶ πίθιν ἕνα γονικόν μου καὶ πλέον οὐδέν. ἐπαφίημι δὲ τὸν πατέρα μου τὸν καθηγούμενον καὶ τοὺς ἀδελφούς μου ἐπιτρόπους, ἵνα διοικήσωσι ταῦτα, καθὼς διεταξάμην. τὸ δὲ πρᾶγμα ἡμῶν τὸ ὑποστατικὸν ἤγουν τὸ γονικὸν ὅλον, καθὼς καὶ προσηνέγκαμεν αὐτὸ εἰς τὸ μοναστήριον ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας ἡ μήτηρ μου καὶ ἐγὼ καὶ ὁ ἀδελφός μου, ὅστις βουληθῇ ὀψέ ποτε φέρειν εἰς τὴν μονὴν τὴν τυχοῦσαν ὄχλησιν ἢ διασεισμόν τινα περὶ τοῦ τοιούτου πράγματος ἢ οἱ γονεῖς μου ἢ οἱ παῖδές μου ἤ τις τῶν προσγενῶν μου, ἵνα ἔχῃ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ ἁγίων θεοφόρων πατέρων καὶ τὴν ἐμὴν τοῦ ἁμαρτωλοῦ καὶ ἐμφανιζομένης μου ταύτης τῆς διατάξεως καὶ τοῦ ἐκδοτηρίου ἡμῶν γράμματος, οὗπερ ἐποιήσαμεν προγενέστερον, ἵνα ζωμιῶνται εἰς τὸ βεστιάριον τοῦ αὐθέντου ἡμῶν, τοῦ βασιλέως τοῦ ἁγίου, ὑπέρπυρα ἑκατὸν καὶ μένωσι καὶ ἄπρακτοι. εἰς τοῦτο γὰρ ἐποίησα καὶ τὴν παροῦσάν μου διάταξιν ἔτι ζῶντός μου, ἔχοντός μου τὸν μὲν νοῦν σῶον καὶ τὰς φρένας ἐρρωμένας ἐπὶ θεῷ μάρτυρι τῷ ἐφοροῦντι τὰ πάντα. μηνὶ φευρουαρίῳ ἰνδ. ιγ´ ἔτους ͵ςφξγ´ †.

XXIV. Sine anno, mense martio, ind. XIII.

Ioannes Alethinus monasterio donat olivas in vico Panareto.

† Τὸ ἐκδοτήριον ἔγγραφον τοῦ σεβαστοῦ κυροῦ Ἰωάννου τοῦ Ἀληθινοῦ ὑπὲρ τῶν εἰς τὸ χωρίον τοῦ Παναρέτου δοθέντων ἐλαϊκῶν δένδρων †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἰωάννης σεβαστὸς ὁ Ἀληθινὸς οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Ἰωάννης σεβαστὸς ὁ Ἀληθινὸς, ἄνωθεν τοῦ παρόντος ὕφους οἰκειοχείρως προτάξας τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον. καὶ γὰρ ἀπὸ τῆς σήμερον, ἥτις ἐστὶ τεσσαρεσκαιδεκάτη τοῦ παρόντος μαρτίου μηνὸς τῆς νῦν τρεχούσης τρισκαιδεκάτης ἰνδικτιῶνος, ἀποδίδωμι χάριν ψυχικῆς ἡμῶν σωτηρίας πρὸς τὴν μονὴν τοῦ ἁγίου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος καὶ πρὸς σὲ, τὸν καθηγούμενον τῆς αὐτῆς ἁγίας μονῆς κῦρ Λέοντιον, καὶ πρὸς τοὺς ὑπὸ σὲ, ἀσκουμένους μοναχοὺς τὰ ἐλαϊκὰ ἡμῶν δένδρα τὰ ἐν τῷ χωρίῳ μου τοῦ Παναρέτου διακείμενα ἐν τῇ τοποθεσίᾳ τοῦ ἐλαιῶνος, τὰ καὶ πλησίον τῶν ἀνύδρων ἐλαιοφόρων δένδρων, οἷά καὶ ὅσα εἰσὶν ἡ ἐπιτυγχάνουσά μοι μερὶς ἀπὸ τοῦ Μαυροιωάννου Γεωργίου καὶ ἀπὸ τοῦ ἐξαδέλφου αὐτοῦ Γεωργίου τοῦ Ἀγαρηνοῦ, τοῦ ἔχειν καὶ κατέχειν ἡ τοιαύτη μονὴ ἡ καὶ δηλωθεῖσα ἄνωθεν τὰ τοιαῦτα ἐλαιοφόρα δένδρα εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, μέχρις ἂν τὸ περίγειον συνίσταται καὶ ὁ ἥλιος ἐφορᾷ τὸ πᾶν, ἄδειαν ἐχούσης τῆς τοιαύτης ἁγίας μονῆς ἐπὶ τοῖς τοιούτοις ἐλαϊκοῖς δένδροις πωλεῖν αὐτὰ, ἀνταλάττειν, ἐκριζοῖν καὶ τἄλλα πάντα ποιεῖν κατὰ τὸν ἀρέσκοντα δηλαδὴ καὶ νομιζόμενον αὐτοῖς τρόπον. ὅστις δὲ ἐξ ἡμῶν βουληθῇ ὑπὲρ ἀνατροπῆς τοῦ ἡμῶν ἑκουσίως γεγονότος ἐγγράφου ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας, μὴ μόνον οὐ μὴ εἰσακούεται, ἀλλ' ἐμφανιζομένου καὶ τοῦ παρόντος ἡμῶν ἐγγράφου ἀπὸ παντὸς νόμου καὶ δικαστηρίου καταδεδικασμένος καὶ κατῃσχυμένος ἀποπέμπεται, σὺν τούτοις ἕξει καὶ τὰς ἀρὰς τῶν τριακοσίων ὀκτωκαίδεκα θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα λογισθήσαιτο καὶ μετὰ τῶν κεκραγότων τό· ἆρον, ἆρον, σταύρωσον τὸν υἱὸν τοῦ θεοῦ. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων †.

Σίγνον	Κωνσταντίνου	Σίγνον	Γεωργίου	Σίγνον	Γεωργίου
τοῦ Ἀρ	μένη.	τοῦ Κακ	αβᾶ.	τοῦ Μ	αυροιωάννου.

Σίγνον |Γεωργίου Σίγνον |Νικολάου
τοῦ Ἀγ|αρηνοῦ. τοῦ Μα|τζούκη.

† Θεόδωρος ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας ὁ Κάλλιστος γράφας ὑπέγραφα †.

XXV. 6740—1232, mense februario, ind. V.

Michael Cacabas monasterio vendit olivas XXVI, quas possidet in vico Panareto.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Κακαβᾶ Μιχαὴλ καὶ τῶν παίδων αὐτοῦ χάριν τῶν εἰς τοῦ Παναρέτου ὑπ' αὐτοῦ πωληθέντων ἐλαϊκῶν δένδρων †.

Σίγνον|Μιχαὴλ Σίγνον |Θεοφανὼ Σίγνον |Γεωργίου
τοῦ Κα|καβᾶ. τῆς συμβί|ου αὐτοῦ. τοῦ υἱοῦ|αὐτοῦ.
Σίγνον |Θεοδώρου Σίγνον|Λέοντος
τοῦ ἑτέρου |υἱοῦ αὐτοῦ. τοῦ αὐ|ταδέλφου αὐτοῦ.
Σίγνον |Γεωργίου Σίγνον |Μαρίας Σίγνον |Μιχαὴλ
τοῦ |Κόμη. τῆς συμβ|ίου αὐτοῦ. τοῦ υἱοῦ |αὐτῶν.
Σίγνον |Γεωργίου Σίγνον |Ἄννης
τοῦ Καρ|αφάνη. τῆς θυ|γατρὸς αὐτοῦ.
Σίγνον |Μαρίας
τῆς αὐ|ταδέλφης αὐτῆς. † Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐπὶ τῆς βασιλείας τῶν εὐσεβεστάτων καὶ ἐκ θεοῦ ἐστεμμένων μεγάλων βασιλέων, Ἰωάννου μεγάλου βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων τοῦ Δούκα καὶ Εἰρήνης τῆς εὐσεβεστάτης αὐγούστης, Μιχαὴλ ὁ Κακαβᾶς, Θεοφανὼ, ἡ σύμβιος αὐτοῦ, ἔτι δὲ καὶ οἱ γνήσιοι παῖδες αὐτῶν, ὁ Γεώργιός τε, ὁ Θεόδωρος καὶ ὁ Λέων, Γεώργιος ὁ Κόμης, Μαρία ἡ σύμβιος αὐτοῦ, Μιχαὴλ ὁ υἱὸς αὐτῶν, Γεώργιος ὁ Καραφάνης, Ἄννα ἡ θυγάτηρ αὐτοῦ καὶ Μαρία ἡ αὐτῆς ἀδελφὴ, οἱ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως προτάξαντες τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν εἰς τὸ ἑξῆς μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νομίμου ἀσφαλείας καθαρὰν, φανερὰν πρᾶσιν τὴν ἐς ἀεὶ τὸ ἀπαράθραυστον καὶ ἀπερικλόνητον ἔχειν ὀφείλουσαν καὶ μηδαμῶς

ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι, οὐ παρ' ἡμῶν αὐτῶν τῶν ἀπεμπολούντων, οὐ παρ' ἑτέρου οἱουδήτινος προσώπου συγγενικοῦ ἢ καὶ ἀλλοτρίου τὸ σύνολον τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, ἀμεταμελήτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἰδιωτίας ἢ ἀγροικίας ἢ νομίμου φάκτου ἀγνοίας ἢ ἄλλης τινὸς ἐπιφόγου τῆς τῶν νόμων ἀποτετραμμένης αἰτίας, μᾶλλον μὲν οὖν μετὰ πάσης ἡμῶν τῆς προθυμίας καὶ ἁπλότητος, χρονίας τε διασκέψεως καὶ μετὰ μεμεριμνημένου σκοποῦ, ἅμα καὶ τῇ συναινέσει παντὸς τοῦ μέρους ἡμῶν τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανοὑργως καὶ ἀμεταμελήτως πρὸς σέ, τὸν πανηγιασμένον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς ἁγίας μονῆς τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, κῦρ Γεράσιμον, καὶ διὰ σοῦ πρὸς τοὺς ὑπὸ σὲ ἀσκουμένους μοναχοὺς καὶ δι' ὑμῶν πρὸς τὰ μέρη ὑμῶν ἅπαντα, κληρονόμους, διαδόχους καὶ παντοίους τοὺς διακατόχους, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἐλαϊκὰ ἡμῶν δένδρα τὰ ὄντα καὶ διακείμενα ἐν τῷ χωρίῳ τοῦ Παναρέτου καὶ ἐν τῇ τοποθεσίᾳ τοῦ Φοίνικος, τὰ καὶ πλησιαστὰς ἔχοντα ἀπὸ μὲν ἀνατολῆς τοὺς Ἀρμενίους καὶ ἀπὸ δύσεως τοὺς αὐτοὺς Ἀρμενίους, ἀπὸ ἄρκτου τοῦ Ζωναρᾶ καὶ ἀπὸ μεσημβρίας τοῦ Κακαβᾶ, ἤγουν ἐλαϊκὰ δένδρα εἰκοσιεπτὰ μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν βουληθέντες ἐκποιήσασθαι; τὴν πρᾶσιν τούτων διεφημίσαμεν. ὡς δὲ ἡ περὶ αὐτῶν φήμη ἔφθασε καὶ εἰς τὰς ἀκοάς σου, τοῦ παναγιασμένου καθηγουμένου τῆς σεβασμίας βασιλικῆς ἁγίας μονῆς τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, κυροῦ Γερασίμου, ἠθέλησας αὐτὰ ἐξωνήσασθαι, καὶ λόγων μέσον ἡμῶν γινομένων περὶ τοῦ τιμήματος αὐτῶν, ὕστερον περιεστήσαμεν αὐτὰ ἐκ συμφωνίας καὶ ἀρεσκείας ἡμῶν εἰς νομίσματα χρυσᾶ ἑξάγια ὀκτώ, ἃ δὴ νομίσματα καὶ λαβόντες ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμῶν χεῖρας ἐνώπιον καὶ ὄψει τῶν κάτωθεν ὀφειλόντων ὑπογράφαι μαρτύρων καὶ τελείως ἐκστάντες τῆς αὐτῶν διακατοχῆς καὶ νομῆς ἐκχωρούμεθά σοι ἐπιλαβέσθαι αὐτῶν καὶ χρᾶσθαι καὶ νέμεσθαι εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ἄδειαν ἔχοντες καὶ πᾶσαν ἐξουσίαν πωλεῖν αὐτὰ καὶ δωρεῖσθαι, ἀνταλλάττειν καὶ τἄλλα πάντα ποιεῖσθαι κατὰ τὸν ἀρέσκοντα δηλαδὴ καὶ νομιζόμενόν σοι τρόπον, καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς

νόμοι τοῖς τελείοις καὶ ἀληθέσι δεσπόταις τῶν ἀνηκόντων αὐτοῖς δεσπόζειν παρακελεύονται. οὕτως οὖν τῆς παρούσης πράξεως παρ' ἡμῶν γεγονυίας ἐπερωτώμενοι ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα, τοῦ μὴ εἰς ἀνατροπὴν καὶ μεταμέλειαν ὅλως χωρηθῶμεν ἢ ἓν καὶ μόνον ῥῆμα ἐναλλάξαι ἢ ἀθετῆσαι ἢ πρὸς τὸν δεφενσίωνα μελήσωμεν ἢ αναργυρίαν προσθήσομεν μέρος ἢ ὁλόκληρον ἢ τὸ καθόλου ὄχλησιν τὴν οἱανοῦν προσενέγκωμεν τῷ μέρει τῆς μονῆς, μὴ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλ' ἐμφανιζομένου τοῦ παρόντος ἡμῶν ἐγγράφου καὶ ἃς ἔχητε καταβαλέσθαι ἐξόδους ἐπὶ τὸ διπλάσιον ἀποτίσωμεν αὐτάς. τοῦ γὰρ παρόντος ἡμῶν ἐγγράφου ἀρκεῖ ὑμῖν ὀφείλοντος καὶ ἀντὶ σωματικῆς ἡμῶν παραδώσεως καὶ εἰς σχολὴν νομικὴν, λόγῳ δὲ προστίμου παρασχεῖν ὀφείλομεν πρὸς τὸ μέρος τῆς μονῆς νομίσματα χρυσᾶ ὅμοια [καὶ] τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἰς τινὰ νομικὴν βοήθειαν καταφεύγοντες. ὀφείλει δὲ τελεῖν ἡ μονὴ πρὸς τὸ μέρος τοῦ Κακαβᾶ νόμισμα .... πραττόμενον ἕν. μηνὶ φευρουαρίῳ ἰνδ. ε' ἔτους ,ϛφμ' †.

Σίγνον	μάρτυρος	Σίγνον	Νικήτα	Σίγνον	Κωνσταντίνου
Κωνσταν	τίου τοῦ Ἀρμένη.	τοῦ Κακ	αβᾶ.	τοῦ Περ	γαμενοῦ.
Σίγνον	Νικήτα	Σίγνον	Κωνσταντίνου		
τοῦ Πεπ	αγωμένου.	τοῦ	Κοππιανᾶ.		

† Θεόδωρος ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας ὁ Κάλλιστος παρὼν καὶ αὐτὸς τὰ ὅμοια μαρτυρῶν γράφας ὑπέγραφα †.

XXVI. *Donatio equitis Sir Adam.*

† Τὸ ἔγγραφον τῆς προσενέξεως τὸν εἰς τὸν Αὐρήλιον ἐλαϊκῶν δένδρων καβαλλαρίου τοῦ σὺρ Ἀδάμ †.

Finis deest folio uno e codice exciso.

XXVII. 6767—1259, mense iulio, ind. II.

Donatio Planetae confirmatur.

Initium deest.

Ἔτι δὲ καὶ ὁ γαμβρὸς αὐτοῦ Κωνσταντῖνος ὁ Ῥεντάκης μετὰ καὶ παντὸς τοῦ μέρους ἡμῶν οἱ καὶ κατ' ἀρχὴν τοῦ παρόντος ὕφους

οἰκειοχείρως προτάξαντες τὸ παρὸν συμβιβαστικὸν ἡμῶν ἔγγραφον τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, ἀβιάστως καὶ ἀμεταμελήτως καὶ ἐκτὸς δόλου παντὸς καὶ τρόπου πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεοτόκου τῆς Λεμβιωτίσσης, τὸν ἱερομόναχον κῦρ Κύριλλον, καὶ πρὸς ἅπαν τὸ μέρος τῆς ὑπὸ σὲ ταύτης ἁγίας μονῆς, καθὼς δηλωθήσεται. καὶ γὰρ ἐπεὶ ἀπόντων ἡμῶν ἀπὸ τῆς γονικῆς ἡμῶν κληρονομίας τῆς ἐν τῷ χωρίῳ **Μανταίας** καὶ πρὸ χρόνων πολλῶν ξενητευθέντων, ἔφθασεν ὁ θεῖος ἡμῶν ὁ Πλανίτης ἐκεῖνος ἐκδοῦναι τὰ γονικὰ ἡμῶν ὑποστατικὰ τὰ ἐν τῷ δηλωθέντι χωρίῳ, ἐλαίας τε, χωράφια καὶ μυλοτόπιον ἐν τῇ δηλωθείσῃ μονῇ τῶν Λέμβου, καὶ κατεῖχε ταῦτα χρόνους οὐκ ὀλίγους, ἀρτίως δὲ ἀνεφέρομεν περὶ τούτου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ καὶ ἐποριςάμεθα ὁρισμὸν τοῦ κατέχειν τὰ ἡμίση τῶν τοιούτων ὑποστατικῶν, τὰ δὲ ἕτερα ἡμίση προσεῖναι τῇ μονῇ ὡς τὸ πρότερον, καθὼς καὶ ὁ θεῖος ἡμῶν ὁ Πλανίτης ἐκεῖνος ἐξέδοτο ταῦτα δι' ἐγγράφου αὐτοῦ τε καὶ τοῦ αὐταδέλφου αὐτοῦ καὶ τῆς μητρὸς αὐτῶν, ἀλλὰ δὴ καὶ καθὼς διετάξατο· διά τοι τοῦτο καὶ ἡμεῖς τὸ παρὸν συμβιβαστικὸν ἔγγραφον ποιησάμενοι τῇ ῥηθείσῃ σεβασμίᾳ βασιλικῇ μονῇ ἐπιδεδώκαμεν εἰς ἀσφάλειαν. εἰ δέ γε πρὸς ἀνατροπὴν καὶ ἀθέτησιν τοῦ παρόντος συμβιβαστικοῦ ἐγγράφου ἡμῶν χωρηθῶμεν, οὐ μόνον οὐ μὴ εἰσακουόμεθα, ἐφ' οἷς ἂν ἔχωμεν λέγειν, ἀλλὰ καὶ τὰς ἀρὰς ἐπισπασώμεθα τῶν τριακοσίων δεκαοκτὼ ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἡ μερὶς ἡμῶν μετὰ τοῦ προδότου Ἰούδα. ἐγράφη τὸ παρὸν συμβιβαστικὸν ἡμῶν ἔγγραφον προτροπῇ ἡμετέρᾳ διὰ τοῦ βασιλικοῦ διακόνου, ὀστιαρίου τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ ταβουλλαρίου Λέοντος τοῦ Ἑλλαδᾶ. μηνὶ ἰουλίῳ ἰνδ. β', ἔτους ͵ςψξζ' †.

† Νεῖλος ταπεινὸς ἐπίσκοπος Πριήνης †.

XXVIII. 6760—1251, 15. octobris, ind. X.

Iudicium contra Ioannem Poleam et filios eius.

† Τὸ παρὸν κρισιμόγραμμα τῆς καταδίκης ἱερέως τοῦ Πωλέα καὶ τῶν παίδων αὐτοῦ, ἐπεὶ ἠμφίβαλλε τὴν χαριστικὴν ἔγγραφον, ἣν ἐξέθετο πρὸς

τὸν ἀπὸ τῆς Σμύρνης ἱερέα Λέοντα τὸν Μουζηθρᾶν †.

Ἔφθασε μὲν πρὸ χρόνων πολλῶν ἀποδοῦναι ἐλαϊκὰ δένδρα τῷ ἀριθμῷ τριάκοντα σὺν τοῖς δυσὶ παλαιοῖς δένδροις ὁ ἀπὸ τῆς Μανταίας θεοσεβέστατος ἱερεύς, Ἰωάννης ὁ Πωλέας, καὶ Θωμᾶς ὁ υἱὸς αὐτοῦ πρὸς τὸν περιπόθητον ἐξάδελφον αὐτοῦ τὸν ἀπὸ τῆς Σμύρνης ὁρμώμενον θεοσεβέστατον ἱερέα κῦρ Λέοντα τὸν Μουζηθρᾶν δι' ἐγγράφου ἐνυπογράφου αὐτοῦ χαριστικῆς, δηλονότι καὶ διὰ πολλῶν εὐεργεσιῶν τῶν ἐκ τοῦ Μουζηθρᾶ πρὸς τὸν Πωλέα γεγονότων χάριν τῶν τοιούτων ἐλαϊκῶν δένδρων, καθὼς τὸ παρ' αὐτοῦ γεγονὸς παλαιγενὲς ἔγγραφον δηλοποιεῖ κατὰ τὸ ,ςφιη' ἔτος· πειραθεὶς δὲ ὁ ἄνωθεν δηλωθεὶς ἱερεὺς Ἰωάννης ὁ Πωλέας συνεργίᾳ σατανικῇ ἠνεγκλήτευσαν τὰ τοιαῦτα ἐλαϊκὰ δένδρα πρὸς τὸν αὐθέντην αὐτοῦ, τὸν λίζιον καβαλλάριον τὸν Σοργαρήν, ἀποκαρέντος δὲ τοῦ Πωλέα ἐκείνου καὶ κληθέντος διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ἱλαρίωνος, ὡς καὶ τοῦ Μουζηθρᾶ ἱερέως ἀποκαρέντος καὶ αὐτοῦ καὶ κληθέντος Λεοντίου, λέγοντος δὲ τοῦ Πωλέα, ὅτι τὰ μὲν εἴκοσι δένδρα δεδώκαμεν πρὸς τὸν ἐξάδελφόν μου τὸν Μουζηθρᾶν, τὰ δὲ δέκα ἀδίκως κρατοῦνται παρ' αὐτοῦ, ὁ δέ γε λίζιος καβαλλάριος ἐκεῖνος ὁ Σοργαρὴς ἐπέπεμψε τὴν τοιαύτην κρίσιν πρὸς τοὺς οἰκοδεσπότας τῆς προνοίας αὐτοῦ, ὥστε τηρηθῆναι ἀκριβῶς τὴν ὑπόθεσιν καὶ ἐξισεῦσαι αὐτούς. συναχθέντες γοῦν ἅπαντες οἱ κρείττονες τῆς προνοίας αὐτοῦ, ἀλλὰ δὴ καὶ ὁ νομικὸς τοῦ αὐτοῦ χωρίου Νικόλαος ἱερεὺς ὁ Λαοδικηνός, καὶ ἰδόντες τὸ παλαιγενὲς ἔγγραφον, τὸ παρὰ τοῦ Πωλέα γεγονὸς καὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ Θωμᾶ ἔκριναν, ἀδίκως λέγειν τὸν Πωλέαν καὶ μὴ ἔχειν δίκαιον ἐν αὐτοῖς. ὁ δέ γε Πωλέας ὁ καὶ ἀποκαρεὶς καὶ κληθεὶς Ἱλαρίων ἤθελεν ὀμόσαι ἕνεκα τῶν δέκα ἐλαϊκῶν δένδρων, ἰδὼν δὲ τὴν τόλμην αὐτοῦ ὁ ἐξάδελφος αὐτοῦ, ἱερεὺς ὁ Μουζηθρᾶς, εἴρηκε πρὸς τοὺς κρίνοντας τὴν ὑπόθεσιν, ὅτι ἂς ἔχῃ τὰ δέκα δένδρα καὶ μὴ ὀμόσῃ· οἱ δὲ κρίνοντες ἔλεγον, ὅτι ἄδικόν ἐστι, καὶ πάλιν ὁ Μουζηθρᾶς ἔλεγε πρὸς αὐτούς, ὅτι ἂς ἔχῃ ταῦτα, καὶ ἂς λείπῃ ὁ ὅρκος, ὃ δὴ καὶ γέγονε. καὶ διὰ τοῦτο κρίσις ἐγεγόνει. τὰ νῦν δὲ χρόνων διαβιβασθέντων εἴσκοσι καὶ τριῶν καὶ τὰ μὲν εἴκοσι δένδρα ἐνέμοντο παρὰ τοῦ γαμβροῦ τοῦ Μουζηθρᾶ κυροῦ Κωνσταντίνου τοῦ Βωλοβόντου, τὰ δὲ δέκα παρὰ τοῦ μέρους

τοῦ Πωλέα, ἤγουν τοῦ υἱοῦ αὐτοῦ τοῦ Θωμᾶ, ἀνενοχλήτως πάντη καὶ ἔξω πάσης αἰτίας, ὃ δὴ κρίσιμον γράμμα τάξιν ἐπέχον σημειώματος ὑπογραφὲν παρὰ τῶν ἐκεῖσε παρατυχόντων ἀνδρῶν χρησιμωτάτων, δι' ἀσφάλειαν καὶ ἀνενοχλησίαν αὐτῶν. ἐπεὶ δὲ συνεργίᾳ σατανικῇ ἠθέλησεν ὁ Θωμᾶς καὶ ὁ ἀδελφὸς αὐτοῦ Γεώργιος ἱερεὺς καὶ ἡ μήτηρ αὐτῶν καταλῦσαι τὸ παλαιγενὲς ἔγγραφον τοῦ πατρὸς αὐτῶν, ἀλλὰ δὴ καὶ τὴν γεγονυῖαν κρίσιν ἐν τῇ ἡμέρᾳ τοῦ Συργαρῆ παρὰ τῶν κρειττόνων οἰκοδεσποτῶν τοῦ χωρίου αὐτῶν, καὶ ἠνεγκλήτευσε τὰ τοιαῦτα ἐλαϊκὰ δένδρα εἰς τὴν κυρίαν αὐτῶν τὴν εὐγενεστάτην Κομνηνὴν τὴν Βράναιναν, ἥτις καὶ ἀκούσασα τὴν αἰσχρὰν ἐνθύμησιν καὶ ἐπιχείρησιν τοῦ Θωμᾶ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Γεωργίου ἱερέως, ἠθέλησε κατακρατῆσαι τὰ τοιαῦτα ἐλαϊκὰ δένδρα, ἀναδραμὸν δὲ καὶ τὸ μέρος τοῦ Βωλοβόντου πρὸς τὴν δηλωθεῖσαν Βράναιναν καὶ ἀκούσασα αὐτηκόως τὰ παρὰ τῶν δύο μερῶν προβαλλόμενα καὶ ἰδοῦσα καὶ αὐτοφὶ καὶ τὰ παλαιγενῆ δικαιώματα τοῦ Βωλοβόντου διωρίσατο κριθῆναι καὶ πάλιν, ἤγουν τὸν Θωμᾶν, τὸν ἀδελφὸν αὐτοῦ, καὶ τὴν μητέρα αὐτῶν μετὰ τοῦ μέρους τοῦ Βωλοβόντου, ἔνθα καὶ βούλονται, ὁ δέ γε Θωμᾶς κατεδέξατο τοῦτο καὶ ἄκων, ὃς καὶ πρὸ τοῦ κριθῆναι ἐτρύγησε τὰ ἀμφίμαχα δέκα δένδρα ἐλαϊκὰ, δυναστείᾳ χρώμενος. ἀκούσασα γοῦν τούτου ἡ κυρία αὐτοῦ καὶ μεγάλως βαρυνθεῖσα ἀπέπεμψεν αὐτὸν κριθῆναι, ὃ καὶ πεποίηκε. κατὰ γοῦν τὴν σήμερον, ἥτις ἐστὶ πεντεκαιδεκάτη τοῦ ὀκτωβρίου μηνὸς τῆς νῦν τρεχούσης δεκάτης ἰνδ., παρέστη ὁ Θωμᾶς, ὁ αὐτάδελφος αὐτοῦ, καὶ ἡ μήτηρ αὐτῶν ἐν τῷ χωρίῳ τοῦ Παναρέτου, καὶ προσκαλεσάμενοι τοὺς ἐκεῖσε οἰκοδεσπότας τοὺς καὶ κατ' ὄνομα κάτωθεν δηλωθησομένους, παρέστη δὲ καὶ τὸ μέρος τοῦ Βωλοβόντου ἀντικριθῆναι μετ' αὐτῶν. τὸ δέ γε μέρος τοῦ Θωμᾶ ἀπεντεῦθεν ἔφασκεν, μὴ εἶναι τὰ χαρτῷα δικαιώματα τοῦ ἄνωθεν δηλωθέντος πατρὸς αὐτοῦ ἀληθῆ, ἀλλὰ ψευδῆ εἰσί τε καὶ μάταια. οἱ δέ γε οἰκοδεσπόται ἅπαντες, ἰδόντες τὰ δικαιώματα τοῦ μέρους τοῦ Βωλοβόντου, ἀλλὰ δὴ καὶ τὴν γεγονυῖαν κρίσιν παρὰ τῶν ἐποίκων χωρίου Αὐρηλίου, ἔλεγον κακῶς λέγειν τὸν Θωμᾶν καὶ τὸ μέρος αὐτοῦ, ὡς δικαίαν οὖσαν τὴν κρίσιν καὶ τὸ γεγονὸς παλαιγενὲς ἔγγραφον παρὰ τοῦ πατρὸς τοῦ Θωμᾶ. πολλῶν οὖν λόγων λεγχθέντων εἶπον καὶ πάλιν πρὸς τὸν Θωμᾶν, ὅτι δέξαι ἀφορισμὸν παρὰ τοῦ ἀρχιερέως, ὡς οὐκ εἰσὶ τὰ ἔγγραφα ἀληθῆ, ἀλλὰ

φεύδῃ. καὶ ἀπεντεῦθεν ἔπαρον τὰ ἐλαϊκὰ δένδρα. ὁ δέ γε Θωμᾶς μὴ καταδεξάμενος τοῦτο ἀπέφυγε· τὸ δέ γε μέρος τοῦ Βωλοβόντου ἠθέλησε δέξασθαι ἀφορισμὸν ὡς κακῶς λέγειν τῷ Θωμᾷ καὶ τῷ μέρει αὐτοῦ. ἰδὼν δὲ ὁ Θωμᾶς, ὅτι οὐκ ἔχει δίκαιον, ἀλλ' ἐδέξατο καὶ τὸ μέρος τοῦ Βωλοβόντου ἀφορισμὸν, ὡς δίκαιά εἰσι τὰ ἔγγραφα, καὶ ὁ πατὴρ αὐτοῦ ἔδωκε ταῦτα πρὸς τὸν Μουζηθρᾶν, τὸν αὐτοῦ ἐξάδελφον. ταῦτα ἰδόντες ἡμεῖς οἱ ἐκεῖσε παρατυχόντες ἐκρίναμεν ἀντιστρέφαι τὸν Θωμᾶν, ἅπερ ἐτρύγησεν ἐλαϊκὰ δένδρα, πρὸς τὸ μέρος τοῦ Βωλοβόντου, καὶ ἀπὸ τοῦ νῦν μὴ ἔχειν δίκαιον ἢ τὸν Θωμᾶν ἢ τὸ μέρος αὐτοῦ λαλῆσαι τὴν τοιαύτην ὑπόθεσιν πώποτε ἢ εἰς ἐκκλησιαστικὸν ἢ εἰς ἀρχοντικὸν κριτήριον. εἰ δέ γε βουληθῇ λαλῆσαι, ἄπρακτος ἀποπεμφθῇ ἐφ' οἷς ἂν ἔχῃ λέγειν, ἀλλὰ καὶ τὰς ἀρὰς ἐπισπάσηται τὰς τῶν τριακοσίων δεκαοκτὼ ἁγίων θεοφόρων πατέρων καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα, καὶ δώσει προστίμου ὑποκείσεται ὑπέρπυρα εἴκοσι τέσσαρα πρὸς τὸν δημόσιον, ὡς δεξάμενον τὸ μέρος τοῦ Βωλοβόντου χάριν τῆς τοιαύτης ὑποθέσεως ἀφορισμὸν ἀπὸ τοῦ ἐντιμοτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, κυροῦ Ἰωάννου τοῦ Μανασσῆ. μηνὶ ὀκτωβρίῳ ἰνδ. ι' ἔτους ,ςφξ'. τὸ δὲ τοιοῦτον ἔγγραφον ἐγεγόνει ἐνώπιον τῶν ἐποίκων χωρίου τοῦ Πωλέα, τοῦ Καταλλάκτου Μιχαὴλ, Θεοδώρου τοῦ Κοντοπούλου, Νικολάου τοῦ Ζωναρᾶ, Μανουὴλ τοῦ Πωλέα καὶ Θετόκη τοῦ Κοσκινᾶ †.

Σίγνον	Μιχαὴλ	Σίγνον	Γεωργίου	Σίγνον	Ἰωάννου	Σίγνον	Μιχαὴλ
τοῦ Σ	ούλη.	τοῦ Σ	ιδηράκη.	τοῦ Βα	ρίτου.	τοῦ	Ματζούκη.
		Σίγνον	Νικήτα	Σίγνον	Μιχαὴλ		
		τοῦ Πε	παγωμένου.	τοῦ Παρ	δοφαγωμένου.		

Θεόδωρος ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας ὁ Κάλλιστος γράψας ὑπέγραψεν †.

† Εἶχε καὶ ὄπισθεν τό· μηνὶ ὀκτωβρίῳ ιζ' ἡμέρᾳ, τρίτῃ ἰνδ. ι' ἐπὶ παρουσίᾳ τῶν ἀπὸ χωρίου τῆς Μανταίας τοῦ τε θεοσεβεστάτου ἱερέως Μανουὴλ, ἱερέως Μιχαὴλ τοῦ Θεοφυλάκτου, τοῦ ἐντιμοτάτου νομικοῦ Ἰωάννου τοῦ Λαοδικηνοῦ, τοῦ θεοσεβεστάτου ἱερέως Νικήτα τοῦ Κοντοπούλου καὶ ἀπὸ τῶν οἰκοδεσποτῶν Βασιλείου τοῦ Λαοδικηνοῦ, τοῦ Πολυκάρπου καὶ ἑτέρων †.

† Ἡ παροῦσα κρίσις γεγονυῖα ἐξ ἐπιτροπῆς τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ μητροπολίτου Σμύρνης καὶ πανυπερτίμου παρὰ τῶν ἐποίκων τῆς χώρας Μανταίας καὶ τῶν ἀπὸ χωρίου τοῦ Παναρέτου τῶν καὶ ἐντὸς δηλουμένων κατ' ὄνομα ἐνωπίον καὶ ἐμοῦ ἐπεσημειώθη αὐτοχείρως διὰ τὸ ἀξιόπιστον †.

† Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Ἰωάννης ὁ Μανασσῆς †.

Deest folium unum.

XXIX. 6786—1278, mense februario, ind. VI.

Donatio facta monasterio.

Initium deest.

. . . .

ἀλλ' ἵνα ζημιωθῇ καὶ ὡς πλεονέκτης καὶ ἀθετητὴς τῆς γεγονυίας προσενέξεως κατὰ σκοπὸν θεοφιλῆ ὑπέρπυρα τριάκοντα καὶ ἓξ εἰς τὸ βασιλικὸν βεστιάριον. διὰ τοῦτο καὶ τὸ παρὸν τῆς προσενέξεως ἡμῶν γράμμα γεγονὸς καὶ πιστωθὲν διὰ ἀξιοπίστων μαρτύρων ἐπεδόθη τῇ καθ' ἡμᾶς σεβασμίᾳ μονῇ καὶ τοῖς ὑπ' αὐτὴν μοναχοῖς εἰς ἀσφάλειαν αἰωνίζουσαν. μηνὶ φευρουαρίῳ ἰνδ. ,ς ἔτους ,ςψπς' †.

† Παρῆσαν δὲ μάρτυρες ἐν τῇ τοιαύτῃ προσενέξει ὅ τε Λέων ὁ Γαλέπης, Μιχαὴλ ὁ Κουρσάρις καὶ Μανουὴλ ὁ Καφούρτης καὶ ἕτεροι οὐκ ὀλίγοι †.

†' Εγράφη δὲ ἡ τοιαύτη προσαγωγὴ καὶ προσένεξις διὰ χειρὸς ἐμοῦ Νικολάου ἱερέως καὶ νομικοῦ ἐνορίας Μανταίας τοῦ Φιλοκονηγῆτου καὶ ὑπεγράφη εἰς βεβαίωσιν καὶ ἀσφάλειαν †.

XXX. Sine anno, mense iunio, ind. II.

Ioannes, Smyrnae metropolita, monacho Callinico Scullato donat campum.

† Τὸ σιγιλλιῶδες γράμμα τοῦ μοναχοῦ Σκουλλάτου, ὅπερ ἐγεγόνει πρὸς αὐτὸν παρὰ τοῦ χρηματίσαντος Σμύρνης μητροπολίτου Ἰωάννου †.

† Ἡ μετριότης ἡμῶν τῷ ὁσιωτάτῳ μοναχῷ Καλλινίκῳ τῷ Σκουλλάτῳ, ἀφ' ὧν ἐκκλησιαστικῶν χωραφιαίων τοπίων ἔκτηται ἡ καθ'

ἡμᾶς ἐκκλησία, ἀποδίδωσιν ἐν τῇ Μανταίᾳ χωράφιον ὡσεὶ μοδίων τριῶν πλησίον τῆς καταφυτευθείσης παρ' αὐτοῦ φυτείας ἀπὸ βορείου μέρους, ὃ δὴ χωράφιον καὶ εἰς ἀμπελῶνα καταφυτεύσων ἔσται ὁ τοιοῦτος καὶ τὴν ἐξ αὐτοῦ πᾶσαν εἴσοδον ὡς δεσπότης ἀποκαρπίζεται, ὅπερ καὶ ὀφείλει κατέχειν καὶ νέμεσθαι μετὰ τῶν υἱῶν καὶ κληρονόμων αὐτοῦ εἰς ἀναφαίρετον δεσποτείαν καὶ κυριότητα, διὰ τὸ εἶναι αὐτὸν διηνεκῆ δουλευτὴν τῆς καθ' ἡμᾶς ἐκκλησίας καὶ φύλακα τῶν ἄνωθεν δηλωθέντων ἐκκλησιαστικῶν πραγμάτων καὶ συστάτην καὶ ὁλοσχερῶς ὑπὲρ τούτων πονούμενον καὶ φροντίζοντα, ὅθεν καὶ οὐχ ἕξει ἐπ' ἀδείας τις δι' ὄχλου ποιῆσαι αὐτὸν ἢ παρεμποδίσαι καὶ θορυβῶσαι, ὡς ἀποδοθὲν εὐλόγως πρὸς τοῦτον αὐτὸ, ἀλλὰ καὶ οἱ μεθ' ἡμᾶς ἁγιώτατοι ἀρχιερεῖς οἱ τὸν θεῖον θρόνον τοῦτον εἰσδεξόμενοι τὴν παροῦσαν σιγιλλιώδη γραφὴν τῆς ἡμῶν μετριότητος εὑρόντες ἀκράδαντον καὶ ἀπαράθραυστον διατηρείτωσαν, ὡς ἂν καὶ τὰ παρ' ἐκείνων τὸ στερέμνιον κτῶνται. ὀφείλει δὲ ὁ τοιοῦτος ἐπιτελεῖν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ μητροπόλει ὑπὲρ τούτου ἐτησίως ἀνεπαυξήτως καὶ ἀνεγκρατήτως ὑπερπόρου τέταρτον. ἐπὶ τούτῳ καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα πεποιήκαμεν, ὅπερ καὶ ἐπεδώκαμεν τῷ διαληφθέντι μοναχῷ τῷ Καλλινίκῳ δι' οἰκείαν ἀσφάλειαν μηνὶ Ἰουνίῳ ἰνδ. β' †.

† Ὁ Σμύρνης καὶ ὑπέρτιμος Ἰωάννης †.

XXXI. Sine anno, mense septembri, ind. XII.

Ivannes Costomoeres, tabularius catepani Smyrnae, possessionem quamdam monasterii a vectigali immunem esse iubet.

† Τὸ ἀποκαταστατικὸν γράμμα τοῦ Κωστομοίρου χάριν τοῦ ὑποστατικοῦ τοῦ Κακαβᾶ, ὅπως διαμένῃ ἀτέλεστον εἰς τὸ ἑξῆς †.

† Ἔφθασε μὲν ἡ βασιλικὴ μονὴ τῆς ὑπεραγίας θεοτόκου, ἡ ἐπονομαζομένη τῶν Λέμβων, ἔχειν καὶ νέμεσθαι ὑποστατικόν τι ἀπὸ τοῦ Κακαβᾶ ἐξ ἀγορασίας, ὑπὲρ οὗ ἐτέθη τῇ τοιαύτῃ μονῇ παρὰ τοῦ περιποθήτου θείου, τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κυροῦ Ἰωάννου τοῦ Ἀγγέλου, ἐπιτέλειά τις, ἣν καὶ οὐ δέδωκε μέχρι τοῦ νῦν ἡ αὐτὴ μονὴ διὰ τὸ τεθῆναι ταύτην αὐτῇ ἀνεξετά-

στως καὶ ἀσκόπως, ὡς ὄντος τοῦ αὐτοῦ ὑποστατικοῦ ἀχρήστου τε καὶ ἀπροσόδου, καθὼς ἡμεῖς μετὰ ἐξετάσεως διέγνωμεν τὰ περὶ τούτου. ἐπεὶ δὲ ἐδέησε γενέσθαι παρ' ἡμῶν τῇ δηλωθείσῃ μονῇ καὶ ἡμετέραν γραφὴν ἀθῳοῦσαν ταύτην ἀπὸ τῆς τοιαύτης ἐπιτελείας καὶ εἶναι ἀνενόχλητον ποιοῦσαν, πεποιήκαμεν ταύτην αὐτῇ, δι' ἧς τῇ ἀντιλήψει καὶ πολυχρονίῳ χαρᾷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως διατηρηθήσεται ἡ τοιαύτη μονὴ ἀνεπηρέαστος καὶ ἀζήμιος, τοῦ δημοσίου μηδεμίαν πάροδον ὀφείλοντος ἔχειν χάριν ἐπιτελείας τοῦ τοιούτου ὑποστατικοῦ εἰς τὴν ῥηθεῖσαν μονήν, ὡς τοῦ Κακαβᾶ παραδοθέντος παρ' ἡμῶν ἀλλαχόθι, ἔνθα καὶ καταβαλῆται τὰ στρατιωτικὰ ζητήματα, καθὼς αὐτὰ ἐτέθησαν παρ' ἡμῶν, ἀλλὰ δὴ καὶ τὰ δημοσιακὰ κεφάλαια, ἤγουν νομίσματα ἀγάπης, σιταρκίας καὶ ἑτέρων ζητημάτων τῶν ἀνηκόντων αὐτῷ, καθὼς καὶ οἱ λοιποὶ πάροικοι. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμῶν γραφὴ ἐγεγόνει τῇ μονῇ εἰς ἀσφάλειαν. μηνὶ σεπτεμβρίῳ ἰνδ. ιβ' †.

† Ὁ ἀπογραφεὺς τοῦ κατεπανίκιου Σμύρνης δοῦλος καὶ γραμματικὸς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Ἰωάννης ὁ Κωστομοίρης †.

† Τὸ δὲ παρὸν ἀποκαταστατικὸν γράμμα εἶχε καὶ μολιβδίνην βούλλαν ἀπῃωρημένην γράφουσαν οὕτως· τὸν Κωστομοίρην ὁ Χρυσόστομος σκέποις γραφὰς τὰς αὐτοῦ χαριτῶν φερωνύμως †.

XXXII. 6765—1257, mense iunio, ind. XV.

Basilius et Anysia Planetae confirmant donationem factam a Maximo Planeta.

† Ἕτερον γράμμα Βασιλείου τοῦ Πλανίτου καὶ τῆς μοναχῆς Ἀνυσίας τῆς Πλανιτίσσης, ἐπικυροῦν τὸ προγεγονὸς ἐκδοτήριον πρὸς τὴν μονὴν τοῦ μοναχοῦ Μαξίμου τοῦ Πλανίτου τοῦ ἀδελφοῦ αὐτῶν †.

Σίγνον	Βασιλείου	Σίγνον	Ἀνυσίας
τοῦ Πλ	ανίτου.	τῆς Πλ	ανιτίσσης.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύμα-

τος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου, ὑπερευλογημένης, ὑπεραγίας καὶ δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἐγὼ Βασίλειος ὁ Πλανίτης καὶ ἡ μοναχὴ Πλανίτισσα ἡ Ἀνοσία οἱ ἄνωθεν καὶ κατ' ἀρχὴν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἐγχαράξαντες τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανούργως καὶ ἀμεταμελήτως πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τὴν ἐπικεκλημένην τῶν Λέμβων· καὶ πρὸς τοὺς ἐν αὐτῇ ἀσκουμένους μοναχούς, τόν τε καθηγούμενον ταύτης, τιμιώτατον ἱερομόναχον κῦρ Κύριλλον, καὶ γὰρ ἐπεὶ πρὸ χρόνων οὐκ ὀλίγων ἔφθασεν ὁ αὐτάδελφός μου ἐκεῖνος ὁ Πλανίτης ἀποκαρῆναι ἐν τῇ τοιαύτῃ βασιλικῇ μονῇ καὶ κληθῆναι Μάξιμος τοὔνομα μοναχός, ἐκδοῦναι τὸ ἐν τῇ Μανταίᾳ γονικὸν ἡμῶν ὑποστατικὸν βουλῇ τε καὶ θελήσει καὶ ἡμῶν τῶν ἄνωθεν σιγνογραφησάντων, ὥστε κατέχειν αὐτὸ ἡ τοιαύτη ἁγία βασιλικὴ μονὴ καὶ νέμεσθαι καὶ τὴν ἐξ αὐτοῦ πᾶσαν καὶ παντοίαν ἀποφέρηται πρόσοδον εἰς τροφὴν καὶ ἀνάπαυσιν τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν, χρᾶσθαι τὴν ὑπ' αὐτοῦ εἴσοδον τῶν καὶ μνείαν ποιουμένων ὑπὲρ τῆς ἐκείνου ψυχῆς καὶ ἡμῶν, ὅπως ὁ παντεπόπτης θεὸς ἵλεως γένηται ἐν καιρῷ τῷ τῆς κρίσεως καὶ ἀνάπαυσιν ἀπονέμηται ταῖς ἡμετέραις ψυχαῖς, στέργομεν καὶ ἡμεῖς τὰ πρὸ καιροῦ γεγονότα παρ' ἐκείνου καὶ παρ' ἡμῶν χαρτῷα δικαιώματα, τό τε νομικογραφὲν ἔγγραφον καὶ τὴν διάταξιν τὴν παρ' ἐκείνου γεγονυῖαν τὴν τελευταίαν καὶ νόμιμον τὴν ἐν τῷ ὑστέρῳ τῆς διαλέξεως λόγῳ σώαν γραφεῖσαν καὶ ἀληθῆ, ὡς τὸ βέβαιον καὶ ἀπερικλόνητον ἔχουσαν τοῦ μὴ παρασαλευθῆναι ἀπὸ τοῦ νῦν ἢ ἀνατραπῆναι ἢ παρ' ἡμῶν ἢ παρ' ἑτέρου τινός, ἀλλὰ ἀεὶ καὶ εἰς τὸ ἑξῆς διαμένουσιν, ὡς οἱ θεῖοι νόμοι διακελεύουσιν· τὰ γὰρ τῷ θεῷ ἀφιερωθέντα ἅγια εἰσὶ καὶ τῷ θεῷ ὀφείλουσιν ἀποπέμπεσθαι καὶ οὐδεὶς ὅλως χεῖρα ἐπαγαγεῖν ἐπ' αὐτοῖς, εἰ μὴ καὶ τῷ δοτῆρι θεῷ ἕξει ἀντίδικον, εἰ δὲ καὶ τὰ παρ' ἐκείνου καὶ τὰ παρ' ἡμῶν οἰκειοβούλως ἐκδοθέντα καὶ προσκυρωθέντα τῷ θεῷ βουληθῇ τις ἀθετῆσαι ἢ ἀνατρέψαι ἢ ἡμεῖς αὐτοὶ δι' ἑτέρας ἡμῶν ἀσφαλείας ἐκ δευτέρου βεβαιωθέντα λόγον τὸν οἱονδήτινα προσβαλῶμεν τῇ τοιαύτῃ βασιλικῇ μονῇ, ἄπρακτοι ἀποδιωκόμεθα τῆς αὐτῆς ἐγχειρήσεως ὡς τοῦ ἐκδοθέντος ψυχωφελοῦς ἡμῶν πράγματος ἐν μεταμελείᾳ γενόμενοι· ὀφείλει δὲ καὶ ἡ ἁγία βασιλικὴ μονὴ διδόναι πρὸς τὴν μοναχήν, ὅσα τὰ εἰς

ζωάρκειαν ὑπεσχέθη καὶ συνεφωνήθη, μέχρις ἂν ἐν τοῖς ζῶσιν εὑρίσκηται, μετὰ δὲ τὴν ἡμῶν ἀπὸ τῶν ἐνταῦθα μετάστασιν ἐσεῖται ἡ μονὴ ἀνενόχλητος, ζημίαν δὲ ἕξει τὸ μὴ ἐμμένον μέρος πρὸς τὸ ἐμμένον ὑπέρπυρα ἑκατόν. διὰ γὰρ τὸ ἀνενόχλητον ἡμῶν τε καὶ τοῦ μέρους τῆς μονῆς καὶ πάλιν γέγονεν ἡ παροῦσα ἡμῶν ἀσφάλεια, ἥτις καὶ τοὺς παλιμβόλους τρόπους μακρόθεν ἀποβάλλουσα. μηνὶ ἰουνίῳ ἰνδ. ιε΄ ἔτους ͵ςψξε΄ †.

† Ὁ λογοθέτης καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἀχρεῖος ἐν διακόνοις καὶ τοῦ ὕφους γραφεύς, Ἰωάννης ὁ Ἀργυρόπουλος †.

† Ὁ ἀχρεῖος ἐν ἱερεῦσιν ὑπομνηματογράφος καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Γεώργιος ὁ Ἀληθινός, μαρτυρῶν ὑπέγραψα †.

† Εἶχε καὶ ὄπισθεν ὑπογραφὰς ταύτας· † Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Μιχαὴλ ὁ Πετρίτζης †. † Ὁ εὐτελὴς ἱερεὺς Γεώργιος ὁ Γουναρόπουλος, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †. † Ὁ εὐτελὴς ἱερεὺς Νικόλαος, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †. † Ὁ εὐτελὴς ἱερεὺς Γεώργιος ὁ Χιονᾶς, ὡς τὸ ἄνωθεν ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †.

Σίγνον	Ξένου	Σίγνον	Θεοδώρου	Σίγνον	Νικήτα	Σίγνον	Ἰωάννου
τοῦ	Λεγᾶ.	τοῦ Ἀκα	κιανοῦ.	τοῦ Ζω	ναρᾶ.	τοῦ Μ	αγγανάρη.

Σίγνον	Φωκᾶ
τοῦ Μ	αυρολέοντος †.

† Ὁ λογοθέτης τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰωάννης ὁ Ἀργυρόπουλος, καὶ ἐνταῦθα ὑπέγραψα δι' ἀσφάλειαν †.

XXXIII. Sine anno, mense octobri, ind. XII.

Constantinus Planetes declarat monasterium immune esse a vectigali duorum hyperperorum.

† Ἕτερον γράμμα ἀνενοχλησίας Κωνσταντίνου στρατιώτου τοῦ Πλανίτου †.

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. ιβ'. ἐγὼ Κωνσταντῖνος στρατιώτης ὁ Πλανίτης ὁ ἔχων τὸ πρᾶγμα τοῦ Πλανίτου, οἷον καὶ ὅσον ἐστί, διὰ πρακτικοῦ εἶχον ἀπὸ τῆς μονῆς τῶν Λέμβων χάριν ἐπιτελείας ὑπέρπυρα δύο, καὶ ἐλθὼν ἀπὸ τῆς δουλείας τοῦ ζητῆσαι ἀπὸ τῆς μονῆς τὰ κατ' ἔτος ἐπιτελούμενά μοι δύο ὑπέρπυρα εὗρον, ὅτι πεπράκασι ταῦτα οἱ γονικάριοι, ὅ τε Βασίλειος ὁ Πλανίτης καὶ Κωνσταντῖνος ὁ Ῥεντάκης, καὶ ἐποίησάν με οἱ μοναχοὶ ἀπολογίαν, λέγοντες, ἐπίδοτε ἡμῖν πρᾶγμα καὶ ἵνα ἐπιτελῶμεν· ἐπεὶ δὲ εὗρον, ὅτι ἀπέπραγαν αὐτὸ οἱ γονικάριοι, εἴασα τοὺς μοναχοὺς ἀνενοχλήτους. διὰ τοῦτο ἐποίησα πρὸς τὴν μονὴν τὸ παρόν μου ἔγγραφον δι' ἀσφάλειαν ἐνώπιον μαρτύρων, τοῦ τιμιωτάτου ὑπερβαίνοντος κυροῦ Γρηγορίου καὶ τοῦ ἐνδοξοτάτου κυροῦ Μιχαὴλ τοῦ Κινάμου, τῷ οἰκείῳ ἀνθρώπῳ τοῦ περιποθήτου συμπενθεροῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ σεβαστοκράτορος, τοῦ οἰκονόμου τῆς αὐτῆς μονῆς, κυροῦ Φιλοθέου, τοῦ ἐκκλησιάρχου, ἱερομονάχου Νείλου, τοῦ ἱερομομονάχου Γρηγορίου, τοῦ μοναχοῦ Βαρνάβα τοῦ Πλανίτου καὶ ἑτέρων μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Κωνσταντῖνος ὁ Πλανίτης μαρτυρῶν ὑπέγραφα †.

† Ὁ τοῦ ὕφους γραφεὺς Γρηγόριος ὁ Ὑπερβαίνων μαρτυρῶν ἔγραφα καὶ ὑπέγραφα †.

XXXIV. 6745—1237, mense iunio (ind. X).

Venditio olivarum.

† Ἕτερον πρατήριον ἔγγραφον τοῦ Ῥαδηνοῦ καὶ τοῦ Πανναδοῦ πρὸς τὸν Κουρτίκην Θεόδωρον χάριν τῶν εἰς τοὺς Πλάνους πλησίον ἐλαϊκῶν δένδρων αὐτῶν †.

Σίγνον | Μιχαὴλ	Σίγνον | Ἄννης	Σίγνον | Ἰωάννου
τοῦ Ῥαδ|ηνοῦ.	τῆς συμ|βίου αὐτοῦ.	υἱοῦ τ|οῦ Παννάδου.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Μιχαὴλ ὁ Ῥαδηνὸς καὶ ἡ τούτου γνησία σύζυγος Ἄννα καὶ ὁ γυναικάδελφος αὐτοῦ Ἰωάννης, οἱ καὶ κατ' ἀρχὴν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκείαις χερσὶν ἐγχαράξαντες, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν καὶ εἰς τὰ ἑξῆς μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νομίμου ἀσφαλείας καθαρὰν, φανερὰν πρᾶσιν τὴν ἐς ἀεὶ τὸ ἀπαράθραυστον καὶ ἀπερικλόνητον ἔχειν ὀφείλουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν, οὐ παρ' ἡμῶν αὐτῶν τῶν ἀπεμπολούντων, οὐ παρ' ἑτέρου οἱουδήτινος προσώπου συγγενικοῦ ἢ καὶ ἀλλοτρίου τὸ σύνολον, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανούργως καὶ ἀμεταμελήτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἰδιωτίας ἢ ἀγροικίας ἢ νομίμου φάκτου ἀγνοίας ἢ ἄλλης τινὸς ἐπιψόγου ἀποτετραμμένης αἰτίας πρὸς σὲ, τὸν κῦρ Θεόδωρον τὸν Κουρτίκην, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος, κληρονόμους καὶ διαδόχους, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ γονικῶς καὶ κληρονομικῶς ἡμῖν διαφέροντα, τὰ καὶ διακείμενα ἀπὸ βορείου μέρους τοῦ Πλαγίτου καὶ πανταχοῦ πλησιάζοντα τὸ προάστειον τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, ἤγουν δένδρα δώδεκα καὶ ἄλλα, ὁποῖα διάφορα δένδρα εὑρεθῶσιν ἐν τῷ αὐτῷ χωραφίῳ, μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, βουληθέντες ἐκποιήσασθαι τὴν πρᾶσιν τούτων διεφημίσαμεν πανταχόθεν· ὡς δὲ ἡ περὶ αὐτῶν φήμη ἔφθασε καὶ εἰς τὰς σὰς ἀκοὰς τοῦ κυροῦ Θεοδώρου τοῦ Κουρτίκη, ἠθέλησας ταῦτα ἐξωνήσασθαι, καὶ λόγων μέσον ἡμῶν γινομένων περὶ τοῦ τιμήματος αὐτῶν, ὕστερον περιεστήσαμεν αὐτὸ ἀπὸ συμφωνίας καὶ ἀρεσκείας ἡμῶν εἰς νομίσματα . . . δεκαὲξ καὶ λαβόντες ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμῶν χεῖρας ἐπ' ὄψει τῶν κάτωθεν ὀφειλόντων ὑπογράψαι μαρτύρων, καὶ τελέως ἐκστάντες τῆς αὐτῶν διακατοχῆς καὶ νομῆς ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτῶν μετὰ τῶν κληρονόμων καὶ διαδόχων καὶ παντοίων σου τῶν διακατόχων εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ἄδειαν ἔχοντός σου κατὰ πᾶσαν ἐξουσίαν πωλεῖν, δωρεῖσθαι, ἀνταλλάττειν, προικοδο-

τεῖν, λεγατεύειν καὶ τἄλλα πάντα ποιεῖν, καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς τελείοις καὶ ἀληθέσι δεσπόταις ἐν τοῖς ἰδίοις ποιεῖσθαι παρακελεύονται. οὕτως οὖν τῆς παρούσης πράσεως παρ' ἡμῶν γινομένης ἐπερωτώμενοι ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα τοῦ μὴ ὅλως ὄχλησίν τινα προσενέγκωμέν σοι ἢ τῷ μέρει σου, μὴ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλὰ καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμῶν ἐγγράφου ἵνα ἐπιδιδῶμεν τὸ τίμημα αὐτῶν ἐπὶ τὸ διπλάσιον καὶ πρὸς τὸν δημόσιον ὑπέρπυρα εἴκοσι, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγοντες. μηνὶ ἰουνίῳ ἰνδ. ζ' ἔτους ,ϛφμε' ἐνώπιον τῶν συγνογραφησάντων μαρτύρων †.

Σίγνον	Γεωργίου	Σίγνον	Γεωργίου	Σίγνον	Μιχαὴλ
τοῦ Ῥω	γολόγου.	τοῦ	Γεγέ.	τοῦ Μ	αχλαμᾶ.

Σίγνον	Κωνσταντίνου
τοῦ	Μαυροϊωάννου.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, ὁ Λαοδικηνός, τῇ παρούσῃ καθαρᾷ πράσει γράφας ὑπέγραφα.

XXXV. Sine anno, mense aprili, ind. III.

Nicolaus Adam monasterio donat praedium, ecclesiam et arbores.

† Ἕτερον γράμμα χαριστικὸν τοῦ Ἀδὰμ Νικολάου χάριν τῶν ἐντὸς τοῦ περιόρου τοῦ μετοχίου τῶν Πλάνων δένδρων, τῆς ἐκκλησίας καὶ τῆς γῆς †.

† Ἐὰν ἐπὶ τῷ παρόντι καὶ ἀνονήτῳ τοῦ βίου τούτου πελάγει πολὺν ποιούμεθα τὸν ἀγῶνα καὶ τὴν σπουδήν, πολλῷ μᾶλλον καὶ τὰ ὠφέλιμα τῆς ψυχικῆς σωτηρίας, εἰ οὐ νήφομεν. κἀγὼ Νικόλαος ὁ Ἀδὰμ ἀποχαρίζομαι εἰς τὴν βασιλικὴν μονὴν τῶν Λέμβων τὸ εἰς τοὺς Πλάνους περιωρισμένον τόπιον, τὸ καὶ τῆς μονῆς αὐτῆς ὂν μετόχιον, ὡσαύτως καὶ τὴν ἐκεῖσε ἱσταμένην ἐκκλησίαν σὺν τῇ ὑπ' αὐτὴν γῇ καὶ τὰ περιωρισμένα δένδρα τὰ ἐκ γονικόθεν διαφέροντά μοι ἀπὸ τοῦ Ληστοῦ ἐκείνου καὶ τοῦ Πλανήτου, ἅπερ μοι ἐδωρήσατο ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς ἀτελῶς πάντη καὶ ἀβαρῶς, καθὼς ἐδωρήθησάν μου πανεξκουσσάτα ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, ἤτοι τὰ τρία δένδρα, τὰ μὲν ἐν

ἵστατο συγκεκολλημένον εἰς τὴν κόγχην τῆς ἐκκλησίας, τὰ δὲ δύο ἔνδον τοῦ φραγμοῦ· διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῷ καθηγουμένῳ τῆς βασιλικῆς μονῆς τῶν Λέμβων, κυρῷ Γερασίμῳ, εἰς τὸ κατέχειν ταῦτα ἡ τοιαύτη μονὴ καὶ νέμεσθαι εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. μηνὶ ἀπριλλίῳ ἰνδ. τρίτης †.

† Νικόλαος ὁ Ἀδάμ †.

XXXVI. Sine anno, mense octobri, ind. XII.

Monasterio duae arbores restituuntur.

† Ἕτερον ἐμμάρτυρον γράμμα τοπικῶν ἀνθρώπων χάριν τῶν ἀνασπασθέντων δύο δένδρων ἀπὸ τοῦ Φοίνικος δυναστικῶς οἱ αὐθένται αὐτῶν †.

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. ιβ' ἡμέρᾳ ἕκτῃ παρεδώκαμεν τὰ δένδρα τὰ πλησίον τῆς μονῆς τοὔνομα τοῦ Φοίνικος καὶ πλησίον τοῦ Λεγᾶ, ἅπερ ἀνέσπασαν οἱ ἄνθρωποι τῶν αὐθεντῶν ἡμῶν, ἤγουν δένδρα δύο, ἵνα μὴ ἐπὶ πλέον ἔχωμεν κρίμα, ἐπεδώκαμεν ταῦτα ἐντὸς τοῦ ὁσιωτάτου ἡγουμένου, κυροῦ Καλλίστου, καὶ τοῦ οἰκονόμου, τοῦ μοναχοῦ Σάβα, καὶ ἑτέρων μοναχῶν, καὶ διὰ τὸ ἀξιόπιστον ὑπεγράψαμεν καὶ ἡμεῖς ὅ τε Θεόδωρος ὁ Μαρτῖνος, Γεώργιος ὁ Κακαβᾶς, Λέων ὁ Ἀρμένης, Ξένος ὁ Κακαβᾶς, Νικόλαος ὁ Κακαβᾶς, καὶ ἐπεδώκαμεν τὴν παροῦσαν ἡμῶν ἐμμάρτυρον παράδοσιν πρὸς τὴν μονὴν τῶν Λέμβων †.

XXXVII. Sine anno, mense ianuario, ind. XIII.

Transactio inter Michaëlem Petritzem et monasterium

† Ἕτερον συμβιβαστικὸν γράμμα στρατιώτου Γεωργίου τοῦ Πετρίτζη ἀπολύσαντος αὐτοῦ τὴν διαφέρουσαν αὐτῷ ἀδελφικὴν μερίδα εἰς τὸ πενθερικὸν αὐτοῦ περιβόλιον, ἀνθ' οὗπερ ἐδέχθη ἀμπέλιον τοῦ ἀπὸ τοῦ μοναχοῦ Σκουλλάτου †.

Σίγνον	Γεωργίου στρα-
τιώτου τοῦ	Πετρίτζη.

† Μηνὶ ἰαννουαρίῳ κα' ἰνδ. ιγ'. κατέλαβον τὴν σήμερον ἐν τῇ σεβασμίᾳ βασιλικῇ μονῇ τῶν Λέμβων ἐγὼ Γεώργιος ὁ Πετρίτζης

καὶ συνεβιβάσθην μετά τε τοῦ καθηγουμένου τῆς αὐτῆς μονῆς καὶ τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν, ὡς ἵνα ἔχωσι οἱ αὐτοὶ τὴν εἰς τὸ περιβόλιον τοῦ πενθεροῦ μου διαφέρουσάν μοι ἀδελφικὴν μερίδα, οἵαν καὶ ὅσην οὖσαν, ἀντ' αὐτῆς δὲ δεδώκασι πρός με οἱ τοιοῦτοι τὸ ἀμπέλιον, ὅπερ ἔχει ἡ μονὴ ἀπὸ τοῦ μοναχοῦ Σκουλλάτου, εἰς ἀναπλήρωσιν δὲ τοῦ τιμήματος αὐτοῦ ἐπιδίδωμι καὶ ἐλαϊκὰ δένδρα τρία ἐν τῇ τοποθεσίᾳ πλησίον τοῦ 'Αμμωδ . . . διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα εἰς ἀσφάλειαν. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

Σίγνον |Μαρίας
τῆς Παδια|τίνης.

Σίγνον|Γεωργίου
τοῦ Δρού|γγαρι.

Σίγνον|Μιχαὴλ
τοῦ υἱο|ῦ αὐτῶν.

Σίγνον|'Ανδρονίκου
τοῦ ἑτέ|ρου υἱοῦ αὐτῶν.

Σίγνον|τοῦ
Φω|κᾶ.

† Ἐγράφη δὲ παρ' ἐμοῦ τὸ παρὸν γράμμα Νικήτα ἱερέως τοῦ Μανδραγόρη, ὅπερ καὶ μαρτυρῶν ὑπέγραφα †.

XXXVIII. Sine anno, mense decembri, ind. IX.

Lis inter monasteria Stylli et Lembi de olivis et campis.

† Κρίσιμον γράμμα τοπικῶν ἀνθρώπων χάριν τῆς ὑποθέσεως, ἧς εἶχον μετὰ τῆς μονῆς τοῦ Στύλλου ὑπὲρ τῶν ἐλαϊκῶν δένδρων καὶ χωραφίων τῆς Γουναροιπουλίνης †.

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. θ' συναθροισθέντες πρὸς ἡμᾶς οἱ μοναχοὶ τῶν δύο βασιλικωτάτων μονῶν, ἀπὸ μὲν τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Στύλλου ὁ μοναχὸς κῦρ 'Αθανάσιος καὶ ὁ μοναχὸς κῦρ Μακάριος, ἀπὸ δὲ τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβων ὁ ἐκκλησιάρχης ἱερομόναχος κῦρις Κάλλιστος καὶ ὁ δομέστικος κῦρ Γερμανός, οἵτινες ἠμφάνισαν πρὸς ἡμᾶς τὰ τῶν ἀμφοτέρων μερῶν δικαιώματα χάριν τινῶν ἐλαϊκῶν δένδρων καὶ χωραφίων· τηρήσαντες οὖν ἡμεῖς τὰ τούτων δικαιώματα ηὕρομεν οὕτως, ὅτι τὸ μὲν μέρος τῆς μονῆς τῶν Λέμβων κατεῖχε ἐλαϊκὰ δένδρα ἐννέα καὶ χωράφιον μοδίων δύο, ἡ δὲ μονὴ τοῦ Στύλλου κατεῖχεν ἐν τῇ τοιαύτῃ τοποθεσίᾳ ἐλαϊκὰ δένδρα δεκατέσσαρα ἐξ ἀγορασίας ἀπὸ τοῦ Γουναρο-

πούλου μετὰ καὶ τῆς ὑποσκιαζούσης αὐτῶν γῆς, οὐ μὴν δὲ τοῦ παροίκου τῆς μονῆς τῶν Λέμβων, ἀλλὰ τοῦ ἑτέρου ἀδελφοῦ αὐτοῦ Ἰωάννου, τὰ δὲ δένδρα, ἅπερ ἔχει ἡ μονὴ τῶν Λέμβων, εἰσὶν ἀπὸ ἐξαλείμματος Γεωργίου τοῦ Γουναροπούλου. πειρώμενοι δὲ οἱ μοναχοὶ τοῦ Στύλλου οὐκ ἠρκέσθησαν κρατεῖν τοῦ ἐξ ἀγορασίας αὐτοῖς διαφέροντος, ἀλλ' ἐπειρῶντο κατέχειν καὶ τὸ παροικικὸν ἐξάλειμμα τῆς μονῆς τῶν Λέμβων. τηρήσαντες δὲ ἡμεῖς τὰ τῶν ἀμφοτέρων δικαιώματα διεκρίναμεν, ὡς ἐπεὶ ὑπὸ παροικίαν καὶ διὰ πρακτικοῦ ἐτέθη ἐν τῇ μονῇ τῶν Λέμβων ὑπὲρ κεφαλαίου βασιλικοῦ καὶ στρατιωτικοῦ, εὑρίσκεται δὲ ἀμέτοχον καὶ ἀπὸ τοῦ μέρους, οὗπερ διέπρασε πρὸς τὴν μονὴν τοῦ Στύλλου, ἵνα διαμένῃ ἡ μονὴ τοῦ Στύλλου εἰς ὅπερ ἐξώνησεν ἀπὸ τοῦ μέρους τοῦ Γουναροπούλου, καὶ μὴ πλέον χωρεῖσθαι τρόπῳ δυναστικῷ, ἡ δέ γε μονὴ τῶν Λέμβων μένῃ εἰς ὅπερ εἶχεν ὁ πάροικος αὐτῆς, καθὼς ηὕρομεν καὶ διὰ πρακτικοῦ αὐτῆς. διὰ τοῦτο γὰρ ἐγεγόνει καὶ ἡ τοιαύτη κρίσις παρρησίᾳ τῶν δηλωθησομένων κάτωθεν πρὸς ὄνομα μαρτύρων, καὶ ἐπεδόθη τῷ μέρει τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῶν Λέμβων, ἤγουν τοῦ σεβαστοῦ κυροῦ Νικολάου τοῦ Μοσχαμπέρου, στρατιώτου τοῦ Ἀβαλάντου Κωνσταντίνου, Ἀγγέλου τοῦ Σαβέντζη, ἀνδρικωτάτου καβαλλαρίου τοῦ Συραλιάτου, Μιχαὴλ τοῦ Ξηρίτου, Ἰωάννου τοῦ Γορδάτου, Θεοδώρου τοῦ Ἐφεσίου, Μανουὴλ τοῦ Κολπηνοῦ, καὶ ἀπὸ τῶν τοπικῶν Μανταίας Γεωργίου τοῦ Καχαβᾶ, Λέοντος τοῦ Ἀρμένη, Θεοδώρου τοῦ Μαρτίνου, Θεοδώρου τοῦ Βαρίγου, Κυριακοῦ τοῦ Μουρμουντηνοῦ καὶ ἑτέρων οὐκ ὀλίγων. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοχονηγίτης, παρὼν ἐπὶ τῇ παρούσῃ κρίσει ὡς γράφας ταῦτα μαρτυρῶν ὑπέγραφα †.

XXXIX. 6782—1274, mense ianuario, ind. XII.

Martha Thracesina e filia eius monasterio vendunt arbores et campum.

† Πρατήριον ἔγγραφον τῆς μοναχῆς Μάρθας τῆς Θρακησίνης καὶ τῆς θυγατρὸς αὐτῆς Ἄννης

εἰς δρύας λς' καὶ τῆς ὑπ' αὐτῶν δεσποζομένης γῆς ἐντὸς τοῦ γονικοῦ αὐτῶν ὑποστατικοῦ πλησίον τοῦ τιμίου Προδρόμου καὶ τῶν οἰκημάτων τοῦ Πετρίτζη καὶ τοῦ Κομνηνοῦ τοῦ Βρανᾶ †.

Σίγνον μοναχ|ῆς Μάρθας τῆς Θρακ|ησίνης. Σίγνον Ἄνν|ης τῆς γνησίας θυγα|τρὸς αὐτῆς †. Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης ἡμῶν δεσποίνης θεοτόκου ἀειπαρθένου Μαρίας. ἐγὼ Μάρθα μοναχὴ ἡ Θρακησίνα καὶ ἡ γνησία αὐτῆς θυγάτηρ, αἱ καὶ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ἐγχαράξασαι, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων δρυῶν καὶ τοῦ χωραφίου, καθὼς δηλωθήσεται, πᾶσαν τὴν ἐκ τῶν πανευσεβῶν νόμων ἰσχὺν καὶ δύναμιν ἔχουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν, οὐ παρ' ἡμῶν αὐτῶν τῶν πεπρακότων, οὐ παρ' ἑτέρου τινὸς ἰδίου ἢ ξένου καθ' οἱονδήτινα ἔγγραφον ἢ ἄγραφον τρόπον ἢ νομικὴν ἰσχὺν καὶ βοήθειαν, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἀγροικίας ἢ φάκτου ἀγνοίας ἢ ἄλλης τινὸς ἐπιφόγου τῆς τῶν νόμων ἀποτετραμμένης αἰτίας, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ ὁλοψύχῳ ἡμῶν τῇ προθέσει, ἔτι δὲ μετὰ μεμεριμνημμένου σκοποῦ χρονίας τῆς διασκέψεως καὶ τῆς συναινέσεως παντὸς τοῦ μέρους ἡμῶν πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ὑπ' αὐτῆς ἡγουμενεύοντα, ἱερομόναχον κῦρ Ἀγάθωνα, καὶ πρὸς τοὺς ὑπ' αὐτὴν ἀσκουμένους ἅπαντας μοναχούς. καὶ γὰρ ἀπὸ τῆς γονικῆς ἡμῶν ὑποστάσεως πιπράσκομεν πρὸς τὴν σεβασμίαν μονὴν δρύας τριάκοντα καὶ ἓξ μετὰ καὶ τοῦ ἐκεῖσε χωραφίου οἵου καὶ ὅσου ὄντος τὸ μεριδικὸν ἡμῶν δίκαιον μετὰ καὶ τοῦ ἀρδευφικοῦ αὐτῶν ὕδατος εἰς ὑπέρπυρα ἑξάγια δεκατρία, ἃ δὴ καὶ λαβόντες ἀπὸ τῶν χειρῶν ἡμῶν εἰς τὰς ἡμῶν χεῖρας ἐνώπιον καὶ τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων, πλησιαστὰς ἔχοντες τούτους· ἀπὸ μὲν βορείου μέρους τὸν τίμιον Πρόδρομον καὶ τὰ οἰκήματα κυροῦ Γεωργίου τοῦ Πετρίτζη, ἤγουν ἀπὸ τοῦ αὔλακος, ἀπὸ δὲ δυτικοῦ μέρους τὸν πανευγενέστατον Κωμ-

νηνὸν τὸν Βρανᾶν, ἀπὸ δὲ ἀνατολικοῦ καὶ πάλιν τὸν Πετρίτζην, ἐπαφίημι δὲ ταῦτα εἰς τὴν μονὴν ἀτελῆ καὶ ἀκαταζήτητα ἀπὸ παντὸς τοῦ μέρους ἡμῶν ὑπὲρ ψυχικῆς ἡμῶν ἕνεκα σωτηρίας. τοίνον καὶ κατὰ τὴν τῶν ἑκατέρων τῶν μερῶν θέλησίν τε καὶ ἀρέσκειαν παραδεδώκαμεν τὰ τοιαῦτα δένδρα σὺν τῷ ἐκεῖσε χωραφίῳ, ὡς ἂν κατέχῃ αὐτὰ ἡ μονὴ κορίως, αὐθεντικῶς καὶ μονομερῶς, ἀπαρασπάστως, ἀπαραλείπτως καὶ ἀναφαιρέτως, ἔχειν ἄδειαν ἐπ' αὐτοῖς τὴν μονὴν πωλεῖν, χαρίζειν, ἀνταλλάττειν, ἐκριζοῖν καὶ ἄλλως ὡς δόξει ταύτῃ διὰ βουλῆς καὶ θελήσεως· πάντα μὲν τὰ ἀναγεγραμμένα διὰ μέσον, ὅσα συνεφωνήσαμεν, καὶ ὁμολογοῦμεν ἀποπαύειν ὑμᾶς ἀπὸ παντὸς μέρους καὶ προσώπου συγγενικοῦ καὶ ἀλλοτρίου πειρωμένου διενοχλεῖν ἡμᾶς ἢ ἕτερόν τι πρόκριμα ἐπαγαγεῖν ἕνεκεν τῶν τοιούτων, ἀλλ' ὁμολογοῦμεν τοῦ διατηρεῖν ὑμᾶς ἀνενοχλήτους καὶ ἀζημίους. ἐὰν δέ τις ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι ἢ ἀθετῆσαι τὰ καλῶς καὶ φανερῶς παρ' ἡμῶν ἀπεμποληθέντα, οὐ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλὰ καὶ ζημίᾳ ὑποπεσοῦμεν νομίσματα χρυσᾶ τριάκοντα καὶ ἓξ καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν ἢ ἀρχοντικὴν βοήθειαν καταφεύγοντες. μηνὶ ἰαννουαρίῳ ἰνδ. β' ἔτους ‚ςφπβ' ἐνώπιον καὶ τῶν κάτωθεν ὑπογραφάντων μαρτύρων †.

Σίγνον	μάρτυρος	Σίγνον	μάρτυρος
Κωνσταντίνου	τοῦ Ἀλυκάστου.	Λέοντος τ	οῦ Τζουρουλλοῦ.

Σίγνον	μάρτυρος
Κωνσταντ	ίνου τοῦ Δρίμη.

† Ὁ εὐτελὴς διάκονος καὶ νομικὸς Μιχαὴλ ὁ Ληστὴς παρὼν ἐπὶ τῇ παρούσῃ πράσει καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοκυνηγίτης, παρὼν ἐπὶ τῇ παρούσῃ πράσει καὶ αὐτὸς μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

XL. Sine anno, mense septembri, ind. IX.

Michaël Tesaïtes monasterio tradit ecclesiam S. Praecursoris.

† Τὸ ἐκδοτήριον ἔγγραφον Μιχαὴλ ἱερέως τοῦ Τεσαΐτου χάριν τοῦ ναοῦ τοῦ τιμίου Προδρόμου καὶ τῶν ὑπ' αὐτοῦ βελτιωθέντων καὶ προσκυρωθέντων πραγμάτων †.

† Μιχαὴλ ἱερεὺς ὁ Τεσαΐτης οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ἐγὼ Μιχαὴλ ἱερεὺς ὁ Τεσαΐτης, ὁ ἐν τῇ ἀρχῇ τοῦ παρόντος χάρτου οἰκειοχείρως προτάξας, τίθεμαι καὶ ποιῶ τὸ τῆς προσαγωγῆς ἡμῶν γράμμα, ἤγουν τῆς προσενέξεως, ἰδοὺ διὰ τοῦ παρόντος ἡμῶν γράμματος προσήνεγκον πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης. ἐπεὶ γὰρ ὁ πατήρ μου ἐκεῖνος, Ἀλέξιος ἱερεὺς ὁ Τεσαΐτης ἐκδέδωκε τὸν εὐκτήριον οἶκον εἰς τὴν ἄνωθεν δηλωθεῖσαν μονὴν διὰ πλείονα βελτίωσιν καὶ σύστασιν τοῦ τοιούτου ναοῦ καὶ εἰς εὐπρέπειαν τοῦ τόπου, ἐπεὶ καὶ ἀσκεπὴς ἦν ὁ τοιοῦτος ναός, τὴν σήμερον δὲ ἐκδίδωμι καὶ ἐγώ, κἂν εἴ τι ἄρα καὶ ἐβελτίωσα ἐν τῷ τοιούτῳ τόπῳ μετὰ καὶ τοῦ ἐκεῖσε ὄντος ναοῦ τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ μετὰ πάσης τῆς περιουσίας ἡμῶν ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας, ἃ δὴ καὶ καθέξει τῷ μέρει τῆς σεβασμίας μονῆς ἀπὸ τῆς σήμερον, ὡς δεσπότις καὶ κυρία, καὶ ποιεῖν ἐπ' αὐτοῖς τὰ δοκοῦντα αὐτῇ μὴ ἐνοχλουμένη παρ' οἱουδήτινος προσώπου ἢ προσγενῶν ἡμῶν ἢ καὶ ἀλλοτρίων, ἐγὼ δὲ οὐ τραπήσομαι πώποτε ἐφ' οἷς ὑπετύπωσα, μήπως καταкριθῶ ὡς ἱερόσυλος, ὡς ὁ Ἀνανίας καὶ ἡ Σαπφείρα· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὰς ἀρὰς ἕξει τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, ζημιωθήσεται δὲ καὶ ὡς πλεονέκτης καὶ ἀθετητὴς τῆς γεγονυίας ἡμῶν πράξεως καὶ τοῦ θεοφιλοῦς σκοποῦ πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα λίτραν μίαν, μὴ εἴς τινα νομικὴν ἢ ἀρχοντικὴν βοήθειαν καταφεύγοντες. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν τῆς προσαγωγῆς ἡμῶν γράμμα ἐνώπιον ἀξιοπίστων μαρτύρων, καὶ ἐπεδόθη τῷ μέρει τῆς σεβασμίας

στως καὶ ἀσκόπως, ὡς ὄντος τοῦ αὐτοῦ ὑποστατικοῦ ἀχρήστου τε καὶ ἀπροσόδου, καθὼς ἡμεῖς μετὰ ἐξετάσεως διέγνωμεν τὰ περὶ τούτου. ἐπεὶ δὲ ἐδέησε γενέσθαι παρ' ἡμῶν τῇ δηλωθείσῃ μονῇ καὶ ἡμετέραν γραφὴν ἀθφοῦσαν ταύτην ἀπὸ τῆς τοιαύτης ἐπιτελείας καὶ εἶναι ἀνενόχλητον ποιοῦσαν, πεποιήκαμεν ταύτην αὐτῇ, δι' ἧς τῇ ἀντιλήψει καὶ πολυχρονίῳ χαρᾷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως διατηρηθήσεται ἡ τοιαύτη μονὴ ἀνεπηρέαστος καὶ ἀζήμιος, τοῦ δημοσίου μηδεμίαν πάροδον ὀφείλοντος ἔχειν χάριν ἐπιτελείας τοῦ τοιούτου ὑποστατικοῦ εἰς τὴν ῥηθεῖσαν μονήν, ὡς τοῦ Κακαβᾶ παραδοθέντος παρ' ἡμῶν ἀλλαχόθι, ἔνθα καὶ καταβαλῆται τὰ στρατιωτικὰ ζητήματα, καθὼς αὐτὰ ἐτέθησαν παρ' ἡμῶν, ἀλλὰ δὴ καὶ τὰ δημοσιακὰ κεφάλαια, ἤγουν νομίσματα ἀγάπης, σιταρκίας καὶ ἑτέρων ζητημάτων τῶν ἀνηκόντων αὐτῷ, καθὼς καὶ οἱ λοιποὶ πάροικοι. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμῶν γραφὴ ἐγεγόνει τῇ μονῇ εἰς ἀσφάλειαν. μηνὶ σεπτεμβρίῳ ἰνδ. ιβ' †.

† Ὁ ἀπογραφεὺς τοῦ κατεπανίκιου Σμύρνης δοῦλος καὶ γραμματικὸς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Ἰωάννης ὁ Κωστομοίρης †.

† Τὸ δὲ παρὸν ἀποκαταστατικὸν γράμμα εἶχε καὶ μολιβδίνην βούλλαν ἀπῃωρημένην γράφουσαν οὕτως· τὸν Κωστομοίρην ὁ Χρυσόστομος σκέποις γραφὰς τὰς αὐτοῦ χαριτῶν φερωνύμως †.

XXXII. 6765—1257, mense iunio, ind. XV.

Basilius et Anysia Planetae confirmant donationem factam a Maximo Planeta.

† Ἕτερον γράμμα Βασιλείου τοῦ Πλανίτου καὶ τῆς μοναχῆς Ἀνυσίας τῆς Πλανιτίσσης, ἐπικυροῦν τὸ προγεγονὸς ἐκδοτήριον πρὸς τὴν μονὴν τοῦ μοναχοῦ Μαξίμου τοῦ Πλανίτου τοῦ ἀδελφοῦ αὐτῶν †.

Σίγνον	Βασιλείου	Σίγνον	Ἀνυσίας
τοῦ Πλ	ανίτου.	τῆς Πλ	ανιτίσσης.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύμα-

τος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου, ὑπερευλογημένης, ὑπεραγίας καὶ δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἐγὼ Βασίλειος ὁ Πλανίτης καὶ ἡ μοναχὴ Πλανίτισσα ἡ Ἀνοσία οἱ ἄνωθεν καὶ κατ' ἀρχὴν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἐγχαράξαντες τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανούργως καὶ ἀμεταμελήτως πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τὴν ἐπικεκλημένην τῶν Λέμβων· καὶ πρὸς τοὺς ἐν αὐτῇ ἀσκουμένους μοναχούς, τόν τε καθηγούμενον ταύτης, τιμιώτατον ἱερομόναχον κῦρ Κύριλλον, καὶ γὰρ ἐπεὶ πρὸ χρόνων οὐκ ὀλίγων ἔφθασεν ὁ αὐτάδελφός μου ἐκεῖνος ὁ Πλανίτης ἀποκαρῆναι ἐν τῇ τοιαύτῃ βασιλικῇ μονῇ καὶ κληθῆναι Μάξιμος τοὔνομα μοναχός, ἐκδοῦναι τὸ ἐν τῇ Μανταίᾳ γονικὸν ἡμῶν ὑποστατικὸν βουλῇ τε καὶ θελήσει καὶ ἡμῶν τῶν ἄνωθεν σιγνογραφησάντων, ὥστε κατέχειν αὐτὸ ἡ τοιαύτη ἁγία βασιλικὴ μονὴ καὶ νέμεσθαι καὶ τὴν ἐξ αὐτοῦ πᾶσαν καὶ παντοίαν ἀποφέρηται πρόσοδον εἰς τροφὴν καὶ ἀνάπαυσιν τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν, χρᾶσθαι τὴν ὑπ' αὐτοῦ εἴσοδον τῶν καὶ μνείαν ποιουμένων ὑπὲρ τῆς ἐκείνου ψυχῆς καὶ ἡμῶν, ὅπως ὁ παντεπόπτης θεὸς ἵλεως γένηται ἐν καιρῷ τῷ τῆς κρίσεως καὶ ἀνάπαυσιν ἀπονέμηται ταῖς ἡμετέραις ψυχαῖς, στέργομεν καὶ ἡμεῖς τὰ πρὸ καιροῦ γεγονότα παρ' ἐκείνου καὶ παρ' ἡμῶν χαρτῷα δικαιώματα, τό τε νομικογραφὲν ἔγγραφον καὶ τὴν διάταξιν τὴν παρ' ἐκείνου γεγονοῖαν τὴν τελευταίαν καὶ νόμιμον τὴν ἐν τῷ ὑστέρῳ τῆς διαλέξεως λόγῳ σώαν γραφεῖσαν καὶ ἀληθῆ, ὡς τὸ βέβαιον καὶ ἀπερικλόνητον ἔχουσαν τοῦ μὴ παρασαλευθῆναι ἀπὸ τοῦ νῦν ἢ ἀνατραπῆναι ἢ παρ' ἡμῶν ἢ παρ' ἑτέρου τινός, ἀλλὰ ἀεὶ καὶ εἰς τὸ ἑξῆς διαμένουσιν, ὡς οἱ θεῖοι νόμοι διακελεύουσιν· τὰ γὰρ τῷ θεῷ ἀφιερωθέντα ἅγια εἰσὶ καὶ τῷ θεῷ ὀφείλουσιν ἀποπέμπεσθαι καὶ οὐδεὶς ὅλως χεῖρα ἐπαγαγεῖν ἐπ' αὐτοῖς, εἰ μὴ καὶ τῷ δοτῆρι θεῷ ἕξει ἀντίδικον, εἰ δὲ καὶ τὰ παρ' ἐκείνου καὶ τὰ παρ' ἡμῶν οἰκειοβούλως ἐκδοθέντα καὶ προσκυρωθέντα τῷ θεῷ βουληθῇ τις ἀθετῆσαι ἢ ἀνατρέψαι ἢ ἡμεῖς αὐτοὶ δι' ἑτέρας ἡμῶν ἀσφαλείας ἐκ δευτέρου βεβαιωθέντα λόγον τὸν οἱονδήτινα προσβαλῶμεν τῇ τοιαύτῃ βασιλικῇ μονῇ, ἄπρακτοι ἀποδιωκόμεθα τῆς αὐτῆς ἐγχειρήσεως ὡς τοῦ ἐκδοθέντος ψυχωφελοῦς ἡμῶν πράγματος ἐν μεταμελείᾳ γενόμενοι· ὀφείλει δὲ καὶ ἡ ἁγία βασιλικὴ μονὴ διδόναι πρὸς τὴν μοναχήν, ὅσα τὰ εἰς

ζωάρκειαν ὑπεσχέθη καὶ συνεφωνήθη, μέχρις ἂν ἐν τοῖς ζῶσιν εὑρίσκηται, μετὰ δὲ τὴν ἡμῶν ἀπὸ τῶν ἐνταῦθα μετάστασιν ἐσεῖται ἡ μονὴ ἀνενόχλητος, ζημίαν δὲ ἕξει τὸ μὴ ἐμμένον μέρος πρὸς τὸ ἐμμένον ὑπέρπυρα ἑκατόν. διὰ γὰρ τὸ ἀνενόχλητον ἡμῶν τε καὶ τοῦ μέρους τῆς μονῆς καὶ πάλιν γέγονεν ἡ παροῦσα ἡμῶν ἀσφάλεια, ἥτις καὶ τοὺς παλιμβόλους τρόπους μακρόθεν ἀποβάλλουσα. μηνὶ ἰουνίῳ ἰνδ. ιε' ἔτους ,ϛψξε' †.

† Ὁ λογοθέτης καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἀχρεῖος ἐν διακόνοις καὶ τοῦ ὕφους γραφεύς, Ἰωάννης ὁ Ἀργυρόπουλος †.

† Ὁ ἀχρεῖος ἐν ἱερεῦσιν ὑπομνηματογράφος καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Γεώργιος ὁ Ἀληθινός, μαρτυρῶν ὑπέγραψα †.

† Εἶχε καὶ ὄπισθεν ὑπογραφὰς ταύτας· † Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Μιχαὴλ ὁ Πετρίτζης †. † Ὁ εὐτελὴς ἱερεὺς Γεώργιος ὁ Γουναρόπουλος, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †. † Ὁ εὐτελὴς ἱερεὺς Νικόλαος, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †. † Ὁ εὐτελὴς ἱερεὺς Γεώργιος ὁ Χιονᾶς, ὡς τὸ ἄνωθεν ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †.

Σίγνον	Ξένου	Σίγνον	Θεοδώρου	Σίγνον	Νικήτα	Σίγνον	Ἰωάννου
τοῦ	Λεγᾶ.	τοῦ Ἀκα	χιανοῦ.	τοῦ Ζω	ναρᾶ.	τοῦ Μ	αγγανάρη.

Σίγνον	Φωκᾶ
τοῦ Μ	αυρολέοντος †.

† Ὁ λογοθέτης τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰωάννης ὁ Ἀργυρόπουλος, καὶ ἐνταῦθα ὑπέγραψα δι' ἀσφάλειαν †.

XXXIII. Sine anno, mense octobri, ind. XII.

Constantinus Planetes declarat monasterium immune esse a vectigali duorum hyperperorum.

† Ἕτερον γράμμα ἀνενοχλησίας Κωνσταντίνου στρατιώτου τοῦ Πλανίτου †.

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. ιβ'. ἐγὼ Κωνσταντῖνος στρατιώτης ὁ Πλανίτης ὁ ἔχων τὸ πρᾶγμα τοῦ Πλανίτου, οἷον καὶ ὅσον ἐστί, διὰ πρακτικοῦ εἶχον ἀπὸ τῆς μονῆς τῶν Λέμβων χάριν ἐπιτελείας ὑπέρπυρα δύο, καὶ ἐλθὼν ἀπὸ τῆς δουλείας τοῦ ζητῆσαι ἀπὸ τῆς μονῆς τὰ κατ' ἔτος ἐπιτελούμενά μοι δύο ὑπέρπυρα εὗρον, ὅτι πεπράκασι ταῦτα οἱ γονικάριοι, ὅ τε Βασίλειος ὁ Πλανίτης καὶ Κωνσταντῖνος ὁ Ῥεντάκης, καὶ ἐποίησάν με οἱ μοναχοὶ ἀπολογίαν, λέγοντες, ἐπίδοτε ἡμῖν πρᾶγμα καὶ ἵνα ἐπιτελῶμεν· ἐπεὶ δὲ εὗρον, ὅτι ἀπέπραγαν αὐτὸ οἱ γονικάριοι, εἴασα τοὺς μοναχοὺς ἀνενοχλήτους. διὰ τοῦτο ἐποίησα πρὸς τὴν μονὴν τὸ παρόν μου ἔγγραφον δι' ἀσφάλειαν ἐνώπιον μαρτύρων, τοῦ τιμιωτάτου ὑπερβαίνοντος κυροῦ Γρηγορίου καὶ τοῦ ἐνδοξοτάτου κυροῦ Μιχαὴλ τοῦ Κινάμου, τῷ οἰκείῳ ἀνθρώπῳ τοῦ περιποθήτου συμπενθεροῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ σεβαστοκράτορος, τοῦ οἰκονόμου τῆς αὐτῆς μονῆς, κυροῦ Φιλοθέου, τοῦ ἐκκλησιάρχου, ἱερομονάχου Νείλου, τοῦ ἱερομομονάχου Γρηγορίου, τοῦ μοναχοῦ Βαρνάβα τοῦ Πλανίτου καὶ ἑτέρων μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Κωνσταντῖνος ὁ Πλανίτης μαρτυρῶν ὑπέγραφα †.

† Ὁ τοῦ ὕφους γραφεὺς Γρηγόριος ὁ Ὑπερβαίνων μαρτυρῶν ἔγραφα καὶ ὑπέγραφα †.

XXXIV. 6745—1237, mense iunio (ind. X).

Venditio olivarum.

† Ἕτερον πρατήριον ἔγγραφον τοῦ Ῥαδηνοῦ καὶ τοῦ Παννάδου πρὸς τὸν Κουρτίκην Θεόδωρον χάριν τῶν εἰς τοὺς Πλάνους πλησίον ἐλαϊκῶν δένδρων αὐτῶν †.

Σίγνον τοῦ Ῥαδ|ηνοῦ.	Μιχαὴλ	Σίγνον τῆς συμ|βίου αὐτοῦ.	Ἄννης	Σίγνον υἱοῦ τ|οῦ Παννάδου.	Ἰωάννου

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Μιχαὴλ ὁ Ῥαδηνὸς καὶ ἡ τούτου γνησία σύζυγος Ἄννα καὶ ὁ γυναικάδελφας αὐτοῦ Ἰωάννης, οἱ καὶ κατ' ἀρχὴν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκείαις χερσὶν ἐγχαράξαντες, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν καὶ εἰς τὸ ἑξῆς μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νομίμου ἀσφαλείας καθαρὰν, φανερὰν πρᾶσιν τὴν ἐς ἀεὶ τὸ ἀπαράθραυστον καὶ ἀπεριτκλόνητον ἔχειν ὀφείλουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν, οὐ παρ' ἡμῶν αὐτῶν τῶν ἀπεμπολούντων, οὐ παρ' ἑτέρου οἱουδήτινος προσώπου συγγενικοῦ ἢ καὶ ἀλλοτρίου τὸ σύνολον, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανούργως καὶ ἀμεταμελήτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἰδιωτίας ἢ ἀγροικίας ἢ νομίμου φάκτου ἀγνοίας ἢ ἄλλης τινὸς ἐπιψόγου ἀποτετραμμένης αἰτίας πρὸς σὲ, τὸν κῦρ Θεόδωρον τὸν Κουρτίκην, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος, κληρονόμους καὶ διαδόχους, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ γονικῶς καὶ κληρονομικῶς ἡμῖν διαφέροντα, τὰ καὶ διακείμενα ἀπὸ βορείου μέρους τοῦ Πλανίτου καὶ πανταχοῦ πλησιάζοντα τὸ προάστειον τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, ἤγουν δένδρα δώδεκα καὶ ἄλλα, ὁποῖα διάφορα δένδρα εὑρεθῶσιν ἐν τῷ αὐτῷ χωραφίῳ, μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, βουληθέντες ἐκποιήσασθαι τὴν πρᾶσιν τούτων διεφημίσαμεν πανταχόθεν· ὡς δὲ ἡ περὶ αὐτῶν φήμη ἔφθασε καὶ εἰς τὰς σὰς ἀκοὰς τοῦ κυροῦ Θεοδώρου τοῦ Κουρτίκη, ἠθέλησας ταῦτα ἐξωνήσασθαι, καὶ λόγων μέσον ἡμῶν γινομένων περὶ τοῦ τιμήματος αὐτῶν, ὕστερον περιεστήσαμεν αὐτὸ ἀπὸ συμφωνίας καὶ ἀρεσκείας ἡμῶν εἰς νομίσματα . . . δεκαὲξ καὶ λαβόντες ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμῶν χεῖρας ἐπ' ὄψει τῶν κάτωθεν ὀφειλόντων ὑπογράφαι μαρτύρων, καὶ τελέως ἐκστάντες τῆς αὐτῶν διακατοχῆς καὶ νομῆς ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτῶν μετὰ τῶν κληρονόμων καὶ διαδόχων καὶ παντοίων σου τῶν διακατόχων εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ἄδειαν ἔχοντός σου κατὰ πᾶσαν ἐξουσίαν πωλεῖν, δωρεῖσθαι, ἀνταλάττειν, προικοδο-

πεῖν, λεγατεύειν καὶ τἄλλα πάντα ποιεῖν, καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς τελείοις καὶ ἀληθέσι δεσπόταις ἐν τοῖς ἰδίοις ποιεῖσθαι παρακελεύονται. οὕτως οὖν τῆς παρούσης πράσεως παρ' ἡμῶν γινομένης ἐπερωτώμενοι ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα τοῦ μὴ ὅλως ὄχλησίν τινα προσενέγκωμέν σοι ἢ τῷ μέρει σου, μὴ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλὰ καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμῶν ἐγγράφου ἵνα ἐπιδιδῶμεν τὸ τίμημα αὐτῶν ἐπὶ τὸ διπλάσιον καὶ πρὸς τὸν δημόσιον ὑπέρπυρα εἴκοσι, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγοντες. μηνὶ ἰουνίῳ ἰνδ. ζ' ἔτους ͵ςφμε' ἐνώπιον τῶν συγνογραφησάντων μαρτύρων †.

Σίγνον | Γεωργίου Σίγνον | Γεωργίου Σίγνον | Μιχαὴλ
τοῦ Ῥω | γολόγου. τοῦ | Γεγέ. τοῦ Μ | αχλαμᾶ.

Σίγνον | Κωνσταντίνου
τοῦ | Μαυροϊωάννου.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, ὁ Λαοδικηνός, τῇ παρούσῃ καθαρᾷ πράσει γράψας ὑπέγραψα.

XXXV. Sine anno, mense aprili, ind. III.

Nicolaus Adam monasterio donat praedium, ecclesiam et arbores.

† Ἕτερον γράμμα χαριστικὸν τοῦ Ἀδὰμ Νικολάου χάριν τῶν ἐντὸς τοῦ περιόρου τοῦ μετοχίου τῶν Πλάνων δένδρων, τῆς ἐκκλησίας καὶ τῆς γῆς †.

† Ἐὰν ἐπὶ τῷ παρόντι καὶ ἀνονήτῳ τοῦ βίου τούτου πελάγει πολὺν ποιούμεθα τὸν ἀγῶνα καὶ τὴν σπουδήν, πολλῷ μᾶλλον καὶ τὰ ὠφέλιμα τῆς ψυχικῆς σωτηρίας, εἰ οὐ νήφομεν. κἀγὼ Νικόλαος ὁ Ἀδὰμ ἀποχαρίζομαι εἰς τὴν βασιλικὴν μονὴν τῶν Λέμβων τὸ εἰς τοὺς Πλάνους περιωρισμένον τόπιον, τὸ καὶ τῆς μονῆς αὐτῆς ὂν μετόχιον, ὡσαύτως καὶ τὴν ἐκεῖσε ἱσταμένην ἐκκλησίαν σὺν τῇ ὑπ' αὐτὴν γῇ καὶ τὰ περιωρισμένα δένδρα τὰ ἐκ γονικόθεν διαφέροντά μοι ἀπὸ τοῦ Ληστοῦ ἐκείνου καὶ τοῦ Πλανήτου, ἅπερ μοι ἐδωρήσατο ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς ἀτελῶς πάντη καὶ ἀβαρῶς, καθὼς ἐδωρήθησάν μου πανεξκουσσάτα ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, ἤτοι τὰ τρία δένδρα, τὸ μὲν ἓν

ἵστατο συγκεκολλημένον εἰς τὴν κόγχην τῆς ἐκκλησίας, τὰ δὲ δύο ἔνδον τοῦ φραγμοῦ· διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῷ καθηγουμένῳ τῆς βασιλικῆς μονῆς τῶν Λέμβων, κυρῷ Γερασίμῳ, εἰς τὸ κατέχειν ταῦτα ἡ τοιαύτη μονὴ καὶ νέμεσθαι εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. μηνὶ ἀπριλλίῳ ἰνδ. τρίτης †.

† Νικόλαος ὁ Ἀδάμ †.

XXXVI. Sine anno, mense octobri, ind. XII.

Monasterio duae arbores restituuntur.

† Ἕτερον ἐμμάρτυρον γράμμα τοπικῶν ἀνθρώπων χάριν τῶν ἀνασπασθέντων δύο δένδρων ἀπὸ τοῦ Φοίνικος δυναστικῶς οἱ αὐθένται αὐτῶν †.

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. ιβ′ ἡμέρᾳ ἕκτῃ παρεδώκαμεν τὰ δένδρα τὰ πλησίον τῆς μονῆς τοὔνομα τοῦ Φοίνικος καὶ πλησίον τοῦ Λεγᾶ, ἅπερ ἀνέσπασαν οἱ ἄνθρωποι τῶν αὐθεντῶν ἡμῶν, ἤγουν δένδρα δύο, ἵνα μὴ ἐπὶ πλέον ἔχωμεν κρίμα, ἐπεδώκαμεν ταῦτα ἐντὸς τοῦ ὁσιωτάτου ἡγουμένου, κυροῦ Καλλίστου, καὶ τοῦ οἰκονόμου, τοῦ μοναχοῦ Σάβα, καὶ ἑτέρων μοναχῶν, καὶ διὰ τὸ ἀξιόπιστον ὑπεγράφαμεν καὶ ἡμεῖς ὅ τε Θεόδωρος ὁ Μαρτῖνος, Γεώργιος ὁ Κακαβᾶς, Λέων ὁ Ἀρμένης, Ξένος ὁ Κακαβᾶς, Νικόλαος ὁ Κακαβᾶς, καὶ ἐπεδώκαμεν τὴν παροῦσαν ἡμῶν ἐμμάρτυρον παράδοσιν πρὸς τὴν μονὴν τῶν Λέμβων †.

XXXVII. Sine anno, mense ianuario, ind. XIII.

Transactio inter Michaëlem Petritzem et monasterium

† Ἕτερον συμβιβαστικὸν γράμμα στρατιώτου Γεωργίου τοῦ Πετρίτζη ἀπολύσαντος αὐτοῦ τὴν διαφέρουσαν αὐτῷ ἀδελφικὴν μερίδα εἰς τὸ πενθερικὸν αὐτοῦ περιβόλιον, ἀνθ' οὗπερ ἐδέχθη ἀμπέλιον τοῦ ἀπὸ τοῦ μοναχοῦ Σκουλλάτου †.

Σίγνον	Γεωργίου στρα-
τιώτου τοῦ	Πετρίτζη.

† Μηνὶ ἰαννουαρίῳ κα′ ἰνδ. ιγ′. κατέλαβον τὴν σήμερον ἐν τῇ σεβασμίᾳ βασιλικῇ μονῇ τῶν Λέμβων ἐγὼ Γεώργιος ὁ Πετρίτζης

καὶ συνεβιβάσθην μετά τε τοῦ καθηγουμένου τῆς αὐτῆς μονῆς καὶ τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν, ὡς ἵνα ἔχωσι οἱ αὐτοὶ τὴν εἰς τὸ περιβόλιον τοῦ πενθεροῦ μου διαφέρουσάν μοι ἀδελφικὴν μερίδα, οἵαν καὶ ὅσην οὖσαν, ἀντ' αὐτῆς δὲ δεδώκασι πρός με οἱ τοιοῦτοι τὸ ἀμπέλιον, ὅπερ ἔχει ἡ μονὴ ἀπὸ τοῦ μοναχοῦ Σκουλλάτου, εἰς ἀναπλήρωσιν δὲ τοῦ τιμήματος αὐτοῦ ἐπιδίδωμι καὶ ἐλαϊκὰ δένδρα τρία ἐν τῇ τοποθεσίᾳ πλησίον τοῦ Ἀμμωδ . . . διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα εἰς ἀσφάλειαν. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

Σίγνον |Μαρίας	Σίγνον|Γεωργίου	Σίγνον|Μιχαὴλ
τῆς Παδια|τίνης.	τοῦ Δρού|γγαρι.	τοῦ υἱο|ῦ αὐτῶν.
Σίγνον|Ἀνδρονίκου	Σίγνον|τοῦ	
τοῦ ἑτέ|ρου υἱοῦ αὐτῶν.	Φω|κᾶ.	

† Ἐγράφη δὲ παρ' ἐμοῦ τὸ παρὸν γράμμα Νικήτα ἱερέως τοῦ Μανδραγόρη, ὅπερ καὶ μαρτυρῶν ὑπέγραφα †.

XXXVIII. Sine anno, mense decembri, ind. IX.

Lis inter monasteria Stylli et Lembi de olivis et campis.

† Κρίσιμον γράμμα τοπικῶν ἀνθρώπων χάριν τῆς ὑποθέσεως, ἧς εἶχον μετὰ τῆς μονῆς τοῦ Στύλλου ὑπὲρ τῶν ἐλαϊκῶν δένδρων καὶ χωραφίων τῆς Γουναρουπουλίνης †.

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. θ' συναθροισθέντες πρὸς ἡμᾶς οἱ μοναχοὶ τῶν δύο βασιλικωτάτων μονῶν, ἀπὸ μὲν τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Στύλλου ὁ μοναχὸς κῦρ Ἀθανάσιος καὶ ὁ μοναχὸς κῦρ Μακάριος, ἀπὸ δὲ τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβων ὁ ἐκκλησιάρχης ἱερομόναχος κῦρις Κάλλιστος καὶ ὁ δομέστικος κῦρ Γερμανός, οἵτινες ἠμφάνισαν πρὸς ἡμᾶς τὰ τῶν ἀμφοτέρων μερῶν δικαιώματα χάριν τινῶν ἐλαϊκῶν δένδρων καὶ χωραφίων· τηρήσαντες οὖν ἡμεῖς τὰ τούτων δικαιώματα ηὕρομεν οὕτως, ὅτι τὸ μὲν μέρος τῆς μονῆς τῶν Λέμβων κατεῖχε ἐλαϊκὰ δένδρα ἐννέα καὶ χωράφιον μοδίων δύο, ἡ δὲ μονὴ τοῦ Στύλλου κατεῖχεν ἐν τῇ τοιαύτῃ τοποθεσίᾳ ἐλαϊκὰ δένδρα δεκατέσσαρα ἐξ ἀγορασίας ἀπὸ τοῦ Γουναρο-

πούλου μετὰ καὶ τῆς ὑποσκιαζούσης αὐτῶν γῆς, οὐ μὴν δὲ τοῦ παροίκου τῆς μονῆς τῶν Λέμβων, ἀλλὰ τοῦ ἑτέρου ἀδελφοῦ αὐτοῦ Ἰωάννου, τὰ δὲ δένδρα, ἅπερ ἔχει ἡ μονὴ τῶν Λέμβων, εἰσὶν ἀπὸ ἐξαλείμματος Γεωργίου τοῦ Γουναροπούλου. πειρώμενοι δὲ οἱ μοναχοὶ τοῦ Στύλλου οὐκ ἠρκέσθησαν κρατεῖν τοῦ ἐξ ἀγορασίας αὐτοῖς διαφέροντος, ἀλλ' ἐπειρῶντο κατέχειν καὶ τὸ παροικικὸν ἐξάλειμμα τῆς μονῆς τῶν Λέμβων, τηρήσαντες δὲ ἡμεῖς τὰ τῶν ἀμφοτέρων δικαιώματα διεκρίναμεν, ὡς ἐπεὶ ὑπὸ παροικίαν καὶ διὰ πρακτικοῦ ἐτέθη ἐν τῇ μονῇ τῶν Λέμβων ὑπὲρ κεφαλαίου βασιλικοῦ καὶ στρατιωτικοῦ, εὑρίσκεται δὲ ἀμέτοχον καὶ ἀπὸ τοῦ μέρους, οὗπερ διέπρασε πρὸς τὴν μονὴν τοῦ Στύλλου, ἵνα διαμένῃ ἡ μονὴ τοῦ Στύλλου εἰς ὅπερ ἐξώνησεν ἀπὸ τοῦ μέρους τοῦ Γουναροπούλου, καὶ μὴ πλέον χωρεῖσθαι τρόπῳ δυναστικῷ, ἡ δέ γε μονὴ τῶν Λέμβων μένῃ εἰς ὅπερ εἶχεν ὁ πάροικος αὐτῆς, καθὼς ηὕρομεν καὶ διὰ πρακτικοῦ αὐτῆς. διὰ τοῦτο γὰρ ἐγεγόνει καὶ ἡ τοιαύτη κρίσις παρρησίᾳ τῶν δηλωθησομένων κάτωθεν πρὸς ὄνομα μαρτύρων, καὶ ἐπεδόθη τῷ μέρει τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῶν Λέμβων, ἤγουν τοῦ σεβαστοῦ κυροῦ Νικολάου τοῦ Μοσχαμπέρου, στρατιώτου τοῦ Ἀβαλάντου Κωνσταντίνου, Ἀγγέλου τοῦ Σαβέντζη, ἀνδρικωτάτου καβαλλαρίου τοῦ Συραλιάτου, Μιχαὴλ τοῦ Ξηρίτου, Ἰωάννου τοῦ Γορδάτου, Θεοδώρου τοῦ Ἐφεσίου, Μανουὴλ τοῦ Κολπηνοῦ, καὶ ἀπὸ τῶν τοπικῶν Μανταίας Γεωργίου τοῦ Κακαβᾶ, Λέοντος τοῦ Ἀρμένη, Θεοδώρου τοῦ Μαρτίνου, Θεοδώρου τοῦ Βαρίγου, Κυριακοῦ τοῦ Μουρμουντηνοῦ καὶ ἑτέρων οὐκ ὀλίγων. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοχονηγίτης, παρὼν ἐπὶ τῇ παρούσῃ κρίσει ὡς γράφας ταῦτα μαρτυρῶν ὑπέγραφα †.

XXXIX. 6782—1274, mense ianuario, ind. XII.

Martha Thracesina e filia eius monasterio vendunt arbores et campum.

† Πρατήριον ἔγγραφον τῆς μοναχῆς Μάρθας τῆς Θρακησίνης καὶ τῆς θυγατρὸς αὐτῆς Ἄννης

εἰς δρόας λϛ΄ καὶ τῆς ὑπ' αὐτῶν δεσποζομένης γῆς ἐντὸς τοῦ γονικοῦ αὐτῶν ὑποστατικοῦ πλησίον τοῦ τιμίου Προδρόμου καὶ τῶν οἰκημάτων τοῦ Πετρίτζη καὶ τοῦ Κομνηνοῦ τοῦ Βρανᾶ †.

Σίγνον μοναχ|ῆς Μάρθας Σίγνον Ἄνν|ης τῆς

τῆς Θρακ|ησίνης. γνησίας θυγα|τρὸς αὐτῆς †. Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης ἡμῶν δεσποίνης θεοτόκου ἀειπαρθένου Μαρίας. ἐγὼ Μάρθα μοναχὴ ἡ Θρακησίνα καὶ ἡ γνησία αὐτῆς θυγάτηρ, αἱ καὶ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ἐγχαράξασαι, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων δρυῶν καὶ τοῦ χωραφίου, καθὼς δηλωθήσεται, πᾶσαν τὴν ἐκ τῶν πανευσεβῶν νόμων ἰσχὺν καὶ δύναμιν ἔχουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν, οὐ παρ' ἡμῶν αὐτῶν τῶν πεπρακότων, οὐ παρ' ἑτέρου τινὸς ἰδίου ἢ ξένου καθ' οἱονδήτινα ἔγγραφον ἢ ἄγραφον τρόπον ἢ νομικὴν ἰσχὺν καὶ βοήθειαν, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἀγροικίας ἢ φάκτου ἀγνοίας ἢ ἄλλης τινὸς ἐπιφόγου τῆς τῶν νόμων ἀποτετραμμένης αἰτίας, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ ὁλοψύχῳ ἡμῶν τῇ προθέσει, ἔτι δὲ μετὰ μεμεριμνημένου σκοποῦ χρονίας τῆς διασκέψεως καὶ τῆς συναινέσεως παντὸς τοῦ μέρους ἡμῶν πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ὑπ' αὐτῆς ἡγουμενεύοντα, ἱερομόναχον κῦρ Ἀγάθωνα, καὶ πρὸς τοὺς ὑπ' αὐτὴν ἀσκουμένους ἅπαντας μοναχούς. καὶ γὰρ ἀπὸ τῆς γονικῆς ἡμῶν ὑποστάσεως πιπράσκομεν πρὸς τὴν σεβασμίαν μονὴν δρύας τριάκοντα καὶ ἓξ μετὰ καὶ τοῦ ἐκεῖσε χωραφίου οἵου καὶ ὅσου ὄντος τὸ μεριδικὸν ἡμῶν δίκαιον μετὰ καὶ τοῦ ἀρδευτικοῦ αὐτῶν ὕδατος εἰς ὑπέρπυρα ἑξάγια δεκατρία, ἃ δὴ καὶ λαβόντες ἀπὸ τῶν χειρῶν ἡμῶν εἰς τὰς ἡμῶν χεῖρας ἐνώπιον καὶ τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων, πλησιαστὰς ἔχοντες τούτους· ἀπὸ μὲν βορείου μέρους τὸν τίμιον Πρόδρομον καὶ τὰ οἰκήματα κυροῦ Γεωργίου τοῦ Πετρίτζη, ἤγουν ἀπὸ τοῦ αὔλακος, ἀπὸ δὲ δυτικοῦ μέρους τὸν πανευγενέστατον Κωμ-

νηνὸν τὸν Βρανᾶν, ἀπὸ δὲ ἀνατολικοῦ καὶ πάλιν τὸν Πετρίτζην, ἐπαφίημι δὲ ταῦτα εἰς τὴν μονὴν ἀτελῆ καὶ ἀκαταζήτητα ἀπὸ παντὸς τοῦ μέρους ἡμῶν ὑπὲρ ψυχικῆς ἡμῶν ἕνεκα σωτηρίας. τοίνυν καὶ κατὰ τὴν τῶν ἑκατέρων τῶν μερῶν θέλησίν τε καὶ ἀρέσκειαν παραδεδώκαμεν τὰ τοιαῦτα δένδρα σὺν τῷ ἐκεῖσε χωραφίῳ, ὡς ἂν κατέχῃ αὐτὰ ἡ μονὴ κυρίως, αὐθεντικῶς καὶ μονομερῶς, ἀπαρασπάστως, ἀπαραλείπτως καὶ ἀναφαιρέτως, ἔχειν ἄδειαν ἐπ' αὐτοῖς τὴν μονὴν πωλεῖν, χαρίζειν, ἀνταλλάττειν, ἐκριζοῖν καὶ ἄλλως ὡς δόξει ταύτῃ διὰ βουλῆς καὶ θελήσεως· πάντα μὲν τὰ ἀναγεγραμμένα διὰ μέσον, ὅσα συνεφωνήσαμεν, καὶ ὁμολογοῦμεν ἀποπαύειν ὑμᾶς ἀπὸ παντὸς μέρους καὶ προσώπου συγγενικοῦ καὶ ἀλλοτρίου πειρωμένου διενοχλεῖν ἡμᾶς ἢ ἕτερόν τι πρόκριμα ἐπαγαγεῖν ἕνεκεν τῶν τοιούτων, ἀλλ' ὁμολογοῦμεν τοῦ διατηρεῖν ὑμᾶς ἀνενοχλήτους καὶ ἀζημίους. ἐὰν δέ τις ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι ἢ ἀθετῆσαι τὰ καλῶς καὶ φανερῶς παρ' ἡμῶν ἀπεμποληθέντα, οὐ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλὰ καὶ ζημίᾳ ὑποκεσοῦμεν νομίσματα χρυσᾶ τριάκοντα καὶ ἓξ καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν ἢ ἀρχοντικὴν βοήθειαν καταφεύγοντες. μηνὶ ἰαννουαρίῳ ἰνδ. β' ἔτους ,ςφπβ' ἐνώπιον καὶ τῶν κάτωθεν ὑπογραφάντων μαρτύρων †.

Σίγνον	μάρτυρος	Σίγνον	μάρτυρος
Κωνσταντίνου	τοῦ Ἁλυκάστου.	Λέοντος τ	οῦ Τζουρουλλοῦ.

Σίγνον	μάρτυρος
Κωνσταντ	ίνου τοῦ Δρίμη.

† Ὁ εὐτελὴς διάκονος καὶ νομικὸς Μιχαὴλ ὁ Ληστὴς παρὼν ἐπὶ τῇ παρούσῃ πράσει καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοκυνηγίτης, παρὼν ἐπὶ τῇ παρούσῃ πράσει καὶ αὐτὸς μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

XL. Sine anno, mense septembri, ind. IX.

Michaël Tesaïtes monasterio tradit ecclesiam S. Praecursoris.

† Τὸ ἐκδοτήριον ἔγγραφον Μιχαὴλ ἱερέως τοῦ Τεσαΐτου χάριν τοῦ ναοῦ τοῦ τιμίου Προδρόμου καὶ τῶν ὑπ' αὐτοῦ βελτιωθέντων καὶ προσκυρωθέντων πραγμάτων †.

† Μιχαὴλ ἱερεὺς ὁ Τεσαΐτης οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ἐγὼ Μιχαὴλ ἱερεὺς ὁ Τεσαΐτης, ὁ ἐν τῇ ἀρχῇ τοῦ παρόντος χάρτου οἰκειοχείρως προτάξας, τίθεμαι καὶ ποιῶ τὸ τῆς προσαγωγῆς ἡμῶν γράμμα, ἤγουν τῆς προσενέξεως, ἰδοὺ διὰ τοῦ παρόντος ἡμῶν γράμματος προσήνεγκον πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης. ἐπεὶ γὰρ ὁ πατήρ μου ἐκεῖνος, Ἀλέξιος ἱερεὺς ὁ Τεσαΐτης ἐκδέδωκε τὸν εὐκτήριον οἶκον εἰς τὴν ἄνωθεν δηλωθεῖσαν μονὴν διὰ πλείονα βελτίωσιν καὶ σύστασιν τοῦ τοιούτου ναοῦ καὶ εἰς εὐπρέπειαν τοῦ τόπου, ἐπεὶ καὶ ἀσκεπὴς ἦν ὁ τοιοῦτος ναός, τὴν σήμερον δὲ ἐκδίδωμι καὶ ἐγώ, κἂν εἴ τι ἄρα καὶ ἐβελτίωσα ἐν τῷ τοιούτῳ τόπῳ μετὰ καὶ τοῦ ἐκεῖσε ὄντος ναοῦ τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ μετὰ πάσης τῆς περιουσίας ἡμῶν ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας, ἃ δὴ καὶ καθέξει τῷ μέρει τῆς σεβασμίας μονῆς ἀπὸ τῆς σήμερον, ὡς δεσπότις καὶ κυρία, καὶ ποιεῖν ἐπ' αὐτοῖς τὰ δοκοῦντα αὐτῇ μὴ ἐνοχλουμένῃ παρ' οἱουδήτινος προσώπου ἢ προσγενῶν ἡμῶν ἢ καὶ ἀλλοτρίων, ἐγὼ δὲ οὐ τραπήσομαι πώποτε ἐφ' οἷς ὑπετύπωσα, μήπως κατακριθῶ ὡς ἱερόσυλος, ὡς ὁ Ἀνανίας καὶ ἡ Σαπφείρα· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὰς ἀρὰς ἕξει τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, ζημιωθήσεται δὲ καὶ ὡς πλεονέκτης καὶ ἀθετητὴς τῆς γεγονυίας ἡμῶν πράξεως καὶ τοῦ θεοφιλοῦς σκοποῦ πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα λίτραν μίαν, μὴ εἴς τινα νομικὴν ἢ ἀρχοντικὴν βοήθειαν καταφεύγοντες. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν τῆς προσαγωγῆς ἡμῶν γράμμα ἐνώπιον ἀξιοπίστων μαρτύρων, καὶ ἐπεδόθη τῷ μέρει τῆς σεβασμίας

μονῆς εἰς βεβαίωσιν καὶ ἀσφάλειαν αἰωνίζουσαν. εἰ καὶ ἄνωθεν οὐ δεδήλωται, ἀλλ' οὖν ἐγὼ ἱερεὺς ὁ Τεσσαΐτης ὁ προσκαθήμενος ἐν τῷ τοιούτῳ τόπῳ ἐτέλουν πρὸς τὴν ἄνωθεν δηλωθεῖσαν μονὴν κατ' ἔτος ὑπέρπυρα δύο ἥμισυ. μηνὶ σεπτεμβρίῳ ἰνδ. ἐννάτης †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοκυνηγίτης τὰ, ἄνωθεν δηλούμενα γράψας ὑπέγραψα †.

XLI. 6790—1281, mense novembri, ind. X.

Theodorus Comnenus Branas monasterio donat olivas et quercus.

† Ἕτερον γράμμα προσενέξεως τοῦ Κομνηνοῦ κυροῦ Θεοδώρου τοῦ Βρανᾶ χάριν τῶν ἐλαϊκῶν δένδρων καὶ τῶν δρυῶν, ὧν ἐξωνήσατο ἀπὸ τῶν δηλουμένων ἐν τῷ παρόντι πρατηρίῳ †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Θεόδωρος Κομνηνὸς ὁ Βρανᾶς, οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Κομνηνὸς Θεόδωρος ὁ Βρανᾶς, ὁ ἐν τῇ ἀρχῇ τοῦ παρόντος χάρτου σιγνογραφήσας τίθεμαι καὶ ποιῶ τὸ παρὸν τῆς προσαγωγῆς μου γράμμα, ἤγουν τῆς προσενέξεως, ἑκουσίως καὶ ἀμεταμελήτως καὶ ἀγαθοθελῶς καὶ μεθ' ἱλαρᾶς καὶ καθαρᾶς προαιρέσεως πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ὑπ' αὐτὴν ἡγουμενεύοντα, ἱερομόναχον κῦρ Ἀγάθωνα, καὶ τοὺς ὑπ' αὐτὴν ἀσκουμένους ἅπαντας μοναχούς, καθὼς κατωτέρω δηλωθήσεται· ἰδοὺ διὰ τοῦ παρόντος μου γράμματος προσενέγκω πρὸς τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν δένδρα ἐλαϊκὰ . . . . ἅπερ καὶ εἰσὶ ταῦτα ἐν διαφόροις τόποις καὶ ἔχω αὐτὰ ἐξ ἀγορασίας, ἀπὸ μὲν τοῦ σεβαστοῦ ἐκείνου τοῦ Χρυσοβέργη δένδρα δεκατέσσαρα καὶ δρῦας τρεῖς μετὰ καὶ τοῦ ἐκεῖσε χωραφίου, οἵου καὶ ὅσου ὄντος. ἡ ἐπιτελεία αὐτῶν ὑπέρπυρον ἥμισυ, ἀπὸ τοῦ Γερμενικοῦ δένδρα ἑπτὰ ὑπὲρ ἐπιτελείας αὐτῶν . . . . ἕν, καὶ ἀπὸ τοῦ παπᾶ Μιχαὴλ

τοῦ Τζοκαπίτη τοῦ Καμμαριώτου καὶ Μιχαὴλ τοῦ Κοσκινᾶ δένδρα ἐλαϊκὰ ὑπὲρ ἐπιτελείας αὐτῶν ὑπέρπυρον ἓν καὶ τρίτον, ἃ δὴ καὶ καθέξει ἀπὸ τῆς σήμερον ὡς δεσπότις καὶ κυρία καὶ ποιεῖν ἐπ' αὐτὰ πάντα τὰ δοκοῦντα αὐτῇ μὴ ἐνοχλουμένῃ παρ' οἱουδήτινος προσώπου ἢ προσγενοῦς ἡμῶν ἢ ἀλλοτρίου. ἐγὼ δὲ οὐ τραπήσομαι πώποτε εἰς ἀθέτησιν, ἐφ' οἷς ὑπετύπωσα, μή πως κατακριθῶ ὡς Ἀνανίας καὶ ἡ Σάπφειρα ἱερόσυλος. προσήνεγκον δὲ ταῦτα τῇ καθ' ἡμᾶς σεβασμίᾳ μονῇ ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ τῶν γονέων μου, ὅθεν καὶ ἐπιφωνοῦμαι, ὡς ὅτι ὁ πειραθησόμενος χωρῆσαι πρὸς ἀνατροπὴν τῆς τοιαύτης προσαγωγῆς ἡμῶν, οὐ μόνον ὑποπεσεῖται κατακρίματι καὶ ἀραῖς, ἀλλὰ καὶ ζημιωθήσεται ὡς πλεονέκτης καὶ ἀθετητὴς τῆς γεγονυίας πράξεως καὶ τοῦ θεοφιλοῦς σκοποῦ ὑπέρπυρα λίτρας δύο εἰς τὸ βασιλικὸν βεστιάριον. διά τοι τοῦτο καὶ τὸ παρὸν γράμμα τῆς προσενέξεως ἡμῶν γεγονὸς καὶ πιστωθὲν δι' ἀξιοπίστων μαρτύρων ἐπεδόθη τῇ σεβασμίᾳ μονῇ καὶ τοῖς ὑπ' αὐτὴν μοναχοῖς εἰς ἀσφάλειαν αἰωνίζουσαν. μηνὶ νοεμβρίῳ ἰνδ. ι', ἔτους ,ςψϞ' †.

† Ὁ πριμμικήριος καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοκυνηγίτης, τὸ παρὸν ἐκδοτήριον γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

XLII. 6792—1283, mense novembri, ind. XII.

Gordatae monasterio vendunt domus et vineam.

† Τὸ πρατήριον ἔγγραφον τῶν οἰκημάτων τοῦ Γορδάτου ἐκείνου Θεοδώρου καὶ τῶν ἔγγιστα αὐτῶν ὑποστατικῶν †.

Σίγνον	τῆς συμβίου Θεοδώρας	Σίγνον	Γεωργίου τοῦ
Θεοδώρου	ἐκείνου τοῦ Γορδάτου.	γνησίου α	ὐτῶν υἱοῦ.
Σίγνον	στρατιώτου	Σίγνον	Μαρίας τῆς
Γεωργίου τ καὶ γαμ	οῦ Πετρίτζη βροῦ αὐτῶν.	συμβίου α	ὐτοῦ καὶ θυγατρὸς αὐτῶν †.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Θεοδώρα ἡ σύζυγος ἐκείνου Θεοδώρου τοῦ Γορδάτου καὶ ὁ γνήσιος ἡμῶν υἱός, ἀλλὰ δὴ καὶ ὁ περιπόθητος ἡμῶν γαμβρός, κῦρ Γεώργιος

ὁ Πετρίτζης, καὶ ἡ σύμβιος αὐτοῦ Μαρία, οἱ καὶ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ἐγχαράξαντες, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων οἰκημάτων καὶ τοῦ ἀμπελοπεριβολίου, καθὼς δηλωθήσεται, πᾶσαν τὴν ἐκ τῶν πανευσεβῶν νόμων ἰσχὺν καὶ δύναμιν ἔχουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ὀφείλουσαν, οὐ παρ' ἡμῶν αὐτῶν τῶν πεπρακότων, οὐ παρ' ἑτέρου τινὸς ἰδίου ἢ ξένου καθ' οἱονδήτινα ἔγγραφον ἢ ἄγραφον τρόπον ἢ νομικὴν ἰσχὺν καὶ βοήθειαν, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως καὶ ἀμεταμελήτως, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ ἄλλης τινὸς ἐπιφόγου αἰτίας τῆς τῶν νόμων ἀποτρεπομένης, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ ὁλοψύχῳ ἡμῶν τῇ προθέσει, ἔτι δὲ μετὰ μεμεριμνημένου σκοποῦ, χρονίας τῆς διασκέψεως καὶ τῇ συναινέσει παντὸς τοῦ μέρους ἡμῶν πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ἐν αὐτῇ ἡγουμενεύοντα ἱερομόναχον, κῦρ Κάλλιστον, καὶ πρὸς τοὺς ὑπ' αὐτὴν ἀσκουμένους ἅπαντας μοναχοὺς εἰς τὸν αἰῶνα τὸν ἅπαντα. καὶ γὰρ τὰ γονικὰ καὶ κληρονομικὰ οἰκήματα τοῦ αὐθέντου καὶ ἀνδρός μου ἐκείνου, κυροῦ Θεοδώρου τοῦ Γορδάτου, ἐπεὶ ἠθέλησεν αὐτὰ μετὰ πάσης ἐτάσεως καὶ καθαρᾶς καὶ φανερᾶς προαιρέσεως καὶ ἐποίησε διαθηκῷον γράμμα πρὸς τὴν ἄνωθεν δηλωθεῖσαν μονὴν καὶ ἐπαφῆκε τὰ τοιαῦτα ἐκεῖσε ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας, ἤγουν τὰ ἡμίση τούτων, τὰ δὲ ἡμίση ἀφῆκε τῷ υἱῷ αὐτοῦ, ἠθελήσαμεν καὶ ἡμεῖς, ὅπως διαπράσωμεν τὰ πάντα, ὅσα ἂν καὶ ὦσι, πρὸς τὴν τοιαύτην μονήν· καὶ ἰδοὺ τὴν σήμερον πέπρακα ταῦτα, ὅπερ εὑρίσκεται εἰς μεριδικὸν τοῦ υἱοῦ μου Γεωργίου μετὰ τοῦ γαμβροῦ μου τοῦ Πετρίτζη εἰς νομίσματα χρυσᾶ ἑξάγια εἰκοσιπέντε, ἃ δὴ καὶ λαβόντες τὴν σήμερον ἐγώ τε ἡ δηλωθεῖσα γυνὴ τοῦ Γορδάτου ὑπέρπυρα εἴκοσι καὶ ὁ γαμβρός μου ὁ Πετρίτζης τὰ πέντε ὑπέρπυρα ἐνώπιον τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων. ἔχει δὲ ἡ Λεβουνίνη ἐντὸς τῆς αὐλῆς ὀσπήτιον κεραμόστεγον καὶ χορτοσκεπὲς ἕν, καρύαν μίαν, συκῆν μίαν, ῥοϊδέας δύο καὶ δρύας δύο, ὡσαύτως καὶ ὁ Πετρίτζης εἰς τὰ ἕτερα δένδρα, καρύας, συκᾶς, ῥοϊδέας καὶ ὑποκλήματα, εἰς ταῦτα καὶ μόνα ὀφείλει μερίζειν μετὰ τῆς μονῆς, ἡ μὲν μονὴ μεριδικὰ τρία, ὁ δὲ Πετρίτζης δύο, τὰ δὲ λοιπά, κἂν ὅσα

καὶ ὦσιν, ἔστωσαν εἰς τὴν μονὴν ἀνενόχλητα καὶ ἀκαταζήτητα ἀπὸ παντὸς τοῦ μέρους ἡμῶν. τοίνυν καὶ κατὰ τὴν τῶν ἑκατέρων μερῶν θέλησίν τε καὶ ἀρέσκειαν παραδεδώκαμεν τὰ τοιαῦτα οἰκήματα σὺν τῷ ἀμπελοπεριβολίῳ, οἷα καὶ ὅσα καὶ εἰσίν, ἄνευ μὲν τῶν ἄνωθεν δηλωθέντων, ὡς ἂν κατέχωνται παρὰ τῆς μονῆς εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ἄδειαν ἔχειν ἐπ' αὐτὰ πωλεῖν, χαρίζειν, ἀναλλάττειν καὶ ἄλλως, ὡς δόξει τῇ βουλῇ καὶ θελήσει ταύτης. πάντα μέντοι τὰ ἀναγεγραμμένα μέσον ἡμῶν συμφωνῶ καὶ ὁμολογῶ ἐγὼ Γεώργιος ὁ Πετρίτζης τοῦ ἀποπαύειν ὑμᾶς ἀπὸ παντὸς τοῦ μέρους ἡμῶν καὶ προσώπου συγγενικοῦ καὶ ἀλλοτρίου πειρωμένου διενοχλεῖν ὑμᾶς ἢ ἕτερόν τι πρόβλημα ἐπαγαγεῖν ὑμῖν ἕνεκεν τῶν τοιούτων, ἀλλ' ὁμολογῶ τοῦ διατηρεῖν ὑμᾶς ἀνενοχλήτους καὶ ἀζημίους· ἐὰν δέ τις ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς καὶ φανερῶς παρ' ἡμῶν ἀπεμποληθέντα, οὐ μόνον οὐ μὴ εἰσακουόμεθα, ἐφ' οἷς ἂν ἔχωμεν λέγειν, ἀλλὰ καὶ τὰς ἀρὰς ἕξομεν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων καὶ ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα λίτρας δύο καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν ἢ ἀρχοντικὴν βοήθειαν καταφεύγοντες ἐνώπιον καὶ τῶν κάτωθεν ὑπογραφάντων μαρτύρων. μηνὶ ὀκτωβρίῳ ἰνδ. ιβ' ἔτους ,ςϕϟβ' †.

Σίγνον	μάρτυρος	Σίγνον	μάρτυρος τοῦ	Σίγνον	μάρτυρος
Λέοντος το	ῦ Τζουρουλλοῦ.	. . . τοῦ Καντα . . . Γα	Κομνηνοῦ κουζηνοῦ ζενε . .	Λέοντος τ	οῦ Ἀμηραλλοῦ.

Σίγον	μάρτυρος	Σίγνον	μάρτυρος
Θεοδώρο	υ τοῦ Μονομάχου.	στρατιώ χυροῦ Νικηφ	του όρου τοῦ Φαρίσσ . . .

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοκυνηγίτης, παρὼν ἐπὶ τῇ παρούσῃ πράσει καὶ αὐτὸς καὶ μαρτυρῶν γράψας ὑπέγραψα †.

XLIII. Sine anno et mense.

Georgius Caloeidas monasterio cedit olivas.

† Τὸ ἔγγραφον τῶν ἐλαιῶν τοῦ προκαθημένου ἐκείνου σεβαστοῦ κυροῦ Γεωργίου τοῦ Καλοειδᾶ †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, προκαθήμενος Σμύρνης Γεώργιος ὁ Καλοειδᾶς, οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνον | Ζωῆς	Σίγνον τῆ | ς ἑτέρας	Σίγνον | Εἰρήνης
τῆς θυγατ | ρός αὐτοῦ.	θυγατρὸς αὐτο | ῦ Θεοδώρας.	τῆς σύμ | βίου αὐτοῦ.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου, ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Γεώργιος προκαθήμενος τῆς θεοσώστου πόλεως Σμύρνης ὁ Καλοειδᾶς, ὁ καὶ ἄνωθεν οἰκειοχείρως προτάξας τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον φανερὰν καὶ καθαρὰν ἀπόδοσιν καὶ ἀσφάλειαν τίθεμαι καὶ ποιῶ ἑκουσίως καὶ ἀμεταμελήτως, καθαρῶς καὶ ἀπεριέργως καὶ ἐκτὸς παντὸς τρόπου· οὐ γὰρ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ ἰδιωτίας ἢ ἄλλης τινὸς ἐπιψόγου τῆς τῶν νόμων ἀποτετραμμένης αἰτίας, ἀλλὰ σὺν προθυμίᾳ τε πάσῃ μετὰ μεμεριμνημένου σκοποῦ καὶ χρονίας τῆς διασκέψεως πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῶν Λέμβων καὶ τὸν ταύτης καθηγούμενον, κῦρ Κάλλιστον, καὶ τὴν ὑπ' αὐτὸν ἱερὰν ἀδελφότητα· καὶ γὰρ ἐπεὶ πρὸ χρόνων δέδωκα δι' ἐγγράφου μου ἀσφαλείας πρὸς τὴν τοιαύτην βασιλικωτάτην μονὴν τὸ διαφέρον ἡμῖν μετόχιον τοῦ ἁγίου Γεωργίου τοῦ . . ., ἠθέλησε δὲ ὁ περιπόθητος ἐξάδελφος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, πρωτοσεβαστὸς καὶ πρωτοβεστιάριος καὶ μέγας δομέστικος ἐπαρεῖν τὸ τοιοῦτον μετόχιον, βιασθεὶς κἀγὼ διὰ τὴν δυναστείαν καὶ τὸ μεγαλεῖον τοῦ τοιούτου ἀνθρώπου, διὰ γραφῆς μου παραδέδωκα τὸ τοιοῦτον πρὸς ἐκεῖνον, ἡ δὲ σεβασμία καὶ ἁγία βασιλικὴ μονὴ ἀποπεμφθεῖσα ἀπὸ τοῦ μετοχίου ἐζήτει δοθῆναι πρὸς αὐτὴν τὴν ἔξοδον καὶ τὴν καινοτόμησιν ἣν κατεβάλετο ἐν Κωνσταντινουπόλει δι' ἐμέ, διὰ δὲ τὴν ἐνοῦσάν μοι ἀπορίαν οὐκ ἠδυνήθην ἀποδοῦναι ταῦτα τὰ τῆς ἐξόδου, καὶ παραδέδωκα ἐνεχύρως τὰ χωράφιά

μου τὰ ἐν τῷ κάμπῳ τοῦ Μεμανιωμένου τοῦ Ἀόλακίου, τὰ καὶ πλησίον τῶν χωραφίων τῶν ἐξωνηθέντων παρὰ τῆς ἀνεψιᾶς μου τῆς Σεβαστιάνης τῇ ἡμετέρᾳ μερίδι, καὶ ἐκρατοῦντο παρὰ τῶν μοναχῶν τὰ δηλωθέντα χωράφια, ἀρτίως οὖν παρακλητεύσας τὸν πανοσιώτατον καθηγούμενον καὶ τοὺς ὑπ' αὐτὸν ἀδελφοὺς ἕνεκεν τῶν τοιούτων χωραφίων, τῆς ἡμῶν παρακλήσεως προσηκάμενοι τὰ μὲν χωράφια ἀπέλυσαν, παραδέδωκα δὲ αὐτοῖς ἀντὶ τῶν χωραφίων ἐλαϊκὰ δένδρα ἐν τῇ Μανταίᾳ δεκατρία πλησίον τῶν δένδρων τῆς αὐτῆς μονῆς, ὅπως κατέχῃ ταῦτα καὶ νέμηται ἡ σεβασμία καὶ ἁγία μονὴ τῶν Λέμβων εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους καὶ τὴν ἐξ αὐτῶν ἀποφέρηται πρόσοδον, μὴ ἀνακαλεσθησομένου μου πώποτε ἐπ' αὐτοῖς νομὴν μερικήν τινὰ ἢ ὁλόκληρον ἢ τὶς τῶν προσγενῶν ἡμῶν τῶν ἐγγὺς καὶ τῶν πόρρω ὄχλησιν ἐπαγαγεῖν τῇ σεβασμίᾳ καὶ ἁγίᾳ μονῇ τῶν Λέμβων . . . .

Reliqua desunt.

XLIV. 6795—1287, mense aprili, ind. I.

Charta de quadam commutatione.

Initium deest.

. . . . πρὸς τῷ μὴ μόνον οὐ μὴ εἰσακούεται, ἀλλ' ἵνα ἐπισπᾶται καὶ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν τῆς ἀνταλλαγῆς ἡμῶν ἔγγραφον γεγονὸς ἐπεδόθη τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ καὶ ἁγίᾳ τῶν Λέμβων δι' ἀσφάλειαν. μηνὶ ἀπριλλίῳ ἰνδ. α' ἔτους ,ςψϞε' †.

† Ὁ εὐτελὴς διάκονος καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Πολύκαρπος ὁ τοῦ Δωροθέου, τὴν παροῦσαν καθαρὰν καὶ φανερὰν παράδοσιν μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

XLV. Sine anno, mense februario, ind. IV.

Constantinus Ducas Nestongus donationem domini Adam confirmat.

† Γράμμα τοῦ παρακοιμωμένου τῆς μεγάλης σφενδόνης στέργον τὸ ἐκδοτήριον τοῦ σὺρ Ἀδάμ †.

† Ἐπεὶ τὰ ἐλαϊκὰ δένδρα τὰ διακείμενα ἐν τῇ τοποθεσίᾳ τὰ ἀπὸ τοῦ σὺρ Ἀδὰμ δοθέντα ἐν τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων καὶ μετὰ τοῦτον πάλιν οἱ κατὰ καιροὺς κυριεύοντες τὰ τοῦ τόπου ἔστεργον τὴν τοῦ σὺρ Ἀδὰμ ἐκείνου δωρεὰν, στέργω καὶ ἐγὼ ταύτην, ὡς ἵνα ἔχῃ ἡ σεβασμία μονὴ τὰ ἐλαϊκὰ δένδρα ψυχικῆς μου ἕνεκα σωτηρίας, μὴ ἔχειν τὴν τυχοῦσαν διάστιξιν ἀπὸ τῶν διενεργούντων ὑπὲρ ἐμοῦ. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα, καὶ ἐπεδόθη τῇ δηλωθείσῃ μονῇ εἰς ἀσφάλειαν. μ η ν ὶ φ ε υ ρ ο υ α ρ ί ῳ ἰ ν δ. δ′ †.

† Ὁ δ ο ῦ λ ο ς τ ο ῦ κ ρ α τ α ι ο ῦ κ α ὶ ἁ γ ί ο υ ἡ μ ῶ ν α ὐ θ έ ν τ ο υ κ α ὶ β α σ ι λ έ ω ς Κ ω ν σ τ α ν τ ῖ ν ο ς Δ ο ύ κ α ς ὁ Ν ε σ τ ό γ γ ο ς †.

XLVI. Sine anno et mense.

Monasterio venduntur olivae et quercus.

† Τ ὸ π ρ α τ ή ρ ι ο ν ἔ γ γ ρ α φ ο ν τ ῶ ν ἐ λ α ϊ κ ῶ ν δ έ ν δ ρ ω ν τ ο ῦ Γ α τ α ν ᾶ Γ ε ω ρ γ ί ο υ κ α ὶ Κ ω ν σ τ α ν τ ί ν ο υ τ ο ῦ Δ ι ο σ ο ρ η ν ο ῦ †.

† Ἡμεῖς οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς κάτωθεν ἐγχαράξαντες τὴν παροῦσαν ἔγγραφον καθαράν τε καὶ τελείαν πρᾶσιν τιθέμεθα καὶ ποιοῦμεν πρὸς τὴν σεβασμίαν ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων εἰς τὰ γονικὰ ἡμῶν ἐλαϊκὰ δένδρα, ποσούμενα δέκα καὶ δρῦν ἕνα ἐπὶ τιμήματι ὑπέρπυρα δέκα κατενώπιον πολλῶν μαρτύρων καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, ἱερομονάχου Θεοδοσίου †.

† Θ ε ο δ ό σ ι ο ς ἱ ε ρ ο μ ό ν α χ ο ς μ α ρ τ υ ρ ῶ ν ὑ π έ γ ρ α ψ α †.

XLVII. Sine anno, mense februario, ind. II.

Manuel Ducas monasterio confirmat liberam possessionem.

† Γ ρ ά μ μ α τ ο ῦ Δ ο ύ κ α κ υ ρ ο ῦ Μ α ν ο υ ὴ λ τ ο ῦ Δ ο ύ κ α χ ά ρ ι ν τ ῶ ν χ ω ρ α φ ί ω ν τ ο ῦ Π ο τ α μ ο ῦ κ α ὶ τ ῆ ς Μ ο ν ο π ε ύ κ ο υ †.

† Ἐπεὶ συνεδριάσθημεν μετὰ τοῦ καθηγουμένου καὶ τῶν μοναχῶν τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου μου .... καὶ θεομή-

τορος τῆς Λεμβιωτίσσης, ἔνθα καὶ ἐγὼ ἔχω τὴν πληροφορίαν μου, ἐλπίζω δὲ βραβευθῆναί μοι δι' αὐτῆς καὶ τὴν σωτηρίαν μου, καὶ στηλλώσαμεν τὰ χωράφια τοῦ Ποταμοῦ μετὰ τῆς Μονοπεύκου, ἅπερ ἀπέλυκα ἀνενόχλητα πάντη καὶ ἀτάραχα, μὴ ἔχων τις ἄδειαν ἀπὸ τοῦ μέρους ἡμῶν, ὅπερ ἀπεύχομαι, μηδὲ γένοιτο ἢ ἀπὸ τῶν τέκνων ἡμῶν ἢ ἀπὸ τῶν ἀνθρώπων ἢ ἀπὸ προσγενῶν ἡμῶν ἢ αὐτὸς ἐγὼ τοῦ ἐνοχλῆσαι τὴν τοιαύτην μονὴν ἢ τὸ μέρος αὐτῆς ἕνεκα τῶν τοιούτων χωραφίων· ὅστις δὲ βουληθῇ ἐνοχλῆσαι αὐτοὺς ἢ παρασαλεῦσαι τὰς στήλλας, ἃς ὥρισα ἐγὼ καὶ κατεστήλλωσαν, ἵνα ἐπισπᾶται τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ ἀθλίου Ἰούδα. διὰ γὰρ τοῦτο ἐγεγόνει τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῷ τιμιωτάτῳ καθηγουμένῳ, κυρῷ Καλλίστῳ, καὶ τοῖς ὑπ' αὐτὸν ἀσκουμένοις μοναχοῖς τῆς διαληφθείθείσης σεβασμίας μονῆς εἰς ἀσφάλειαν καὶ βεβαίωσιν. μηνὶ φευρουαρίῳ ἰνδ. δευτέρας †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μανουὴλ ὁ Δούκας †.

XLVIII. Sine anno et mense.

Donatio Manuelis Ducae.

† Ἕτερον γράμμα τοῦ αὐτοῦ Δούκα χάριν τῶν σιδήρων †.

Ἡμέτερε ἄνθρωπε, κῦρ Μιχαὴλ Χαματηνέ. γίνωσκε, ὅτι ἔταξα, ἵνα ἐπιδιδῶ κατ' ἔτος πρὸς τοὺς μοναχοὺς τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης σίδηρα κομμάτια τεσσαράκοντα, καὶ μέλλουσιν ἔρχεσθαι ἵνα ἐπαίρωσι ταῦτα, καὶ ἐπιδίδετε αὐτὰ πρὸς αὐτοὺς κατὰ μάρτιον, καὶ μηδὲν προβάλλεσθε τινὰ ἀφορμήν, ἢ λείψῃ ἀπὸ τῶν τεσσαράκοντα κομμάτων ἓν κομμάτιον. καὶ οὐ συμφέρει σοι, ἀλλὰ οὕτως θέλω, ἵνα ἐπιδιδῆτε πρὸς αὐτοὺς κατ' ἔτος κατὰ τὸ ἀπαράλειπτον, καὶ ποίησον οὕτως ἀνυπερθέτως, καθὼς γράφω ὑμῖν. φυλαχθείης. μηνὶ μαρτίῳ ἰνδ. β' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μανουὴλ ὁ Δούκας †.

XLIX. 6782—1274, (mense iulio), ind. II.

Monasterio traditur praedium S. Georgii.

† Τὸ ἐκδοτήριον τῆς μοναχῆς Μάρθας τῆς Θρακησίνης καὶ τοῦ γαμβροῦ αὐτῆς καὶ τῆς θυγατρὸς χάριν τοῦ μετοχίου τοῦ εἰς τὰ Σκουρβούλλα ἁγίου Γεωργίου †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Κωνσταντῖνος ὁ Δούκας ὁ Συναδηνός, οἰκείᾳ χειρὶ προέταξα.

Σίγνον | Μάρθας μοναχῆς	Σίγνον | Ἄννης
τῆς Θρακη | σίνης.	Ἀγγελίνης τῆ | ς θυγατρὸς τοῦ Θρακήσου †.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ἐπὶ τῆς βασιλείας τῶν εὐσεβεστάτων καὶ θεοστέπτων βασιλέων ἡμῶν, Μιχαὴλ μεγάλου βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων Κομνηνοῦ τοῦ Παλαιολόγου καὶ νέου Κωνσταντίνου καὶ Θεοδώρας τῆς εὐσεβεστάτης αὐγούστης καὶ τῶν περιποθήτων καὶ θεοστεφῶν υἱῶν, Ἀνδρονίκου τοῦ εὐσεβεστάτου βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων Κομνηνοῦ τοῦ Παλαιολόγου καὶ Ἄννης τῆς εὐσεβεστάτης αὐγούστης, ἡμεῖς οἱ ἄνωθεν τοῦ παρόντος ὕφους, ὁ μὲν αὐτοχείρως προτάξας, αἱ δὲ οἰκειοχείρως σιγνογραφήσασαι τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν τὴν παροῦσαν ἐκδοτηριακὴν ἡμῶν ἔγγραφον τιθέμεθα καὶ ποιοῦμεν μετὰ ἀποχῆς καὶ ἀποτάξεως καθαρὰν, ἀληθῆ, βεβαίαν, αὐτοθελῆ, ἀμετάτρεπτον, ἀναλλοίωτον καὶ κατὰ παντὸς τρόπου καὶ καθόλου ἐκδοτήριον καὶ τελείαν ἀπεντεῦθεν ἤδη σωματικὴν τοῦ κατωτέρω δηλωθησομένου πράγματος τῆς μονῆς ἡμῶν τῆς ἐκ γονικῆς κληρονομίας περιελθούσης ἡμῖν μετὰ παντὸς δικαίου καὶ προνομίου αὐτῆς, ἑκουσίᾳ δὲ τῇ γνώμῃ καὶ αὐτοπροαιρέτῳ βουλῇ καὶ θελήσει, καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ δυναστείας ἢ περιεργίας ἢ ῥᾳδιουργίας ἢ χλεύης ἢ ἑτέρας ὁποιασοῦν ἐπιψόγου αἰτίας τῆς τῶν νόμων ἀποτρεπομένης, χωρὶς δὲ τῆς οἱασοῦν περινοίας καὶ δολιότητος, μετὰ δὲ πλείστης ἡμῶν τῆς προθυμίας καὶ μεγίστης ἀποδοχῆς καὶ ὁλοψύχου προθέσεως καὶ μετὰ καθολικοῦ καὶ νομίμου δεφενσίωνος

καὶ μεμεριμνημένου σκοποῦ καὶ σκέψεως ἠκριβωμένης, τῆς μηδέποτε καιρῷ ἢ χρόνῳ παρασαλευθῆναι ὀφειλούσης, οὐ παρ' ἡμῶν αὐτῶν τῶν ἐκδιδομένων ταύτην, οὐ παρ' ἑτέρου συγγενικοῦ προσώπου ἢ καὶ ἠλλοτριωμένου, ἀλλὰ πᾶσαν ἰσχὺν τὴν ἐκ τῶν φιλευσεβῶν νόμων ὀφείλουσαν ἔχειν ἐς ἀεί· καὶ γὰρ ἐπειδὴ ἐκ τῶν καλῶς κειμένων θείων νόμων ἄδεια καὶ ἐξουσία δεδώρηται εἰς τὸ τὰ οἰκεῖα πράγματα, οἷς ἂν ἐθέλειεν, ἀποποιεῖσθαι καὶ ὃν ἂν θέλῃ τρόπον, κατὰ τοῦτο καὶ ἡμεῖς οἱ ἄνωθεν τοῦ παρόντος ἐκδοτηριακοῦ ἐγγράφου, ὁ μὲν προτάξας, αἱ δὲ σιγνογραφήσασαι, μὴ δυνάμενοι διενεργεῖν τὰ τῆς μονῆς ἡμῶν τοῦ ἐν ἁγίοις μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου τῆς καὶ οὕτω πως ἐγχωρίως καλουμένης τὰ Σκουρβούλλα, ὡς (τῆς) μονῆς ὂν τὸ τοιοῦτον πρᾶγμα καὶ ὡς τῷ θεῷ ἐξ ἀνέκαθεν δεδομένου καὶ πρὸς κριματισμὸν δικαιώτατον ἑαυτοὺς καθυποβάλλοντες καὶ θεήλατον ὀργισμὸν περισυνάπτοντες δι' αὐτοῦ, πλειόνως δὲ δεδιότες, μή πως συμμετάσχωμεν καὶ ἡμεῖς τῶν ἐκφωνηθέντων θείων ῥημάτων παρὰ τοῦ πρωτοκορυφαίου ἐν ἀποστόλοις Πέτρου ἐπί τε τῷ Ἀνανίᾳ καὶ τῇ Σαπφείρᾳ, ἐκδιδῶμεν τῇ εἰρημένῃ ἡμῶν μονῇ ἐπὶ τῇ σεβασμιωτάτῃ καὶ βασιλικῇ μονῇ τῆς ὑπεράγνου θεομήτορος ἡμῶν τῆς Λεμβιωτίσσης καὶ τῷ καθηγουμενεύοντι ταύτῃ, θειοτάτῳ ἱερομονάχῳ κυρῷ Ἰωάννῃ, καὶ τοῖς ὑπ' αὐτὴν ἅπασιν ὁσιωτάτοις, μεθ' ὧν κέκτηται πραγμάτων, ὁποίων καὶ ὅσων ὄντων τῶν ἔκπαλαι προσενεχθέντων καὶ προσκυρωθέντων ταύτῃ χωραφιαίων τοπίων, ἀμπελώνων, ἐλαϊκῶν δένδρων καὶ ἀλλοίων, ὥσπερεὶ καὶ περιορίζονται. ἄρχονται τοίνυν ἀπὸ τοῦ εἰς τὴν Νέαν κρημνοῦ, καταβαίνουσι τὸν ἐκεῖσε ῥύακα, ζητοῦσι κάτωθεν τὸν μέγαν πρῖνον, εἰσέρχονται τὴν τῆς πανηγύρεως τοῦ ἁγίου Παντελεήμονος λεωφόρον ὁδὸν τὴν διακειμένην ἄνωθεν τῆς λίμνης, ἀπέρχονται δ' ἐκ βορείου μέρους τὴν τῆς δηλωθείσης πανηγύρεως ἀγοράν, ἅπερ καὶ ἀποκαταντῶσιν εἰς τὴν ἀπὸ τοῦ Νυμφαίου κατερχομένην ὁδόν, καὶ ἀκουμβίζουσι πρὸς τὴν Χασκαυγήν, ἀπὸ ταύτης ἀνέρχονται μέρος ἀνατολικώτερον καὶ ὑπάγουσι τὴν μεσαῖαν καχληκίαν καὶ ἀποκαταντῶσιν εἰς τὴν τοῦ Οὔβου ῥάχιν, ἤγουν τοῦ ἁγίου Ἠλίου, κλείουσι τὰ εἴσωθεν τοῦ τοιούτου Οὔβου καὶ φθάνουσιν ἕως ταυτησὶ τῆς μονῆς τοῦ ἁγίου Γεωργίου. ἐκ νοτίου μέρους ἀπέρχονται εἰς τὸν Πιτορᾶν καὶ ἀκουμβίζουσιν εἰς τὸν προρρηθέντα κρημνὸν τῆς Νέας, ἔνθα καὶ ἤρξαντο. ἀμέλει καὶ διὰ τοῦ ἐκδοτηριακοῦ ἡμῶν γράμματος

ἀναλαβόντες τήν τε μονὴν καὶ τὰ προσόντα ταύτην πράγματα, καθώσπερ παρεδηλώσαμεν· ὀφείλουσι δεσπόζεσθαι παρὰ τῆς προαναπεφωνημένης σεβασμιωτάτης βασιλικῆς μονῆς καὶ τῶν ὑπ' αὐτὴν πανοσίων μοναχῶν ἐκ τοῦ παρόντος ἐπὶ τελείᾳ καὶ ἀναφαιρέτῳ δεσποτείᾳ καὶ κυριότητι εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς αἰῶνας ἀπαρασπάστως, ἀδιασείστως, ἀνενοχλήτως, ἀνεγκλήτως καὶ ἀνεπιφωνήτως, δι' ἧς καὶ ἐπεδόθησαν χάριν αὐτῆς. ὁ δὲ πρὸς ἀναίρεσιν βουληθῇ τοῦ παρόντος ἡμῶν ἐκδοτηρίου ἐγγράφου καὶ τὴν μονὴν ταύτην θελήσειεν ἀποσπάσασθαι, ἀφ' ἧς ἐξέδοτο παρ' ἡμῶν, ὁ τοιοῦτος, ὁποῖος ἂν καὶ εἴεν, κληρονόμος γένοιτο ταῖς ἀραῖς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα καὶ μετὰ τῶν εἰπόντων· ἆρον, ἆρον, σταύρωσον τὸν τοῦ θεοῦ υἱόν. ἐπὶ τούτῳ καὶ τὴν παροῦσαν ἐκδοτηριακὴν ἡμῶν ἔγγραφον πεποιήκαμεν, ἥτις καὶ δι' ἀσφάλειαν πιστωθήσεται παρὰ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, τοῦ μητροπολίτου Σμύρνης ὄπισθεν, παρὰ δὲ τῶν ἐκκρίτων κληρικῶν τῆς αὐτῆς ἁγιωτάτης μητροπόλεως κάτωθεν. ἐγράφη δὲ ἡ παροῦσα ἐκδοτηριακὴ ἔγγραφος παρ' ἐμοῦ τοῦ σακελλίου τῆς αὐτῆς ἁγιωτάτης μητροπόλεως, Ἀλεξίου τοῦ Μαρούλλη. τῷ ,ϛψπ' δευτέρῳ ἔτει ἐπὶ δευτέρᾳ ἰνδ. †.

† Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Στέφανος ὁ Καθαρός, καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα †. † Ὁ ἀχρεῖος ἐν ἱερεῦσι καὶ οἰκονόμος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Δαυὶδ ὁ Ἀληθινός, τὴν παροῦσαν ἔκδοσιν τῶν ὑποστατικῶν πραγμάτων τῆς μονῆς τοῦ ἁγίου Γεωργίου μαρτυρῶν ὑπέγραψα †. † Ὁ μέγας σακελλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Γεώργιος ὁ Καθαρός, τὴν παροῦσαν ἔκδοσιν καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα †. † Ὁ μέγας σκευοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Κωνσταντῖνος ὁ Σταφήδακας, τὴν παροῦσαν, ἔκδοσιν καὶ αὐτὸς ὑπέγραψα †. † Ὁ πρωτέκδικος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Κωνσταντῖνος ὁ Μακρηνός, τὴν παροῦσαν ἔκδοσιν καὶ αὐτὸς ὑπέγραψα †. † Ὁ πρωτονοτάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης,

Γεώργιος ὁ Χρυσοβέργης, καὶ αὐτὸς ὑπέγραφα †. † Ὁ κανστρίσιος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Δωρόθεος, καὶ αὐτὸς ὑπέγραφα †. †. Ὁ πρωτοπαπᾶς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Μιχαὴλ ὁ Βαρυπάτης, καὶ αὐτὸς ὑπέγραφα †. † Ὁ λογοθέτης τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Μιχαὴλ ὁ Λαπαρδᾶς, καὶ αὐτὸς μαρτυρῶν ὑπέγραφα †. † Ὁ ἄρχων τῶν ἐκκλησιῶν τῆς αὐτῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰσίδωρος ὁ Φαλάγγουλας, καὶ αὐτὸς ὑπέγραφα †.

Σίγνον | Λέοντος τοῦ
Τζουρο | ύμη.

Σίγνον | Καλλινίκου
μοναχοῦ τ | οῦ Σκουλλάτου.

Σίγνον | Ἰωάννου
τοῦ Κοντο | πούλου.

Σίγνον | Νικήτα
τοῦ Ἰωσήπ | που.

Σίγνον | Μιχαὴλ
τοῦ | Λησ(?)τοῦ.

Σίγνον | Γεωργίου
τοῦ Με | λασσίτου.

Σίγνον | Νικήτα
τοῦ | Φιλάγρου.

† Ὁ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ταβουλλάριος, Ἀλέξιος ὁ Μαρούλλης, τὴν παροῦσαν ἐκδοτηριακὴν ἔγγραφον κατὰ θέλησιν τῶν ἐκδεδωκότων τῇ διαληφθείσῃ μονῇ μετὰ τῶν πραγμάτων αὐτῆς γράψας καὶ μαρτυρῶν ὑπέγραφα †.

† Εἶχε δὲ καὶ ὄπισθεν σεσημειωμένον οὑτωσίν· τὸ παρὸν ἐκδοτήριον ἔγγραφον προκομισθὲν τῇ ἡμῶν μετριότητι παρὰ τῶν ἐκτὸς ἐκθεμένων, ὡς καὶ κατὰ θέλησιν τῆς ἡμῶν μετριότητος γεγονὸς ἐπεγράφη καὶ παρ' αὐτῆς βεβαιώσεως ἕνεκα. μηνὶ ἰουλίῳ ἰνδ. β' †.

† Ὁ μητροπολίτης Σμύρνης καὶ ὑπέρτιμος Ἰωάννης †.

† Εἶχε καὶ ἀπὸ τοῦ ἑτέρου μέρους καὶ εἰς τὴν κόλλησιν· διὰ τοῦ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἀλεξίου τοῦ Μαρούλλη †.

L. 6782—1274, mense iulio, ind. II.

Ioannes, metropolita Smyrnae, donationem praedii S. Georgii confirmat.

† Τὸ ἐκδοτήριον ἔγγραφον, ὅπερ ἐγεγόνει τῇ παρούσῃ βασιλικῇ μονῇ τῶν Λέμβων παρὰ τοῦ μητροπολίτου Σμύρνης, ὡς εἰς μετόχιον παραδοθεὶς αὐτῇ ὁ ναὸς καὶ τὰ πράγματα τοῦ ἁγίου Γεωργίου τοῦ εἰς τὰ Σκουρβουλλά †.

† Ἡ ὑπὸ τὴν ὑφ' ἡμᾶς ἐπαρχίαν ἀνατεθειμένη σεβασμία μονὴ τοῦ ἐν ἁγίοις μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου, ἡ καὶ ἐγχωρίως πως καλουμένη τὰ Σκουρβουλλά, καὶ ἐν τῇ τοποθεσίᾳ τῆς Μανταίας διακειμένη ἔφθη μὲν ὑποπεσεῖν ἀπορίᾳ καὶ κενοτομίᾳ ὅτι πολλῇ, οἷα τὰ τοῦ κόσμου ῥᾷστα καὶ ἀσύστατα, κἀντεῦθεν ἐκ ταύτης καὶ ἀφανισμῷ περιπεπτωκέναι συμβαίνει τελείῳ· ἡ δέ γε αἰτία, ὡς φέρε εἰπεῖν ἀπὸ τῶν κατὰ καιροὺς ἀφελῶς προϊσταμένων, τῇ τοιαύτῃ μονῇ καθυπεβλήθη· τὰ τοιαῦτα ἡ μετριότης ἡμῶν τεθεωμένη καὶ δεινῶς ἐκ τούτων πιεζομένη καὶ παθαινομένη καὶ ἐκ μέσης ὅ φασι καρδίας τιτρωσκομένη καὶ δακνομένη, οὐ μὲν οὖν δι' ἑτέραν ἀπώλειαν καὶ στενοχωρίαν, ἀλλ' ἐπὶ πλέον, ὡς τοὺς θεοκραταιο(τά)ους καὶ θεοπροβλήτους ἁγίους ἡμῶν αὐθέντας καὶ βασιλεῖς ἐστερῆσθαι τὴν ἐπωφειλομένην διηνεκῶς εἰς αὐτοὺς πᾶσι χριστωνύμοις εὐχὴν, ἀπὸ δὲ τῆς μονῆς ταυτησὶν καθόλου ἐστερημένους, ἀλλὰ δὴ καὶ τὸ θεοκυβέρνητον τούτων στρατόπεδον, ἀμέλει καὶ κατὰ σκοπὸν κρείττονα τὰ περὶ τῆς ἀναγωγῆς τῆς μονῆς ταύτης θεμένη ἡ μετριότης ἡμῶν, οὐκ ἐφωράσατο μείζοναι ἢ τὸ ἀποδοῦναι ταύτῃ ὡς εἰς μετόχιον ἐπὶ τῇ σεβασμιωτάτῃ βασιλικῇ μονῇ τῆς ὑπεράγνου μου θεομήτορος τῆς οὕτω πως ὀνομαζομένης Λεμβιωτίσσης καὶ πρὸς τὸν καθηγουμενεύοντα ταύτην θειότατον ἱερομόναχον, κῦρ Ἰωάννην, ἀλλὰ δὴ καὶ πρὸς τοὺς ὑπ' αὐτὴν ὁσιωτάτους μονάζοντας· ἔγνω γὰρ ἡ μετριότης ἡμῶν τετυχηκέναι τὴν εἰρημένην μονὴν ἐξ αὐτῶν προκοπῆς ὅτι πλείστης καὶ βελτιώσεως. διά τοι τοῦτο καὶ ἀποδίδωσι ταύτῃ τῇ μονῇ, μεθ' ὧν ἀνέκαθεν ἔχει χωραφιαίων τοπίων, ἀμπελώνων, ἐλαϊκῶν δένδρων, δρυῶν καὶ λοιπῶν εἰδῶν, ὡσπερεὶ καὶ περιορίζεται, ἤτοι τὰ ἀπὸ τῆς λεωφόρου ὁδοῦ τῆς πανηγύρεως τοῦ ἁγίου μεγαλομάρτυρος

Παντελεήμονος ἄνωθεν διακείμενα, οἷα καὶ ὅσα εἰσί, μετὰ καὶ τῶν ἔκπαλαι διαφερόντων ταύτῃ τῇ μονῇ δρυῶν καὶ τῶν νεωστὶ προσκυρωθέντων καὶ τῶν ἀλλοτρόπως προσενεχθέντων ἀλλοίων πραγμάτων, καθώσπερ ἀριδηλοτέρως παρίστησιν ὁ πρὸς αὐτοὺς γεγονὼς ἔγγραφος χάρτης τῶν κτητορευόντων τῇ τοιαύτῃ μονῇ μετὰ καὶ τῶν ὑπὸ τὸν θεῖον τουτονὶ ναὸν ἐμπεριειλημμένων βίβλων καὶ ἱερῶν ὁποίων καὶ ὄντων· ὀφείλουσι δὲ ὅ τε τιμιώτατος καθηγούμενος καὶ οἱ ὑπ' αὐτὸν ὁσιώτατοι μοναχοὶ κεκτῆσθαι ἐπὶ ταύτῃ τῇ μονῇ ἱερομόναχον ἕνα ἀναπόσπαστον, ὡς ἂν ἀδιαλείπτως καὶ διηνεκῶς τῆς προσηκούσης τῷ αὐτῆς θείῳ τεμένει ψαλμῳδίας καὶ λυχνοκαΐας περιποιῆται καὶ ἐν ταῖς ἑωθιναῖς καὶ ἑσπεριναῖς αὐτοῦ ἁγιστείαις καὶ λοιπαῖς λειτουργίαις ὑπερεύχηται ὁλοσχερῶς τῶν θεοπροβλήτων καὶ οὐρανοφρόνων ἁγίων ἡμῶν αὐθεντῶν καὶ αὐτοκρατόρων καὶ τοῦ θεοφρουρήτου αὐτῶν στρατεύματος ποιούμενον, ὡς εἰκός, μνείαν καὶ ὑπὲρ τῆς ἡμῶν μετριότητος καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος, ἔνθεν τοι καὶ οὐχ ἕξει ἀδείας τις παρενοχλῆσαι ἢ παρεμποδίσαι ἢ καὶ ἐς ὕστερόν ποτε θορυβῶσαι καὶ ἀναχαιτίσαι τοὺς εἰρημένους μοναχούς, ἵνα μήπως ὁ πειραθεὶς δι' ὄχλου ποιῆσαι τοὺς τοιούτους, ὁποῖος ἂν καὶ εἴεν, τῷ παρὰ τοῦ θεοῦ ἀφύκτῳ κατακρίματι ἐπισπάσηται καὶ ταῖς ἀραῖς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ ὑπεύθυνος γένοιτο σὺν τῷ ἡμετέρῳ ἀφορισμῷ καὶ τῇ κατάρᾳ· οἱ δέ γε μεθ' ἡμᾶς ἁγιώτατοι ἀρχιερεῖς οἱ καὶ τὸν θεῖον τουτονὶ θρόνον διαδεξόμενοι τὴν παροῦσαν σιγιλλιώδη γραφὴν τῆς ἡμῶν μετριότητος ἐντυχόντες ἀκράδαντον διατηρείτωσαν καὶ ἀπαρασάλευτον, ὡς τὴν μονὴν ἐνορῶντες εἰς μείζονα προκοπὴν καὶ ἐπίδοσιν καὶ αὔξησιν κρείττονα προβιβασθησομένην, ἣν καὶ τὸ πάγιον καὶ ἀπερικλόνητον ἐπικυρωσάτωσαν, ὅπως ἂν καὶ τὰ παρ' ἐκείνων ἐκδιδόμενα καὶ γινόμενα τὸ στέργον καὶ ἐνεργοῦν λήψωνται. εἰ γὰρ φανεῖεν οἱ τοιοῦτοι ἀθετοῦντες τὰ ἡμέτερα πάντως, ὅτι καὶ τὰ ἐκείνων ἕτεροι. ἐπὶ τούτῳ καὶ γὰρ τὴν παροῦσαν σιγιλλιώδη γραφὴν ἐκθέμενοι καὶ πεποιηκότες χάριν τῆς διειλημμένης μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ εἰς τὰ Σκουρβουλλὰ καὶ πάντων τῶν προσόντων αὐτῇ πραγμάτων, ὥσπερ ἀνόπιν ἐδηλοποιήσαμεν, ἥνπερ καὶ ἐδεδώκειμεν τῇ διαληφθείσῃ σεβασμιωτάτῃ βασιλικῇ μονῇ τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης δι' οἰκείαν ἀσφάλειαν καὶ ἀναφαίρετον δεσποτείαν καὶ κυ-

ριότητα τῶν ἐφεξῆς γενησομένων ἐτῶν ἑβδοματικῶν. μηνὶ Ἰουλίῳ ἰνδ. β'.

† Ὁ μητροπολίτης Σμύρνης καὶ ὑπέρτιμος Ἰωάννης †.

Εἶχε καὶ ἀπῃωρημένην μολιβδίνην βούλλαν γράφουσαν ταῦτα· κύρου γραφάς μοι Φωκᾶ χαριτωνύμου, πρόεδρε Σμύρνης, μῆτερ τοῦ λόγου, κόρη †. † Ὡσαύτως εἶχε καὶ ὄπισθεν ὡς ἔθος καὶ διὰ τὸ ἀμφίβολον τῆς κολλήσεως τοῦ χάρτου διὰ τοῦ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἀλεξίου τοῦ Μαρούλλη †.

LI. 6790—1281, mense septembri, ind. X.

Testamentum monachae Marthae Thracesinae.

† Τὸ διαθηκῷον γράμμα τῆς μοναχῆς Μάρθας τῆς Θρακησίνης †.

Σίγνον	Μάρθας	Σίγνον	Ἄννης
μοναχῆς τ	ῆς Θρακησίνης.	Ἀγγελίνης	τῆς θυγατρὸς αὐτῆς †.

† Ἐπείπερ τῇ ἀνθρωπείᾳ φύσει καὶ οὐσίᾳ ἀπαραιτήτως ἐνεδρεύει καὶ συνεξακολουθεῖ ὁ θάνατος, καὶ οὐκ ἔστιν ὁ τοῦτον παραδραμεῖν δυνησόμενος κατὰ τὴν ἐξενεγχθεῖσαν τῷ πρωτοπλάστῳ ἀπόφασιν· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ ἐν ἑτέρῳ λόγῳ τοὺς ἅπαξ ἀπὸ γῆς πλασθέντας καὶ εἰς γῆν ἐπανάγεσθαι, διά τοι τοῦτο κἀγὼ, Μάρθα μοναχὴ ἡ Θρακησίνα, νόσῳ δεινῇ περιπεσοῦσα καὶ τὸ ἀπαραίτητον τοῦδε τοῦ βίου ἐμφερομένη, μή πως καὶ ἐπ' ἐμοὶ ὡς ἐπὶ πολλοῖς ὁ θάνατος ἐπισταίη. διὸ καὶ λογισαμένη τοῦ φανερῶς διατάξασθαι ἔρχομαι εἰς τὴν παρακειμένην λέξιν οὕτως· ἐπαφίημι πᾶσι χριστιανοῖς καὶ φίλοις τὴν ἐκ θεοῦ καὶ πλάστου πάντων συγχώρησιν, ἔπειτα παρακατιὼν διατάσσομαι· ἐπαφίημι εἰς τὴν σεβασμίαν μονὴν καὶ ἁγίαν βασιλικὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης, ἔνθα μέλλει τεθῆναι τὸ σῶμά μου, μετὰ βουλῆς καὶ [θε]λήσεως καὶ καθαρᾶς προαιρέσεως τῆς περιποθήτου μου θυγατρὸς, κυρᾶς Ἄννης τῆς Ἀγγελίνης, ὑπὲρ ψυχικῆς ἡμῶν ἕνεκα σωτηρίας τὸ χωράφιον τὸ πλησίον τοῦ τιμίου Προδρόμου, οἷον καὶ ὅσον ἐστὶ, μετὰ καὶ τῶν ἐκεῖσε ἱσταμένων δρυῶν, ἀλλὰ δὴ καὶ μετὰ τῶν ἑτέρων δρυῶν τῶν ἱσταμένων

ἐντὸς τοῦ χωραφίου τοῦ Πετρίτζη ὅσων καὶ οἵων ὄντων καὶ τῶν ἑτέρων τεσσάρων δρυῶν τῶν ἐντὸς τοῦ χωραφίου τοῦ Βρανᾶ μετὰ καὶ τοῦ ἀρδευτικοῦ αὐτῶν ὕδατος πλησιάζοντος τοῦ τοιούτου χωραφίου ἀπὸ μέρους νοτίου τὸ χωράφιον τοῦ Πετρίτζη. ὡσαύτως ἐπαφίημι πλησίον τῶν δικαίων τοῦ ἁγίου Γεωργίου, ἤγουν ἀπὸ τῆς στήλλης τῆς μονῆς τοῦ Στύλου, καὶ ὑπάγει πρὸς νότιον μέρος, ὅπερ καὶ ἐστηλλώθη παρὰ τῶν κάτωθεν μαρτύρων κατ' ἰσότητα καὶ ἀκουμβίζει μέχρι καὶ τῶν κοκκίνων κρημνῶν καὶ περικλείει ἔσωθεν τούτου, οἷα καὶ ὅσα εἰσὶ δένδρα, ἵνα δὲ νέμηται ἡ τοιαύτη μονὴ καὶ εἰς τὴν λίμνην ὑπὲρ ἀρδεύσεως τῶν ζώων αὐτῆς· τὸ δὲ χωράφιον, εἰς ὃ ἵστανται οἱ δρύες, ἐστὶ τοῦ Βρανᾶ, καὶ ἀντ' αὐτοῦ ἐπαράτω ὁ Κομνηνὸς τὸ ἡμέτερον ἀντίμοιρον τὸ πλησίον αὐτοῦ. ἐπαφίημι ταῦτα εἰς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονήν, ὅπως ἔχῃ ταύτην καὶ νέμηται, καὶ τὴν ἐξ αὐτῆς πᾶσαν καὶ παντοίαν ἀποφέρηται πρόσοδον εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους. ὅστις γοῦν τῶν προσγενῶν ἡμῶν ἢ ἀλλοτρίων βουληθῇ ἀνατρέψαι ἢ ἀθετῆσαι τὰ καλῶς καὶ φανερῶς ἡμῖν διατεταγμένα, οὐ μόνον οὐ μὴ εἰσακούεται, ἐφ' οἷς ἂν ἔχῃ εὑρεθῆναι λέγειν, ἀλλ' ἕξει καὶ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα, καὶ λόγου ὀφέξει μετὰ τῆς ἀθλίας μου ψυχῆς ἐν τῷ φοβερῷ βήματι τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. μηνὶ σεπτεμβρίῳ ἰνδ. ι' ἔτους ,ϛφϞ' †.

Σίγνον τοῦ	Κωνσταντίνου Δριμῆ.	Σίγνον τοῦ	Κωνσταντίνου Πατζοῦ.	Σίγνον τοῦ Δρο	Γεωργίου υγγάρη.

† Θεόδωρος ὁ Γορδάτος, ὁ καὶ ἀνεψιὸς τοῦ Θρακησίνου καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα †. † Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικός, Κωνσταντῖνος ὁ Ἀλέξανδρος, μαρτυρῶν σὺν πᾶσι καὶ γράψας ὑπέγραψα †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μαντaίας, Νικόλαος ὁ Φιλοκυνηγέτης, παρὼν ἐπὶ τῇ παρούσῃ διαθήκῃ καὶ αὐτὸς μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

LII. 6793—1285, mense iunio, ind. XIII.

Theodorus Comnenus Branas monasterio olivas donat.

† Τὸ διαθηκῷον γράμμα τοῦ Βρανᾶ ἐκείνου κυροῦ Θεοδώρου †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Θεόδωρος ὁ Βρανᾶς †.

Σίγνον|Μαρίας Κομνηνῆς
τῆς θυγατρὸς α|ὐτοῦ τῆς Βραναίνης.

† Ἐπείπερ τῇ ἀνθρωπείᾳ φύσει καὶ οὐσίᾳ ἀπαραιτήτως ἐνεδρεύει καὶ συνακολουθεῖ ὁ θάνατος, καὶ οὐκ ἔστιν ὁ τοῦτον παραδραμεῖν δυνησόμενος, κατὰ τὴν ἐξενεγχθεῖσαν τῷ πρωτοπλάστῳ ἀπόφασιν τὸ· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ ἐν ἑτέρῳ λόγῳ τοὺς ἅπαξ ἀπὸ γῆς πλασθέντας καὶ εἰς γῆν ἐπανάγεσθαι· διά τοι τοῦτο κἀγὼ, Θεόδωρος Κομνηνὸς ὁ Βρανᾶς, νόσῳ δεινῇ περιπεσὼν καὶ τὸ ἀπαραίτητον τοῦδε τοῦ βίου ἐφωρούμενος, μή πως καὶ ἐπ' ἐμὲ ὡς ἐπὶ πολλοῖς ὁ θάνατος ἐπισταίη δέον ἐλογισάμην τοῦ φανερῶς διατάξασθαι. ἔχει δὲ ἡ προκειμένη λέξις οὕτως· ἀφίημι πᾶσι χριστιανοῖς καὶ φίλοις τὴν ἐκ θεοῦ καὶ πλάστου πάντων συγχώρησιν, ἔπειτα παρακατιὼν διατάσσομαι· τὰ ἐλαϊκὰ δένδρα, ἅπερ ἔχω ἐξ ἀγορασίας ἀπὸ τῆς Ἀγγελίνης, τῆς συμβίου ἐκείνου τοῦ Χρυσοβέργη, ἀφίημι ταῦτα εἰς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης ὑπὲρ ψυχικῆς ἡμῶν ἕνεκα σωτηρίας. δέδωκα δὲ τῷ Χρυσοβέργῃ ἐκείνῳ ἀσῆμιν λίτραν μίαν καὶ τρίτον, καὶ ἐπεὶ ἔφθασεν ἐκεῖνος καὶ ἀπέδοτο τῷ τέλει τοῦ βίου ἄπαις καὶ ἀκληρονόμητος, ἠθέλησα ἐπαρεῖν τὸ τοιοῦτον ἀσῆμιν, ὅπερ καὶ ἐζήτησα τὴν γυναῖκα ἐκείνου· ὡς γοῦν οὐκ εἶχε τὸ ἀσῆμιν, ἐπεὶ ἐξωδίασεν αὐτὸ, ἀντὶ τούτου δέδωκέ μοι τὰ δηλωθέντα δένδρα εἰς τὸ τίμημα αὐτοῦ. εἴπερ οὖν ὀψέ ποτε ζητήσει τὰ δένδρα αὐτῆς, ἀποδότω τὸ ἀσῆμιν πρὸς τὴν μονὴν, ἤγουν τὴν μίαν λίτραν καὶ τὸ τρίτον, καὶ ἐχέτω καὶ αὖθις τὰ δένδρα αὐτῆς. ἐπαφίημι καὶ ἀπὸ τῶν γονικῶν μου ἐλαϊκῶν δένδρων εἰς τὴν τοιαύτην μονὴν καὶ εἰς τὸν ὑπ' αὐτὴν ἡγουμενεύοντα ἱερομόναχον, κῦρ Κάλλιστον, ἔχοντα τὰ τοιαῦτα δένδρα πλησιαστὰς τὰ ἕτερα δένδρα τῆς μονῆς εἰς νότιον μέρος

ἤγουν κορμοὺς τριάκοντα. ὅστις δὲ ἀφ' ἡμῶν τῶν μερῶν βουληθῇ ἀνατρέψαι ἢ ἀθετῆσαι τὸ παρὸν ἡμῶν διαθηκῷον, ἢ προσγενὴς ἡμῶν ἢ ἀλλότριος, ἢ χωρηθῇ κατὰ τοῦ τοιούτου διατάγματος πρὸς ἀμφιβολίαν καὶ ἀθέτησιν τινά, οὐ μόνον οὐ μὴ εἰσακούεται, ἐφ' οἷς ἂν ἔχῃ εὑρεθῆναι λέγειν, ἀλλὰ καὶ ζημίᾳ ὑποπεσεῖται εἰς τὸ θεοφρούρητον βεστιάριον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὡς ἀντάρτης καὶ ἀθετητὴς τῆς γεγονοίας ἡμῶν φανερᾶς καὶ καθαρᾶς διατάξεως, ἀλλ' ἕξει καὶ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα, καὶ λόγον ἐφέξει μετὰ τῆς ἀθλίας μου ψυχῆς ἐν τῷ φοβερῷ βήματι τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. παρῆσαν δὲ μάρτυρες ἐν τῇ παρούσῃ διαθήκῃ Λέων ὁ Μανίκης, ὁ γραμματικὸς τοῦ Δεύκα τοῦ Ἀπρηνοῦ, ἱερεὺς Μιχαὴλ ὁ Τζυκαπίτης ὁ Κοντόπουλος, Ἰωάννης ὁ αὐτάδελφος αὐτοῦ, Νικόλαος καὶ Δημήτριος ὁ Ῥουσιώτης, ὑπεγράφη δὲ καὶ κάτωθεν παρὰ τοῦ Κομνηνοῦ αὐτοῦ τοῦ Βρανᾶ διὰ πλείονα βεβαίωσιν καὶ ἀσφάλειαν. μηνὶ ἰουνίῳ ἰνδ. ι' ἔτους ,ϛφϟγ' †.

† Θεόδωρος ὁ Βρανᾶς †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοκυνηγίτης, παρὼν ἐπὶ τῇ παρούσῃ διαθήκῃ καὶ αὐτὸς καὶ μαρτυρῶν ὑπέγραψα †.

LIII. 6782—1274, mense ianuario, ind. II.

Tsycapites et Coscinas Theodoro Branae vendunt olivas.

† Τὸ πρατήριον τῶν παίδων τοῦ Κοσκινᾶ καὶ τοῦ Θωμᾶ καὶ ἱερέως τοῦ Τζυκαπίτου †.

† Μιχαὴλ ἱερεὺς ὁ Τζυκαπίτης οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνον | Θεοτόκου τοῦ Κοσκ | ινᾶ. Σίγνον | Μιχαὴλ τοῦ υἱ | οῦ αὐτοῦ. Σίγνον | Κωνσταντίνου τοῦ Κο | σκινᾶ.

Σίγνον | Λέοντος τοῦ Γαλ | έπα. Σίγνον Στ | εφάνου γαμβροῦ ἱερέως τοῦ | Διασορηνοῦ.

Σίγνον | Κωνσταντίνου
τοῦ γυν | αικαδέλφου αὐτοῦ †.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ἐγὼ Μιχαὴλ ἱερεὺς ὁ Τζυκαπίτης ὁ καὶ γαμβρὸς τοῦ Θωμᾶ καὶ Θεοτόκος ὁ Κοσκινᾶς καὶ οἱ συνάδελφοι ἡμῶν, ὁ μὲν οἰκειοχείρως προτάξας ἄνωθεν τοῦ παρόντος ὕφους, οἱ δὲ σιγνογραφήσαντες τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων, καθὼς δηλωθήσεται, πᾶσαν τὴν ἐκ τῶν πανευσεβῶν νόμων ἰσχὺν καὶ δύναμιν ἔχουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν, οὐ παρ' ἡμῶν αὐτῶν τῶν πεπρακότων, οὐ παρ' ἑτέρου τινὸς ἰδίου ἢ ξένου καθ' οἱονδήτινα τρόπον ἔγγραφον ἢ ἄγραφον ἢ νομικὴν ἰσχὺν καὶ βοήθειαν τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, ἀβιάστως, ἀπανούργως καὶ ἀμεταμελήτως, οὐκ ἔκ τινος δὲ ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἰδιωτίας ἢ ἀγροικίας ἢ φάκτου ἀγνοίας ἢ ἄλλης τινὸς ἐπιψόγου τῆς τῶν νόμων ἀποτρεπομένης αἰτίας, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ ὁλοψύχῳ ἡμῶν τῇ προθέσει, ἔτι δὲ μετὰ μεμεριμνημένου σκοποῦ, χρονίας τῆς διασκέψεως καὶ συναινέσεως παντὸς τοῦ μέρους ἡμῶν πρὸς σέ, τὸν πανευγενέστατον Κομνηνὸν κῦρ Θεόδωρον τὸν Βρανᾶν, καὶ πρὸς τὸ ἅπαν μέρος σου, κληρονόμους, διαδόχους καὶ παντοίους τοὺς διακατόχους σου εἰς τὸν αἰῶνα τὸν ἅπαντα, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ καὶ πρώην ἡμῖν διαφέροντα, τὰ ὄντα καὶ διακείμενα ἐν τῇ θέσει τοῦ μεγάλου χωραφίου, ἅπερ διέπρασαν οἱ γονεῖς ἡμῶν πρὸς τὸ μέρος τοῦ Βωλοβόντου ἐκείνου, τὰ νῦν δὲ ἐξωνησάμεθα ταῦτα πάλιν ἡμεῖς μετα καὶ τῆς σκιαζούσης γῆς καὶ πάντων τῶν δικαιωμάτων ἡμῶν, πιπράσκομεν ταῦτα πρὸς σέ, τὸν ἄνωθεν δηλωθέντα Κομνηνὸν τὸν Βρανᾶν, ὡς πλησιαστὴν ὄντα, ἤγουν δένδρα ἐλαϊκὰ τεσσαράκοντα καὶ τέσσαρα μετὰ καὶ τῆς περιεχούσης αὐτῶν γῆς καὶ τοῦ ἀρδευτικοῦ αὐτῶν ὕδατος καὶ μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν εἰς νομίσματα χρυσᾶ τεσσαράκοντα καὶ δύο καὶ χάριν ποδοκόπου ὑπέρπυρον ἕν· εἰσὶ δὲ τὰ τοιαῦτα ὑπέρπυρα ἐκ τῆς προικός μου. ἐξ αὐτῶν δὲ τῶν δένδρων εἰσὶ τὰ δέκα ἀπὸ τοῦ μέρους τοῦ Θωμᾶ,

τὰ δὲ τριάκοντα τέσσαρα εἰσὶν ἀπὸ τοῦ μέρους τοῦ Κοσκινᾶ. ὀφείλεις γοῦν ἐπιτελεῖν πρὸς ἡμᾶς ὑπὲρ ζητήματος παντὸς ἀνεπαυξήτως καὶ ἀνυστερήτως κατὰ μάρτιον μῆνα πρὸς μὲν τὸ μέρος [τοῦ] Κοσκινᾶ ὑπέρπυρον ἕν, πρὸς δὲ τὸ μέρος τοῦ Θωμᾶ ὑπερπύρου τρίτον καὶ οὐ πλέον τι. τοίνυν καὶ κατὰ τὴν τῶν ἑκατέρων μερῶν θέλησίν τε καὶ ἀρέσκειαν παραδεδώκαμεν τὰ τοιαῦτα ἐλαϊκὰ δένδρα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, ὡς ἂν κατέχῃς αὐτὰ κυρίως, αὐθεντικῶς, ἰδικῶς καὶ μονομερῶς, ἀπαρασπάστως, ἀπαραλείπτως καὶ ἀνυφεξαιρέτως, ἀδείας ἔχειν εἰς ταῦτα καὶ πάσης ἐξουσίας, πωλεῖν, χαρίζειν, προικοδοτεῖν, ἀνταλλάττειν, ἐκριζοῖν καὶ ἄλλως, ὡς δόξει τῇ βουλῇ καὶ θελήσει σου, ἔχειν σε. πάντα μὲν τὰ ἀναγεγραμμένα διὰ μέσον σου συμφωνοῦμεν καὶ ὁμολογοῦμεν τοῦ ἀποπαύειν σε ἀπὸ παντὸς τοῦ μέρους ἡμῶν καὶ ἐκ πάσης ἡμῶν τῆς συγγενείας καὶ ἐκ παντὸς προσώπου συγγενικοῦ καὶ ἀλλοτρίου πειρωμένου διενοχλεῖν σε ἢ ἕτερόν τι πρόκριμα ἐπαγαγεῖν σοι ἕνεκεν τῶν τοιούτων δένδρων, ὁμολογοῦμεν δὲ τοῦ διατηρεῖν σε ἀνενόχλητον καὶ ἀζήμιον. ἐὰν δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι ἢ ἀθετῆσαι τὰ καλῶς καὶ φανερῶς πρὸς σὲ πεπρακότα, οὐ μόνον τὸ μὴ εἰσακουόμεθα, ἐφ' οἷς ἂν ἔχωμεν εὑρεθῆναι λέγειν τι περὶ τούτων, ἀλλὰ καὶ ζημίᾳ ὑποπεσοῦμεν ἐπὶ τὸ διπλάσιον καὶ πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα λίτρας τρεῖς, μὴ εἴς τινα νομικὴν ἢ ἀρχοντικὴν βοήθειαν καταφυγόντες. μηνὶ ἰαννουαρίῳ ἰνδ. β' ἔτους ͵ςφπβ' ἐνώπιον τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων †.

Σίγνον | Ἰωάννου μάρτυρος τοῦ Κοντοπ | ούλου.	Σίγνον | μάρτυρος Χριστοφόρου | τοῦ Πωλεᾶ.
Σίγνον | μάρτυρος. Ἰωάννου το | ῦ Κοντοπούλου.	Σίγνον | μάρτυρος Νικολάου | υἱοῦ τοῦ Βασιλείου.

† Νικόλαος, ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, ὁ Φιλοκονηγίτης, τὰ τοῦ ὕφους δηλούμενα καὶ αὐτὸς μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

LIV. 6722—1213, mense septembri, ind. II.

Coscinae Leoni Muzethrae vendunt olivas.

† Τὸ πρατήριον ἔγγραφον ἱερέως τοῦ Πωλέα Ἰωάννου χάριν τῶν ἐλαϊκῶν δένδρων, ὧν ἀπεμπόλησε πρὸς ἱερέα Λέοντα τὸν Μουζηθρᾶν †.

† Ἰωάννης ἱερεὺς ὁ Πωλέας οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνον | Ἄννης τῆς συμβίου ἐκείνου Μιχα|ὴλ τοῦ Κοσκινᾶ. Σίγνον | Κωνσταντίνου τοῦ υἱοῦ | αὐτοῦ.

Σίγνον | Νικήτα τοῦ αὐταδέλ|φου αὐτοῦ. Σίγνον | Βασιλείου τοῦ ἑτέρο|υ αὐταδέλφου αὐτοῦ.

Σίγνον | Εὐδοκίας τῆς γνησίας αὐ|ταδέλφης αὐτοῦ †.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἄννα ἡ σύμβιος τοῦ ἀποιχομένου ἐκείνου Μιχαὴλ τοῦ Κοσκινᾶ, ἔτι δὲ καὶ οἱ γνήσιοι παῖδες αὐτοῦ, ὅ τε Κωνσταντῖνος, Νικήτας, Βασίλειος καὶ Εὐδοκία, οἱ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ποιήσαντες τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν καὶ εἰς τὸ ἑξῆς μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νομίμου ἀσφαλείας καθαράν, φανερὰν πρᾶσιν τὴν εἰς ἀεὶ τὸ ἀπαράθραυστον καὶ ἀπερικλόνητον ἔχειν ὀφείλουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἢ καὶ ὀψέ ποτε ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι, οὐ παρ' ἡμῶν αὐτῶν τῶν ἀπεμπολούντων, οὐ παρ' οἱουδήτινος προσώπου συγγενικοῦ ἢ καὶ ἀλλοτρίου τὸ σύνολον, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως πρὸς σέ, τὸν θεοσεβέστατον ἱερέα, κῦρ Λέοντα τὸν Μουζηθρᾶν, καὶ πρὸς τὸ μέρος σου ἅπαν καὶ διὰ σοῦ πρὸς τὰ μέρη σου ἅπαντα, κληρονόμους τε καὶ διαδόχους καὶ παντοίους τοὺς διακατόχους σου, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ γονικὰ καὶ κληρονομικὰ ἡμῶν τὰ ἐν τῷ χωρίῳ ἡμῶν διακείμενα τὰ πλησίον τῶν ἐλαϊκῶν δένδρων τῶν πρώην παρ' ἡμῶν κατεχομένων, ἤγουν ἐλαϊκῶν δένδρων δεκαεννέα, καὶ ἕτερα ἐλαϊκὰ δένδρα ὀκτὼ πλησίον τῶν αὐτῶν μετὰ τῆς κεκαυμένης ἐλαίας καὶ τῆς ἀνηκούσης αὐτῶν γῆς καὶ σὺν τῷ

τῆς ἀρδεύσεως αὐτῶν ὕδατι καὶ μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν. βουληθέντες οὖν ἐκποιήσασθαι ταῦτα, τὴν πρᾶσιν τούτων διεφημίσαμεν· ὡς δὲ ἡ περὶ αὐτῶν φήμη ἔφθασε καὶ εἰς ἀκοὰς προῆλθε σοῦ, τοῦ κυροῦ Λέοντος τοῦ Μουζηθρᾶ, ἠθέλησας αὐτὰ ἐξωνήσασθαι καὶ λόγων μέσον ἡμῶν κινηθέντων περὶ τοῦ τιμήματος αὐτῶν ὕστερον περιεστήσαμεν ταῦτα ἐκ συμφωνίας καὶ ἀρεσκείας ἡμῶν εἰς νομίσματα . . . ἑβδομήκοντα, ἃ δὴ νομίσματα καὶ λαβόντες ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμῶν χεῖρας ἐνώπιον καὶ τῶν κάτωθεν ὀφειλόντων ὑπογράφαι μαρτύρων καὶ τελείως ἐκστάντες τῆς αὐτῶν κατοχῆς καὶ νομῆς ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτῶν καὶ χρᾶσθαι καὶ νέμεσθαι μετὰ τῶν κληρονόμων καὶ διαδόχων καὶ παντοίων τῶν διακατόχων εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ἄδειαν ἔχοντός σου καὶ πᾶσαν ἐξουσίαν, ὥστε πωλεῖν αὐτὰ καὶ δωρεῖσθαι, ἀνταλλάττειν, προικοδοτεῖν καὶ τἄλλα πάντα ποιεῖν καὶ ἄλλως, ὡς δόξει ὑμῶν τῇ βουλῇ καὶ θελήσει· ὀφείλει δὲ τελεῖν πρὸς ἡμᾶς ἑκάστῳ καιρῷ ὑπὲρ ἐπιτελείας νομίσματα . . . ἓν ἥμισυ. ὅστις δὲ ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι τὴν φανερὰν ἡμῶν γεγονυῖαν διάπρασιν, μὴ μόνον τὰ τοιαῦτα νομίσματα ἀντιστραφήσονται πρὸς σὲ καὶ τῷ μέρει σου, ἀλλὰ καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγοντες, ἐνώπιον καὶ τῶν ὑπογραφομένων μαρτύρων. μηνὶ σεπτεμβρίῳ ἰνδ. β΄ ἔτους ͵ςφκβ΄ †.

† Ὁ νομικὸς Θεόδωρος, ἀναγνώστης τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας ὁ Κάλλιστος, παρὼν καὶ αὐτὸς μαρτυρῶν ὑπέγραφα †.

LV. 6719—1210, mense octobri, ind. XIII.

Poleae Leoni Musethrae olivas donant.

† Τὸ προγεγονὸς πρατήριον ἔγγραφον παρὰ Ἰωάννου ἱερέως τοῦ Πωλέα καὶ τῶν παίδων αὐτοῦ χάριν τῶν ἐλαΐκων δένδρων, ὧν ἀπεμπόλησαν πρὸς ἱερέα τὸν Μουζηθρᾶν Λέοντα †.

Σίγνον | Θωμᾶ
τοῦ υἱ|οῦ αὐτοῦ. † Ἐν ὀνομάτι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ

ἁγίου πνεύματος. Ἰωάννης ἱερεὺς ὁ Πωλέας διὰ τῆς αὐτοχείρου μου προταγῆς δηλούμενος καὶ Θωμᾶς ὁ γνήσιος υἱὸς αὐτοῦ ὁ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οἰκειοχείρως ποιήσας, οἱ ἀπὸ τῆς ἐνορίας τῆς Μανταίας ὁρμώμενοι, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν ἁπλῆν δωρεὰν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων, πᾶσαν ἐκ τῶν πανευσεβῶν νόμων ἰσχὺν καὶ δύναμεν ἔχουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἢ καὶ ὀφέ ποτε ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν, οὐ παρ' ἡμῶν αὐτῶν τῶν δωρησαμένων, οὐ παρά τινος τοῦ μέρους ἡμῶν τῶν κληρονόμων καὶ διαδόχων καὶ παντοίων ἡμῶν τῶν διακατόχων, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως, καθαρῶς καὶ ἀπεριέργως καὶ ἐκτὸς τρόπου παντὸς καὶ περινενοημένου σκοποῦ πρὸς σέ, τὸν θεοσεβέστατον ἱερέα καὶ περιπόθητόν μου ἐξάδελφον, κῦρ Λέοντα τὸν Μουτζηθρᾶν, τὸν ἀπὸ τοῦ κάστρου Σμύρνης ὁρμώμενον, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος, κληρονόμους, διαδόχους καὶ παντοίους τοὺς διακατόχους σου, καθὼς δηλωθήσεται. καὶ γὰρ δι' ἣν κεκτήμεθα χριστιανικὴν συγγένειαν, ἀγάπην καὶ ἄμετρον τιμὴν καὶ εἰς μνήμην τῶν γονέων ἡμῶν καὶ διὰ τὰς πολλὰς εὐεργεσίας, ἃς εἴχομεν ἀπὸ σοῦ, δωρούμεθά σοι ἀπὸ τοῦ ὅλου στίχου τῶν γονικῶν καὶ κληρονομικῶν ἡμῶν, ἐλαιόφυτα τριάκοντα σὺν τούτοις τοῖς δύο παλαιοῖς τῷ ἀριθμῷ τὰς ἄνωθεν τοῦ Ἀνεμολέοντος μέχρι καὶ τοῦ Αὐλακίου μετὰ καὶ τοῦ ἀνήκοντος αὐτῶν ὑδροποτοῦ, ὥστε ἀπὸ τοῦ παρόντος καὶ μέχρι συστάσεως τοῦδε τοῦ κόσμου πάντη ὀφείλεις κατέχειν καὶ δεσπόζειν τὰ τοιαῦτα δένδρα μετὰ τῶν κληρονόμων καὶ διαδόχων καὶ παντοίων τῶν διακατόχων σου κυρίως, αὐθεντικῶς, ἰδικῶς καὶ μονομερῶς, ἀπαρασπάστως, ἀκωλύτως καὶ ἀνεπιφωνήτως, ἄδειαν ἔχοντός σου καὶ πᾶσαν ἐξουσίαν τοῦ δωρεῖσθαι, εἰς προῖκα καὶ κληρονόμους καὶ διαδόχους σου καταλιμπάνειν, καὶ ἄλλως, ὡς δόξει σοι, τὰ ὑπὲρ αὐτῶν διοικεῖν καὶ οἰκονομεῖν, κατὰ τὸν ἀρέσκοντα δηλαδὴ καὶ νομιζόμενόν σοι τρόπον, καθὰ καὶ οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς τελείοις δεσπόταις τὴν ἐξουσίαν παρέχουσιν ἐν τοῖς ἰδίοις ποιεῖν, μὴ ἀνακαλουμένων ἡμῶν τῶν δωρησαμένων ἤ τις τῶν μέρους ἡμῶν ποτὲ καιρῷ ἢ χρόνῳ ἢ νομὴν μερικὴν ἢ ὁλόκληρον ἢ τίμημα οἱονδήποτε ἢ ἀμοιβὴν ἢ ἀντισήκωσιν ἢ ἀντίχαριν ἢ νόμιμον κεφάλαιον προσβοηθοῦν ἡμῖν, δι' οὗ ἐξ ἀχαριστίας αἱ δωρεαὶ ἀνα-

τρέπονται, ἀλλ' ἢ καὶ ὡς δωρούμενοι δύνανται ὡς ἐκ μεταμελείας θανάτου ἔτι ἀνατρέπειν τὴν δωρεὰν, ἀλλ' ἡμεῖς τὴν σήμερον ἀναιροῦμεν καὶ οὐδέποτε εἰς ἀνατροπὴν τῆς παρούσης ἡμῶν δωρεᾶς ἕνεκεν τῶν τοιούτων ἐλαϊκῶν δένδρων. ἔστω σοι ἀπεντεῦθεν παραδεδομένον, ὡς καὶ τῇ σήμερον σωματικῶς παρεδόθησάν σοι, μή τινος ὀφείλοντος ἔχων μετουσίαν ἐπ' αὐτοῖς ἀπὸ τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν καὶ παντοίων τῶν διακατόχων ἢ τῶν συγγενῶν ἡμῶν τῶν ἐγγὺς καὶ τῶν πόρρω ἢ τῶν ἀλλοτρίων ἢ ὄχλησίν τινα ἐπαγαγεῖν σοι ἕνεκεν τῶν τοιούτων ἐλαϊκῶν δένδρων ἢ μερικῶς ἢ καθόλου πρὸς τῷ ἐπισπᾶσθαι τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων . . . μετὰ φιλῆς ἐπιχειρήσεως πρὸς τὸ μὴ εἰσακούεσθαι, ἐφ' οἷς ἔχειν λέγειν, ἀλλ' ἐκδιώκεσθαι ἀπὸ παντὸς νομίμου δικαστηρίου, καὶ λόγῳ προστίμῳ ὑποκείσεται πρὸς σὲ καὶ τὸ μέρος σου νομίσματα . . . λίτρας δύο καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγοντες· πρὸς τῷ καὶ οὕτως ἐρρῶσθαι ἄνωθεν προέταξα καὶ βεβαίαν καὶ ἀρραγῆ διαμένειν τὴν παροῦσάν μου δωρεὰν, ὡς ὀφείλοντος ἐπιτελεῖν λόγῳ τῶν αὐτῶν ἐλαιῶν εἰς τὸν στίχον ἡμῶν ἕκαστον χρόνον νόμισμα ἓν ἥμισυ, οἷον ὁ δημόσιος ἀπαιτεῖ ἀνεπαυξήτως καὶ ἀνενοχλήτως. μηνὶ ὀκτωβρίῳ ἰνδ. ιγ' τοῦ ,ςψιη' ἔτους ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων.

† Ἰωάννης ἱερεὺς ὁ ἄνωθεν ὀφείλων προτάξαι κάτωθεν ὑποτάξας οἰκείᾳ χειρὶ ὑπέγραφα †.

† Ὁ μέγας οἰκονόμος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Μιχαὴλ ἱερεὺς ὁ Μανασσῆς, παρὼν ἐπὶ τῇ παρούσῃ ἁπλῇ δωρεᾷ, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραφα.

† Ὁ εὐτελὴς ἱερεὺς, σκευοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ πριμμικήριος τῶν ταβουλλαρίων, Κωνσταντῖνος Ξανθὸς, παρὼν ἐπὶ τῇ παρούσῃ ἁπλῇ δωρεᾷ μαρτυρῶν ὑπέγραφα †. † Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς κάστρου Σμύρνης, Θεόδωρος ὁ Πωλέας, καὶ αὐτὸς τὰ ὅμοια μαρτυρῶν καὶ γράφας ὑπέγραφα †.

LVI. 6690—1181, 27 octobris, ind. XV.

Maria Angelina Chrysoberga Theodoro Branae Comneno vendit arbores et campum.

† Τὸ πρατήριον τῆς γυναικὸς τοῦ Χρυσοβέργη ἐκείνου Γεωργίου χάριν τῶν ἐλαϊκῶν δένδρων, ὧν ἀπεμπόλησε πρὸς τὸν Βρανᾶν κῦρ Θεόδωρον †.

Σίγνον|Μαρίας τῆς συμβίου

ἐκείνου|Γεωργίου τοῦ Χρυσοβέργη. † Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Μαρία ἡ Ἀγγελίνα, ἡ σύμβιος ἐκείνου τοῦ Χρυσοβέργη, ἡ καὶ ἄνωθεν τοῦ παρόντος ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οἰκειοχείρως ἐγχαράξασα τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων, καθὼς δηλωθήσεται, πᾶσαν τὴν ἐκ τῶν πανευσεβῶν νόμων ἰσχὺν καὶ δύναμιν ἔχουσαν καὶ μηδαμῶς ἀπὸ τοῦ νῦν ποτὲ καιρῷ ἢ χρόνῳ ἀνατραπῆναι ἢ ὁπωσοῦν παρασαλευθῆναι ὀφείλουσαν, οὐ παρ' ἡμῶν αὐτῶν, ἤγουν τῆς πιπρασάσης, ἢ παρ' ἑτέρου τινὸς ἰδίου ἢ ξένου καθ' οἱονδήτινα ἔγγραφον ἢ ἄγραφον τρόπον ἢ νομικὴν ἰσχὺν καὶ βοήθειαν, τίθεμαι καὶ ποιῶ ἑκουσίως καὶ ἀμεταμελήτως, οὐκ ἔκ τινος δὲ ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ περιγραφῆς ἢ συναρπαγῆς ἢ ἰδιωτίας ἢ ἀγροικίας ἢ φάκτου ἀγνοίας ἢ ἄλλης τινὸς ἐπιψόγου καὶ τῆς τῶν νόμων ἀποτρεπομένης αἰτίας, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ ὁλοψόχῳ ἡμῶν τῇ προθέσει, ἔτι δὲ μετὰ μεμεριμνημένου σκοποῦ, χρονίας τῆς διασκέψεως καὶ τῆς συναινέσεως παντὸς τοῦ μέρους μου πρὸς σέ, τὸν πανευγενέστατον Κομνηνὸν κῦρ Θεόδωρον τὸν Βρανᾶν, καὶ πρὸς ἅπαν τὸ μέρος σου, κληρονόμους καὶ διαδόχους καὶ παντοίους τοὺς διακατόχους σου εἰς τὸν αἰῶνα τὸν ἅπαντα. καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ περιελθόντα ἡμῖν ἐξ ἀγορασίας ἀπὸ τοῦ Βοϊδᾶ ἐκείνου, ἅπερ εἶχε καὶ ὁ αὐτὸς Βοϊδᾶς ἀπὸ τοῦ Κριθίνου ἐκείνου Γεωργίου, τὰ καὶ πλησιάζοντα τὸ Ἀμμω . . . πιπράσκω πρὸς σέ, τὸν ἄνωθεν δηλωθέντα Κομνηνὸν τὸν Βρανᾶν, ἐλαϊκά, ὄντα δεκατέσσαρα καὶ δρῦς τρεῖς μετὰ καὶ τοῦ ἐκεῖσε ὄντος χωραφίου οἵου καὶ ὅσου τυγχάνοντος καὶ πάντων δικαίων καὶ προνομίων αὐτῶν εἰς

ὑπέρπυρα ἑξάγια δέκα, ἐπαφίημι δὲ κἀγὼ Κομνηνὸς ὁ Βρανᾶς, ὅπερ μὲ ἐχρεώστει ἀσῆμιν ὁ ἀνὴρ αὐτῆς ὁ Χρυσοβέργης. ταῦτα δὲ τὰ ὑπέρπυρα λαβοῦσα ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμετέρας χεῖρας, ἀριθμηθέντα σῶα καὶ ἀνελλιπῆ, ὀφείλεις δὲ ὑπὲρ ἐπιτελείας αὐτῶν καὶ παντοίου ζητήματος ἀνεπαυξήτως καὶ ἀνυστερήτως κατὰ μάρτιον μῆνα πρὸς τὸ μέρος τοῦ Κριτοπούλου ὑπέρπυρον ἥμισυ καὶ οὐ πλέον τι. ἔχουσι δὲ καὶ ἑτέρους πλησιαστάς, νότιον μέρος τὸν Γατανᾶν, βόρειον μέρος τὰ τῆς μητροπόλεως. τοίνυν κατὰ τὴν τῶν ἑκατέρων μερῶν θέλησίν τε καὶ ἀρέσκειαν παραδέδωκά σοι τὰ τοιαῦτα δένδρα, ὡς ἂν κατέχῃς ταῦτα εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ἄδειαν ἔχειν εἰς ταῦτα πωλεῖν, χαρίζειν, προικίζειν, ἐκριζοῖν καὶ ἄλλως, ὡς δόξει τῇ βουλῇ καὶ τῇ θελήσει σου. πάντα μὲν τὰ ἀναγεγραμμένα διὰ μέσον σου συμφωνῶ καὶ ὁμολογῶ τοῦ ἀποπαύειν σε ἀπὸ παντὸς τοῦ μέρους ἡμῶν καὶ παντὸς ἑτέρου προσώπου συγγενικοῦ ἢ ἀλλοτρίου πειρωμένου ἐνοχλεῖν σε ἢ ἕτερόν τι πρόκριμα ἐπαγαγεῖν σοι ἕνεκεν τῶν τοιούτων, ἀλλ' ὁμολογῶ τοῦ διατηρεῖν σε ἀνενόχλητον καὶ ἀζήμιον· ἐὰν δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι ἢ ἀθετῆσαι τὰ καλῶς καὶ φανερῶς ἀποπραθέντα, οὐ μόνον οὐ μὴ εἰσακούομαι, ἐφ' οἷς ἂν ἔχω εὑρεθῆναι λέγειν, ἀλλὰ καὶ ζημίᾳ ὑποπέσω ὑπερπύρων τριάκοντα καὶ ἓξ καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφυγοῦσα. μηνὶ ὀκτωβρίῳ κζ' ἰνδ. ι' ἔτους ,ςχϟ' ἐνώπιον τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων †.

Σίγνον | μάρτυρος
κυροῦ Ἰσαακίου | τοῦ Νεστόγγου.

Σίγνον | μάρτυρος
Γεωργίου τοῦ | Μελασσίτου.

Σίγνον | μάρτυρος
στρατιώ | του τοῦ Πετρίτζη.

Σίγνον | μάρτυρος
Νικήτα τ | οῦ Φιλάγρου.

Σίγνον | μάρτυρος
Μιχαὴλ τ | οῦ Ληστοῦ.

Σίγνον | μάρτυρος
Λέοντος | τοῦ Ἀμηράλλη.

Σίγνον | μάρτυρος
Θεοδώρο | υ τοῦ Μαρτίνου.

Σίγνον | Λεόντος
τοῦ | Ἀρμένη.

Σίγνον | μάρτυρος
Μιχαὴλ το | ῦ Πεπωλημένου.

Σίγνον | μάρτυρος
Λεόντος τ | οῦ Καβαδάτου.

Σίγνον | μάρτυρος
Λέοντος τ | οῦ Γαλέπου.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μαν-

ταίας, Νικόλαος ὁ Φιλοκυνηγίτης, τὰ τοῦ ὕφους δηλούμενα καί, αὐτὸς μαρτυρῶν γράψας ὑπέγραψα †.

· LVII. 6771—1263, mense ianuario, ind. V.

Ioannes Meles monasterio vendit campum et olivas.

† Τὸ πρατήριον τοῦ Μέλη Ἰωάννου περὶ τῶν ἐλαϊκῶν δένδρων τῶν ἐντὸς τοῦ μετοχίου τῶν Πλάνων †.

Σίγνον | Ἰωάννου	Σίγνον | τῆς συμβίου	Σίγνον | Γεωργίου
τοῦ | Μέλη.	αὐτοῦ | Θεοδώρας.	τοῦ υἱοῦ | αὐτοῦ.

† Ἐν ὀνόματι τοῦ πατρὸς κ. τ. λ. Ἰωάννης ὁ Μέλης καὶ ἡ σύμβιος αὐτοῦ Θεοδώρα καὶ ὁ γνήσιος αὐτῶν [υἱὸς] Γεώργιος, οἱ καὶ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν καὶ εἰς τὸ ἑξῆς μετὰ καθολικοῦ δεφενσίωνος πρᾶσιν τοῦ κάτωθεν δηλωθησομένου χωραφίου καὶ τῶν ἐλαιοφόρων δένδρων, τοῦ καὶ διακειμένου ἐντὸς τοῦ μετοχίου τῶν Λέμβων τοῦ ἐπιλεγομένου Πλάνους, τίθεμεθα καὶ ποιοῦμεν ἑκουσίως ἢ ἐξ ἐγγράφου ἢ ἐξ ἀγράφου ὑποσχέσεως, καὶ διὰ τοῦτο ἀποβαλλόμεθα τὸ τοῖς ἀπατωμένοις προσβοηθοῦν δόγμα καὶ πᾶσαν δικαιολογίαν καὶ ἀντίθεσιν κατὰ τῆς παρούσης ἡμῶν πράσεως πρὸς σέ, τὸν πανοσιώτατον ἰσάγγελον καὶ ἰσάριθμον τῶν ἁγιωτάτων ἀνδρῶν καὶ καθηγούμενον τῆς περιβοήτου καὶ βασιλικῆς μονῆς τῶν Λέμβων, κῦρ Γεράσιμον ἱερομόναχον, καὶ πρὸς τοὺς ὑπ' αὐτὴν ἀσκουμένους μοναχούς, τοὺς μένοντας ἐν τῇ βασιλικῇ ταύτῃ μονῇ εἰς τὸν αἰῶνα τὸν ἅπαντα, καθὼς δηλωθήσεται· καὶ γὰρ βουληθέντες ἐκποιήσασθαι τὴν τοῦ τοιούτου χωραφίου πρᾶσιν καὶ τῶν τριῶν ἐλαϊκῶν δένδρων, τὴν τούτου πρᾶσιν διεφημισάμεθα, ἥτις καὶ εἰς ἀκοὰς ἐλθόντος σου, τοῦ πανοσιωτάτου καθηγουμένου τῶν Λέμβων, ἠθέλησας ταῦτα ἐξωνήσασθαι, καὶ διαλεχθέντες περὶ τῆς τούτου πράσεως περιεστήσαμεν τὸ ὅλον τίμημα αὐτῶν ὑπέρπυρα τρία, καὶ λαβόντες ταῦτα ἀπὸ σοῦ εἰς τὰς ἡμῶν χεῖρας ἐπ' ὄψει καὶ παρουσίᾳ τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων, καὶ τελείως ἐκπληρωθέντες τὸ ὅλον τίμημα τοῦ διαπραθέντος ἡμῶν χωραφίου καὶ τῶν ἐλαϊκῶν δένδρων, παραδεδώκαμέν σοι καὶ ἡμεῖς ταῦτα σωματικῇ παραδόσει, ὀφεί-

λετε δὲ ἐπιτελεῖν πρὸς ἡμᾶς ἀνεπαυξήτως καθ' ἕκαστον καιρὸν . . . καὶ πλέον οὐδέν. λοιπὸν παρὰ σοῦ ἐπερωτώμενοι ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα, ἐὰν πρὸς ἀνατροπὴν χωρηθῶμεν τῆς παρούσης ἡμῶν πράσεως ἢ πλέον τίμημα προσαπαιτήσωμέν σοι ἢ παρὰ τὸν καθολικὸν ἀμελήσωμεν δεφενσίωνα, καὶ οὐ διεφθετῶμεν καὶ διεκδικῶμεν τὰ διαπραθέντα ὑμῖν χωράφια καὶ ἐλαϊκὰ δένδρα ἐκ παντὸς προσώπου ἰδίου ἡμῶν ἢ ξένου καὶ οὐ διατηρῶμεν ὑμᾶς ἀζημίους καὶ ἀνενοχλήτους ἢ ἀναργυρίαν προβαλλόμεθα ἢ ὑπερθεματισμὸν παρεισάξωμεν ἢ δόλον ἢ βίαν ἢ καταδυναστείαν ἢ ἄλλην τινὰ αἰτίαν προσείπωμεν πρὸς ἀναίρεσιν τῆς ἡμῶν πράσεως, ἀπράκτων ἡμῶν λογιζομένων ἀπὸ παντὸς νομίμου δικαστηρίου καὶ λιβέλλου δόσεως ἀποπεμπώμεθα καὶ ἀναγεγραμμένον τίμημα ἀντιστρέφωμεν ἐπὶ τὸ τετραπλοῦν, ἐμφανιζομένου δὲ καὶ τοῦ παρόντος πρατηρίου ἡμῶν ἵνα ζημιωθῶμεν ὑπέρπυρα δεκαπέντε, μὴ εἴς τινα νομικὴν ἢ ἀρχοντικὴν ἢ ἐκκλησιαστικὴν βοήθειαν καταφεύγοντες. μηνὶ ἰαννουαρίῳ ἰνδ. πέμπτης τῷ ͵ςφοα' ἔτει ἐνώπιον καὶ τῶν ὑπογραφομένων μαρτύρων †.

Σίγνον | Νικολάου	Σίγνον | μάρτυρος	Σίγνον | Ἰωάννου
τοῦ Φιλ | οκυνηγίτου.	Γεωργίου τοῦ | Φιλοκυνηγίτου.	τοῦ Ῥοδι | ανοῦ.

† Ὁ εὐτελὴς διάκονος καὶ νομικὸς τῆς πατριαρχικῆς ἐνορίας, Βασίλειος ὁ Τζυκαπίτης, καὶ αὐτὸς τὰ ὅμοια μαρτυρῶν γράψας ὑπέγραφα †.

LVIII. Sine anno.

Theodoras Gordatus monasterio donat campum et vineam.

† Τὸ διαθηκῷον γράμμα τοῦ Γορδάτου Θεοδώρου †.

† Ἐπειδὴ διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν καὶ παρακοὴν ὁ θάνατος εἰς τὸν κόσμον εἰσῆλθε καὶ θανάτῳ πάντες ἄνθρωποι κατεδικάσθημεν κατὰ τὴν τοῦ δημιουργοῦ ἀπόφασιν τὴν λέγουσαν· γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ὅθεν καὶ ἐγὼ Θεόδωρος ὁ Γορδάτος ἀδηλίᾳ τε καὶ ἀσαφείᾳ μή πως αἰφνιδίως ἐπέλθῃ μοι ἡ φοβερὰ τοῦ θανάτου ὥρα καὶ πάντα τὰ κατ' ἐμὲ ἀδιοίκητα παρέλθωσι, σώας ἔχων τὰς φρένας καὶ τὸν νοῦν ἐρρωμένον, ἠθέλησα τὰ κατ' ἐμαυτὸν διατάξασθαι καὶ δῆλα ποιῆσαι, ὅθεν καὶ ἐπαφίω πᾶσι χριστιανοῖς τὴν τελείαν

ἀγάπην καὶ συγχώρησιν, καὶ τοῖς μισοῦσιν ἡμᾶς ποιοῦμεν διαλλαγήν. ἔπειτα δὲ ηὑρέθησαν ἡμῖν ἐν τῷ παρόντι τῷδε βίῳ, ἅτινα καὶ ἔχω ἐκ προικὸς τῆς γυναικός μου, ἤγουν χωράφιον εἰς τὴν Βάρην μοδίων τριάκοντα, ὡσαύτως καὶ εἰς τὴν Σμύρνην ἀμπέλιον καὶ αὐτὸ ἐκ προικός μου ὡσεὶ μοδίων δύο, καὶ ἀφίημι ταῦτα εἰς τὴν μονὴν τῶν Λέμβων, εἰς ἣν μέλλω ἀποκαρῆναι ὡς μοναχὸς τὰς τρίχας τῆς κεφαλῆς. ἀντὶ δὲ τοῦ χωραφίου καὶ τοῦ ἀμπελίου, ὧν δέδωκα διὰ τὴν ψυχήν μου εἰς τὴν μονὴν ὡς ἐκ προικὸς ὄντα τῆς γυναικός μου, ἀντὶ τούτων ἀφίημι τὴν γυναῖκά μου τὰ ὀσπήτιά μου, ἄνευ μέντοι τῶν δύο ὀσπητίων, ἅπερ ἔχουσιν οἱ παῖδές μου, τὸ μὲν ἓν κεραμωτὸν, τὸ δὲ ἕτερον καλυβωτὸν, καὶ τὸ ἀμπέλιον, ὅπερ ἔχω, ἄνευ οὗπερ ἔχουσιν οἱ παῖδές μου ἀδελφομοίριν. καὶ εἴ τι ἄλλο ἔχω εἰς τὰ ὀσπήτιά μου, ἐπαφίημι αὐτὸ τὴν γυναῖκά μου καὶ τὸ παιδίν μου. εἰ δέ γε ποτε τῶν καιρῶν πειραθῇ τις διενοχλῆσαι αὐτὴν περὶ τῶν ὀσπητίων καὶ τοῦ ἀμπελίου, ἵνα ἔχῃ ἡ γυνὴ τὸ ἐκ προικὸς αὐτῆς χωράφιον καὶ τὸ ἀμπέλιον, ἡ δὲ μονὴ ἐχέτω τὰ ὀσπήτια· εἰ δὲ ἐνοχλήσει ἡ ἀδελφή μου περὶ οὗ ἔχει τρίτου ἐνταῦθα, ἀπολυσάτω, ὅπερ ἀπῆρεν ἀπὸ τοῦ Καρβώνη, ὅτι ἡ τοιαύτη ἐξάπροικος ἦν. καὶ ταῦτα πάντα καλῶς διαταξάμενος, ὅστις πειραθῇ ἢ βουληθῇ ἀνατρέψαι τὴν παροῦσάν μου διαθήκην, ἵνα ἐπισπᾶται τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ πρῶτα μὲν τὸ φῶς τῆς τρισηλίου θεότητος οὐ μὴ θεάσηται, ὅτε παραστησόμεθα τῷ ἀδεκάστῳ κριτῇ, καὶ τῆς τῶν χριστιανῶν μερίδος ἐκπέσῃ ὡς ὁ Ἰούδας τῆς δωδεκάδος, καὶ καταταγήσηται, ὅπου ὁ σκώληξ οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται. παρῆσαν δὲ μάρτυρες ἐν ταύτῃ ὅ τε Νικόλαος ὁ **Τατίκης**, Γεώργιος ὁ Δρουγγάρης καὶ Λέων ὁ Τζουρουλός †.

Σίγνον | Μαρίας	Σίγνον | Θεοδώρας	Σίγνον | Γεωργίου
τῆς Πετριτ | ζίνης.	τῆς Γορ | δατίνης.	τοῦ Π | ετρίτζη †.

LIX. 6780—1272, mense aprili, ind. XV.

Theodorus Gordatus Phocae campum vendit.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Γορδάτου πρὸς τὸν Φωκᾶν, τὸν γαμβρὸν τῆς Κυραμαρίας †.

† Θεόδωρος ὁ Γορδάτος οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνον | Θεοδώρας τῆς συμβ | ίου αὐτοῦ.

Σίγνον | Ἄννης τῆς πρότερον συμβίο | υ αὐτοῦ.

Σίγνον | Μαρίας τῆς θυγατρ | ὸς αὐτῶν.

Σίγνον | Εἰρήνης τῆς θυγατρ | ὸς αὐτῶν.

Σίγνον | Θεοδώρας τῆς θυγ | ατρὸς αὐτῶν.

Σίγνον | Γεωργίου τοῦ υἱοῦ | αὐτῶν.

† Ἐν ὀνόματι τοῦ πατρὸς κ. τ. λ. Θεόδωρος ὁ Γορδάτος καὶ ἡ σύμβιός μου Ἄννα καὶ οἱ γνήσιοι ἡμῶν παῖδες, ἥ τε Μαρία, ἡ Εἰρήνη καὶ ἡ Θεοδώρα, αἱ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ποιήσασαι, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τοῦ κάτωθεν δηλωθησομένου χωραφίου . . . . . ποιοῦμεν . . . . πρὸς σὲ, τὸν κῦρ Φωκᾶν τῆς Κυραμαρίας τὸν γαμβρὸν, καὶ πρὸς ἅπαντα τὰ μέρη ὑμῶν κ. τ. λ. καὶ γὰρ τὸ χωράφιον τὸ γονικόν μου τὸ καὶ πλησίον τοῦ τιμίου Προδρόμου, οὗ ἡ στήλλη ἡ Ἐκδαρμοσυκῆ, μέσον αὐτῆς καὶ ἑτέρα στήλλη τὸ βῆμα τοῦ ναοῦ τοῦ τιμίου Προδρόμου ἀναβαῖνον τὸ αὐλάκιν τοῦ Ἀμανίτου, καὶ ἀκουμβίζει ἕως τῆς στήλλης τῆς Λιγαρέας πλησίον τῆς Ξυλοκερατίας, καταβαῖνον τὸ ἴσον τοῦ χωραφίου τῆς Ἐκδαρμοσυκῆς, ὅσον καὶ οἷον ἐστὶ, μετὰ καὶ δρυὸς καὶ ὑποκλημάτων ὅσων εἰσὶ μέσον αὐτοῦ εἰς ὑπέρπυρα τέσσαρα. ὀφείλει δὲ ἔχειν ἀνεπαυξήτως χάριν ἐπιτελείας κατ' ἔτος . . . ἕν. τοίνυν . . . παραδεδώκαμέν σοι τὸ τοιοῦτον χωράφιον κ. τ. λ. εἰ δέ τις ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι . . . . . τὰ καλῶς καὶ φανερῶς ἡμῖν διαπραθέντα . . . . ζημίᾳ ὑποκεισόμεθα εἰς τὸ βεστιάριον ὑπέρπυρα τριάκοντα καὶ τὸ κατὰ νόμους εἰς τὸν βεστιάριον ὑπέρπυρα τριάκοντα καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ ἀπριλλίῳ ἰνδ. η' τῷ ,ςφπ' ἔτει. ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων †.

Σίγνον | μάρτυρος Λέοντος | τοῦ Τζουρουλοῦ.

Σίγνον | μάρτυρος Κωνσταντίν | ου τοῦ Πατζῆ.

Σίγνον | μάρτυρος Ἰωάννου τ | οῦ Προυσούχ...

Σίγνον | Γεωργίου τοῦ Εὐκ | άλη.

Σίγνον | μάρτυρος Ξένου | τοῦ Χλωροῦ.

Σίγνον | μάρτυρος. Ἰωάννου | τοῦ Ἀσκοχώμη.

† Ὁ εὐτελὴς ἱερεὺς ὁ Τεσαΐτης τὰ τοῦ ὕφους δηλούμενα μαρτυρῶν ὑπέγραψα †.

† Μιχαὴλ, ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, τὸ τοῦ ὕφους δηλούμενα γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

LX. Sine anno, 25 augusti, ind. VIII.

Lis inter monasterium et Phocam dirimitur.

† Τὸ κρίσιμον γράμμα Φωκᾶ τοῦ τῆς Κυραμαρίας γαμβροῦ, περὶ ὧν ἐπειρᾶτο πραγμάτων καὶ ἀπελογιάσθη †.

† Μηνὶ αὐγούστῳ ἡμέρᾳ κυριακῇ κε' ἰνδ. η' †. Τὴν σήμερον παραστὰς Φωκᾶς, τῆς Κυραμαρίας ὁ γαμβρὸς, περὶ ὧν εἶχε μετὰ τῆς σεβασμίας καὶ ἁγίας μονῆς τῶν Λέμβων, προσεκαλέσατο τοὺς ἐποίκους στρατιώτας τε καὶ οἰκοδεσπότας τῶν χωρίων Μανταίας, τόν τε μεγαλοδοξότατον κῦρ Γεώργιον τὸν Μαντηανὸν, τὸν ἀνδρικώτατον στρατιώτην κῦρ Νικηφόρον τὸν Φαρισσαῖον, τὸν Λέοντα κῦρ . . . . τὸν Πετρίτζην κῦρ Γεώργιον καὶ ἀπὸ τῶν οἰκοδεσποτῶν Λέοντα τὸν Ἀμηραλλῆ, Μιχαὴλ τὸν Ληστὴν, Μανουὴλ τὸν Σαρακηνὸν καὶ Λέοντα τὸν Νυμφαΐτην. ἐζήτησαν οὖν οἱ κριταὶ τὰ τῶν μοναχῶν δικαιώματα, ἤγουν τῆς αὐτῶν σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς, ἐξεῖπον δὲ οἱ μοναχοὶ, ὡς ὅτι ἡμεῖς μετὰ τοῦ Φωκᾶ ὑπόθεσιν οὐκ ἔχομεν, ἀλλ' οὐδὲ κρίσιν, καὶ διὰ τοῦτο ἔδοξε τοῖς κριταῖς εἰπεῖν κατ' ὄψιν πρότερον τῶν μοναχῶν ἀπελθόντων πρὸς τὴν μονὴν αὐτῶν ὡς παρὰ τὸν τοῦ δικαίου λόγου πειρώμενον τὸν Φωκᾶν καὶ τούτου χάριν κακωθέντες τὰ πολλά. ἰδόντες τοίνυν αὐτοὺς οἱ εἰς τὴν μονὴν τούτων μοναχοὶ διηγέρθησαν καὶ ἀράμενοι τὰ τῆς μονῆς δικαιώματα, ἤγουν τὸ χρυσόβουλλον τοῦ ἀοιδίμου ἐν βασιλεῦσιν ἐκείνου καὶ κτήτορος, τό τε πρακτικὸν τῆς τοιαύτης μονῆς καὶ τὴν διαθήκην τοῦ ἀποιχομένου ἱερέως Ἀλεξίου, κατέλαβον πρὸς τοὺς κριτὰς, εἶχον δὲ εἰς χεῖρας καὶ τὴν ὑπογραφὴν τοῦ υἱοῦ τοῦ δηλωθέντος ἱερέως Ἀλεξίου καὶ αὐτοῦ ἱερέως ὄντος, Μιχαὴλ, ὅστις παρὼν ἐγνώρισε τὰ γράμματα τοῦ πατρὸς αὐτοῦ ἐκείνου κατενώπιον τοῦ πράκτορος Λέοντος τοῦ

Τζουρουλληνοῦ καὶ ἀπὸ τῶν οἰκοδεσποτῶν τῶν συμπαροίκων αὐτοῦ Νικολάου τοῦ Κληζομενίτου, Βασιλείου τοῦ Κλαπατᾶ, Μιχαὴλ τοῦ Καλαμπάκη, Ξένου τοῦ Χλωροῦ, Γεωργίου τοῦ Διοσορηνοῦ καὶ ἑτέρων οὐκ ὀλίγων, καὶ διέκριναν ὅ τε μεγαλοδοξότατος κῦρ Γεώργιος ὁ Μαντιανὸς ὁ καὶ προαναφωνηθεὶς καὶ οἱ παρακάτωθεν δηλωθέντες μάρτυρες, ὡς εἶδον τό τε χρυσόβουλλον καὶ τὸ πρακτικὸν καὶ τὴν διαθήκην τοῦ ἱερέως Ἀλεξίου, ἵνα μηδόλως μετέχῃ ὁ Φωκᾶς εἰς ὅπερ ἐπειρᾶτο πρᾶγμα, εἰ μὴ ὡς ἀγοραστής, ἵνα ἀναπαύηται καὶ κάθηται. εἰ δ' οὖν ἐποίησε συμφωνίαν κατενώπιον τῶν κριτῶν, ἵνα κτίσωσιν αὐτὸν οἰκήματα, ἔνθα βούλεται, καὶ οὕτως ἀγοράσωσι καὶ τὸν τόπον αὐτοῦ οἱ μοναχοί. διὰ τοῦτο γοῦν ἐγεγόνει καὶ ἡ ἡμετέρα κρίσις ἐνώπιον καὶ τῶν οἰκοδεσποτῶν τῶν χωρίων τῆς Μανταίας καὶ ἐπεδόθη πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων εἰς οἰκείαν ἀσφάλειαν μ η ν ὶ κ α ὶ ἰ ν δ. τ ο ῖ ς π ρ ο γ ε γ ρ α μ μ έ ν ο ι ς †.

† Μ ι χ α ὴ λ ἱ ε ρ ε ὺ ς κ α ὶ ν ο μ ι κ ὸ ς τ ῆ ς ἁ γ ι ω τ ά τ η ς μ η τ ρ ο π ό λ ε ω ς Σ μ ύ ρ ν η ς κ α ὶ ἐ ν ο ρ ί α ς Μ α ν τ α ί α ς τ ὴ ν ἄ ν ω θ ε ν κ ρ ί σ ι ν τ ῆ ς σ ε β α σ μ ί α ς κ α ὶ ἁ γ ί α ς β α σ ι λ ι κ ῆ ς μ ο ν ῆ ς τ ῶ ν Λ έ μ β ω ν κ α ὶ α ὐ τ ὸ ς μ α ρ τ υ ρ ῶ ν κ α ὶ γ ρ ά ψ α ς ὑ π έ γ ρ α ψ α †.

† Ὁ ε ὐ τ ε λ ὴ ς δ ι ά κ ο ν ο ς κ α ὶ ν ο μ ι κ ὸ ς Μ ι χ α ὴ λ ὁ Λ η σ τ ὴ ς π α ρ ὼ ν ἐ π ὶ τ ῇ π α ρ ο ύ σ ῃ σ υ μ β ι β α σ τ ι κ ῇ κ ρ ί σ ε ι κ α ὶ α ὐ τ ὸ ς μ α ρ τ υ ρ ῶ ν ὑ π έ γ ρ α ψ α †.

† Ὁ π ρ ι μ μ ι κ ή ρ ι ο ς τ ῶ ν τ α β ο υ λ λ α ρ ί ω ν τ ῆ ς ἁ γ ι ω τ ά τ η ς μ η τ ρ ο π ό λ ε ω ς Σ μ ύ ρ ν η ς κ α ὶ ἐ ν ο ρ ί α ς Μ α ν τ α ί α ς, Ν ι κ ό λ α ο ς ὁ Φ ι λ ο κ υ ν η γ ί τ η ς, π α ρ ὼ ν ἐ π ὶ τ ῇ π α ρ ο ύ σ ῃ κ ρ ί σ ε ι κ α ὶ α ὐ τ ὸ ς μ α ρ τ υ ρ ῶ ν ὑ π έ γ ρ α φ α †.

LXI. 6790—1282, mense iulio, ind. X.

Michaël Phocas monasterio vendit olivas.

† Τ ὸ π ρ α τ ή ρ ι ο ν ἔ γ γ ρ α φ ο ν τ ῆ ς σ υ μ β ί ο υ ἐ κ ε ί ν ο υ Μ ι χ α ὴ λ τ ο ῦ Φ ω κ ᾶ †.

Σίγνον	Εἰρήνης τῆς	Σίγνον	Ἰωάννου
συμβίου ἐκείν	ου Μιχαὴλ τοῦ Φωκᾶ.	τοῦ υἱο	ῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Εἰρήνη, ἐκείνου Μιχαὴλ τοῦ Φωκᾶ ἡ σύμβιος, καὶ ὁ γνήσιος ἡμῶν [υἱὸς] Ἰωάννης κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων κ. τ. λ. ποιοῦμεν . . . . πρὸς τὴν σεβασμίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ταύτης ἡγουμενεύοντα, κῦρ Ἀγάθωνα, καὶ πρὸς τοὺς ὑπ' αὐτὴν ἀσκουμένους ἅπαντας μοναχοὺς εἰς τὸν αἰῶνα τὸν ἅπαντα. καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ ἐν τῇ θέσει τοῦ Τριγωνίου τὰ καὶ πλησιαστὰς ἔχοντα ἀπὸ μὲν ἀνατολῆς τὸν Βυλλούρην, ἀπὸ δὲ δύσεως Θωμᾶν τὸν Πωλᾶν, ἀπὸ δὲ ἄρκτου τὸν Βωλοβόντην, ἀπὸ δὲ μεσημβρίας τὸν Πωλᾶ, ἅπερ ἔχω ἐξ ἀγορασίας ἀπὸ Μανουὴλ τοῦ Κοντοπούλου, πιπράσκομεν πρὸς τὴν ἄνωθεν δηλωθεῖσαν μονήν, δένδρα ἐλαϊκὰ ἑπτὰ μετὰ τῆς ἀνηκούσης αὐτῶν γῆς καὶ τοῦ ἀρδευτικοῦ αὐτῶν ὕδατος . . . . εἰς ὑπέρπυρα ἓξ ἑξάγια, ἃ δὴ νομίσματα λαβόντες κ. τ. λ., ὀφείλεις δὲ ὑπερ ἐπιτελείας καὶ παντὸς ζητήματος κατ' ἔτος ἀνεπαυξήτως καὶ ἀνυστερήτως . . . . πολιτευόμενον ἓν . . . . εἰ δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς . . . . ἡμῶν πεπρακότα . . . . ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα δεκαπέντε καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ ἰουλίῳ ἰνδ. ι' τοῦ ,ςψϞ' ἔτους κ. τ. λ.

† Γεώργιος ἱερεὺς ὁ Βαμβουλίδης μαρτυρῶν ὑπέγραφα †.

Μάρτυρες· Νικήτας ὁ Γαλέπης, Μιχαὴλ ὁ Πεπωλημένος, Γεώργιος ὁ Γαλέπης *et subscriptio Nicolai* τοῦ Φιλοκονηγίτου *ut saepius.*

LXII. 6791—1283, mense martio, ind. XI.

Georgius Petritzes monasterio vendit vineam et arbores.

† Τὸ πρατήριον στρατιώτου Γεωργίου τοῦ Πετρίτζη χάριν τοῦ διαφέροντος ὑποστατικοῦ τῇ γυναικαδέλφῃ αὐτοῦ Εἰρήνῃ †.

Signa: Γεωργίου στρατιώτου τοῦ Πετρίτζη, *Mariae, eius uxoris, Michaëlis, eorum filii, Andronici et Michaëlis, fratrum eorum.*

† Ἐν ὀνόματι κ. τ. λ. Γεώργιος ὁ Πετρίτζης καὶ ἡ σύμβιός μου Μαρία καὶ οἱ γνήσιοι ἡμῶν παῖδες κ. τ. λ. τὴν παροῦσαν . . . πρᾶ-

πιν τοῦ κάτωθεν δηλωθησομένου ἀμπελοπεριβολίου . . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ὑπ' αὐτὴν ἡγουμενεύοντα, ἱερομόναχον κῦρ Κάλλιστον κ. τ. λ. καὶ γὰρ τὸ χερσαμπελοπερίβολον τῆς αὐταδέλφης ἡμῶν, κυρᾶς Εἰρήνης τῆς Γορδατίνης, ἤγουν τὸ μεριδικὸν αὐτῆς τὸ ἐντὸς τοῦ περιόρου, ἤγουν χερσάμπελον πινάκων δύο, δρὸς τρεῖς, καρύα μία, συκῆ μία καὶ εἰς τὰς ἐντὸς τούτου δύο συκαμίνους μερίδα τρίτην πιπράσκομεν τὸ μεριδικὸν αὐτῆς, ὅπερ ἐστὶ μετὰ τοῦ ἀρδευτικοῦ αὐτῶν ὕδατος . . . εἰς ὑπέρπυρα ἑξάγια δεκαπέντε κ. τ. λ. εἴ δ' ἴσως βουληθῇ ποτὲ τῶν καιρῶν ἡ αὐταδέλφη ἡμῶν, κυρὰ Εἰρήνη ἡ Γορδατίνα, τοῦ ἀμφιβαλεῖν τι ἀπὸ τούτων, ἵνα ἀντιστρέφωμεν ἡμεῖς τὰ τοιαῦτα νομίσματα πρὸς αὐτὴν ἀνελλιπῆ· ἐὰν δέ τις ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς καὶ φανερῶς ἡμῖν διαπραθέντα . . . . . ζημίᾳ ὑποκεισόμεθα ἐπὶ τὸ διπλάσιον καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ μαρτίῳ ἰνδ. α' τοῦ ,ςψϟα' ἔτους κ. τ. λ.

Testes Κωνσταντῖνος ὁ Δριμῆς, Νικήτας ὁ Ψιθυάτης, Ἰωάννης ὁ Κοντοπούλλος.

Subscriptio primicerii tabulariorum Nicolai τοῦ Φιλοκυνηγίτου *solita.*

LXIII. 6791—1283, mense ianuario, ind. XI.

Ioannes Scullatus et soror monasterio vendunt vineam.

† Τὸ πρατήριον τῶν παίδων τοῦ μοναχοῦ Σκουλλάτου χάριν τοῦ ἀμπελίου αὐτῶν, οὗπερ εἶχον ἀπὸ τῆς μητροπόλεως †.

Signa: Ἰωάννου τοῦ Σκουλλάτου, Εἰρήνης τῆς αὐταδέλφης αὐτοῦ, Μιχαὴλ τοῦ ἀνεψιοῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Ἰωάννης ὁ Σκουλλάτος καὶ ἡ αὐταδέλφη μου Εἰρήνη κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τοῦ κάτωθεν δηλωθησομένου ἀμπελίου . . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ὑπ' αὐτὴν ἡγουμενεύοντα, ἱερομόναχον κῦρ Κάλλιστον κ. τ. λ. καὶ γὰρ τὸ ἀμπέλιον, ὅπερ ἀπῆραν οἱ γονεῖς ἡμῶν χωράφιον διὰ σιγιλλιώδους γράμματος

ἀπὸ τοῦ πανιερωτάτου μητροπολίτου Σμύρνης, κυροῦ Ἰωάννου τοῦ Φωκᾶ, τὸ καὶ ἀνασταθὲν παρὰ τῶν γονέων ἡμῶν καὶ εἰς ἀμπέλιον, ἠθελήσαμεν διαπράσασθαι τοῦτο, διὸ ἀπέμεινα μεμονωμένος καὶ ἔχω καὶ ἀπορίαν παντελῆ, καὶ ἐγένοτο καὶ εἰς τὸν τοιοῦτον ἄμπελον ἀμέλεια οὐκ ὀλίγη, τὴν σήμερον πιπράσκομεν αὐτὸ .... εἰς ὑπέρπυρα ἑξάγια ἕνδεκα, ὡσεὶ μοδίων ὂν τὸ ἀμπέλιον δύο ... ὀφείλεις δὲ ὑπὲρ ἐπιτελείας αὐτοῦ καὶ παντοίου ζητήματος τὸ κατ' ἔτος .... κόκκια τέσσαρα κ. τ. λ. ἐὰν δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς ἡμῖν; ἀποπραθέντα ... ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα τριάκοντα καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ ἰαννουαρίῳ ἰνδ. ια' τοῦ ,ςψξα' ἔτους κ. τ. λ. †.

Μάρτυρες· Μιχαὴλ ὁ Πατζῆς, Ἰωάννης ὁ Γαλέπης, Ξένος ὁ Λασκαριολέτης, ὁ Τζουρουλός, Θεόδωρος ὁ Ζωναρᾶς, Ἰωάννης ὁ Προυσούχ.. †.

Subscriptio Nicolai τοῦ Φιλοκυνηγίτου *solita.*

LXIV. 6767—1259, mense aprili, ind. II.

Irene Scholares monasterio olivas vendit.

† Τὸ πρατήριον ἔγγραφον τῆς γυναικὸς τοῦ Σχολάρη ἐκείνου καὶ τῶν παίδων αὐτῶν χάριν τῶν εἰς τὸν Παρακάλαμον ὄντων ἐλαϊκῶν δένδρων αὐτῶν †.

Signa: Εἰρήνης τῆς συμβίου ἐκείνου τοῦ Σχολάρη καὶ Ἰωάννου, Νικολάου τῶν υἱῶν αὐτοῦ, Ξένου τοῦ μελλογάμβρου αὐτῶν καὶ Ἄννης τῆς συμβίου αὐτοῦ καὶ θυγατρὸς αὐτῶν.

† Ἐν ὀνόματι κ. τ. λ. Εἰρήνη ἡ σύμβιος ἐκείνου τοῦ Σχολάρη καὶ οἱ παῖδες ἐκείνου ... τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον .... πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων .... ποιοῦμεν .... πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου ἡμῶν θεοτόκου καὶ ἐπ' ὀνόματι τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ἐν αὐτῇ ἡγουμενεύοντα, πανοσιώτατον αὐθέντην καὶ πατέρα ἡμῶν, ἱερομόναχον κῦρ Κύριλλον κ. τ. λ. καὶ γὰρ ἐπεὶ ἔφθασεν ὁ ἀνήρ μου ἐκεῖνος καὶ δέδωκε πρὸς τὴν ῥηθεῖσαν ταύτην σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν δένδρα τὰ ἐν τῷ Παρακαλάμῳ ὄντα, ὅπερ

διὰ συμφώνου μοι δέδωκεν ὁ αὐθέντης καὶ πατήρ μου ἐκεῖνος, Ἰωάννης ὁ Μαγκαφᾶς, τῷ ἀριθμῷ εἴκοσι δύο, ἔδωκε δὲ ἀπὸ τούτων τὰ ἕνδεκα ὑπὲρ μνημοσύνου αὐτοῦ τε καὶ ἡμῶν πρὸς τὴν ῥηθεῖσαν ἁγίαν μονήν, τὰ δὲ ἕτερα ἕνδεκα, ἵνα διαπραθῶσιν εἰς τὴν μονὴν παρ' ἡμῶν. ὡς δέ γε τῷ τέλει τοῦ βίου ἐχρήσατο καὶ εἰς τὰ ἐκεῖθεν ἐπέβη δικαιωτήρια, οὐκ ἔφθασε δὲ ποιήσασθαι πρατήριον εἰς τὰ τοιαῦτα ἐλαϊκὰ πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονήν, τὴν σήμερον γοῦν ἐπιδίδομέν σοι, τῷ πανοσιωτάτῳ αὐθέντῃ καὶ πατρί, καθηγουμένῳ καὶ ἱερομονάχῳ Κυρίλλῳ, τῆς τοιαύτης μονῆς, ἐν πρώτοις τὸ πρατήριον τῶν τοιούτων ἐλαϊκῶν δένδρων, ἔπειτα ὑπὲρ μνημοσύνου ἡμῶν ἐλαϊκὰ δένδρα, ἐπεὶ τὰ ἕτερα ἕνδεκα πιπράσκομεν πρὸς ὑμᾶς εἰς νομίσματα ὑπέρπυρα ἑξάγια τέσσαρα κ. τ. λ. ὅστις γοῦν κ. τ. λ. ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα δώδεκα καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγοντες, ἀλλὰ καὶ ἃς ἔχῃ καταβαλέσθαι εἰς αὐτὰ ἐξόδους εἰς τὸ διπλάσιον ζημιωθεῖεν αὐτάς. μηνὶ ἀπριλλίῳ ἰνδ. β' τοῦ ,ςφξζ' ἔτους κ. τ. λ.

Μάρτυρες· Ξένος ὁ Καπύλλης, Ἰωάννης ὁ Σμύρνης, Ἰωάννης ὁ Μηλαβᾶς, διάκονος ὁ Συρόπουλος, Νικόλαος ὁ Κριτζάτης, Μιχαὴλ ὁ Λιγερός, Νικόλαος ὁ Μαδαρίτης.

† Ὁ γραφεὺς τοῦ ὕφους, εὐτελὴς ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Ἰωάννης ὁ Λαοδικηνός, τὰ τοῦ ὕφους δηλούμενα γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

LXV. Sine anno, mense iulio, ind. VI.

Ioannes Pardoleo monasterio vendit olivas.

Signa: Ἰωάννου τοῦ Παρδολέοντος, Εἰρήνης τῆς συμβίου αὐτοῦ, Ἀνδρονίκου καὶ Μιχαήλ, τῶν υἱῶν αὐτῶν, καὶ Ῥωμανοῦ τοῦ Βαρίτου.

† Ἐν ὀνόματι κ. τ. λ. ἡμεῖς οἱ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον . . . . πρᾶσιν ποιοῦντες κ. τ. λ. πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης, τὸν ἱερομόναχον κῦρ Κλήμην, τὸν μοναχὸν Σάβαν καὶ πάντας τοὺς μοναχούς, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἐλαϊκὰ ἡμῶν δένδρα, ἅπερ ἔχω ἐκ προικὸς

μου, τὰ καὶ διαφέροντά μοι καὶ διακείμενα ἐν τῇ τοποθεσίᾳ τοῦ Πραΰλη τὰ καὶ πλησιαστὰς ἔχοντα τοὺς θείους μου τοὺς Βαρίτας καὶ ἐξ ἑτέρωθεν τὰ τῆς μονῆς τοῦ τιμίου Σταυροῦ, ὡσεὶ δεκαὲξ ὄντα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν κ. τ. λ. .... περιεστήσαμεν αὐτὰ .... εἰς ὑπέρπυρα δεκαὲξ, ἃ δὴ λαβόντες .... ἐκχωρούμεθά σοι ἐπιλαβέσθαι αὐτῶν .... καὶ ὁμολογοῦμεν .... μὴ εἰς ἀνατροπὴν καὶ μεταμέλειαν ταύτης ὅλως χωρῆσαι .... ἀλλὰ τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμῶν ἐγγράφου ἀποπεμπώμεθα ἄπρακτοι καὶ καταδεδικασμένοι, ἀποδώσομεν δὲ καὶ εἰς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα εἴκοσι καὶ τὸ τίμημα αὐτῶν ἐπὶ τὸ τετραπλοῦν κ. τ. λ. ὀφείλετε δὲ ἐπιτελεῖν κατ' ἔτος ἀνεπαυξήτως ἄσπρον ἓν ... κατὰ μάρτιον. μηνὶ ἰουλίῳ ἰνδ. ἕκτης τοῦ ,ϛψω' (sic) †.

Signa μαρτύρων Θεόδωρου τοῦ Μαρτίνου, Νικολάου τοῦ Καχαβᾶ, Λέοντος τοῦ Ἀρμένη, Μιχαὴλ τοῦ Ματζούκη, Θεοδώρου τοῦ Βαρίτου.

† Ἰωάννης, ἀναγνώστης καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, ὁ Φωκᾶς, γράφας καὶ μαρτυρῶν ὑπέγραψα †.

LXVI. 6740—1232, mense martio, ind. V.

Nicetas Cabures et uxor monasterio vendunt olivas.

† Τὸ πρατήριον τῶν εἰς τοῦ Παναρέτου ἐλαϊκῶν δένδρων τοῦ Καβούρη καὶ τῆς γυναικὸς αὐτοῦ †.

Signa: Νικήτα τοῦ Καβούρη καὶ Εὐδοκίας τῆς συμβίου αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Νικήτας ὁ Καβούρης καὶ Εὐδοκία ἡ τούτου σύζυγος κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ... πρᾶσιν .... ποιοῦμεν .... πρὸς σέ, τὸν πανηγιασμένον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς ἁγίας μονῆς τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, κῦρ Γεράσιμον, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ τὴν τοιαύτην μονὴν ἅπαν μέρος .... καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ καὶ διακείμενα ἐν τῷ χωρίῳ τοῦ Παναρέτου τὰ περιελθόντα μοι ἐκ προικός μου τὰ καὶ πλησίον τῶν δένδρων τῶν πρώην ἐξωνησαμένων τῇ ὑπὸ σὲ ἁγίᾳ μονῇ ἀπὸ τοῦ πενθεροῦ μου, τοῦ Λεγᾶ

κυροῦ Ξένου, ὁμοίως καὶ ἀπὸ τῶν Ψιθυριτῶν, ἤγουν δένδρα ἐλαϊκὰ εἴκοσι τέσσαρα εἰς ὑπέρπυρα ἑπτά, ἃ δὴ ὑπέρπυρα λαβὼν ὁ πατήρ μου ἀπὸ τῶν χειρῶν ὑμῶν .... ἐχωρούμεθα ὑμῖν ἐπιλαβέσθαι αὐτῶν κ. τ. λ. ὅστις οὖν ἐξ ἡμῶν βουληθῇ ὑπὲρ ἀνατροπῆς τῆς ἡμῶν πράσεως ..... ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα τριάκοντα καὶ ἓξ καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. τελεῖν δὲ ὀφείλει ἡ μονὴ πρὸς τὸ μέρος τοῦ λιζιοῦ καβαλλαρίου τοῦ Σοργαρῆ .... ἓν πραττόμενον. μηνὶ μαρτίῳ ἰνδ. ε' τοῦ ͵ςφμ' ἔτους †.

LXVII. 6789—1281, mense aprili, ind. XI.

Uxor Ioannis Isidori et Anna Conti monasterio vendunt olivas.

† Τὸ πρατήριον ἔγγραφον τῆς γυναικὸς Μιχαὴλ τοῦ Ἰσιδώρου καὶ τῶν παίδων αὐτῆς, ἀλλὰ δὴ καὶ τῆς θυγατρὸς τοῦ Κοντοῦ Ἄννης χάριν τῶν εἰς τοῦ Ἐνκόπου ἐλαϊκῶν δένδρων, ἑνωμένων ὄντων καὶ τῶν ἀμφοτέρων εἰς ἓν περιβόλιον †.

Signa Μαρίας τῆς συμβίου Μιχαὴλ τοῦ Ισιδώρου, Θεοδώρου τοῦ υἱοῦ αὐτῶν, Ἰωάννου τοῦ αὐταδέλφου αὐτοῦ, Ἄννης τῆς θυγατρὸς τοῦ Κοντοῦ, Ἰωάννου τοῦ Ἀρμένη.

† Ἐν ὀνόματι κ. τ. λ. οἱ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων .... ποιοῦμεν .... πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν .... τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ἐν αὐτῇ ἡγουμενεύοντα ἱερομόναχον, κῦριν Ἀγάθωνα ... καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ ἐκ προικόθεν διαφέροντα ἡμῖν τὰ ἐν τῇ θέσει τοῦ Ἐνκόπου τὰ καὶ πλησιάζοντα οὕτως· νότιον μέρος τὸν κῦρ Κωνσταντῖνον ἐκεῖνον, βόρειον μέρος τὰ τῆς μονῆς τοῦ κυροῦ Κοσμᾶ, ἀνατολικὸν τὸ αὐλάκιν τοῦ Ἀληθινοῦ, δυτικὸν δὲ μέρος τὰ τοῦ Μαυροϊωάννου, πιπράσκομεν πρὸς τὴν τοιαύτην μονὴν ἤγουν δένδρα ἐλαϊκὰ τεσσαράκοντα μετὰ καὶ τοῦ ἐκεῖσε χωραφίου .... εἰς ὑπέρπυρα τριάκοντα καὶ ἓξ .... ὀφείλεις δὲ ὑπὲρ ἐπιτελείας αὐτῶν καὶ παντοίου ζητήματος κατὰ μάρτιον μῆνα ἀνεπαυξήτως καὶ ἀνοστερήτως ὑπερπύρου ἥμισυ κ. τ. λ. ἐὰν δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς καὶ φα-

ἀγάπην καὶ συγχώρησιν, καὶ τοῖς μισοῦσιν ἡμᾶς ποιοῦμεν διαλλαγήν. ἔπειτα δὲ ηὑρέθησαν ἡμῖν ἐν τῷ παρόντι τῷδε βίῳ, ἅτινα καὶ ἔχω ἐκ προικὸς τῆς γυναικός μου, ἤγουν χωράφιον εἰς τὴν Βάρην μοδίων τριάκοντα, ὡσαύτως καὶ εἰς τὴν Σμύρνην ἀμπέλιον καὶ αὐτὸ ἐκ προικός μου ὡσεὶ μοδίων δύο, καὶ ἀφίημι ταῦτα εἰς τὴν μονὴν τῶν Λέμβων, εἰς ἣν μέλλω ἀποκαρῆναι ὡς μοναχὸς τὰς τρίχας τῆς κεφαλῆς. ἀντὶ δὲ τοῦ χωραφίου καὶ τοῦ ἀμπελίου, ὧν δέδωκα διὰ τὴν ψυχήν μου εἰς τὴν μονὴν ὡς ἐκ προικὸς ὄντα τῆς γυναικός μου, ἀντὶ τούτων ἀφίημι τὴν γυναῖκά μου τὰ ὁσπήτιά μου, ἄνευ μέντοι τῶν δύο ὁσπητίων, ἅπερ ἔχουσιν οἱ παῖδές μου, τὸ μὲν ἓν κεραμωτόν, τὸ δὲ ἕτερον καλυβωτόν, καὶ τὸ ἀμπέλιον, ὅπερ ἔχω, ἄνευ οὗπερ ἔχουσιν οἱ παῖδές μου ἀδελφομοίριν. καὶ εἴ τι ἄλλο ἔχω εἰς τὰ ὁσπήτιά μου, ἐπαφίημι αὐτὸ τὴν γυναῖκά μου καὶ τὸ παιδίν μου. εἰ δέ γε ποτε τῶν καιρῶν πειραθῇ τις διενοχλῆσαι αὐτὴν περὶ τῶν ὁσπητίων καὶ τοῦ ἀμπελίου, ἵνα ἔχῃ ἡ γυνὴ τὸ ἐκ προικὸς αὐτῆς χωράφιον καὶ τὸ ἀμπέλιον, ἡ δὲ μονὴ ἐχέτω τὰ ὁσπήτια· εἰ δὲ ἐνοχλήσει ἡ ἀδελφή μου περὶ οὗ ἔχει τρίτου ἐνταῦθα, ἀπολυσάτω, ὅπερ ἀπῆρεν ἀπὸ τοῦ Καρβώνη, ὅτι ἡ τοιαύτη ἐξάπροικος ἦν. καὶ ταῦτα πάντα καλῶς διαταξάμενος, ὅστις πειραθῇ ἢ βουληθῇ ἀνατρέψαι τὴν παροῦσάν μου διαθήκην, ἵνα ἐπισπᾶται τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ πρῶτα μὲν τὸ φῶς τῆς τρισηλίου θεότητος οὐ μὴ θεάσηται, ὅτε παραστησόμεθα τῷ ἀδεκάστῳ κριτῇ, καὶ τῆς τῶν χριστιανῶν μερίδος ἐκπέσῃ ὡς ὁ Ἰούδας τῆς δωδεκάδος, καὶ καταταγήσηται, ὅπου ὁ σκώληξ οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται. παρῆσαν δὲ μάρτυρες ἐν ταύτῃ ὅ τε Νικόλαος ὁ Τατίκης, Γεώργιος ὁ Δρουγγάρης καὶ Λέων ὁ Τζουρουλός †.

Σίγνον	Μαρίας	Σίγνον	Θεοδώρας	Σίγνον	Γεωργίου
τῆς Πετριτ	ζίνης.	τῆς Γορ	δατίνης.	τοῦ Π	ετρίτζη †.

LIX. 6780—1272, mense aprili, ind. XV.

Theodorus Gordatus Phocae campum vendit.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Γορδάτου πρὸς τὸν Φωκᾶν, τὸν γαμβρὸν τῆς Κυραμαρίας †.

† Θεόδωρος ὁ Γορδάτος οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνον | Θεοδώρας τῆς συμβ | ίου αὐτοῦ. Σίγνον | Ἄννης τῆς πρότερον συμβίο | υ αὐτοῦ.

Σίγνον | Μαρίας τῆς θυγατρ | ὸς αὐτῶν. Σίγνον | Εἰρήνης τῆς θυγατρ | ὸς αὐτῶν. Σίγνον | Θεοδώρας τῆς θυγ | ατρὸς αὐτῶν.

Σίγνον | Γεωργίου τοῦ υἱοῦ | αὐτῶν.

† Ἐν ὀνόματι τοῦ πατρὸς κ. τ. λ. Θεόδωρος ὁ Γορδάτος καὶ ἡ σύμβιός μου Ἄννα καὶ οἱ γνήσιοι ἡμῶν παῖδες, ἥ τε Μαρία, ἡ Εἰρήνη καὶ ἡ Θεοδώρα, αἱ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ποιήσασαι, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τοῦ κάτωθεν δηλωθησομένου χωραφίου..... ποιοῦμεν.... πρὸς σὲ, τὸν κῦρ Φωκᾶν τῆς Κυραμαρίας τὸν γαμβρὸν, καὶ πρὸς ἅπαντα τὰ μέρη ὑμῶν κ. τ. λ. καὶ γὰρ τὸ χωράφιον τὸ γονικόν μου τὸ καὶ πλησίον τοῦ τιμίου Προδρόμου, οὗ ἡ στήλλη ἡ Ἐκδαρμοσυχῆ, μέσον αὐτῆς καὶ ἑτέρα στήλλη τὸ βῆμα τοῦ ναοῦ τοῦ τιμίου Προδρόμου ἀναβαῖνον τὸ αὐλάκιν τοῦ Ἀμανίτου, καὶ ἀκουμβίζει ἕως τῆς στήλλης τῆς Λιγαρέας πλησίον τῆς Ξυλοκερατίας, καταβαῖνον τὸ ἴσον τοῦ χωραφίου τῆς Ἐκδαρμοσυχῆς, ὅσον καὶ οἷον ἐστὶ, μετὰ καὶ δρυὸς καὶ ὑποκλημάτων ὅσων εἰσὶ μέσον αὐτοῦ εἰς ὑπέρπυρα τέσσαρα. ὀφείλει δὲ ἔχειν ἀνεπαυξήτως χάριν ἐπιτελείας κατ' ἔτος... ἕν. τοίνυν... παραδεδώκαμέν σοι τὸ τοιοῦτον χωράφιον κ. τ. λ. εἰ δέ τις ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι..... τὰ καλῶς καὶ φανερῶς ἡμῖν διαπραθέντα.... ζημίᾳ ὑποκεισόμεθα εἰς τὸ βεστιάριον ὑπέρπυρα τριάκοντα καὶ τὸ κατὰ νόμους εἰς τὸν βεστιάριον ὑπέρπυρα τριάκοντα καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ ἀπριλλίῳ ἰνδ. η' τῷ ͵ςφπ' ἔτει. ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων †.

Σίγνον | μάρτυρος Λέοντος | τοῦ Τζουρουλοῦ. Σίγνον | μάρτυρος Κωνσταντίν | ου τοῦ Πατζῆ.

Σίγνον | μάρτυρος Ἰωάννου τ | οῦ Προυσούχ... Σίγνον | Γεωργίου τοῦ Εὐχ | άλη. Σίγνον | μάρτυρος Ξένου | τοῦ Χλωροῦ.

Σίγνον | μάρτυρος. Ἰωάννου | τοῦ Ἀσκοχώμη.

† Ὁ εὐτελὴς ἱερεὺς ὁ Τεσαΐτης τὰ τοῦ ὕφους δηλούμενα μαρτυρῶν ὑπέγραφα †.

† Μιχαὴλ, ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, τὰ τοῦ ὕφους δηλούμενα γράφας καὶ μαρτυρῶν ὑπέγραφα †.

LX. Sine anno, 25 augusti, ind. VIII.

Lis inter monasterium et Phocam dirimitur.

† Τὸ κρίσιμον γράμμα Φωκᾶ τοῦ τῆς Κυραμαρίας γαμβροῦ, περὶ ὧν ἐπειρᾶτο πραγμάτων καὶ ἀπελογιάσθη †.

† Μηνὶ αὐγούστῳ ἡμέρᾳ κυριακῇ κε' ἰνδ. η' †. Τὴν σήμερον παραστὰς Φωκᾶς, τῆς Κυραμαρίας ὁ γαμβρὸς, περὶ ὧν εἶχε μετὰ τῆς σεβασμίας καὶ ἁγίας μονῆς τῶν Λέμβων, προσεκαλέσατο τοὺς ἐποίκους στρατιώτας τε καὶ οἰκοδεσπότας τῶν χωρίων Μανταίας, τόν τε μεγαλοδοξότατον κῦρ Γεώργιον τὸν Μαντηανὸν, τὸν ἀνδρικώτατον στρατιώτην κῦρ Νικηφόρον τὸν Φαρισσαῖον, τὸν Λέοντα κῦρ . . . . τὸν Πετρίτζην κῦρ Γεώργιον καὶ ἀπὸ τῶν οἰκοδεσποτῶν Λέοντα τὸν Ἀμηραλλῆ, Μιχαὴλ τὸν Ληστὴν, Μανουὴλ τὸν Σαρακηνὸν καὶ Λέοντα τὸν Νυμφαΐτην. ἐζήτησαν οὖν οἱ κριταὶ τὰ τῶν μοναχῶν δικαιώματα, ἤγουν τῆς αὐτῶν σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς, ἐξεῖπον δὲ οἱ μοναχοὶ, ὡς ὅτι ἡμεῖς μετὰ τοῦ Φωκᾶ ὑπόθεσιν οὐκ ἔχομεν, ἀλλ' οὐδὲ κρίσιν, καὶ διὰ τοῦτο ἔδοξε τοῖς κριταῖς εἰπεῖν κατ' ὄψιν πρότερον τῶν μοναχῶν ἀπελθόντων πρὸς τὴν μονὴν αὐτῶν ὡς παρὰ τὸν τοῦ δικαίου λόγου πειρώμενον τὸν Φωκᾶν καὶ τούτου χάριν κακωθέντες τὰ πολλά. ἰδόντες τοίνυν αὐτοὺς οἱ εἰς τὴν μονὴν τούτων μοναχοὶ διηγέρθησαν καὶ ἀράμενοι τὰ τῆς μονῆς δικαιώματα, ἤγουν τὸ χρυσόβουλλον τοῦ ἀοιδίμου ἐν βασιλεῦσιν ἐκείνου καὶ κτήτορος, τό τε πρακτικὸν τῆς τοιαύτης μονῆς καὶ τὴν διαθήκην τοῦ ἀποιχομένου ἱερέως Ἀλεξίου, κατέλαβον πρὸς τοὺς κριτὰς, εἶχον δὲ εἰς χεῖρας καὶ τὴν ὑπογραφὴν τοῦ υἱοῦ τοῦ δηλωθέντος ἱερέως Ἀλεξίου καὶ αὐτοῦ ἱερέως ὄντος, Μιχαὴλ, ὅστις παρὼν ἐγνώρισε τὰ γράμματα τοῦ πατρὸς αὐτοῦ ἐκείνου κατενώπιον τοῦ πράκτορος Λέοντος τοῦ

Τζουρουλληνοῦ καὶ ἀπὸ τῶν οἰκοδεσποτῶν τῶν συμπαροίκων αὐτοῦ Νικολάου τοῦ Κληζομενίτου, Βασιλείου τοῦ Κλαπατᾶ, Μιχαὴλ τοῦ Καλαμπάκη, Ξένου τοῦ Χλωροῦ, Γεωργίου τοῦ Διοσορηνοῦ καὶ ἑτέρων οὐκ ὀλίγων, καὶ διέκριναν ὅ τε μεγαλοδοξότατος κῦρ Γεώργιος ὁ Μαντιανὸς ὁ καὶ προαναφωνηθεὶς καὶ οἱ παρακάτωθεν δηλωθέντες μάρτυρες, ὡς εἶδον τό τε χρυσόβουλλον καὶ τὸ πρακτικὸν καὶ τὴν διαθήκην τοῦ ἱερέως Ἀλεξίου, ἵνα μηδόλως μετέχῃ ὁ Φωκᾶς εἰς ὅπερ ἐπειρᾶτο πρᾶγμα, εἰ μὴ ὡς ἀγοραστής, ἵνα ἀναπαύηται καὶ κάθηται. εἰ δ' οὖν ἐποίησε συμφωνίαν κατενώπιον τῶν κριτῶν, ἵνα κτίσωσιν αὐτὸν οἰκήματα, ἔνθα βούλεται, καὶ οὕτως ἀγοράσωσι καὶ τὸν τόπον αὐτοῦ οἱ μοναχοί. διὰ τοῦτο γοῦν ἐγεγόνει καὶ ἡ ἡμετέρα κρίσις ἐνώπιον καὶ τῶν οἰκοδεσποτῶν τῶν χωρίων τῆς Μανταίας καὶ ἐπεδόθη πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων εἰς οἰκείαν ἀσφάλειαν μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Μιχαὴλ ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας τὴν ἄνωθεν κρίσιν τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῶν Λέμβων καὶ αὐτὸς μαρτυρῶν καὶ γράφας ὑπέγραψα †.

† Ὁ εὐτελὴς διάκονος καὶ νομικὸς Μιχαὴλ ὁ Ληστὴς παρὼν ἐπὶ τῇ παρούσῃ συμβιβαστικῇ κρίσει καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοκυνηγίτης, παρὼν ἐπὶ τῇ παρούσῃ κρίσει καὶ αὐτὸς μαρτυρῶν ὑπέγραφα †.

LXI. 6790—1282, mense iulio, ind. X.

Michaël Phocas monasterio vendit olivas.

† Τὸ πρατήριον ἔγγραφον τῆς συμβίου ἐκείνου Μιχαὴλ τοῦ Φωκᾶ †.

Σίγνον	Εἰρήνης τῆς	Σίγνον	Ἰωάννου
συμβίου ἐκείν	ου Μιχαὴλ τοῦ Φωκᾶ.	τοῦ υἱο	ῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Εἰρήνη, ἐκείνου Μιχαὴλ τοῦ Φωκᾶ ἡ σύμβιος, καὶ ὁ γνήσιος ἡμῶν [υἱὸς] Ἰωάννης κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων κ. τ. λ. ποιοῦμεν . . . . πρὸς τὴν σεβασμίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ταύτης ἡγουμενεύοντα, κῦρ Ἀγάθωνα, καὶ πρὸς τοὺς ὑπ' αὐτὴν ἀσκουμένους ἅπαντας μοναχοὺς εἰς τὸν αἰῶνα τὸν ἅπαντα. καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ ἐν τῇ θέσει τοῦ Τριγωνίου τὰ καὶ πλησιαστὰς ἔχοντα ἀπὸ μὲν ἀνατολῆς τὸν Βυλλούρην, ἀπὸ δὲ δύσεως Θωμᾶν τὸν Πωλᾶν, ἀπὸ δὲ ἄρκτου τὸν Βωλοβόντην, ἀπὸ δὲ μεσημβρίας τὸν Πωλᾶ, ἅπερ ἔχω ἐξ ἀγορασίας ἀπὸ Μανουὴλ τοῦ Κοντοπούλου, πιπράσκομεν πρὸς τὴν ἄνωθεν δηλωθεῖσαν μονὴν, δένδρα ἐλαϊκὰ ἑπτὰ μετὰ τῆς ἀνηκούσης αὐτῶν γῆς καὶ τοῦ ἀρδευτικοῦ αὐτῶν ὕδατος . . . . εἰς ὑπέρπυρα ἓξ ἑξάγια, ἃ δὴ νομίσματα λαβόντες κ. τ. λ., ὀφείλεις δὲ ὑπερ ἐπιτελείας καὶ παντὸς ζητήματος κατ' ἔτος ἀνεπαυξήτως καὶ ἀνυστερήτως . . . . πολιτευόμενον ἓν . . . . εἰ δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς . . . . ἡμῶν πεπρακότα . . . . ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα δεκαπέντε καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ ἰουλίῳ ἰνδ. ι' τοῦ ͵ςφϟ' ἔτους κ. τ. λ.

† Γεώργιος ἱερεὺς ὁ Βαμβουλίδης μαρτυρῶν ὑπέγραψα †.

Μάρτυρες· Νικήτας ὁ Γαλέπης, Μιχαὴλ ὁ Πεπωλημένος, Γεώργιος ὁ Γαλέπης *et subscriptio Nicolai* τοῦ Φιλοκονηγίτου *ut saepius.*

LXII. 6791—1283, mense martio, ind. XI.

Georgius Petritzes monasterio vendit vineam et arbores.

† Τὸ πρατήριον στρατιώτου Γεωργίου τοῦ Πετρίτζη χάριν τοῦ διαφέροντος ὑποστατικοῦ τῇ γυναικαδέλφῃ αὐτοῦ Εἰρήνῃ †.

Signa: Γεωργίου στρατιώτου τοῦ Πετρίτζη, *Mariae, eius uxoris, Michaëlis, eorum filii, Andronici et Michaëlis, fratrum eorum.*

† Ἐν ὀνόματι κ. τ. λ. Γεώργιος ὁ Πετρίτζης καὶ ἡ σύμβιός μου Μαρία καὶ οἱ γνήσιοι ἡμῶν παῖδες κ. τ. λ. τὴν παροῦσαν . . . πρᾶ-

πιν τοῦ κάτωθεν δηλωθησομένου ἀμπελοπεριβολίου . . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ὑπ' αὐτὴν ἡγουμενεύοντα, ἱερομόναχον κῦρ Κάλλιστον κ. τ. λ. καὶ γὰρ τὸ χερσαμπελοπερίβολον τῆς αὐταδέλφης ἡμῶν, κυρᾶς Εἰρήνης τῆς Γορδατίνης, ἤγουν τὸ μεριδικὸν αὐτῆς τὸ ἐντὸς τοῦ περιόρου, ἤγουν χερσάμπελον πινάκων δύο, δρῦς τρεῖς, καρύα μία, συκῆ μία καὶ εἰς τὰς ἐντὸς τούτου δύο συκαμίνους μερίδα τρίτην πιπράσκομεν τὸ μεριδικὸν αὐτῆς, ὅπερ ἐστὶ μετὰ τοῦ ἀρδευτικοῦ αὐτῶν ὕδατος . . . εἰς ὑπέρπυρα ἑξάγια δεκαπέντε κ. τ. λ. εἴ δ' ἴσως βουληθῇ ποτὲ τῶν καιρῶν ἡ αὐταδέλφη ἡμῶν, κυρὰ Εἰρήνη ἡ Γορδατίνα, τοῦ ἀμφιβαλεῖν τι ἀπὸ τούτων, ἵνα ἀντιστρέφωμεν ἡμεῖς τὰ τοιαῦτα νομίσματα πρὸς αὐτὴν ἀνελλιπῆ· ἐὰν δέ τις ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς καὶ φανερῶς ἡμῖν διαπραθέντα . . . . . ζημίᾳ ὑποκεισόμεθα ἐπὶ τὸ διπλάσιον καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ μαρτίῳ ἰνδ. α' τοῦ ͵ϛφϞα' ἔτους κ. τ. λ.

Testes Κωνσταντῖνος ὁ Δριμῆς, Νικήτας ὁ Ψιθυάτης, Ἰωάννης ὁ Κοντοπούλλος.

Subscriptio primicerii tabulariorum Nicolai τοῦ Φιλοκυνηγίτου *solita.*

LXIII. 6791—1283, mense ianuario, ind. XI.

Ioannes Scullatus et soror monasterio vendunt vineam.

† Τὸ πρατήριον τῶν παίδων τοῦ μοναχοῦ Σκουλλάτου χάριν τοῦ ἀμπελίου αὐτῶν, οὗπερ εἶχον ἀπὸ τῆς μητροπόλεως †.

Signa: Ἰωάννου τοῦ Σκουλλάτου, Εἰρήνης τῆς αὐταδέλφης αὐτοῦ, Μιχαὴλ τοῦ ἀνεψιοῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Ἰωάννης ὁ Σκουλλάτος καὶ ἡ αὐταδέλφη μου Εἰρήνη κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν πρᾶσιν τοῦ κάτωθεν δηλωθησομένου ἀμπελίου . . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ὑπ' αὐτὴν ἡγουμενεύοντα, ἱερομόναχον κῦρ Κάλλιστον κ. τ. λ. καὶ γὰρ τὸ ἀμπέλιον, ὅπερ ἀπῆραν οἱ γονεῖς ἡμῶν χωράφιον διὰ σιγιλλιώδους γράμματος

ἀπὸ τοῦ πανιερωτάτου μητροπολίτου Σμύρνης, κυροῦ Ἰωάννου τοῦ Φωκᾶ, τὸ καὶ ἀνασταθὲν παρὰ τῶν γονέων ἡμῶν καὶ εἰς ἀμπέλιον, ἠθελήσαμεν διαπράσασθαι τοῦτο, διὸ ἀπέμεινα μεμονωμένος καὶ ἔχω καὶ ἀπορίαν παντελῆ, καὶ ἐγένοτο καὶ εἰς τὸν τοιοῦτον ἄμπελον ἀμέλεια οὐκ ὀλίγη, τὴν σήμερον πιπράσκομεν αὐτὸ . . . . εἰς ὑπέρπυρα ἑξάγια ἕνδεκα, ὡσεὶ μοδίων ὂν τὸ ἀμπέλιον δύο . . . ὀφείλεις δὲ ὑπὲρ ἐπιτελείας αὐτοῦ καὶ παντοίου ζητήματος τὸ κατ' ἔτος . . . . κόκκια τέσσαρα κ. τ. λ. ἐὰν δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς ἡμῖν; ἀποπραθέντα . . . ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα τριάκοντα καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ ἰαννουαρίῳ ἰνδ. ια' τοῦ ,ςψϞα' ἔτους κ. τ. λ. †.

Μάρτυρες· Μιχαὴλ ὁ Πατζῆς, Ἰωάννης ὁ Γαλέπης, Ξένος ὁ Λασκαριολέτης, ὁ Τζουρουλός, Θεόδωρος ὁ Ζωναρᾶς, Ἰωάννης ὁ Προυσούχ . . †.

Subscriptio Nicolai τοῦ Φιλοκυνηγίτου *solita*.

LXIV. 6767—1259, mense aprili, ind. II.

Irene Scholares monasterio olivas vendit.

† Τὸ πρατήριον ἔγγραφον τῆς γυναικὸς τοῦ Σχολάρη ἐκείνου καὶ τῶν παίδων αὐτῶν χάριν τῶν εἰς τὸν Παρακάλαμον ὄντων ἐλαϊκῶν δένδρων αὐτῶν †.

Signa: Εἰρήνης τῆς συμβίου ἐκείνου τοῦ Σχολάρη καὶ Ἰωάννου. Νικολάου τῶν υἱῶν αὐτοῦ, Ξένου τοῦ μελλογάμβρου αὐτῶν καὶ Ἄννης τῆς συμβίου αὐτοῦ καὶ θυγατρὸς αὐτῶν.

† Ἐν ὀνόματι κ. τ. λ. Εἰρήνη ἡ σύμβιος ἐκείνου τοῦ Σχολάρη καὶ οἱ παῖδες ἐκείνου . . . τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον . . . . πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων . . . . ποιοῦμεν . . . . πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου ἡμῶν θεοτόκου καὶ ἐπ' ὀνόματι τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ἐν αὐτῇ ἡγουμενεύοντα, πανοσιώτατον αὐθέντην καὶ πατέρα ἡμῶν, ἱερομόναχον κῦρ Κύριλλον κ. τ. λ. καὶ γὰρ ἐπεὶ ἔφθασεν ὁ ἀνήρ μου ἐκεῖνος καὶ δέδωκε πρὸς τὴν ῥηθεῖσαν ταύτην σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν δένδρα τὰ ἐν τῷ Παρακαλάμῳ ὄντα, ὅπερ

διὰ συμφώνου μοι δέδωκεν ὁ αὐθέντης καὶ πατήρ μου ἐκεῖνος, Ἰωάννης ὁ Μαγκαφᾶς, τῷ ἀριθμῷ εἴκοσι δύο, ἔδωκε δὲ ἀπὸ τούτων τὰ ἕνδεκα ὑπὲρ μνημοσύνου αὐτοῦ τε καὶ ἡμῶν πρὸς τὴν ῥηθεῖσαν ἁγίαν μονήν, τὰ δὲ ἕτερα ἕνδεκα, ἵνα διαπραθῶσιν εἰς τὴν μονὴν παρ' ἡμῶν. ὡς δέ γε τῷ τέλει τοῦ βίου ἐχρήσατο καὶ εἰς τὰ ἐκεῖθεν ἐπέβη δικαιωτήρια, οὐκ ἔφθασε δὲ ποιήσασθαι πρατήριον εἰς τὰ τοιαῦτα ἐλαϊκὰ πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονήν, τὴν σήμερον γοῦν ἐπιδίδομέν σοι, τῷ πανοσιωτάτῳ αὐθέντῃ καὶ πατρί, καθηγουμένῳ καὶ ἱερομονάχῳ Κυρίλλῳ, τῆς τοιαύτης μονῆς, ἐν πρώτοις τὸ πρατήριον τῶν τοιούτων ἐλαϊκῶν δένδρων, ἔπειτα ὑπὲρ μνημοσύνου ἡμῶν ἐλαϊκὰ δένδρα, ἐπεὶ τὰ ἕτερα ἕνδεκα πιπράσκομεν πρὸς ὑμᾶς εἰς νομίσματα ὑπέρπυρα ἑξάγια τέσσαρα κ. τ. λ. ὅστις γοῦν κ. τ. λ. ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα δώδεκα καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφεύγοντες, ἀλλὰ καὶ ἃς ἔχῃ καταβαλέσθαι εἰς αὐτὰ ἐξόδους εἰς τὸ διπλάσιον ζημιωθεῖεν αὐτάς. μηνὶ ἀπριλλίῳ ἰνδ. β' τοῦ ,ςψξζ' ἔτους κ. τ. λ.

Μάρτυρες· Ξένος ὁ Καπύλλης, Ἰωάννης ὁ Σμύρνης, Ἰωάννης ὁ Μηλαβᾶς, διάκονος ὁ Συρόπουλος, Νικόλαος ὁ Κριτζάτης, Μιχαὴλ ὁ Λιγερός, Νικόλαος ὁ Μαδαρίτης.

† Ὁ γραφεὺς τοῦ ὕφους, εὐτελὴς ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας **Μανταίας**, Ἰωάννης ὁ Λαοδικηνός, τὰ τοῦ ὕφους δηλούμενα γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

LXV. Sine anno, mense iulio, ind. VI.

Ioannes Pardoleo monasterio vendit olivas.

Signa: Ἰωάννου τοῦ Παρδολέοντος, Εἰρήνης τῆς συμβίου αὐτοῦ, Ἀνδρονίκου καὶ Μιχαήλ, τῶν υἱῶν αὐτῶν, καὶ Ῥωμανοῦ τοῦ Βαρίτου.

† Ἐν ὀνόματι κ. τ. λ. ἡμεῖς οἱ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον . . . . πρᾶσιν ποιοῦντες κ. τ. λ. πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης, τὸν ἱερομόναχον κῦρ Κλήμην, τὸν μοναχὸν Σάβαν καὶ πάντας τοὺς μοναχούς, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἐλαϊκὰ ἡμῶν δένδρα, ἅπερ ἔχω ἐκ προικός

μου, τὰ καὶ διαφέροντά μοι καὶ διακείμενα ἐν τῇ τοποθεσίᾳ τοῦ Πραΰλη τὰ καὶ πλησιαστὰς ἔχοντα τοὺς θείους μου τοὺς Βαρίτας καὶ ἐξ ἑτέρωθεν τὰ τῆς μονῆς τοῦ τιμίου Σταυροῦ, ὡσεὶ δεκαὲξ ὄντα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν κ. τ. λ. .... περιεστήσαμεν αὐτὰ .... εἰς ὑπέρπυρα δεκαέξ, ἃ δὴ λαβόντες .... ἐκχωρούμεθά σοι ἐπιλαβέσθαι αὐτῶν .... καὶ ὁμολογοῦμεν .... μὴ εἰς ἀνατροπὴν καὶ μεταμέλειαν ταύτης ὅλως χωρῆσαι .... ἀλλὰ τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμῶν ἐγγράφου ἀποπεμπώμεθα ἄπρακτοι καὶ καταδεδικασμένοι, ἀποδώσομεν δὲ καὶ εἰς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα εἴκοσι καὶ τὸ τίμημα αὐτῶν ἐπὶ τὸ τετραπλοῦν κ. τ. λ. ὀφείλετε δὲ ἐπιτελεῖν κατ' ἔτος ἀνεπαυξήτως ἄσπρον ἓν ... κατὰ μάρτιον. μηνὶ ἰουλίῳ ἰνδ. ἕκτης τοῦ ,ϛ ψ ω' (sic) †.

Signa μαρτύρων Θεόδωρου τοῦ Μαρτίνου, Νικολάου τοῦ Κακαβᾶ, Λέοντος τοῦ Ἀρμένη, Μιχαὴλ τοῦ Ματζούκη, Θεοδώρου τοῦ Βαρίτου.

† Ἰωάννης, ἀναγνώστης καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, ὁ Φωκᾶς, γράφας καὶ μαρτυρῶν ὑπέγραφα †.

LXVI. 6740—1232, mense martio, ind. V.

Nicetas Cabures et uxor monasterio vendunt olivas.

† Τὸ πρατήριον τῶν εἰς τοῦ Παναρέτου ἐλαϊκῶν δένδρων τοῦ Καβούρη καὶ τῆς γυναικὸς αὐτοῦ †.

Signa: Νικήτα τοῦ Καβούρη καὶ Εὐδοκίας τῆς συμβίου αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Νικήτας ὁ Καβούρης καὶ Εὐδοκία ἡ τούτου σύζυγος κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ... πρᾶσιν .... ποιοῦμεν .... πρὸς σέ, τὸν πανηγιασμένον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς ἁγίας μονῆς τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, κῦρ Γεράσιμον, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ τὴν τοιαύτην μονὴν ἅπαν μέρος .... καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ καὶ διακείμενα ἐν τῷ χωρίῳ τοῦ Παναρέτου τὰ περιελθόντα μοι ἐκ προικός μου τὰ καὶ πλησίον τῶν δένδρων τῶν πρώην ἐξωνησαμένων τῇ ὑπὸ σὲ ἁγίᾳ μονῇ ἀπὸ τοῦ πενθεροῦ μου, τοῦ Λεγᾶ

κυροῦ Ξένου, ὁμοίως καὶ ἀπὸ τῶν Ψιθυριτῶν, ἤγουν δένδρα ἐλαϊκὰ εἴκοσι τέσσαρα εἰς ὑπέρπυρα ἑπτά, ἃ δὴ ὑπέρπυρα λαβὼν ὁ πατήρ μου ἀπὸ τῶν χειρῶν ὑμῶν .... ἐχωρούμεθα ὑμῖν ἐπιλαβέσθαι αὐτῶν κ. τ. λ. ὅστις οὖν ἐξ ἡμῶν βουληθῇ ὑπὲρ ἀνατροπῆς τῆς ἡμῶν πράσεως ..... ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα τριάκοντα καὶ ἓξ καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. τελεῖν δὲ ὀφείλει ἡ μονὴ πρὸς τὸ μέρος τοῦ λιζιοῦ καβαλλαρίου τοῦ Σοργαρῆ .... ἓν πραττόμενον. μηνὶ μαρτίῳ ἰνδ. ε' τοῦ ‚ςφμ' ἔτους †.

LXVII. 6789—1281, mense aprili, ind. XI.

Uxor Ioannis Isidori et Anna Conti monasterio vendunt olivas.

† Τὸ πρατήριον ἔγγραφον τῆς γυναικὸς Μιχαὴλ τοῦ Ἰσιδώρου καὶ τῶν παίδων αὐτῆς, ἀλλὰ δὴ καὶ τῆς θυγατρὸς τοῦ Κοντοῦ Ἄννης χάριν τῶν εἰς τοῦ Ἐνκόπου ἐλαϊκῶν δένδρων, ἑνωμένων ὄντων καὶ τῶν ἀμφοτέρων εἰς ἓν περιβόλιον †.

Signa Μαρίας τῆς συμβίου Μιχαὴλ τοῦ Ισιδώρου, Θεοδώρου τοῦ υἱοῦ αὐτῶν, Ἰωάννου τοῦ αὐταδέλφου αὐτοῦ, Ἄννης τῆς θυγατρὸς τοῦ Κοντοῦ, Ἰωάννου τοῦ Ἀρμένη.

† Ἐν ὀνόματι κ. τ. λ. οἱ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων .... ποιοῦμεν .... πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν .... τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ἐν αὐτῇ ἡγουμενεύοντα ἱερομόναχον, κῦριν Ἀγάθωνα ... καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ ἐκ προικόθεν διαφέροντα ἡμῖν τὰ ἐν τῇ θέσει τοῦ Ἐνκόπου τὰ καὶ πλησιάζοντα οὕτως· νότιον μέρος τὸν κῦρ Κωνσταντῖνον ἐκεῖνον, βόρειον μέρος τὰ τῆς μονῆς τοῦ κυροῦ Κοσμᾶ, ἀνατολικὸν τὸ αὐλάκιν τοῦ Ἀληθινοῦ, δυτικὸν δὲ μέρος τὰ τοῦ Μαυροϊωάννου, πιπράσκομεν πρὸς τὴν τοιαύτην μονὴν ἤγουν δένδρα ἐλαϊκὰ τεσσαράκοντα μετὰ καὶ τοῦ ἐκεῖσε χωραφίου .... εἰς ὑπέρπυρα τριάκοντα καὶ ἓξ .... ὀφείλεις δὲ ὑπὲρ ἐπιτελείας αὐτῶν καὶ παντοίου ζητήματος κατὰ μάρτιον μῆνα ἀνεπαυξήτως καὶ ἀνυστερήτως ὑπερπύρου ἥμισυ κ. τ. λ. ἐὰν δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς καὶ φα-

νερῶς παρ' ἡμῶν διαπραθέντα, ... ἀντιστρέψαι ἔχομεν ὑπὲρ ἀντιλογίας πρὸς τὴν μονὴν τὸ τοιοῦτον τίμημα ἐπὶ τὸ τριπλάσιον καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. ὡσαύτως κἀγὼ Ἄννα ἡ θυγάτηρ τοῦ Κοντοῦ στέργουσα τὰ τῆς περιλήψεως τοῦ παρόντος ὕφους πιπράσκω πρὸς τὴν τοιαύτην μονὴν δένδρα ἐλαϊκὰ δέκα εἰς ὑπέρπυρα ἐννέα, ἅτινα καὶ εἰσὶν ἐντὸς τοῦ τοιούτου περιβολίου, ὡς γινόμενα τὰ ὅλα δένδρα πεντήκοντα εἰς ὑπέρπυρα τεσσαράκοντα καὶ πέντε, ὑπὲρ ὧν ἐπιτέλειαν κατ' ἔτος κοκκία δύο. ἐπὶ παρρησίᾳ Λέοντος τοῦ Μανιάκη μηνὶ ἀπριλλίῳ ἰνδ. θ' ͵ςψπθ' ἔτους †.

Σίγνα μαρτύρων Χριστοφόρου τοῦ Γερμενάκη, Ἰωάννου τοῦ Κοντοπούλου, Λέοντος τοῦ Μαγουλᾶ, Μιχαὴλ τοῦ Κοσκινᾶ, Ἰωάννου τοῦ Βασιλείου, Γεωργίου τοῦ Χορδάτου.

Subscriptio solita Νικολάου τοῦ Φιλοκυνηγίτου.

LXVIII. 6787—1279, mense martio, ind. VII.

Christophorus Germenaces monasterio vendit olivas.

† Τὸ πρατήριον Χριστοφόρου τοῦ Γερμενάκη καὶ τῆς γυναικὸς αὐτοῦ, τοῦ υἱοῦ καὶ τῆς ἀδελφῆς, χάριν τῶν ἐλαϊκῶν δένδρων αὐτῶν τῶν καὶ πλησιαζόντων τὰ τοῦ Κοσκινᾶ δένδρα καὶ τὰ προσενεχθέντα τῇ μονῇ παρὰ τοῦ Βρανᾶ †.

Σίγνον Χριστοφόρου τοῦ Γερμενάκη, Μιχαὴλ τοῦ υἱοῦ αὐτοῦ, Μαρίας τῆς ἀδελφῆς αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Χριστοφόρος ὁ Γερμενάκης καὶ οἱ γνήσιοι παῖδες αὐτοῦ κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον .... πρᾶσιν τῶν κάτωθεν δηλωθησομένων ἐλαϊκῶν δένδρων ...... ποιοῦμεν κ. τ. λ. πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορας τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν ἡγουμενεύοντα ταύτης, μοναχὸν Ἀντώνιον ..... καὶ γὰρ τὰ ἐλαϊκὰ δένδρα τὰ περιελθόντα ἡμῖν ἐξ ἀγορασίας ἀπὸ τοῦ ἱερωτάτου ἐπισκόπου Ψιθύρων, κυροῦ Λέοντος τοῦ Βαρυπάτου, ἅπερ εἶχεν αὐτὸς ἀπὸ τοῦ Κοσκινᾶ' τὰ καταπλησίον τῶν δένδρων, ὧν ἐδωρήσατο Κομνηνὸς ὁ Βρανᾶς εἰς τὴν τοιαύτην μονήν, πλησίον ὄντα καὶ ἀπὸ μέρους νοτίου τῶν ἐλαιοφύτων τοῦ Κοσκινᾶ. τὰ τοιαῦτα γοῦν δένδρα ἔχω ὁμοῦ μετὰ τοῦ

Φωκᾶ Ἰωάννου τῷ ἀριθμῷ δεκατέσσαρα. ἐξ αὐτῶν πικράσκω πρὸς τὴν μονὴν δένδρα ἑπτὰ μετὰ καὶ τῆς ὑποσκιαζούσης αὐτῶν γῆς εἰς ὑπέρπυρα ἑξάγια πέντε .... δι' ὧν καὶ ὀφείλετε ὑπὲρ ἐπιτελείας καὶ παντοίου ζητήματος .... κατὰ μάρτιον πρὸς ἡμᾶς .... ἕν .... τοίνυν παραδεδώκαμεν ὑμῖν τὰ τοιαῦτα ἑπτὰ δένδρα, ὡς ἂν κατέχητε αὐτὰ κ. τ. λ. ἐὰν δέ τις ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι τὰ καλῶς καὶ φανερῶς ἡμῶν ἀποπραθέντα .... ζημίᾳ ὑποκεισόμεθα ὑπέρπυρα τριάκοντα ἓξ καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ μαρτίῳ ἰνδ. ζ' τοῦ ͵ςψπζ' ἔτους.

Σίγνα μαρτύρων· Ἰωάννου τοῦ Κοντοπούλου, Νικολάου τοῦ ἀδελφοῦ αὐτοῦ, Μανουὴλ τοῦ Πωλέα, Ἰωάννου τοῦ ἑτέρου Κοντοπούλου, Ἰωάννου τοῦ Φωκᾶ, Μιχαὴλ τοῦ Τραχοντινοῦ, Ἰωάννου τοῦ Κοσκινᾶ, Μιχαὴλ τοῦ Κοσκινᾶ.

Subscriptio solita Nicolai τοῦ Φιλοκυνηγίτου.

LXIX. 6793—1285, mense martio, ind. XIII.

Monachus Lucas Tzurulus monasterio donat olivas et campum.

† Τὸ διαθηκῷον γράμμα τοῦ μοναχοῦ Λουκᾶ τοῦ Τζουρουλλοῦ χάριν τῶν ἐλαϊκῶν δένδρων, ὧν ἐπαφῆκεν εἰς τὴν μονήν †.

Ἐπειδήπερ τῇ ἀνθρωπείᾳ φύσει κ. τ. λ. διὰ τοῦ[το] κἀγὼ Λέων ὁ Τζουρουλός, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Λουκᾶς μοναχός, νόσῳ δεινῇ περιπεσὼν κ. τ. λ. ἐπαφίημι εἰς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης, ἔνθα ἀπεκάρην τὴν κόμην τῆς κεφαλῆς καὶ μέλλει ἐνσοριασθῆναι καὶ τὸ πήλινόν μου σῶμα, δένδρα ἐλαϊκὰ τεσσαράκοντα καὶ ἓξ μετὰ καὶ τοῦ ἐκεῖσε χωραφίου, οἵου καὶ ὅσου ὄντος, ἅπερ ἔχω ἐξ ἀγορασίας ἀπὸ τοῦ Καπνοῦ ἐκείνου κυροῦ Γεωργίου καὶ ἀπὸ τοῦ αὐταδέλφου μου, κυροῦ Νικολάου, μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, δι' ὧν καὶ ὀφείλει τελεῖν ἡ μονὴ πρὸς τὸ μέρος τοῦ Καπνοῦ κατ' ἔτος κοκκία ὀκτὼ ἀνεπαυξήτως καὶ πλέον οὐδέν, ἃ δὴ καὶ ὀφείλει κατέχειν καὶ νέμεσθαι εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους καὶ ποιεῖν ἐπ' αὐτὰ πάντα τὰ δόξαντα τῇ μονῇ. ὅστις δὲ ἀφ' ἡμῶν τῶν μερῶν βουληθῇ ἀνατρέψαι κ. τ. λ. ζη-

μίᾳ ὑποκείσεται πρὸς τὸν δημόσιον κ. π. λ. παρῆσαν δὲ μάρτυρες ἐν τῇ παρούσῃ διαθήκῃ ὅ τε Ἰωάννης ὁ Γαλέπης, ὁ Δρουγγάρης Γεώργιος, Κωνσταντῖνος ὁ Πατζὸς, Ξένος ὁ Χλωρὸς καὶ Νικόλαος ἀναγνώστης ὁ Νιράτης, ὑπεγράφη δὲ καὶ παρ' ἐμοῦ εἰς βεβαίωσιν καὶ ἀσφάλειαν μηνὶ μαρτίῳ ἰνδ. ιδʹ. τοῦ ͵ςφϞγʹ ἔτους †.

Subscriptio solita Νικολάου τοῦ Φιλοκυνηγίτου.

LXX. Sine anno, mense martio, ind. V.

Imperator monasterio confirmat possessionem praedii S. Panteleemonis et olivarum, quae sunt in vico Panareto.

† Ἐπικυρωτικὸν πρόσταγμα χάριν τοῦ μετοχίου τοῦ εἰς τὸν ἅγιον Παντελεήμονα καὶ τοῦ εἰς αὐτὸ παντοίων πραγμάτων καὶ τῶν εἰς τὸν Φοίνικα ἐλαϊκῶν δένδρων †.

† Ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς παρὰ τῆς βασιλείας μου ἀνακαινισθείσης καὶ ἐπιλεγομένης τῶν Λέμβων ὑπέμνησε τὴν βασιλείαν μου, ὡς ἔφθασε προσαρμόσαι ταύτῃ ἐξ ἀγορασίας δικαίας ἐν τῷ χωρίῳ Παναρέτου ἐν τῇ τοποθεσίᾳ τοῦ Φοίνικος ἐλαϊκὰ δένδρα καὶ ἐν τῇ Μανταίᾳ μετόχιον τὸν ἅγιον Παντελεήμονα, ἐκδοθὲν αὐτῷ παρὰ τοῦ κτήτορος Ἀλεξίου ἱερέως μετὰ πάντων τῶν δικαίων αὐτοῦ, ἤγουν ἐλαϊκῶν δένδρων ἀπό τε κόπων αὐτοῦ ἀποκαταστάντων τῷ τοιούτῳ μετοχίῳ καὶ ἀπὸ προσενέξεων φιλοχρίστων ἀνθρώπων καὶ ἑτέρων πραγμάτων, προσκυρωθέντων τῷ τοιούτῳ μετοχίῳ παρὰ τοῦ ῥηθέντος κτήτορος. ἐδεήθη γοῦν ὁρισμοῦ τῆς βασιλείας μου, ἑδράζοντος αὐτῷ τὴν κατοχὴν τῶν ὡς δεδήλωται προσαρμοσάντων αὐτῷ. ἡ γοῦν βασιλεία μου τῆς δεήσεως αὐτοῦ ἐπακούσασα τὸν παρόντα ὁρισμὸν ἐπιβραβεύει αὐτῷ, δι' οὗ καὶ διορίζεται, τὸ στέργον καὶ ἀπερικλόνητον ἔχειν τὰ προσόντα αὐτῷ χαρτῷα δικαιώματα ἐπὶ τοῖς ῥηθεῖσι καὶ κατέχεσθαι τὰ ἐν αὐτῇ ἐμπεριειλημμένα, ὡς δεδήλωται, παρὰ τοῦ μέρους τῆς τοιαύτης μονῆς ἀναφαιρέτως καὶ ἀμετακινήτως καὶ μηδόλως ἔχειν τὴν τοιαύτην μονὴν τὴν τυχοῦσαν ὄχλησιν ἀπό τινος τῶν ἁπάντων ἢ τῶν στρατευομένων ἢ ἑτέρου, μηδὲ καθέλκεσθαι ταύτην εἰς πλείονα ἀπόδοσιν παρὰ τὸ ἐν τοῖς τοιούτοις χαρτῴοις δικαιώμασι ἐγκείμενον· ὅθεν καὶ ὀφείλει ἡ τοιαύτη μονὴ

ἔχειν ἐπὶ τοῖς ῥηθεῖσι δεσποτικὸν δίκαιον κατὰ τὰ προσόντα αὐτῇ χαρτῷα δικαιώματα, ὡς εἴρηται. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει αὐτῇ εἰς ἀσφάλειαν καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου †.

† Εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. ε' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

† Καὶ κηρίνην βοῦλλαν κάτωθεν ἀπῃωρημένην, μᾶλλον δὲ ἐγκεκολλημένην καὶ διὰ τοῦ Τορνίκη Δημητρίου ἐνσεσημασμένον, ὡς ἔθος, τῶν μεσαζόντων ταῖς βασιλικαῖς ἐνοχαῖς καὶ παρατελεύσεσιν †.

LXXI. Sine anno, mense martio, ind. III.

Imperator Ioannes Ducas Vatatzes possessiones monasterii defendi iubet.

† Πρόσταγμα διορίζον τῷ πιγκέρνῃ Κομνηνῷ τῷ Κανταχουζηνῷ δεφεῦδεύειν τὴν μονὴν εἰς τὰ προσχορωθέντα ἐλαϊκὰ δένδρα παρὰ τοῦ ἀοιδίμου ἐν βασιλεῦσι καὶ ἁγίου κτήτορος αὐτῆς, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἐπεὶ διηνωχλοῦντο παρὰ τοῦ μητροπολίτου Σμύρνης †.

† Οἰκεῖε τῇ βασιλείᾳ μου πιγκέρνῃ, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, Κομνηνὲ κῦρ Ἰωάννη Κανταχουζηνέ. ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβων, ἱερομόναχος Παῦλος, ἀνήνεγκε τῇ βασιλείᾳ μου, ὡς ἐλαϊκὰ εἴκοσι πρὸς τοῖς ἐννέα δένδρα, ἃ διὰ χρυσοβούλλου τῆς βασιλείας μου προσεκυρώθησαν τῇ μονῇ καὶ κατέχουσι ταῦτα χρόνους ἱκανούς, πειρᾶται ὁ ἱερώτατος μητροπολίτης Σμύρνης ὑφ' ἑαυτὸν ποιήσασθαι καὶ διὰ τοῦτο τρυγησάντων ταῦτα τῶν μοναχῶν ἀπέστειλε νυκτὸς καὶ ἀφείλετο τὸν καρπὸν αὐτῶν καὶ ἔτι κρατεῖ αὐτόν. διορίζεταί σοι οὖν ἡ βασιλεία μου, ἵνα ἀναλάβῃ ἀπὸ τοῦ μέρους τοῦ μητροπολίτου κατὰ τὸ ἀκέραιον τὸν τοιοῦτον καρπὸν τῶν ἐλαιῶν καὶ ἐπιδώσεις πρὸς τοὺς μοναχούς, ποιήσῃς δὲ ἐπιφώνησιν εἰς τὸ μέρος αὐτοῦ, μὴ ἄλλοτέ ποτε ὀχλῆσαι τὸν μητροπολίτην τὸ τῆς μονῆς μέρος ἕνεκα τῶν τοιούτων ἐλαϊκῶν δένδρων, ὡς διὰ χρυσοβούλλου τῆς βασιλείας [μου] προσκυρωθέντων τῇ μονῇ. ποίησον

οὖν ἀνυπερθέτως κατὰ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα, ὃ καὶ ἀντίστρεφον πρὸς τὴν μονὴν δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. τρίτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

LXXII. 6791—1291, mense februario, ind. IV.

Michaël Angelus Cumpariotes monasterio donat olivas.

† Τὸ γράμμα τῆς προσενέξεως τοῦ Κουμπαριώτου Ἀγγέλου Μιχαὴλ χάριν τῶν ἀπὸ τῆς γυναικὸς αὐτοῦ Μαρίας τῆς Βουζηνῆς ἀφεθέντων αὐτῷ ἐνδιαθήκως ἐλαϊκῶν δένδρων ἐν τῇ Μανταίᾳ †.

Σίγνον στρατιώτου Μιχαὴλ τοῦ Κουμπαριώτου.

† Ἐν ὀνόματι κ. τ. λ. Μιχαὴλ Ἄγγελος ὁ Κουμπαριώτης τὸ παρὸν τῆς προσαγωγῆς ἡμῶν γράμμα ἤγουν προσενέξεως· ἐπεὶ καὶ ἄνωθεν τοῦ παρόντος ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οἰκειοχείρως ἐποίησα· ἔφθασε δὲ ἡ γυνή μου ἐκείνη, κυρὰ Μαρία ἡ Βουζηνή, χρήσασθαι τῷ τέλει τοῦ βίου, ἥτις καὶ ἐπαφῆκέ μοι διὰ γράμματος αὐτῆς ἐνώπιον ἀξιοπίστων τοπικῶν ἀρχόντων ἐκ τῆς προικὸς αὐτῆς, ὅπερ ἂν καὶ εἶχε θέλημα· μετὰ τῶν ὅλων ἐπαφῆκέ μοι καὶ εἰς τὴν Μάνταιαν ἐξ ὅσων καὶ εἶχε δένδρων ἐλαϊκῶν τὰ τρίτα τούτων. τὴν σήμερον γοῦν ἠθέλησα ὅπως ἐπιδώσω τὸ μεριδικόν μου δίκαιον εἰς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης, ὅπερ δὴ καὶ παραδίδωμι πρὸς ταύτην ψυχικῆς ἕνεκα σωτηρίας τῆς μακαρίτιδος γυναικός μου ἐκείνης, κυρᾶς Μαρίας, ἤγουν δένδρα ἐλαϊκὰ εἴκοσι μετὰ καὶ τῆς ἐπισκιαζούσης αὐτῶν γῆς τὰ καὶ πλησίον ὄντα τῶν ἔκπαλαι δένδρων τῆς τοιαύτης μονῆς, καὶ ὀφείλει ἡ μονὴ ἀπὸ τῆς σήμερον ἐπικρατεῖν καὶ δεσπόζειν αὐτῶν μετὰ τῶν ὑπ' αὐτὴν ἀσκουμένων μοναχῶν ὡς κύριοι· δεσπόται τῶν τοιούτων δένδρων. εἰ δέ τις ἀφ' ἡμῶν τῶν μερῶν ἢ τῶν προσγενῶν ἡμῶν καὶ ἀλλοτρίων βουληθῇ ἀνατρέψαι τὰ καλῶς καὶ φανερῶς παρ' ἡμῶν ἐκδοθέντα καὶ ἀφιερωθέντα τῇ δηλωθείσῃ μονῇ κ. τ. λ. ζημιωθήσεται εἰς τὸ βασιλικὸν βεστιάριον ὡς ἀθετητὴς τῆς γεγονυίας ἡμῶν πράξεως ὑπέρπυρα λίτραν μίαν

κ. τ. λ. μηνὶ φευρουαρίῳ ἰνδ. τετάρτης τοῦ ,ϛφλ ἐνvάτου ἔτους ἐνώπιον τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων †.

Subscriptio solita Nicolai τοῦ Φιλοκυνηγίτου.

LXXIII. Sine anno, mense februario, ind. XI.

Testimonium Barnabae Planitae de quibusdam olivis.

† Ἔγγραφος μαρτυρία τοῦ μοναχοῦ Βαρνάβα τοῦ Πλανίτου περὶ τῶν ὄπισθεν τοῦ ὀσπητίου ἐλαϊκῶν δένδρων τῶν εἰς τὸν Πλάνον †.

† Κἀγὼ Βαρνάβας ὁ Πλανίτης μαρτυρῶ ἐνώπιον τοῦ θεοῦ καὶ οὐ λέγω μάρτυς μου ὁ αὐτὸς θεὸς διὰ τρόπον τινὰ κακόσχολον, ἀλλὰ τὴν ἀλήθειαν, ὡς ὅτι τὰ ἐλαϊκὰ δένδρα τὰ ὄπισθεν τοῦ ὀσπητίου, ἀριθμῷ ὄντα εἴκοσι τρία, οὐκ ἦσαν ἀπὸ τοῦ ἡμετέρου στίχου, ἀλλ' ἐκεῖνος κατεφύτευσε ταῦτα ὁ μοναχὸς Πλανίτης Γαβριὴλ, ὁ γαμβρὸς τῆς Πορινοῦς, καὶ κατεφύτευσε τὰ τοιαῦτα δένδρα λόγῳ τὴν ἐκκλησίαν τοῦ ἁγίου Πολυκάρπου. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσά μου μαρτυρία μηνὶ φευρουαρίῳ ἰνδ. ια' †.

LXXIV. Sine anno, 9 februarii, ind. II.

Manuel Ducas monasterio donat campos.

† Γράμμα χαριστικὸν χάριν τῶν χωραφίων, ὧν κατεδυνάστευον οἱ πάροικοι τοῦ Δούκα κυροῦ Μανουὴλ γεγονὸς παρ' αὐτοῦ †.

† Κατὰ τὴν σήμερον ἡμέραν, ὅπερ ἐστὶ σάββατον θ' τοῦ φευρουαρίου μηνὸς τῆς νῦν τρεχούσης δευτέρας ἰνδ., ἀποχαρίζομαι πρὸς τὸν καθηγούμενον τῆς σεβασμίας μονῆς τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης, κῦρ Κάλλιστον, τὰ χωράφια, ἅπερ ἔφθασαν καὶ κατεκράτησαν ἀπὸ τοῦ ἡμετέρου κτήματος ἄνευ ὧν ἔχουσι χωραφίων κατεσπαρμένων οἱ πάροικοί μου, τὰ δὲ ἕτερα, ὅσα κρατοῦσιν ἀρτίως οἱ μοναχοὶ καὶ ἔχουσιν αὐτὰ καὶ κατεσπαρμένα, ὀφείλουσιν ἵνα ἐπικρατῶνται καὶ νέμωνται ὡς καὶ πρότερον παρὰ τῶν τῆς τοιαύτης μονῆς μοναχῶν ἀνενοχλήτως καὶ ἀδιασείστως τῇ ἐμφανείᾳ τοῦ παρόντος μου γράμματος. διὰ γὰρ τοῦτο ἐγεγόνει τῇ διαληφθείσῃ

μονῇ καὶ ἡ παροῦσα ἡμετέρα γραφὴ εἰς ἀσφάλειαν μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μανουὴλ ὁ Δούκας †.

LXXV. Sine anno, mense iunio, ind. IV.

Imperator monasterio donat campos.

† Τὰ τοῦ μετοχίου τῶν Παλατίων χαρτῷα δικαιώματα, ἅτινα δὴ καὶ ἄρχονται ἀπὸ τῶν ὧδε. Πρόσταγμα δωρεαστικὸν περὶ τῆς δωρηθείσης εἰς τὸ βασιλικὸν ζευγηλατεῖον τὸν Κούκουλον γῆς ζευγαρίων δύο †.

† Ἡ βασιλεία μου δωρεῖται διὰ τῆς παρούσης προστάξεως τῷ μέρει τῆς σεβασμίας μονῆς τῶν Λέμβων γῆν ζευγαρίων δύο εἰς τὸ ζευγηλατεῖον τῆς βασιλείας μου τὸν Κούκουλον, ἐφ' ᾧ καὶ ὀφείλει ὁ ἐπικρατῶν τὸ τοιοῦτον ζευγηλατεῖον τῆς βασιλείας μου παραδοῦναι τῷ μέρει τῆς μονῆς τὴν τοιαύτην γῆν, ὡς ἂν κατέχῃ ταύτην καὶ ἐργάζηται καὶ τὴν ἐξ αὐτῆς εἰσοδιάζῃ εἴσοδον εἰς συγκρότησιν τῶν ἐν τῇ τοιαύτῃ μονῇ ἀσκουμένων μοναχῶν. διὰ γὰρ τοῦτο ἐγεγόνει εἰς ἀσφάλειαν καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου †.

† Εἶχε τό· μηνὶ ἰουνίῳ ἰνδ. δ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

LXXVI. Sine anno, mense iulio, ind. IV.

Descriptio duorum camporum.

† Ὁ γεγονὸς ἔγγραφος περιορισμὸς διὰ γραφῆς τοῦ ἐπικρατοῦντος τὸ βασιλικὸν ζευγηλατεῖον Στεφάνου τοῦ Καλοπυροῦ χάριν τῆς δωρηθείσης ἐκεῖσε τῇ μονῇ δύο ζευγαρίων γῆς †.

† Ἐπεὶ θεῖος καὶ βασιλικὸς προσκυνητὸς [ὁρισμὸς] κατεπέμφθη τῷ καθηγουμένῳ τῆς σεβασμίας μονῆς τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης, ὅστις καὶ ἐγράφη ἄνωθεν, κατὰ γοῦν τὴν περίληφιν τοῦ τοιούτου θείου βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ ἡμφάνισαν

ἡμῖν καὶ γραφὴν κυροῦ Στεφάνου τοῦ Καλοπυροῦ τάδε κατὰ ῥῆμα διοριζομένην· ἡμέτερε ἄνθρωπε Βασίλειε παλατοφύλαξ, καὶ σύ, Μονόμαχε, καὶ οἱ λοιποὶ ἅπαντες· βασιλικὸς ὁρισμὸς κατεπέμφθη πρὸς ἡμᾶς, ἵνα ἐπιδώσομεν γῆν ζευγαρίων δύο, καὶ ἰδοὺ γράφω ὑμῖν, ἵνα ἐπάρητε τὸν Παπαδόπουλον ἀπὸ τοῦ Κουκούλου καὶ τὸν σύντεκνόν μου, τὸν κῦρ Κωνσταντῖνον, καὶ τὸν νομικόν, καὶ χωρίσητε ἀπὸ τῆς γῆς τῆς βασιλικῆς, ἣν οἴδατε ὑμεῖς, καὶ ἐπιδώσετε πρὸς τὸ μέρος τῆς μονῆς τῶν Λέμβων μετὰ περιόρου καὶ ἀσφαλείας, καὶ ἐξάπαντος ποιήσατε τοῦτο, ἐπάρατε δὲ καὶ τὸν Μαυρόραχον ὡς εἰδήμονα. φυλαχθείητε. εἶχε δὲ καὶ ὑπογραφήν. † Ὁ δοῦλος τοῦ βασιλέως Στέφανος ὁ Καλοπυρός †.

Τοίνυν καὶ κατὰ τὴν περίληψιν τοῦ τε θείου καὶ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ καὶ τὴν εἴδησιν τῆς γραφῆς κυροῦ Στεφάνου τοῦ Καλοπυροῦ ἀπήλθομεν ὅ τε Βασίλειος ὁ παλατοφύλαξ καὶ οἱ μετ' αὐτὸν ὁρισθέντες καὶ τοῦ καθηγουμένου τῆς σεβασμίας μονῆς τῶν Λέμβων εἰς τὴν γῆν, ἣν ἔμελλον περιορίσασθαι, καὶ περιωρίσαμεν οὕτως· ἠρξάμεθα ἀπὸ τοῦ καταλύματος τοῦ Ἀριστηνοῦ ἤγουν ἀπὸ τοῦ πλησιάζοντος αὐτὸ λάκκου συνενωμένον, κρατοῦντος τὴν ὁδὸν τὴν ἀπάγουσαν ἐν τῷ Σαρρακηνικῷ, ἐῶντος δεξιὰ τὰ χωράφια τῆς Κρατερῆς, ἀριστερὰ τὸ περιοριζόμενον, κλίνοντος ὀλίγον πρὸς δυσμὰς καὶ καταντοῦντος εἰς τὸ παλαιοευκτήριον τοῦ ἁγίου Γεωργίου, εἰς ὃ ἵσταται καὶ λίθος μαῦρος, κρατοῦντος τὸν αὐτὸν ἀέρα πρὸς ὀλίγον καὶ ἀκουμβίζοντος εἰς τὴν στήλην τὴν σταθεῖσαν παρ' ἡμῶν, ἤγουν ἄσπρη πέτρα, ἐῶντος δεξιὰ τὰ χωράφια τῆς Κρατερῆς, ἀριστερὰ τὸ περιοριζόμενον, εἶθ' οὕτως ἀνακλίνοντος πρὸς ἄρκτον τὸν αὐτὸν ἀέρα, καὶ ἀκουμβίζει εἰς τὴν ἑτέραν στήλην τὴν σταθεῖσαν παρ' ἡμῶν τὴν μαύρην, ἀριστερὰ τὸ περιοριζόμενον, δεξιὰ τὰ δίκαια τῆς Κρατερῆς, κλίνει δὲ πρὸς δυσμὰς εἰς τὰ χωράφια τοῦ Μαυροράχου, εἰς ἃ ἐστήσαμεν καὶ μαύρην στήλην τετράγωνον, ἀριστερὰ τὸ περιοριζόμενον, δεξιὰ τὰ δίκαια τοῦ Μαυροράχου, καὶ οὕτως κλίνει πρὸς ἄρκτον, κρατοῦντος τὸν αὐτὸν ἀέρα καὶ ἀκουμβίζοντος μέσον τοῦ τοιούτου ἀέρος, εἰς ἃ ἐστάθη παρ' ἡμῶν καὶ στήλη ἄσπρη, συνεπαγόμενον τὸν τοιοῦτον ἀέρα, ἀκουμβίζοντος εἰς τὰ χωράφια τοῦ βασιλικοῦ βεστιαρίτου, κυροῦ Ἰσαακίου τοῦ Λεβούνη, εἰς ἃ ἐστήσαμεν στήλην μαύρην, ἐῶντος ἀριστερὰ τὰ περιοριζόμενα, δεξιὰ τὰ δίκαια τοῦ Λεβούνη,

κρατοῦντος τὸν αὐτὸν ἀέρα πρὸς ὀλίγον καὶ ἀκουμβίζοντος εἰς τὴν στήλην τὴν βασιλικήν, τὸν μαῦρον κίονα, συνεπαγόμενον τὸν τοιοῦτον ἀέρα καὶ ἀκουμβίζοντος εἰς τὸν ποταμὸν τὸν Ἕρμον, εἶθ' οὕτως ἀνακλίνοντος πρὸς ἀνατολάς, κρατοῦντος το μονοπάτον τὸ ἀπαγόμενον εἰς τὸ κατάλυμα τοῦ Ἀριστηνοῦ, ἔνθα καὶ ἠρξάμεθα. τῆς γοῦν τοιαύτης γῆς τῆς δι' ὁρισμοῦ τοῦ αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου δωρηθείσης τῇ τοιαύτῃ μονῇ περιωρίσθη παρ' ἡμῶν, ἤγουν τοῦ παλατοφύλακος Βασιλείου τοῦ Παπαδοποόλου Μιχαήλ, τοῦ Καλοστρατήγου Κωνσταντίνου καὶ τοῦ πρωτοπαπᾶ Μιχαὴλ τοῦ Μοσχηνοῦ, καὶ ἀποκατεστήσαμεν αὐτὴν ἐπὶ τελείᾳ ἀποκαταστάσει. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν περιορισμὸς εἰς ἀσφάλειαν. μηνὶ ἰουλίῳ ἰνδ. δ'. †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς τῆς ἐνορίας Λεύκης καὶ Κουκούλου καὶ πρωτοπαπᾶς Μιχαὴλ ὁ Μοσχηνὸς τὸν παρόντα περιορισμὸν γράψας ὑπέγραψα †.

† Εἶχε καὶ ὄπισθεν ταῦτα· μηνὶ ὀκτωβρίῳ η', ἡμέρᾳ δ' ἰνδ. ε' ἐπὶ παρουσίᾳ τῶν θεοφιλεστάτων κληρικῶν καὶ ἀρχόντων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, τοῦ τε πρωτοψάλτου, κυροῦ Γεωργίου τοῦ Σαμουήλ, τοῦ πρωτεκδίκου, κυροῦ Κωνσταντίνου τοῦ Καθαροῦ, τοῦ ἱερέως κυροῦ Λέοντος τοῦ Σκορτζίδη καὶ ἑτέρων †.

† Ὁ παρὼν περιορισμὸς τῶν ἐντὸς δηλουμένων χωραφίων προσκομισθεὶς ἡμῖν παρὰ τοῦ πανοσιωτάτου ἐν ἱερομονάχοις καὶ καθηγουμένου τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβων, κυροῦ Γερασίμου, σωζομένου τοῦ ἀζημίου τῆς καθ' ἡμᾶς μητροπόλεως εἰς τὰ ἐν τῷ κάμπῳ τοῦ Μεμανιωμένου διαφέροντα αὐτῇ χωράφια ἐπεγράφη καὶ παρ' ἡμῶν κατ' ἔντευξιν τοῦ ῥηθέντος καθηγουμένου εἰς πλείονα ἀσφάλειαν μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ μητρο ολίτης Σμύρνης Γεώργιος †.

LXXVII. Sine anno, mense maio, ind. VII.

Imperatoris praeceptum de dono, quod fecit monasterio in loco dicto Cuculo.

† Πρόσταγμα δωρεαστικὸν χάριν τῶν εἰς τὰ Παλάτια, ἤγουν τοῦ ἐκεῖσε ναοῦ, τῶν οἰκημάτων, τοῦ περιβολίου, τοῦ λουτροῦ καὶ τῶν προσκαθημένων ξένων †.

† Ἐπεὶ ἔφθασεν ἡ βασιλεία μου δωρήσασθαι τῇ μονῇ τῶν Λέμβων τὴν εἰς τὰ κατὰ τὸν Κούκουλον Παλάτια γῆν, εὐδοκεῖ ἡ βασιλεία μου διὰ τῆς παρούσης προστάξεως, ἐπικρατεῖν καὶ τὰ ἐκεῖσε παλάτια ὄντα καὶ περιποιεῖσθαι ταῦτα καὶ ἔχειν ἱερέα εἰς τὸ ἱερουργεῖν ἐν τῷ ἐκεῖσε ὄντι ναῷ, διορίζεται δὲ ἡ βασιλεία μου κατέχειν τὴν τοιαύτην μονὴν καὶ τὸ ἐκεῖσε ὂν λουτρὸν καὶ τὸ περιβόλιον καὶ τοὺς ἐκεῖσε προσκαθημένους ξένους ἐλευθέρους καὶ τῷ δημοσίῳ ἀνεπιγνώστους καὶ τὴν ἐκ τούτων συνεισφορὰν ἀποκερδαίνειν· ἐπεὶ δὲ, ὡς ὑπεμνήσθη ἡ βασιλεία μου, ἔφθασάν τινες τῶν ἐκεῖσε πλησιαζόντων κατασπεῖραί τινα χωράφια ἀπὸ τῶν δωρηθέντων τῇ μονῇ, διορίζεται ἡ βασιλεία μου ἀναλαβέσθαι τὸ μέρος τῆς μονῆς ἐξ αὐτῶν τὴν ἀνήκουσαν μορτήν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῷ μέρει τῆς μονῆς καὶ ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις †.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδικτιῶνος ἑβδόμης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς καὶ κάτωθεν σεσημειωμένον ὡς ἔθος τοῖς μεσάζουσι τὸ· διὰ τοῦ Τορνίκη Δημητρίου †.

LXXVIII. Sine anno, mense februario.

Imperator possessiones monasterio restitui iubet.

† Πρόσταγμα διοριζόμενον περὶ τῶν ἔκπαλαι διαφερόντων τῇ μονῇ πραγμάτων καὶ διορίζον τῷ σεβαστῷ Καδιανῷ, ἵνα ἐπισυνάξῃ ταῦτα, ἀφ' ὧν εὑρεθεῖεν καθαρπαγῆναι ἀπὸ τῆς ἐναντιότητος τοῦ καιροῦ, ἐπεὶ καὶ περιεκτικόν ἐστιν †.

† Ἐπεί, ὡς ἀνηνέχθη τῇ βασιλείᾳ μου, τὰ διαφέροντα τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης οἰαδήτινα

κτήματα ἔφθασαν καθαρπαγῆναι παρά τινων διὰ τὸ τὴν τοιαύτην μονὴν ἀμαυρωθῆναι ὑπὸ τῆς καιρικῆς ἐναντιότητος καὶ μηδὲ μοναχοῦ σχεδὸν εὐπορεῖν, ὥστε τὸν ἐν αὐτῇ θεῖον ναὸν ὑπηρετεῖν, ἡ βασιλεία μου τῆς ταύτης συστάσεως κηδομένη καὶ τῆς εἰς τὸ πρότερον ταύτης ἀποκαταστάσεως φροντίζουσα διορίζεταί σοι, τῷ πανσεβάστῳ σεβαστῷ, κυρῷ Μιχαὴλ τῷ Καδιανῷ, ἀναψηλαφῆσαι τὰ ταύτῃ διαφέροντα κτήματα καὶ μετὰ τὴν τῆς ἀληθείας διάγνωσιν ἀποσπάσαι ταῦτα ἀπὸ τῆς τῶν κατεχόντων χειρός, κἂν εἴ τινες ἄρα καὶ ὦσι, καὶ ἀποκαταστῆσαι εἰς τὴν τοιαύτην μονήν, εἴτε χωράφια καὶ ὑπάμπελα τοπία εἶεν, εἴτε ἐλαϊκὰ δένδρα καὶ ἀλλοῖα, εἴτε καὶ μύλωνες, ὥστε κατέχειν ταῦτα τοὺς μοναχοὺς καὶ νέμεσθαι καὶ τὴν ἐξ αὐτῶν πᾶσαν καὶ παντοίαν πρόσοδον εἰσοδιάζειν καὶ ἀποφέρεσθαι εἴς τε οἰκονομίαν τῆς ἐκκλησίας καὶ εἰς ζωάρκειαν αὐτῶν. διὰ γὰρ τοῦτο καὶ οἱ ταῦτα ἀδίκως κατέχοντες οὐκ ὀφείλουσιν ὅλως ἀπειθῆσαι εἰς τὸ ἀπολῦσαι αὐτά, ἀλλ' εὐγνωμόνως ταῦτα πρὸς τὴν ῥηθεῖσαν μονὴν ἀποδοῦναι, εἰ μὴ βούλεται τὴν τῆς βασιλείας μου ὀργὴν ἐπισπάσασθαι †.

† Εἶχε τὸ· μηνὶ φευρουαρίῳ ἰνδ. ιδ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

LXXIX. 6742—1234, mensibus martio et maio, ind. VII.

Imperator Ioannes Ducas Vatatzes monasterio campum donat.

† Πρόσταγμα δωρεαστικὸν χάριν τῆς δωρηθείσης τῇ μονῇ ἑτέρας γῆς ἀπὸ τῆς κατὰ τὸν Κούκουλον δημοσιακῆς γῆς ἑτέρων ζευγαρίων ἓξ †.

Δωρεῖται ἡ βασιλεία μου διὰ τῆς παρούσης προστάξεως τῷ μέρει τῆς σεβασμίας μονῆς τῶν Λέμβων ἀπὸ τῆς κατὰ τὸν Κούκουλον δημοσιακῆς γῆς τῆς ποτὲ ὑποκειμένης τῷ ἐκεῖσε ὄντι ζευγηλατείῳ τῆς βασιλείας μου γῆν ἓξ ζευγαρίων, καὶ διορίζεται παραδοθῆναι ταύτην αὐτῇ παρὰ τοῦ περιποθήτου συγγάμβρου τῆς βασιλείας μου, τοῦ δουκὸς τῶν Θρακησίων τοῦ Κουρτίκη, ἄνευ παραδοτικίου, ἐπέκεινα ἧς ἔχει αὕτη εἰς τὸν Κούκουλον γῆς, καθὼς καὶ μεθ' οἵας περιοχῆς καὶ διακρατήσεως τὸ τοῦ δημοσίου μέρος ταύτην προκατεῖχεν, ὡς ἂν καὶ τὸ μέρος τῆς τοιαύτης μονῆς κατέχῃ ταύτην καὶ νέμηται καὶ δι' οἰκείων ζευγαρίων ἐργάζηται καὶ τὴν ἐξ αὐτῆς ἀποφέρηται πρόσοδον.

ἐπὶ τούτῳ γὰρ ἐγεγόνει αὐτῇ καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός †. Εἶχε τὸ μηνὶ μαρτίῳ ἰνδικτιῶνος ἑβδόμης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

† Ὁ πανοσιώτατος καθηγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβων καὶ ἡγιασμένος ἐν ἱερομονάχοις, κῦρ Παῦλος, θεῖον καὶ βασιλικὸν προσκυνητὸν ὁρισμὸν ἡμῖν ἐνεχείρισε, τὸν καὶ ἄνωθεν κατεστρωμένον, ὡσαύτως προσεκόμισεν ἡμῖν καὶ γραφὴν ἐνυπόγραφον τοῦ περιποθήτου αὐταδέλφου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τοῦ πανευγενεστάτου Κομνηνοῦ κυροῦ Δημητρίου τοῦ Τορνίκη, οὕτω διαλαμβάνουσαν· πανσέβαστε, σεβαστὲ προκαθήμενε τοῦ κάστρου Σμύρνης καὶ ἠγαπημένε μοι σύντροφε, κῦρ Ἰωάννη Ἀλωπεκέ. ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς ἐδωρήσατο δι' ὁρισμοῦ τῆς ἁγίας αὐτοῦ βασιλείας τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων ἀπὸ τῆς εἰς τὸν Κούκουλον γῆς τῶν Παλάτων γῆν ζευγαρίων ἕξ, καὶ γράφομέν σοι ἐξ ὁρισμοῦ βασιλικοῦ, ὡς ἂν ἀπέλθῃς τὸ ἐκεῖσε καὶ μετακαλέσῃ τοὺς κρείττονας τῶν Κουκουλαιτῶν, τῶν ἐχόντων εἰδημονίαν εἰς τὴν τοιαύτην γῆν, καὶ παραδώσεις τῷ μέρει τῆς τοιαύτης μονῆς τῶν ἕξ ζευγαρίων τὴν γῆν δι' ἐγγράφου παραδόσεώς σου κατὰ τὴν περίληψιν τοῦ τοιούτου θείου καὶ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ. καὶ ποίησον οὕτως ἐξάπαντος. πολυχρονηθείης. μηνὶ ἀπριλλίῳ ἰνδ. ζ'. ἡ ὑπογραφή· ὁ Τορνίκης. κατὰ γοῦν τὴν περίληψιν τοῦ τοιούτου θείου βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ καὶ τὴν περὶ τῆς τοιαύτης παραδόσεως γραφὴν τοῦ περιποθήτου αὐταδέλφου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τοῦ πανευγενεστάτου Κομνηνοῦ, διὰ τὸ ἀσχολούμενον εἶναι τὸν περιπόθητον σύγγαμβρον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δούκα τοῦ θέματος τῶν Θρακησίων, κῦρ Ἰωάννην Δούκα τὸν Κουρτίκην, εἰς βασιλικὰς δουλείας, ἀπῆλθον εἰς τὸν κάμπον τοῦ Μεμανιωμένου μετακαλεσάμενος καὶ τοὺς κρείττονας οἰκοδεσπότας τοῦ Κουκούλου, τόν τε Παπαδόπουλον κῦριν Μιχαήλ, τὸν Μάσχαν τὸν καὶ δέκαρχον κῦριν Θεόδωρον, τὸν κῦρ Πόθον τὸν Στραγαλᾶν καὶ ἀπὸ τῶν οἰκούντων εἰς τὰ Πάλατα τὸν Κρητικὸν Βασίλειον, Νικόλαον τὸν Μονομάχον καὶ Ἰωάννην, τὸν γαμβρὸν αὐτοῦ, καὶ ἀνεθεωρήσαμεν ἐνώπιον πάντων τὴν νεμομένην γῆν δικαίῳ τοῦ δημοσίου, ἥστινος ὁ περιο-

ρισμὸς ἔχει οὕτως· ἄρχεται ἀπὸ τοῦ λάκκου τοῦ λεγομένου τοῦ Ἀριστηνοῦ, εἰς ὃν καὶ δρόμος βασιλικὸς κατερχόμενος ἀπὸ τῆς Φωκαίας πλησίον τοῦ καταλύματος τοῦ Πετρίτζη, κρατῶν τῆς ὁδοῦ τῆς ἀπαγούσης μέχρι καὶ τοῦ ποταμοῦ τοῦ Ἕρμωνος καὶ ἐπιλεγομένου ὁ Πόρος τοῦ Κλήματος, ἀριστερὰ τὰ περιοριζόμενα, δεξιὰ τὰ χωράφια τὰ προπαραδοθέντα τῇ ῥηθείσῃ μονῇ δι' ἑτέρου θείου καὶ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ. εἶτα κλίνει πρὸς ἀνατολάς, κρατῶν τὸν ὄχθον τοῦ αὐτοῦ ποταμοῦ, καὶ ἀκουμβίζει μέχρι καὶ τῆς ὁδοῦ τοῦ Παλαιοῦ Πόρου τοῦ ἀπερχομένου εἰς τὸν Κούκουλον. εἶτα ἀνέρχεται πρὸς ἀνατολάς, κρατῶν τὴν αὐτὴν ὁδόν, καὶ ἀκουμβίζει εἰς τὸν λάκκον τοῦ Ἀριστηνοῦ, ἔνθα καὶ ἤρξατο, ἀριστερὰ τὰ περιοριζόμενα, δεξιὰ τὰ χωράφια τῶν Σμυρναίων. ἕτερα χωράφια τοῦ Ἀσάνη καὶ τοῦ Μαυροπόδου ἐπιλεγόμενα, ὧντινων καὶ ὁ περιορισμὸς ἔχει οὕτως· ἄρχεται ἀπὸ τοῦ λάκκου τοῦ Ὡρείου, κρατῶν τὴν παλαιὰν ὁδὸν τὴν ἐπιλεγομένην τὸ Ἀλυκοβάσταγον, δεξιὰ τὰ περιοριζόμενα, ἀριστερὰ τὰ χωράφια τοῦ Ἀρταβάσδου. εἶτα κατ' ἰσότητα ὀλίγον τι καὶ ἀποδιδοῖ εἰς πέτραν μαύρην, ἥτις ἐτέθη πρότερον περιοριζομένων τῶν τοιούτων χωραφίων καθ' ὁρισμὸν βασιλικὸν παρὰ τοῦ Χούμνου ἐκείνου κυροῦ Νικηφόρου καὶ τοῦ εὐνούχου κυροῦ Στεφάνου. εἶτα κρατῶν τὸν αὐτὸν Ἀλυκοβάσταγον, δεξιὰ τὰ περιοριζόμενα, ἀριστερὰ τὰ δίκαια τῶν Σμυρναίων, καὶ ἀκουμβίζει εἰς ἑτέραν στήλην πέτραν μαύρην τὴν τεθεῖσαν καὶ ταύτην παρὰ τῶν εἰρημένων ἀρχόντων πλησίον τῆς ὁδοῦ τῆς ἀπαγούσης εἰς τὸν Κούκουλον, δεξιὰ τὰ περιοριζόμενα, ἀριστερὰ τὰ δίκαια τῶν ἐποίκων τῆς Πέτρας καὶ τῶν συμπαροίκων αὐτῶν. εἶτα κλίνει πρὸς δυσμάς, κρατῶν τὴν αὐτὴν ὁδὸν τοῦ Κουκούλου, καὶ καταντᾷ εἰς τὴν παλαιὰν ὁδὸν τῶν Ἀλυκῶν τὴν κατερχομένην ἀπὸ τοῦ πύργου, ἐῶν δεξιὰ τὰ περιοριζόμενα, ἀριστερὰ τὰ χωράφια τῆς Κυριαληθινῆς, εἰς ἃ ἵστανται καὶ βρουλέαι. εἶτα κλίνει πρὸς βορρᾶν, κρατῶν τὴν αὐτὴν ὁδὸν καὶ τὸν αὐτὸν Ἀλυκοβάσταγον μέχρι τῆς ἀμυγδαλίνης πέτρας τῆς τεθείσης παρὰ τοῦ ἐξωτρόχου ὄντος καὶ αὐτοῦ καθ' ὃν καιρὸν περιωρίζοντο καθ' ὁρισμὸν προσκυνητὸν τὰ τοιαῦτα χωράφια, εἰς ἃ καὶ στράτα ἡ ἀνερχομένη εἰς τὸν πύργον. εἶτα κρατῶν τὴν αὐτὴν ὁδὸν καὶ ἀκουμβίζει εἰς τὸν λάκκον τοῦ Ὡρείου, ἔνθα καὶ ἤρξατο, ἐῶν δεξιὰ τὰ περιοριζόμενα, ἀριστερὰ τὰ χωράφια τοῦ Τζιβρόλλη. ἕτερα χωράφια τὰ γύρωθεν τῶν Παλατίων καὶ πλησίον

διακείμενα, ὥντινων καὶ ὁ περιορισμὸς ἔχει οὕτως· ἄρχεται ἀπὸ τῆς ὁδοῦ τῆς ἀνερχομένης ἀπὸ τοῦ πύργου, κρατῶν τὸν ὅρον τοῦ ξηροῤῥύακος τὸ[ν] ἀνερχόμενον εἰς τὸ Ἀβαδὸν, ἐῶν δεξιὰ τὰ περιοριζόμενα, ἀριστερὰ τὰ δίκαια τῆς μονῆς τοῦ σωτῆρος Χριστοῦ τῆς ἐν τῇ Σμύρνῃ διακειμένης καὶ ἐπιλεγομένης τοῦ Καμελαυκᾶ, κρατῶν τὴν αὐτὴν στράταν πρὸς ἀνατολὰς καὶ καταντᾷ εἰς τὴν ἑτέραν στράταν τὴν βασιλικὴν τὴν ἀπάγουσαν εἰς τὴν Σμύρνην, ἐῶν δεξιὰ τὰ περιοριζόμενα, ἀριστερὰ πρὸς ἀνατολὴν τὸ πετροβούνιν, κρατῶν τὴν αὐτὴν στράταν καὶ καταντᾷ μέχρι καὶ τοῦ ῥύακος τοῦ ἀνερχομένου ἀπὸ τῆς Ἁγίας. εἶτα γαμματίζει κρατῶν τὸ ῥυάκιον, ὅπερ κατέρχεται, ὡς δεδήλωται, ἀπὸ τῆς Ἁγίας, καὶ καταντᾷ μέχρι καὶ τῆς στράτας τῆς ἀπαγούσης εἰς τὸν Κούκουλον. εἶτα καταντᾷ μέχρι καὶ τοῦ λάκκου τοῦ Λιβάδ . . . ., κρατῶν τὴν αὐτὴν ὁδὸν καὶ ἀκουμβίζει μέχρι καὶ τοῦ περιόρου, οὗ περιωρίσθη παρὰ τοῦ εἰρημένου ἐκείνου κυροῦ Νικηφόρου τοῦ Χούμνου καὶ τοῦ κυροῦ Στεφάνου καὶ αὐτῶν τῶν ἐποίκων τῶν Κουκουλαΐτῶν. εἶτα κρατῶν τὸ μέρος τὸ δυτικὸν, καὶ καταντᾷ, ἔνθα καὶ ἤρξατο, δεξιὰ τὰ περιοριζόμενα, ἀριστερὰ τὰ δίκαια τῶν Μυρμούντων. κατὰ γοῦν τὴν περίληψιν τοῦ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ καὶ τῆς ἀκολούθως γραφῆς τοῦ περιποθήτου αὐταδέλφου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τοῦ πανευγενεστάτου Κομνηνοῦ κυροῦ Δημητρίου τοῦ Τορνίκη, παραδεδώκαμεν τὴν τοιαύτην ἅπασαν γῆν τῷ μέρει τῆς ῥηθείσης ἁγίας μονῆς τῶν Λέμβων, τὴν καὶ πεποσωμένην εἰς ποσότητα ζευγαρίων ἕξ, ἀφ' ὧν κατελογίσθη ὕπεργος ζευγαρίων πέντε καὶ ἡ ἑτέρα ζευγαρίου ἑνὸς, νομαδιαῖά τε καὶ λιβαδιαῖα, ὡς ὁμοῦ διὰ πάντων, ὡς δεδήλωται, γῆ ζευγαρίων ἕξ, ὡς μὴ οὔσης ἐκεῖσε ἑτέρας γῆς δημοσιακῆς, ὥστε κατέχειν τὴν τοιαύτην ἅπασαν γῆν τῷ μέρει τῆς ῥηθείσης μονῆς, ὥστε δι' οἰκείων ζευγαρίων κατακάμνεσθαι ταύτην πρὸς ζωάρκειαν τῶν εἰς ταύτην ἀσκουμένων μοναχῶν, καὶ μὴν καὶ ἐπὶ τῇ λιβαδιαίᾳ νέμεσθαι τὰ ταύτης ὁποιαδήτινα ζῶα, ὡς ἂν ἐκτενέστερον ὑπερεύχωνται τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἅπαντες οἱ ἀσκούμενοι μοναχοὶ εἰς τὴν διαληφθεῖσαν πολλάκις μονὴν σεβασμίαν, ἁγίαν, βασιλικήν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει πρὸς τὸ ὅλον μέρος τῆς τοιαύτης ἁγίας μονῆς ἡ παροῦσα παράδοσις καὶ ἀποκατάστασις τοῦ παρόντος περιορισμοῦ ἡμῶν, ὡς δεδήλωται ἄνωθεν, τῶν ἕξ

ζευγαρίων ἡ γῆ διὰ πάντων, ὑπεργός τε καὶ νομαδιαῖα. μηνὶ μαΐῳ ἰνδ. ἑβδόμης τοῦ ,ϛφμβ' ἔτους †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, προκαθήμενος Σμύρνης καὶ παραδότης τῶν ἐντὸς γεγραμμένων χωραφίων, Ἰωάννης σεβαστὸς ὁ Ἀλωπός †.

LXXX. 6773—1265, mense aprili, ind. VIII.

Nicolaus et Xenus Dermatae monasterio donant campos.

† Τὸ δωρεαστικὸν ἔγγραφον τοῦ Δερματᾶ Νικολάου καὶ τοῦ υἱοῦ αὐτοῦ περὶ τῶν χωραφίων τῆς Τραχεινῆς †.

Σίγνα Νικολάου τοῦ Δερματᾶ καὶ Ξένου τοῦ υἱοῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Νικόλαος ὁ Δερματᾶς καὶ Ξένος ὁ υἱὸς αὐτοῦ κ. τ. λ. μετὰ τὴν τοῦ ὅλου ὕφους ἀνάγνωσιν τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν καὶ εἰς τὸ ἑξῆς κ. τ. λ. ἔκδοσιν . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν κ. τ. λ. μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης κ. τ. λ., καθὼς δηλώσειεν τὸ ὕφος· καὶ γὰρ τὸ ἐκ δεσποτικοῦ καὶ κληρονομικοῦ μέρους διαφέρον ἡμῖν χωράφιον τῆς Τραχεινῆς τὸ κατώδρομον, ἐκ δὲ τῆς ἄνωθεν ὁδοῦ τῆς ἀπαγούσης ἐν τῷ Κουκούλῳ ἔχων πλησιαστὴν Κωνσταντῖνον τὸν Ἀποστόλην, ἐκ δὲ μέρους βορείου καὶ ἐξ ἀνατολῆς τὸν αὐτὸν Ἀποστόλην, ἐκ δὲ νοτίου μέρους ἤτοι συνποδώσεως τὸ χωράφιον τοῦ Κολελοῦ, τὸ δὲ δοθὲν παρ' ἡμῶν χωράφιον εἰς τὴν δηλωθεῖσαν βασιλικὴν μονὴν τῶν Λέμβων ἔστι στρέμματα ἕξ, ἐκ δὲ μέρους δυτικοῦ τὴν ἀπάγουσαν ὁδὸν εἰς τὰ βιβάρια. τὸ δὲ τοιοῦτον χωράφιον ἔστιν ἐν τῷ μέρει αὐτῶν τῶν πλησιαστῶν ἐκ νοτίου καὶ βορείου, ἐστὶ στρέμματα δύο ἥμισυ. χωράφιον ἕτερον λεγόμενον ἡ Βαμβάκη ὡσεὶ στρέμματα πέντε, ἔχον πλησιαστὴν ἐκ βορείου μέρους ἤτοι τῆς προρρηθείσης ἄνωθεν ὁδοῦ Ξένον τὸν Γουνάριν τὸν ἔχοντα τὴν οἴκησιν ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ, εἰς τὸν στροφὸν δὲ τοῦ τοιούτου χωραφίου ἔχον βρούλλας οὐκ ὀλίγας καὶ ἁλμοτόπιν οὐκ ὀλίγον ἐν τῇ αὐτῇ ὁροθεσίᾳ. περὶ δὲ τοῦ ὅρου τοῦ ἀνατολικοῦ μέρους οὐκ ἔχουσι τινά, εἰ μὴ τὴν λάμπην μόνην καὶ συγκαταβαινόμενον τὸ τοιοῦτον ἀστάχυν ἀποδιδοῖ εἰς τὸ χωράφιον τοῦ ἁγίου Γεωργίου τοῦ Σιλλεώ-

του, εἰς ὃ εἰσὶ καὶ βρούλλαι· ἀνερχομένου δὲ τοῦ αὐτοῦ χωραφίου ἤγουν τοῦ περιορισμοῦ εὕρομεν καὶ χωράφιον ἔξωθεν τοῦ δωρεαστικοῦ, ὡσεὶ στρέμματα ἓξ ἥμισυ καὶ ἀναβαινομένου τοῦ τοιούτου χωραφίου οἴου καὶ ὅσου ὄντος, ἔχοντος καὶ ἁλμοτόπιν καὶ ἀλυκοτόπιν, ὅπερ χωράφιον ἀποδιδοῖ, ἔνθα καὶ ἐστηλώθη, ἐν δὲ τῇ αὐτῇ στήλῃ εἰσὶ καὶ ὀξοχάραι, μετὰ τούτου δὲ ἐκ θρασκίου μέρους τοὺς αὐτοὺς κληρονόμους. σὺν τῷ παρόντι δὲ δωρεαστικῷ χωραφίῳ ἐπεδόθη καὶ τὸ ἕτερον χωράφιον ἤτοι στρέμματα ἓξ εἰς ὑπέρπυρον ἕν. βουληθέντες οὖν αὐτοῦ ἐκποιήσασθαι τὴν δωρεαστικὴν τούτου φήμην διεφημίσαμεν, ὡς δὲ ἡ περὶ αὐτοῦ φήμη ἔφθασε καὶ εἰς τὰς ἀκοὰς τῶν ἀσκουμένων μοναχῶν ἐπὶ τῇ προδηλωθείσῃ μονῇ τῆς ὑπεράγνου θεοτόκου τῆς Λεμβιωτίσσης, ἠθελήσατε ἐκδοθῆναι αὐτὰ πρὸς ὑμᾶς δι' ὑπηρεσίαν τῆς τοιαύτης ἁγίας μονῆς. ταῦτα πάντα θεοῦ προμηθείᾳ καὶ χάριτι ἐξ οἰκείων μου καταβαλὼν καὶ ἀναλωμάτων, ἵνα δὲ κατέχῃ ταῦτα ἡ αὐτὴ μονὴ ἀκαινοτομήτως καὶ ἀδιασείστως, μὴ παρά τινος τὸ σύνολον ἐμποδιζομένη ἢ ἐνοχλουμένη, μήτε παρά τινος τῶν χωριτῶν, μήτε μὴν παρὰ τῶν τὰς δημοσιακὰς δουλείας μετερχομένων. εἰς θεὸν γὰρ εὐορκεῖ καὶ εἰς τὴν αὐτοῦ μητέρα τοῦ μὴ ἔχειν ἐπ' ἐξουσίας χεῖρα ἐπιβαλεῖν ἢ εὐλόγως ἢ ἀλόγως ἐπὶ τῇ παρούσῃ ἡμετέρᾳ δωρεᾷ, ὡς παρ' ἐμοῦ πίστει καλῇ δωρηθεῖσα,, ἀλλὰ μένειν ὀφείλει εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ἡ μονὴ ἀβλαβὴς πάντη καὶ ἀνενόχλητος, καὶ οὐκ ὀφείλει τις τῶν ἁπάντων μέμψιν ἐπάξαι τῇ παρούσῃ μου δωρεᾷ καὶ ὅλως ὄχλησιν καθυπάξαι ἢ πρᾶγμα ἐπὶ πράγματος, ἀφ'. ὧν ἄνωθεν ἐμνημονεύσαμεν, καὶ ἅψασθαι ἀπὸ τῆς ῥηθείσης ἁγίας βασιλικῆς μονῆς, εἰ μὴ βούλεται ὁ τούτου κατατολμήσων ἀντίδικον ἕξειν τὴν ὑπέραγνον ταύτην θεοτόκον, καὶ κληρονομήσειεν καὶ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὡς ὀχυρᾶς καὶ ἀρραγοῦς διαμενούσης τῆς παρούσης μου δωρεᾶς. ὅθεν καὶ μετὰ τὴν ταύτης ἀνάγνωσιν προέταξα ἄνωθεν αὐτοχείρως τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐνώπιον καὶ τῶν κάτωθεν ὑπογραφομένων ἀξιοπίστων ἀνδρῶν τῶν ἐνταῦθα παρατυχόντων, ἥτις καὶ ὀφείλει ἔχειν τὸ ἐνεργὸν καὶ ἰσχυρὸν καὶ πάγιον ἡ καὶ γραφεῖσα διὰ χειρός μου, Ἰωάννου ταπεινοῦ καὶ νομικοῦ χωρίου Σιλλ.... σὺν τοῖς οὖσι ζευγηλάταις τοῦ Πύργου καὶ ἑτέροις. μηνὶ ἀπριλλίῳ ια' ἰνδ. η' τοῦ ‚ςφογ' ἔτους †.-

Σίγνα Ἰωάννου τοῦ Ἀτταλειώτου, Λέοντος τοῦ Ἀκακιανοῦ, Θεοδώρου τοῦ ἐνεργοῦντος εἰς τὰ Μούρμουντα.

† Ὁ ταπεινὸς Ἰωάννης καὶ νομικὸς χωρίου Σιλλ.. ὁ Πηγηνὸς παρὼν ἐπὶ τῇ παρούσῃ ἁπλῇ καὶ δωρεαστικῇ γραφῇ τῶν χωραφίων τῶν ἄνωθεν, ἣν καὶ γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς χωρίου Μουρμούντων, Μιχαὴλ ὁ Κεραμέως, καὶ αὐτὸς παρὼν ἐπὶ τῇ παρούσῃ καθαρᾷ δωρεᾷ τῇ δωρηθείσῃ τῇ βασιλικῇ τῶν Λέμβων καὶ μαρτυρῶν ὑπέγραψα †.

LXXXI. 6762—1254, mense martio, ind. XII.

Constantinus Ceporus et Nicolaus Dermatas monasterio vendunt campos.

† Πρατήριον ἔγγραφον τοῦ Κηπωροῦ Κωνσταντίνου καὶ Νικολάου τοῦ Δερματᾶ χάριν τῶν χωραφίων τοῦ Καλλούδη, τοῦ Χαλάσματος καὶ τοῦ εἰς τὴν ἁγίαν Ἑλένην †.

Σίγνα Κωνσταντίνου τοῦ Κηπωροῦ καὶ Νικολάου τοῦ Δερματᾶ.

† Ἐν ὀνόματι κ. τ. λ. Κωνσταντῖνος ὁ Κηπωρός, ἔτι δὲ κἀγὼ Νικόλαος ὁ Δερματᾶς κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον .... πρᾶσιν τοῦ κάτωθεν ῥηθησομένου χωραφίου .... ποιοῦμεν .... πρὸς σὲ, τὸν τιμιώτατον καθηγούμενον τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου ἡμῶν δεσποίνης καὶ θεοτόκου τῆς Λεμβιωτίσσης κὺρ Ἀθανάσιον κ. τ. λ. καὶ γὰρ τὰ ἐκ γονικῆς κληρονομίας περιελθόντα ἡμῖν χωράφια τὰ ὄντα καὶ διακείμενα ἐν τῇ γειτονίᾳ τῶν Παλατίων καὶ πλησίον τῶν χωραφίων τῆς μονῆς ὑμῶν, ἤγουν τὸ χωράφιον τοῦ Καλλουδᾶ, τὸ χωράφιον τοῦ Χαλάσματος καὶ τὸ χωράφιον τῆς ἁγίας Ἑλένης μετὰ τοῦ παραδρόμου, τὰ ὡσεὶ μοδίων τυγχάνοντα πεντήκοντα, βουληθέντες ἐκποιήσασθαι περιεστήσαμεν αὐτὰ .... εἰς ὑπέρπυρα ἑξάγια πέντε, ἃ δὴ νομίσματα ἐλάβομεν ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμετέρας ἀριθμητά, σῶα καὶ ἀνελλιπῆ κ. τ. λ. τοίνυν καὶ παραδιδοῦμεν πρὸς τὴν μονὴν ὑμῶν τὰ τοιαῦτα χωράφια ὥστε κατέχειν αὐτὰ κ. τ. λ. ἀρκοῦντος σοι τοῦ παρόντος ἡμῶν ἐγγράφου ἀντὶ σωματικῆς παραδό-

σεως· λοιπὸν καὶ εἴ τις ἐκ τοῦ μέρους ἡμῶν . . . βουληθῇ ἀνατρέψαι . . . . τὴν παροῦσαν ἡμῶν . . . πρᾶσιν . . . ὃ ελάβομεν τίμημα, ἐπὶ τὸ διπλάσιον ἀντιστρέφωμεν πρὸς τὴν μονὴν ὑμῶν καὶ χάριν προστίμου ζημιοῦσθαι ὀφείλομεν ὑπέρπυρα δώδεκα κ. τ. λ. μηνὶ μαρτίῳ ἰνδ. ιβ΄ τοῦ ,ςφξβ΄ ἔτους †.

† Κλήμης ἱερομόναχος ὑπέγραψα †.

Σίγνα Κωνσταντίνου τοῦ Μούτζικα, Ξένου τοῦ Ψελλοῦ, Κωνσταντίνου τοῦ Ἀγρηνοῦ †.

† Ὁ εὐτελὴς ἱερεὺς Νικήτας ὁ Θερμήρης μαρτυρῶν ὑπέγραψα †.

† Ὁ πρωτέκδικος καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰωάννης ὁ Κουνάλλης, τῇ παρούσῃ πράσει μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

LXXXII. Sine anno, mense februario, ind. II.

Imperator iubet monasterio restitui campum Barycheri venditum.

† Πρόσταγμα χάριν τοῦ χωραφίου τοῦ Κατζιβαρηνοῦ, ὅπερ κατεδυνάστευσεν ὁ Βαρόχειρ δῆθεν ὡς ἐξωνησάμενος αὐτό †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κὺρ Θεόδοτε Καλόθετε· ἡ βασιλεία μου διορίζεταί σοι, ὡς ἂν τηρήσῃς τὰ περὶ ὧν ὑπέμνησε τὴν βασιλείαν μου ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβου, καὶ εἴπερ γνωρίσεις, ὡς τὸ ἐν τῇ παρούσῃ ὑπομνήσει δηλούμενον χωράφιον, τὸ πρὸς τὸν Βαρόχειρα στρατιώτην πραθὲν τῇ κατ' αὐτὸν διέφερε μονῇ ἀπὸ πλησιασμοῦ, καὶ ἐκρίθη ἐπὶ τούτῳ, καὶ δικαιωθεὶς ὡς πλησιαστὴν ἀντέστρεψε καὶ τὸ τίμημα πρὸς τὸν ἐξωνησάμενον, τοῦτο καὶ ἐν κατοχῇ τοῦ χωραφίου ἐγένετο τὸ μέρος τῆς μονῆς. ἀρτίως δὲ πάλιν εὑρίσκει δυναστείαν ἀπὸ τῶν προσγενῶν τοῦ τοιούτου Βαρόχειρος, τοῦ τε Φαρισσαίου [τοῦ γαμβροῦ] αὐτοῦ δηλονότι καὶ ἑτέρων, οἳ καὶ ἀκουσίᾳ γνώμῃ τοῦ μέρους τῆς μονῆς ἔρριψαν πρὸς αὐτὸν τὸ παρ' αὐτοῦ καταβληθὲν τίμημα ὑπὲρ τοῦ δηλωθέντος χωραφίου, καὶ ἐπαναστάντες αὐτῶν ἔτυψαν τούτους, καὶ ξίφη κατ' αὐτῶν καὶ σπάθην ἦραν

καὶ ἄλλα ἐποίησαν βλαπτικὰ καὶ ἄτοπα μετὰ τὴν τοῦ δικαίου ἀναγνώρισιν· πρώτως μὲν ἀπόσπασον τῆς βιαίας καὶ ἀδίκου τούτων χειρὸς τὸ εἰρημένον χωράφιον, καὶ ἐγκατάστησον τῷ μέρει τῆς μονῆς, ἐπεὶ καὶ διὰ χρυσοβούλλου ὁρισμοῦ κατέχουσα εὑρίσκεται τοῦτο καὶ ἐντὸς τοῦ περιόρου αὐτῆς φέρεται. εἶθ' οὕτως ἐπίστυφον καὶ τῷ μέρει τῶν ἀδικούντων αὐτοὺς καὶ τοιαῦτα ἐνδεικνυμένων ἀπρεπῆ, ὥστε μηκέτι τολμῆσαί τινα τούτων, δυναστείαν χάριν τούτου τῷ μέρει ἐπενεγκεῖν τῆς μονῆς. ἀποδότω δὲ ἡ μονὴ καὶ τὸ τίμημα τὸ ὑπὲρ τοῦ τοιούτου χωραφίου, ὅπερ βιαίως ἔλαβεν ἐξ αὐτῶν †.

† Εἶχε τὸ· μηνὶ φευρουαρίῳ ἰνδ. δευτέρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

LXXXIII. Sine anno, mense iunio, ind. II.

Imperator iubet monasterio restitui campum Barycheri venditum.

† Πρόσταγμα ἕτερον χάριν τῆς αὐτῆς ὑποθέσεως †.

† Θεῖε τῆς βασιλείας μου, πανσέβαστε, σεβαστὲ δοὺξ τοῦ θέματος τῶν Θρακησίων καὶ τῆς χώρας Πυργίου καὶ Καλοῆς, κῦρ Θεόδοτε Καλόθετε. ὁ τὴν παροῦσαν ὑπόμνησιν ἐκθέμενος καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβου τῇ βασιλείᾳ μου ἀνέφερεν, ὡς πλησιαστής τις τοῦ κατ' αὐτὸν μετοχίου, ὀνόματι Κατζιβαρηνός, διεπώλησε χωράφιον αὐτοῦ πρός τινα Βαρόχειρα λεγόμενον, μὴ δεδωκὼς τὰ περὶ τούτου τοῖς μοναχοῖς εἴδησιν· τοῦτο ἀναγνωρίσαντες οἱ μοναχοὶ καὶ κριθέντες ἀποκατέστησαν ἐπαρεῖν αὐτό, ἀποδοῦναι δὲ πρὸς τὸν ἀγοράσαντα τὰ ὑπέρπυρα, ὅσα κατεβάλλετο ἐπὶ τῷ τοιούτῳ χωραφίῳ, ὃ καὶ πεποίηκαν καὶ κατεβάλλοντο ταῦτα καὶ εἶχον τὸ τοιοῦτον χωράφιον, ηὕρισκον δὲ ὄχλησιν, καὶ ἀναδραμόντες εἰς τὴν βασιλείαν μου ἐπορίσαντο ὁρισμὸν αὐτῆς, δι' οὗ καὶ αὖθις ἀποκατέστησαν ἔχειν αὐτό, καὶ παραλαβόντες τοῦτο καὶ καλλιεργήσαντες ἀπῆλθον οἱ τοῦ μέρους τοῦ ἀγοραστοῦ μετὰ λαοῦ ἱκανοῦ καὶ ἔσπειραν αὐτὸ ἀνάρχως. τοίνυν καὶ διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἄν, εἰ οὕτω τὰ τῆς ἀληθείας ἔχει, οἰκονομήσῃς ἐπανελθεῖν τὸ τοιοῦτον χωράφιον πρὸς τοὺς ῥηθέντας μοναχοὺς κατὰ τὴν γεωργικὴν κρίσιν,

ὥστε μηκέτι στερίσκεσθαι τούτους αὐτοῦ. ἔκτοτε μετ' ἐπιστάσεως ἱκανῆς ἐπιφωνήσεως αὐτοῖς ἀπέχειν ἐξ αὐτῶν. ποίησον οὖν κατὰ τὴν παροῦσαν τῆς βασιλείας μου πρόσταξιν, ἣν καὶ ἀντίστρεφον τοῖς διαληφθεῖσι μοναχοῖς δι' ἀσφάλειαν καὶ ἀποσόβησιν αὐτῶν †.

† Εἶχε τό· μηνὶ ἰουνίῳ ἰνδ. δευτέρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

LXXXIV. 6771—1263, mense martio, ind. VI.

Michaël Bardachlas, filius Baryoheris, monasterio restituit campum a patre emptum.

† Τὸ πρατήριον τοῦ Βαρδαχλᾶ Μιχαὴλ, τοῦ υἱοῦ τοῦ Βαρόχειρος, καὶ Νικολάου τοῦ Δερματᾶ ἤγουν τοῦ Κατζιβαρηνοῦ χάριν τοῦ χωραφίου τοῦ τοιούτου Κατζιφαρηνοῦ ἤγουν Κατζιβαρηνοῦ †.

Σίγνα Μιχαὴλ τοῦ Βαρδαχλᾶ, τοῦ υἱοῦ τοῦ Βαρόχειρος, καὶ Νικολάου τοῦ Δερματᾶ ἤγουν τοῦ Κατζιβαρηνοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μιχαὴλ ὁ Βαρδαχλᾶ, ὁ υἱὸς τοῦ Βαρόχειρος .... τίθεμαι καὶ ποιῶ ἑκουσίως κ. τ. λ. πρὸς σὲ, τὸν τιμιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβου, καὶ πρὸς τὴν ὑπὸ σὲ πᾶσαν ἱερὰν καὶ ἁγίαν ἀδελφότητα περὶ τοῦ χωραφίου τοῦ διακειμένου ἐν τῇ τοποθεσίᾳ τῶν Παλατίων τοῦ εἰς μετόχιον ὄντος τῆς μονῆς ἡμῶν διὰ προσκυνητοῦ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως ἐκείνου, κυροῦ Ἰωάννου τοῦ Δούκα· καὶ γὰρ ἐπεὶ ἔφθασε πρὸ χρόνων ὁ αὐθέντης καὶ πατήρ μου, ὁ Βαρόχειρ, τὸ πλησίον τῶν Παλατίων χωράφιον ἐξωνήσασθαι ἀπὸ Νικολάου τοῦ Δερματᾶ, μὴ δοὺς δὲ κατὰ νόμους εἴδησιν τῷ μέρει τῆς μονῆς περὶ τοῦ τοιούτου χωραφίου, καὶ ὀχλήσεων πολλῶν γεγονότων μέσον ἡμῶν καὶ τοῦ μέρους τῆς μονῆς περὶ τῆς πράσεως τοῦ τοιούτου χωραφίου, δι' ἃς ὀχλήσεις καὶ εἰς συμβίβασιν τὰ μέρη ἀμφότερα ἐγινόμεθα, καὶ ἀντεστράφησαν ἀπὸ τῆς μονῆς πρὸς τὸν πατέρα μου, τὸν Βαρόχειρα, λόγῳ τῆς τιμῆς τοῦ χωραφίου ὑπέρπυρα ἕξ, ἃ δὴ ὑπέρπυρα μετὰ περαίωσιν χρόνων τεσσάρων πάλιν ἀντέστρεψε ταῦτα ὁ πατήρ μου πρὸς τὴν μονήν, αὐξουμένης οὖν τῆς τοιαύτης ὀχλήσεως ἐπὶ πολὺ, ἐπέφθασε δὲ καὶ εἰς τὰς ἀκοὰς τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, τοῦ μη-

τροπολίτου Σμύρνης καὶ ὑπερτίμου, ὅς καὶ διέκρινεν ἐνώπιον τῶν παρατυχόντων κριτῶν, τῶν καὶ κάτωθεν ὀφειλόντων ὑπογράφαι μαρτύρων, δικαιούμενος τὴν μονὴν ἐπὶ τῷ τοιούτῳ χωραφίῳ, ὡς ἀπὸ δικαίου πλησιασμοῦ αὐτῆς καὶ εἰς εἰρηνικὰς συμβιβάσεις ἡμᾶς μετεποιήσατο· ὥρισε γοῦν δοθῆναι πρὸς ἡμᾶς ἀντὶ τῶν πέντε ὑπερπύρων τοῦ τμήματος τοῦ προτέρου τοῦ τοιούτου χωραφίου ὀκτώ, καὶ ποιήσασθαι καὶ ἡμᾶς πρὸς τὴν μονὴν ἔγγραφον εἰς τὸ κατέχειν καὶ νέμεσθαι τὸ πλησιάζον αὐτῇ χωράφιον· τοίνυν καὶ τῶν ὀκτὼ ὑπερπύρων δοθέντων πρὸς ἡμᾶς ἐνώπιον τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων παραδιδοῦμεν διὰ τοῦ παρόντος ἡμῶν ἐγγράφου τὸ τοιοῦτον χωράφιον πρὸς τὸ μέρος τῆς μονῆς ἐνώπιον καὶ τοῦ προαπεμπολήσαντος αὐτὸ πρὸς ἡμᾶς, Νικολάου τοῦ Δερματᾶ, οὕτινος καὶ ἄνωθεν τοῦ παρόντος ἐγγράφου τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐγχαράξαντος, καὶ ὀφείλει ἀπὸ τοῦ νῦν ἡ μονὴ κατέχειν τὸ τοιοῦτον χωράφιον καὶ νέμεσθαι εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους κυρίως καὶ αὐθεντικῶς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ ὡς ἀπὸ πλησιασμοῦ δικαίου τοῦ διοριζομένου ὑπὸ τῶν φιλευσεβῶν καὶ θείων νόμων, μὴ ἐχόντων ἡμῶν ἀπὸ τοῦ νῦν ἐπ' ἀδείας ὄχλησίν τινα ἐπαγαγεῖν τῷ μέρει τῆς μονῆς χάριν τοῦ τοιούτου χωραφίου. εἰ δέ ποτε τῶν καιρῶν τολμήσωμεν εἰπεῖν, ἄπρακτοι ἀποπεμφόμεθα, ἐμφανιζομένου τοῦ ἡμετέρου ἐγγράφου, καὶ λόγῳ ζημίας ὑποκεισόμεθα ὑπέρπυρα τριάκοντα καὶ ἕξ. τὸ δὲ πρότερον γεγονὸς ἔγγραφον πρὸς ἡμᾶς παρὰ τοῦ Δερματᾶ οὐκ ἐδόθη πρὸς τὸ μέρος τῆς μονῆς, διὸ περιέχει ἐντὸς καὶ ἕτερα χωράφια ἐν τῇ τοποθεσίᾳ τοῦ Κορδολέοντος, καὶ εἴπερ ποτὲ ἐμφανισθῇ παρ' ἡμῶν, ὀφείλει ἔχειν τὸ ἄκυρον, μὴ εἰς τινα βοήθειαν καταφυγόντες ἢ ἐκκλησιαστικὴν ἢ ἀρχοντικὴν ἢ νομικὴν πρός τῳ καὶ οὕτως ἐρρῶσθαι τὴν ἡμετέραν πρᾶσιν εἰς τὸν αἰῶνα τὸν ἅπαντα. ὀφείλει δὲ ἡ μονὴ συνεισάγειν τὸν ἐπιτελεσμόν, μεθ' ὧν ἔχει καὶ ἑτέρων χωραφίων ἀπὸ τοῦ Δερματᾶ καὶ ἀποδοῦναι κατ' ἔτος πρὸς αὐτὸν . . . τέσσαρα ἀνεπαυξήτως πάντη καὶ ἀκωλύτως γραφέντας τοῦ ὕφους διὰ χειρὸς ἐμοῦ, ἱερέως καὶ ταβουλλαρίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ῥωμανοῦ τοῦ Καλοειδᾶ, ἐξ ἐπιτροπῆς τοῦ ἁγιωτάτου μου δεσπότου καὶ τῶν ἐκθεμένων αὐτῷ. μηνὶ μαρτίῳ ἰνδ. ς' τοῦ ,ςψοα' ἔτους †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ μέγας οἰκονόμος τῆς

ἱγιωτάτης μητροπόλεως Σμύρνης Κωνσταντῖνος, ὁ Καθαρός, παρὼν ἐπὶ τῇ παρούσῃ πράσει μαρτυρῶν ὑπέγραψα †. Eadem formula subscripserunt: ὁ μέγας σακελλάριος, Στέφανος ὁ Καθαρός, ὁ χαρτυφύλαξ Στέφανος ὁ Κασταμονίτης, ὁ κανστρίσιος, Ἰωάννης ἡ Κεραμήρης, ὁ δευτερεύων τῆς μητροπόλεως, Μιχαὴλ ὁ Βαρυπάτης, ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Λέων ὁ Μακρηνός, ὁ δευτερεύων τῶν διακόνων, κληρικὸς καὶ ταβουλλάριος Γεώργιος ὁ Χρυσοβέργης, ὁ ἱερεύς, κληρικὸς καὶ ἄρχων τῶν ἐκκλησιῶν Γεώργιος ὁ Καθαρός, ὁ ἱερεύς, κληρικὸς καὶ ταβουλλάριος Ῥωμανὸς ὁ Καλοειδᾶς †.

LXXXV. 6748—1239, mense octobri, ind. XIII.

Constantinus Agriparmes monasterio campum vendit.

† Πρατήριον τοῦ Ἀγριπαρμῆ, τῆς γυναικὸς καὶ τῶν υἱῶν αὐτοῦ χάριν τοῦ διακειμένου χωραφίου αὐτῶν τοῦ εἰς τὴν Ἄρκον †.

Σίγνα Κωνσταντίνου τοῦ Ἀγριπαρμῆ, Ξένης, τῆς συμβίου αὐτοῦ, Ἰωάννου, τοῦ υἱοῦ αὐτῶν, Νικολάου τοῦ Κρητικοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Ἡμεῖς οἱ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον τῶν κάτωθεν ῥηθησομένων χωραφίων ... πρᾶσιν ... ποιοῦμεν ... καὶ γὰρ τὸ χωράφιον τὸ διακείμενον ἐν τῇ θέσει τῆς Ἄρκου τὸ ἐναπομεῖναν ἡμῖν ἀπὸ τοῦ προπωληθέντος χωραφίου πρὸς τὸν στρατιώτην τὸν Μονομάχον πιπράσκομεν .... πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν μονὴν τῶν Λέμβων ... εἰς ὑπέρπυρα ἑξάγια τρία. ὡσαύτως πιπράσκομεν πρὸς τὴν αὐτὴν ἁγίαν μονὴν ... καὶ τὸ ἕτερον ἡμῶν ἀδελφικὸν χωράφιον τὸ διακείμενον ἐν τῇ τοποθεσίᾳ τῶν Παλατίων, πλησιασμοὺς ἐχόντων ἀπὸ νοτίου μέρους τὸ χωράφιον τοῦ Μαυρολέοντος καὶ ἀπὸ βορείου τὸ χωράφιον τῆς αὐτῆς βασιλικῆς ἁγίας μονῆς, καὶ ὡσεὶ στρέμματα ποσούμενον εἴκοσιν εἰς ὑπέρπυρα ἑξάγια πέντε, ὡς ὁμοῦ τὰ πάντα ὑπέρπυρα ὀκτώ, ἃ δὴ νομίσματα ἐλάβομεν ... ἀριθμητά, σῶα καὶ ἀνελλιπῆ ... εἰ δ' ἴσως ... βουληθῶμεν ἀνατρέψαι τὴν παροῦσαν ἡμετέραν ... πρᾶσιν ... ὃ ἐλάβομεν τίμημα ... ἐπὶ τὸ διπλάσιον ἀντιστρέφωμεν πρὸς τὴν διαληφθεῖσαν ἁγίαν μονὴν καὶ χάριν προστίμου ὑπέρπυρα τριάκοντα καὶ τέσσαρα κ. τ. λ. μηνὶ ὀκτωβρίῳ ἰνδ. ϛʹ τοῦ ϛψμηʹ ἔτους †

† Ὁ εὐτελὴς ἱερεὺς Νικόλαος ὁ Χαλιναρᾶς παρὼν ἐπὶ τῇ παρούσῃ πράσει μαρτυρῶν ὑπέγραψα †.

† Ὁ δομέστικος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰωάννης ὁ Κουνάλλης, τῇ παρούσῃ πράσειμαρτορῶν καὶ γράφας ὑπέγραφα †.

LXXXVI. 6771—1263, mense augusto, ind. VIII.

Nicolaus Creticus et filius monasterio campum vendunt.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Κρητικοῦ Νικολάου καὶ τοῦ υἱοῦ αὐτοῦ χάριν τοῦ χωραφίου τῆς Τραχεινῆς †.

Σίγνα Νικολάου τοῦ Κρητικοῦ καὶ Ἰωάννου τοῦ υἱοῦ αὐτοῦ.

† Ἐν ὀνόματι. κ. τ. λ. Νικόλαος ὁ Κρητικὸς σὺν τῷ γνησίῳ αὐτοῦ υἱῷ . . . τὴν παροῦσαν . . . πρᾶσιν . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων κ. τ. λ. καθὼς τὸ ὕφος δηλώσειεν. καὶ γὰρ φαινόμεθα ἡμεῖς οἱ προτεταγμένοι . . . ἀπεμπολοῦντες τὸ ἀπὸ γονικῆς ἡμῶν κλήρας χωράφιον, τὸ ἐπιλεγόμενον ἡ Τραχεινή, στρέμματα δέκα, τὰ μὲν ὀκτὼ εἰς ὑπέρπυρα δύο, τὰ δὲ ἕτερα δύο στρέμματα προεῖχεν αὐτὰ ἡ τοιαύτη ἁγία βασιλικὴ μονὴ ὡς προσένεξιν, ὑπὲρ ὧν ἀνελάβομεν εἰς ἀντίχαριν μοχθηρὸν ἕν, καὶ ὀφείλει ἀναλαβεῖν τὸ τοιοῦτον χωράφιον, ἐξ οἵου μέρους καὶ βούλεται, εἴτε ἀπὸ ἀνατολικοῦ, εἴτε ἀπὸ δυτικοῦ, ὡς λαβόντες τὰ τοιαῦτα ὑπέρπυρα ἀπὸ τῶν χειρῶν ὑμῶν . . . . . ἐποιήσαμεν πρὸς ταύτην τὴν παροῦσαν πρᾶσιν ἡμῶν. καὶ ἀπὸ τοῦ νῦν ὀφείλει κατέχειν ἡ δηλωθεῖσα σεβασμία μονὴ τὸ τοιοῦτον χωράφιον κ. τ. λ. εἴπερ δὲ γένηται καὶ παρά τινος κίνησις ἰδίου ἡμῶν ἢ συγγενοῦς ἢ ἀδελφοῦ ἢ πλησιαστοῦ ἢ ἀπὸ τοῦ δημοσίου, ὀφείλομεν δεφενδεύειν καὶ διεκδικεῖν ταύτην ἀπὸ παντὸς ἀναφυομένου προσώπου αζήμιον καὶ ἀνενόχλητον· εἰ δὲ αὐτοὶ ἡμεῖς βουληθῶμεν ἤ τις τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν . . . . λόγῳ προστίμου ὑποκεισόμεθα ὑπέρπυρα τεσσαράκοντα καὶ τὸ τούτων τρίτον εἰς τὸν δημόσιον κ. τ. λ. ἐνώπιον τῶν ὑπογραφομένων καὶ σιγνογραφησομένων μαρτύρων κάτωθεν. μηνὶ αὐγούστῳ ἰνδ. η' τοῦ ͵ςψοα' ἔτους †.

† Ὁ δοῦλος τοῦ ἁγίου μου αὐθέντου τοῦ πανυ-

περσεβάστου καὶ πράκτωρ Μουρμούντων, Θεόδωρος ὁ Σκολλίτζης †.

Σίγνα μαρτύρων Ἰωαννικίου μοναχοῦ τοῦ Βλεμμίδου, Μελετίου μοναχοῦ, Νικολάου τοῦ Τορνάρι.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς χώρας Μουρμούντων, Γεώργιος ὁ Καρυνάτης, τὸ παρὸν ἔγγραφον γράψας ὑπέγραψα †.

LXXXVII. 6774—1266, mense augusto, ind. IX.

Georgius Petritzes et alii monasterio donant campum.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Πετρίτζη σεβαστοῦ κυροῦ Γεωργίου τοῦ Καπνοῦ Κωνσταντίνου καὶ τοῦ αὐταδέλφου αὐτοῦ Γεωργίου χάριν τοῦ εἰς τὸ Σαρρα[κη]νικὸν χωραφίου †.

Σίγνα Κωνσταντίνου τοῦ Καπνοῦ, Γεωργίου τοῦ αὐταδέλφου αὐτοῦ, Γεωργίου σεβαστοῦ τοῦ Πετρίτζη.

† Ἐγὼ Γεώργιος σεβαστὸς ὁ Πετρίτζης ὁ ἄνωθεν καὶ κατ' ἀρχὰς τοῦ παρόντος ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οὐκειοχείρως ποιήσας αὐτοθελῶς καὶ οὐκ ἔκ τινος νουθεσίας πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων ποιοῦμαι ἔκδοσιν· καὶ γὰρ τὸν μακαρίτην ἐκεῖνον πατέρα μου φθάσας εἶδον ὡς οἷα χριστιανὸν καὶ τὰ ὑπὲρ τῆς ἰδίας ψυχῆς ἑκάστοτε φροντίζοντα, εἰώθει γὰρ ἐκ ψυχῆς ζεούσης σχολάζειν ἐν ἐκκλησίαις καὶ ἐπιμελεῖσθαι τοὺς ἐν αὐταῖς σεμνοπρεπῶς προσιόντας, ἐξαιρέτως δὲ ἐπὶ τῇ εἰρημένῃ ἁγίᾳ μονῇ τῶν Λέμβων, τοιαύτην ἐπ' αὐτὴν καὶ τοὺς ἀσκουμένους μοναχοὺς ἐπεδείκνυτο τὴν πληροφορίαν οἶμαι ὡς οὐδεὶς ἄλλος, κἀγὼ γοῦν τῷ πατρικῷ ἀγαθῷ ἤθει ἑφεπόμενος ἐπὶ τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ καὶ πρὸς τοὺς ἐν αὐτῇ ἀσκουμένους, γονικὴν ἐν τῷ κάμπῳ τοῦ Μεμανιωμένου εἰς τὸ Σαρρακηνικὸν οὕτωσὶ τοπικῶς λεγόμενον πλησιάζουσαν τῶν χωραφίων αὐτῆς ἐκδίδωμι, στρέμματα τοπικῶς λεγόμενα, ὧν ἡ ποσότης τυγχάνει εἴκοσι καὶ οὐκ ἔλαττον, εἰς ἃ καὶ ἁλυκὸς πέλει καὶ τοῖς ὅροις συνήρμοσται, καθὼς εἰρήκαμεν, τῆς μονῆς, καὶ ἀπέρχεται ἕως τοῦ Παλαιοποτάμου, ὧν τὴν ἔκδοσιν ἐκτίθεμαι ἐπὶ θεῷ μάρτυρι, οὐ διὰ δῶρον ἢ δι' ἄλλην τινὰ προσδο-

κίαν τὴν τυχοῦσαν, ἀλλὰ ψυχικῆς ἕνεκα σωτηρίας τῶν μακαριτῶν αὐθεντῶν καὶ γονέων μου τῶν φυσάντων με, ἀλλὰ δὴ καὶ ἐμοῦ, ἥτις ἔκδοσις ὀφείλει προσεῖναι τῇ σεβασμίᾳ καὶ ἁγίᾳ βασιλικῇ μονῇ συνηριθμημένη τοῖς ἄλλοις κτήμασιν αὐτῆς, ὅθεν καὶ οὐκ ὀφείλει τις τῶν ἀφάντων ἢ τῶν ἐγγενῶν μου ἢ τῶν γειτνιαζόντων ἢ τῶν ἄλλως ἐπήρειαν ἢ ὄχλησιν τινὰ ἐπαγαγεῖν τῇ μονῇ· ὁ γὰρ τολμήσων, ἀφ' ὧν εἰρήκαμεν, λέγω δὲ ὅτι καὶ αὐτὸς εἰ παρὰ τοῦ δαίμονος πειρασθῶ τὴν οἱανδήτινα ῥῆσιν προσβαλεῖν οὐ μόνον οὐ μὴ εἰσακουόμεθα κ. τ. λ. εἰ γὰρ πάλιν τὴν οἰκείαν αὐτοθελῶς ἐκτελέσας γραφὴν κατά τι ἐναντιωθῶ, οὐκέτι ὡς ἄξιος στρατιωτικῶς ἐκδουλεύσω τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τὸ παρόν μου ἐκδοτήριον ἔγγραφον εἰς βεβαίαν πίστωσιν καὶ ἀσφάλειαν αἰωνίζουσαν. μηνὶ αὐγούστῳ κζ' ἰνδ. θ' τοῦ ͵ςφοδ' [ἔτους] ἐπὶ παρουσίᾳ τῶν μαρτύρων, ἤγουν τοῦ μεγαλοδοξοτάτου κυροῦ Βασιλείου τοῦ Μωρουτζίκου, τοῦ Ἀφρατᾶ κυροῦ Θεοδώρου καὶ ἑτέρων †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, προκαθήμενος Σμύρνης, κῦρ Γεώργιος ὁ Καλοειδᾶς μαρτυρῶν ὑπέγραψα †. † Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, σεβαστὸς Νικηφόρος ὁ Λωστρᾶς, καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα †. † Ὁ ταπεινὸς ἱερεὺς κληρικὸς καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ῥωμανὸς ὁ Καλοειδᾶς, καὶ αὐτὸς μαρτυρῶν, ὡς τὸ ὕφος δηλοῖ, ὑπέγραψα †.

† Ὁ εὐτελὴς ἱερεύς, κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, διδάσκαλος τῶν εὐαγγελίων Χριστοῦ τοῦ ὑψηλοτάτου λόγου, σοφίας θεοῦ, νομικὸς καὶ πρωτοπαπᾶς τῆς ἐνορίας Λεύκης καὶ Κουκούλης, Θεόδωρος ὁ Μοσχηνός, τὴν παροῦσαν καθαρὰν ἔκδοσιν καὶ αὐτὸς γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

Σίγνον Ἰωάννου | τοῦ Καλο-
γρηγόρου | καὶ μάρτυρος.

LXXXVIII. 6776—1268, mense martio, ind. XI.

Michaël Apelmene monasterio tradit campum.

† Γράμμα παραδοτικὸν σεβαστοῦ τοῦ Ἀπελμενὲ κοροῦ Μιχαὴλ ἐπὶ τοῖς προγραφεῖσι χωραφίοις τοῦ γαμβροῦ αὐτοῦ Πετρίτζη, ἐπεὶ οὐκ ἔφθασε παραδοῦναι τὰ τοιαῦτα ἐκεῖνος τῇ μονῇ ὡς τῷ τέλει τοῦ βίου ἀποδούς †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως σεβαστὸς Μιχαὴλ ὁ Ἀπελμενέ †.

† Ἐν ὀνόματι κ. τ. λ. ὁ ἄνωθεν ..... οἰκειοχείρως προτάξας τίθεμαι καὶ ποιῶ ἑκουσίως κ. τ. λ. ἐπὶ τῇ παρούσῃ ὑποθέσει, καθὼς δηλωθήσεται. καὶ γὰρ ἐπεὶ ὁ περιπόθητός μου ἐκεῖνος γαμβρὸς Γεώργιος ὁ Πετρίτζης ἔφθασεν ἐκδοῦναι πρὸς τὴν σεβασμίαν ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων χωράφιον ἀπὸ τῶν γονικῶν αὐτοῦ χωραφίων τῶν ὄντων ἐν τῷ κάμπῳ τοῦ Μεμανιωμένου πλησίον καὶ σύνεγγυς τῶν χωραφίων τῆς τοιαύτης βασιλικῆς μονῆς τῶν ἐν τῇ τοποθεσίᾳ τοῦ Πύργου διακειμένων καὶ διὰ στηλῶν κεχωρισμένων, γαμματιζόντων τῶν αὐτῶν χωραφίων καὶ ἀλλεπαλλήλως εἰσερχομένων τε καὶ ἐξερχομένων δι' ἰσασμὸν αὐτῶν τῶν χωραφίων· τὸ δηλωθὲν ἐξέδοτο χωράφιον ψυχικῆς ἕνεκα σωτηρίας αὐτοῦ, ὃς ἀνελάβετο ἀπὸ τῆς δηλωθείσης βασιλικῆς ἁγίας μονῆς χάριν ἀντιχάριτος ἐκείνου ἀπὸ τῶν μοναχῶν αὐτῆς ὑπέρπυρα δέκα εἴς τινα συγκρότησιν τῆς στρατιωτικῆς αὐτοῦ δουλείας. ὁ δὲ οὐκ ἔφθασεν ἔτι ζῶν καὶ διὰ τοπικῆς παραδόσεως διαμετρῆσαι καὶ παραδοῦναι αὐτὸ πρὸς τὴν μονήν, ἀλλ' εὗρε τῆς ἐν τῇ Σμύρνῃ διακειμένης μονῆς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου μοναχοὺς κωλύοντας τὴν τούτου παράδοσιν διὰ τὸ ἔχειν καὶ ταύτην μερίδα τε καὶ κληρονομίαν ἐκ διατάξεως γονικῆς ἐκείνου ἀδελφότητος· καὶ γὰρ ἐκωλύετο ἡ τοιαύτη τοπικὴ παράδοσις νομίμως διὰ τὸν γνησιώτερον πλησιασμόν, ἡ δὲ ἀπαραίτητος τομὴ τοῦ θανάτου φθάσασα καὶ ἐπὶ τῷ γαμβρῷ μου ἐκείνῳ, καθὼς καὶ τῇ ἀνθρωπείᾳ φύσει ἐπίκειται, καὶ ἐν τῇ τελευταίᾳ ἀναπνοῇ ἠθέλησε τὰ πάντα αὐτοῦ καλῶς διαθεῖναι καὶ διατάξασθαι. μετὰ γοῦν τῶν λοιπῶν τῆς διαθήκης αὐτοῦ παραγγελμάτων ἐπαφῆκε πρὸς ἡμᾶς, ἵνα καὶ αὐτὸς παραγένωμαι καὶ ἐπι-

ζευγαρίων ἡ γῆ διὰ πάντων, ὑπεργός τε καὶ νομαδιαῖα. μηνὶ μαΐῳ ἰνδ. ἑβδόμης τοῦ ,ςφμβ' ἔτους †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, προκαθήμενος Σμύρνης καὶ παραδότης τῶν ἐντὸς γεγραμμένων χωραφίων, Ἰωάννης σεβαστὸς ὁ Ἀλωπός †.

LXXX. 6773—1265, mense aprili, ind. VIII.

Nicolaus et Xenus Dermatae monasterio donant campos.

† Τὸ δωρεαστικὸν ἔγγραφον τοῦ Δερματᾶ Νικολάου καὶ τοῦ υἱοῦ αὐτοῦ περὶ τῶν χωραφίων τῆς Τραχεινῆς †.

Σίγνα Νικολάου τοῦ Δερματᾶ καὶ Ξένου τοῦ υἱοῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Νικόλαος ὁ Δερματᾶς καὶ Ξένος ὁ υἱὸς αὐτοῦ κ. τ. λ. μετὰ τὴν τοῦ ὅλου ὕφους ἀνάγνωσιν τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν καὶ εἰς τὸ ἑξῆς κ. τ. λ. ἔκδοσιν . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν κ. τ. λ. μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης κ. τ. λ., καθὼς δηλώσειεν τὸ ὕφος· καὶ γὰρ τὸ ἐκ δεσποτικοῦ καὶ κληρονομικοῦ μέρους διαφέρον ἡμῖν χωράφιον τῆς Τραχεινῆς τὸ κατώδρομον, ἐκ δὲ τῆς ἄνωθεν ὁδοῦ τῆς ἀπαγούσης ἐν τῷ Κουκούλῳ ἔχων πλησιαστὴν Κωνσταντῖνον τὸν Ἀποστόλην, ἐκ δὲ μέρους βορείου καὶ ἐξ ἀνατολῆς τὸν αὐτὸν Ἀποστόλην, ἐκ δὲ νοτίου μέρους ἤτοι συνποδώσεως τὸ χωράφιον τοῦ Κολελοῦ, τὸ δὲ δοθὲν παρ' ἡμῶν χωράφιον εἰς τὴν δηλωθεῖσαν βασιλικὴν μονὴν τῶν Λέμβων ἔστι στρέμματα ἕξ, ἐκ δὲ μέρους δυτικοῦ τὴν ἀπάγουσαν ὁδὸν εἰς τὰ βιβάρια. τὸ δὲ τοιοῦτον χωράφιον ἔστιν ἐν τῷ μέρει αὐτῶν τῶν πλησιαστῶν ἐκ νοτίου καὶ βορείου, ἐστὶ στρέμματα δύο ἥμισυ. χωράφιον ἕτερον λεγόμενον ἡ Βαμβάκη ὡσεὶ στρέμματα πέντε, ἔχον πλησιαστὴν ἐκ βορείου μέρους ἤτοι τῆς προρρηθείσης ἄνωθεν ὁδοῦ Ξένον τὸν Γουνάριν τὸν ἔχοντα τὴν οἴκησιν ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ, εἰς τὸν στροφὸν δὲ τοῦ τοιούτου χωραφίου ἔχον βρούλλας οὐκ ὀλίγας καὶ ἁλμοτόπιν οὐκ ὀλίγον ἐν τῇ αὐτῇ ὀροθεσίᾳ. περὶ δὲ τοῦ ὅρου τοῦ ἀνατολικοῦ μέρους οὐκ ἔχουσι τινά, εἰ μὴ τὴν λάμπην μόνην καὶ συγκαταβαινόμενον τὸ τοιοῦτον ἀστάχυν ἀποδιδοῖ εἰς τὸ χωράφιον τοῦ ἁγίου Γεωργίου τοῦ Σιλλεώ-

του, εἰς ὃ εἰσὶ καὶ βρούλλαι· ἀνερχομένου δὲ τοῦ αὐτοῦ χωραφίου ἤγουν τοῦ περιορισμοῦ εὕρομεν καὶ χωράφιον ἔξωθεν τοῦ δωρεαστικοῦ, ὡσεὶ στρέμματα ἓξ ἥμισυ καὶ ἀναβαινομένου τοῦ τοιούτου χωραφίου οἵου καὶ ὅσου ὄντος, ἔχοντος καὶ ἁλμοτόπιν καὶ ἀλυκοτόπιν, ὅπερ χωράφιον ἀποδιδοῖ, ἔνθα καὶ ἐστηλώθη, ἐν δὲ τῇ αὐτῇ στήλῃ εἰσὶ καὶ ὀξυχάραι, μετὰ τούτου δὲ ἐκ θρασκίου μέρους τοὺς αὐτοὺς κληρονόμους. σὺν τῷ παρόντι δὲ δωρεαστικῷ χωραφίῳ ἐπεδόθη καὶ τὸ ἕτερον χωράφιον ἤτοι στρέμματα ἓξ εἰς ὑπέρπυρον ἕν. βουληθέντες οὖν αὐτοῦ ἐκποιήσασθαι τὴν δωρεαστικὴν τούτου φήμην διεφημίσαμεν, ὡς δὲ ἡ περὶ αὐτοῦ φήμη ἔφθασε καὶ εἰς τὰς ἀκοὰς τῶν ἀσκουμένων μοναχῶν ἐπὶ τῇ προδηλωθείσῃ μονῇ τῆς ὑπεράγνου θεοτόκου τῆς **Λεμβιωτίσσης**, ἠθελήσατε ἐκδοθῆναι αὐτὰ πρὸς ὑμᾶς δι' ὑπηρεσίαν τῆς τοιαύτης ἁγίας μονῆς. ταῦτα πάντα θεοῦ προμηθείᾳ καὶ χάριτι ἐξ οἰκείων μου καταβαλὼν καὶ ἀναλωμάτων, ἵνα δὲ κατέχῃ ταῦτα ἡ αὐτὴ μονὴ ἀκαινοτομήτως καὶ ἀδιασείστως, μὴ παρά τινος τὸ σύνολον ἐμποδιζομένη ἢ ἐνοχλουμένη, μήτε παρά τινος τῶν χωριτῶν, μήτε μὴν παρὰ τῶν τὰς δημοσιακὰς δουλείας μετερχομένων. εἰς θεὸν γὰρ εὐορκεῖ καὶ εἰς τὴν αὐτοῦ μητέρα τοῦ μὴ ἔχειν ἐπ' ἐξουσίας χεῖρα ἐπιβαλεῖν ἢ εὐλόγως ἢ ἀλόγως ἐπὶ τῇ παρούσῃ ἡμετέρᾳ δωρεᾷ, ὡς παρ' ἐμοῦ πίστει καλῇ δωρηθεῖσα, ἀλλὰ μένειν ὀφείλει εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ἡ μονὴ ἀβλαβὴς πάντη καὶ ἀνενόχλητος, καὶ οὐκ ὀφείλει τις τῶν ἁπάντων μέμφιν ἐπάξαι τῇ παρούσῃ μου δωρεᾷ καὶ ὅλως ὄχλησιν καθυπάξαι ἢ πρᾶγμα ἐπὶ πράγματος, ἀφ' ὧν ἄνωθεν ἐμνημονεύσαμεν, καὶ ἅψασθαι ἀπὸ τῆς ῥηθείσης ἁγίας βασιλικῆς μονῆς, εἰ μὴ βούλεται ὁ τούτου καταπολμήσων ἀντίδικον ἕξειν τὴν ὑπεράγνον ταύτην θεοτόκον, καὶ κληρονομήσειεν καὶ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὡς ὀχυρᾶς καὶ ἀρραγοῦς διαμενούσης τῆς παρούσης μου δωρεᾶς. ὅθεν καὶ μετὰ τὴν ταύτης ἀνάγνωσιν προέταξα ἄνωθεν οἰκειοχείρως τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐγώ, καὶ τῶν κάτωθεν ὑπογραφομένων ἀξιοπίστων ἀνδρῶν τῶν ἐνταῦθα παρατυχόντων, ἥτις καὶ ὀφείλει ἔχειν τὸ ἐνεργὸν καὶ ἰσχυρὸν καὶ πάγιον ἡ καὶ γραφεῖσα διὰ χειρός μου, Ἰωάννου ταπεινοῦ καὶ νόμικοῦ χωρίου Σίλλ.... σὺν τοῖς οὖσι ζευγηλάταις τοῦ Πύργου καὶ ἑτέροις. μηνὶ ἀπριλλίῳ ια' ἰνδ. η' τοῦ ,ϛφογ' ἔτους †.

Σίγνα Ἰωάννου τοῦ Ἀτταλειώτου, Λέοντος τοῦ Ἀκακιανοῦ, Θεοδώρου τοῦ ἐνεργοῦντος εἰς τὰ Μούρμουντα.

† Ὁ ταπεινὸς Ἰωάννης καὶ νομικὸς χωρίου Σιλλ.. ὁ Πηγηνὸς παρὼν ἐπὶ τῇ παρούσῃ ἁπλῇ καὶ δωρεαστικῇ γραφῇ τῶν χωραφίων τῶν ἄνωθεν, ἣν καὶ γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς χωρίου Μουρμούντων, Μιχαὴλ ὁ Κεραμέως, καὶ αὐτὸς παρὼν ἐπὶ τῇ παρούσῃ καθαρᾷ δωρεᾷ τῇ δωρηθείσῃ τῇ βασιλικῇ τῶν Λέμβων καὶ μαρτυρῶν ὑπέγραψα †.

LXXXI. 6762—1254, mense martio, ind. XII.

Constantinus Ceporus et Nicolaus Dermatas monasterio vendunt campos.

† Πρατήριον ἔγγραφον τοῦ Κηπωροῦ Κωνσταντίνου καὶ Νικολάου τοῦ Δερματᾶ χάριν τῶν χωραφίων τοῦ Καλλούδη, τοῦ Χαλάσματος καὶ τοῦ εἰς τὴν ἁγίαν Ἑλένην †.

Σίγνα Κωνσταντίνου τοῦ Κηπωροῦ καὶ Νικολάου τοῦ Δερματᾶ.

† Ἐν ὀνόματι κ. τ. λ. Κωνσταντῖνος ὁ Κηπωρός, ἔτι δὲ κἀγὼ Νικόλαος ὁ Δερματᾶς κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον .... πρᾶσιν τοῦ κάτωθεν ῥηθησομένου χωραφίου .... ποιοῦμεν .... πρὸς σέ, τὸν τιμιώτατον καθηγούμενον τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου ἡμῶν δεσποίνης καὶ θεοτόκου τῆς Λεμβιωτίσσης κῦρ Ἀθανάσιον κ. τ. λ. καὶ γὰρ τὰ ἐκ γονικῆς κληρονομίας περιελθόντα ἡμῖν χωράφια τὰ ὄντα καὶ διακείμενα ἐν τῇ γειτονίᾳ τῶν Παλατίων καὶ πλησίον τῶν χωραφίων τῆς μονῆς ὑμῶν, ἤγουν τὸ χωράφιον τοῦ Καλλουδᾶ, τὸ χωράφιον τοῦ Χαλάσματος καὶ τὸ χωράφιον τῆς ἁγίας Ἑλένης μετὰ τοῦ παραδρόμου, τὰ ὡσεὶ μοδίων τυγχάνοντα πεντήκοντα, βουληθέντες ἐκποιήσασθαι περιεστήσαμεν αὐτὰ .... εἰς ὑπέρπυρα ἑξάγια πέντε, ἃ δὴ νομίσματα ἐλάβομεν ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμετέρας ἀριθμητά, σῶα καὶ ἀνελλιπῆ κ. τ. λ. τοίνυν καὶ παραδιδοῦμεν πρὸς τὴν μονὴν ὑμῶν τὰ τοιαῦτα χωράφια ὥστε κατέχειν αὐτὰ κ. τ. λ. ἀρκοῦντος σοι τοῦ παρόντος ἡμῶν ἐγγράφου ἀντὶ σωματικῆς παραδό-

πως· λοιπὸν καὶ εἴ τις ἐκ τοῦ μέρους ἡμῶν . . . βουληθῇ ἀνατρέψαι . . . . τὴν παροῦσαν ἡμῶν . . . πρᾶσιν . . . ὃ ελάβομεν τίμημα, ἐπὶ τὸ διπλάσιον ἀντιστρέφωμεν πρὸς τὴν μονὴν ὑμῶν καὶ χάριν προστίμου ζημιοῦσθαι ὀφείλομεν ὑπέρπυρα δώδεκα κ. τ. λ. μηνὶ μαρτίῳ ἰνδ. ιβ' τοῦ ,ςφξβ' ἔτους †.

† Κλήμης ἱερομόναχος ὑπέγραψα †.

Σίγνα Κωνσταντίνου τοῦ Μούτζικα, Ξένου τοῦ Ψελλοῦ, Κωνσταντίνου τοῦ Ἀγρηνοῦ †.

† Ὁ εὐτελὴς ἱερεὺς Νικήτας ὁ Θερμήρης μαρτυρῶν ὑπέγραψα †.

† Ὁ πρωτέκδικος καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰωάννης ὁ Κουνάλλης, τῇ παρούσῃ πράσει μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

LXXXII. Sine anno, mense februario, ind. II.

Imperator iubet monasterio restitui campum Barycheri venditum.

† Πρόσταγμα χάριν τοῦ χωραφίου τοῦ Κατζιβαρηνοῦ, ὅπερ κατεδυνάστευσεν ὁ Βαρύχειρ δῆθεν ὡς ἐξωνησάμενος αὐτό †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Θεόδοτε Καλόθετε· ἡ βασιλεία μου διορίζεταί σοι, ὡς ἂν τηρήσῃς τὰ περὶ ὧν ὑπέμνησε τὴν βασιλείαν μου ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβου, καὶ εἴπερ γνωρίσεις, ὡς τὸ ἐν τῇ παρούσῃ ὑπομνήσει δηλούμενον χωράφιον τὸ πρὸς τὸν Βαρύχειρα στρατιώτην πραθὲν τῇ κατ' αὐτὸν διέφερε μονῇ ἀπὸ πλησιασμοῦ, καὶ ἐκρίθη ἐπὶ τούτῳ, καὶ δικαιωθεὶς ὡς πλησιαστὴν ἀπέστρεψε καὶ τὸ τίμημα πρὸς τὸν ἐξωνησάμενον, τοῦτο καὶ ἐν κατοχῇ τοῦ χωραφίου ἐγένετο τὸ μέρος τῆς μονῆς. ἀρτίως δὲ πάλιν εὑρίσκει δυναστείαν ἀπὸ τῶν προσγενῶν τοῦ τοιούτου Βαρύχειρος, τοῦ τε Φαρισσαίου [τοῦ γαμβροῦ] αὐτοῦ δηλονότι καὶ ἑτέρων, οἳ καὶ ἀκουσίᾳ γνώμῃ τοῦ μέρους τῆς μονῆς ἔρριψαν πρὸς αὐτὸν τὸ παρ' αὐτοῦ καταβληθὲν τίμημα ὑπὲρ τοῦ δηλωθέντος χωραφίου, καὶ ἐπαναστάντες αὐτῶν ἔτυψαν τούτους, καὶ ξίφη κατ' αὐτῶν καὶ σπάθην ἦραν

καὶ ἄλλα ἐποίησαν βλαπτικὰ καὶ ἄτοπα μετὰ τὴν τοῦ δικαίου ἀναγνώρισιν· πρώτως μὲν ἀπόσπασον τῆς βιαίας καὶ ἀδίκου τούτων χειρὸς τὸ εἰρημένον χωράφιον, καὶ ἐγκατάστησον τῷ μέρει τῆς μονῆς, ἐπεὶ καὶ διὰ χρυσοβούλλου ὁρισμοῦ κατέχουσα εὑρίσκεται τοῦτο καὶ ἐντὸς τοῦ περιόρου αὐτῆς φέρεται. εἶθ' οὕτως ἐπίστυφον καὶ τῷ μέρει τῶν ἀδικούντων αὐτοὺς καὶ τοιαῦτα ἐνδεικνυμένων ἀπρεπῆ, ὥστε μηκέτι τολμῆσαί τινα τούτων, δυναστείαν χάριν τούτου τῷ μέρει ἐπενεγκεῖν τῆς μονῆς. ἀποδότω δὲ ἡ μονὴ καὶ τὸ τίμημα τὸ ὑπὲρ τοῦ τοιούτου χωραφίου, ὅπερ βιαίως ἔλαβεν ἐξ αὐτῶν †.

† Εἶχε τὸ· μηνὶ φευρουαρίῳ ἰνδ. δευτέρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

LXXXIII. Sine anno, mense iunio, ind. II.

Imperator iubet monasterio restitui campum Barycheri venditum.

† Πρόσταγμα ἕτερον χάριν τῆς αὐτῆς ὑποθέσεως †.

† Θεῖε τῆς βασιλείας μου, πανσέβαστε, σεβαστὲ δοὺξ τοῦ θέματος τῶν Θρακησίων καὶ τῆς χώρας Πυργίου καὶ Καλοῆς, κῦρ Θεόδοτε Καλόθετε. ὁ τὴν παροῦσαν ὑπόμνησιν ἐκθέμενος καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβου τῇ βασιλείᾳ μου ἀνέφερεν, ὡς πλησιαστής τις τοῦ κατ' αὐτὸν μετοχίου, ὀνόματι Κατζιβαρηνός, διεπώλησε χωράφιον αὐτοῦ πρός τινα Βαρύχειρα λεγόμενον, μὴ δεδωκὼς τὰ περὶ τούτου τοῖς μοναχοῖς εἴδησιν· τοῦτο ἀναγνωρίσαντες οἱ μοναχοὶ καὶ κριθέντες ἀποκατέστησαν ἐπαρεῖν αὐτό, ἀποδοῦναι δὲ πρὸς τὸν ἀγοράσαντα τὰ ὑπέρπυρα, ὅσα κατεβάλλετο ἐπὶ τῷ τοιούτῳ χωραφίῳ, ὃ καὶ πεποίηκαν καὶ κατεβάλλοντο ταῦτα καὶ εἶχον τὸ τοιοῦτον χωράφιον, ἤδριακον δὲ ὄχλησιν, καὶ ἀναδραμόντες εἰς τὴν βασιλείαν μου ἐπορίσαντο ὁρισμὸν αὐτῆς, δι' οὗ καὶ αὖθις ἀποκατέστησαν ἔχειν αὐτά, καὶ παραλαβόντες τοῦτο καὶ καλλιεργήσαντες ἀπῆλθον οἱ τοῦ μέρους τοῦ ἀγοραστοῦ μετὰ λαοῦ ἱκανοῦ καὶ ἔσπειραν αὐτὸ ἀνάρχως. τοίνυν καὶ διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἄν, εἰ οὕτω τὰ τῆς ἀληθείας ἔχει, οἰκονομήσῃς ἐπανελθεῖν τὸ τοιοῦτον χωράφιον πρὸς τοὺς ῥηθέντας μοναχοὺς κατὰ τὴν γεωργικὴν κρίσιν,

ὥστε μηκέτι στερίσκεσθαι τούτους αὐτοῦ. ἔκτοτε μετ' ἐπιστάσεως ἱκανῆς ἐπιφωνήσεως αὐτοῖς ἀπέχειν ἐξ αὐτῶν. ποίησον οὖν κατὰ τὴν παροῦσαν τῆς βασιλείας μου πρόσταξιν, ἣν καὶ ἀντίστρεφον τοῖς διαληφθεῖσι μοναχοῖς δι' ἀσφάλειαν καὶ ἀποσόβησιν αὐτῶν †.

† Εἶχε τὸ· μηνὶ ἰουνίῳ ἰνδ. δευτέρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

LXXXIV. 6771—1263, mense martio, ind. VI.

Michaël Bardachlas, filius Baryoheris, monasterio restituit campum a patre emptum.

† Τὸ πρατήριον τοῦ Βαρδαχλᾶ Μιχαὴλ, τοῦ υἱοῦ τοῦ Βαρόχειρος, καὶ Νικολάου τοῦ Δερματᾶ ἤγουν τοῦ Κατζιβαρηνοῦ χάριν τοῦ χωραφίου τοῦ τοιούτου Κατζιφαρηνοῦ ἤγουν Κατζιβαρηνοῦ †.

Σίγνα Μιχαὴλ τοῦ Βαρδαχλᾶ, τοῦ υἱοῦ τοῦ Βαρόχειρος, καὶ Νικολάου τοῦ Δερματᾶ ἤγουν τοῦ Κατζιβαρηνοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μιχαὴλ ὁ Βαρδαχλᾶ, ὁ υἱὸς τοῦ Βαρόχειρος .... τίθεμαι καὶ ποιῶ ἑκουσίως κ. τ. λ. πρὸς σὲ, τὸν τιμιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβου, καὶ πρὸς τὴν ὑπὸ σὲ πᾶσαν ἱερὰν καὶ ἁγίαν ἀδελφότητα περὶ τοῦ χωραφίου τοῦ διακειμένου ἐν τῇ τοποθεσίᾳ τῶν Παλατίων τοῦ εἰς μετόχιον ὄντος τῆς μονῆς ἡμῶν διὰ προσκυνητοῦ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως ἐκείνου, κυροῦ Ἰωάννου τοῦ Δούκα· καὶ γὰρ ἐπεὶ ἔφθασε πρὸ χρόνων ὁ αὐθέντης καὶ πατήρ μου, ὁ Βαρόχειρ, τὸ πλησίον τῶν Παλατίων χωράφιον ἐξωνήσασθαι ἀπὸ Νικολάου τοῦ Δερματᾶ, μὴ δοὺς δὲ κατὰ νόμους εἴδησιν τῷ μέρει τῆς μονῆς περὶ τοῦ τοιούτου χωραφίου, καὶ ὀχλήσεων πολλῶν γεγονότων μέσον ἡμῶν καὶ τοῦ μέρους τῆς μονῆς περὶ τῆς πράσεως τοῦ τοιούτου χωραφίου, δι' ἃς ὀχλήσεις καὶ εἰς συμβίβασιν τὰ μέρη ἀμφότερα ἐγινόμεθα, καὶ ἀντεστράφησαν ἀπὸ τῆς μονῆς πρὸς τὸν πατέρα μου, τὸν Βαρόχειρα, λόγῳ τῆς τιμῆς τοῦ χωραφίου ὑπέρπυρα ἕξ, ἃ δὴ ὑπέρπυρα μετὰ παραδρομὴν χρόνων τεσσάρων πάλιν ἀντέστρεψε ταῦτα ὁ πατήρ μου πρὸς τὴν μονὴν, αὐξουμένης οὖν τῆς τοιαύτης ὀχλήσεως ἐπὶ πολὺ, ἐπέφθασε δὲ καὶ εἰς τὰς ἀκοὰς τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, τοῦ μη-

τροπολίτου Σμύρνης καὶ ὑπερτίμου, ὃς καὶ διέκρινεν ἐνώπιον τῶν παρατυχόντων κριτῶν, τῶν καὶ κάτωθεν ὀφειλόντων ὑπογράψαι μαρτύρων, δικαιούμενος τὴν μονὴν ἐπὶ τῷ τοιούτῳ χωραφίῳ, ὡς ἀπὸ δικαίου πλησιασμοῦ αὐτῆς καὶ εἰς εἰρηνικὰς συμβιβάσεις ἡμᾶς μετεποιήσατο· ὥρισε γοῦν δοθῆναι πρὸς ἡμᾶς ἀντὶ τῶν πέντε ὑπερπύρων τοῦ τιμήματος τοῦ προτέρου τοῦ τοιούτου χωραφίου ὀκτώ, καὶ ποιήσασθαι καὶ ἡμᾶς πρὸς τὴν μονὴν ἔγγραφον εἰς τὸ κατέχειν καὶ νέμεσθαι τὸ πλησιάζον αὐτῇ χωράφιον· τοίνυν καὶ τῶν ὀκτὼ ὑπερπύρων δοθέντων πρὸς ἡμᾶς ἐνώπιον τῶν κάτωθεν ὑπογραφομένων μαρτύρων παραδιδοῦμεν διὰ τοῦ παρόντος ἡμῶν ἐγγράφου τὸ τοιοῦτον χωράφιον πρὸς τὸ μέρος τῆς μονῆς ἐνώπιον καὶ τοῦ προαπεμπολήσαντος αὐτὸ πρὸς ἡμᾶς, Νικολάου τοῦ Δερματᾶ, οὗτινος καὶ ἄνωθεν τοῦ παρόντος ἐγγράφου τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐγχαράξαντος, καὶ ὀφείλει ἀπὸ τοῦ νῦν ἡ μονὴ κατέχειν τὸ τοιοῦτον χωράφιον καὶ νέμεσθαι εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους κυρίως καὶ αὐθεντικῶς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ ὡς ἀπὸ πλησιασμοῦ δικαίου τοῦ διοριζομένου ὑπὸ τῶν φιλευσεβῶν καὶ θείων νόμων, μὴ ἐχόντων ἡμῶν ἀπὸ τοῦ νῦν ἐπ' ἀδείας ὄχλησίν τινα ἐπαγαγεῖν τῷ μέρει τῆς μονῆς χάριν τοῦ τοιούτου χωραφίου. εἰ δέ ποτε τῶν καιρῶν τολμήσωμεν εἰπεῖν, ἄπρακτοι ἀποπεμφόμεθα, ἐμφανιζομένου τοῦ ἡμετέρου ἐγγράφου, καὶ λόγῳ ζημίας ὑποκεισόμεθα ὑπέρπυρα τριάκοντα καὶ ἕξ. τὸ δὲ πρότερον γεγονὸς ἔγγραφον πρὸς ἡμᾶς παρὰ τοῦ Δερματᾶ οὐκ ἐδόθη πρὸς τὸ μέρος τῆς μονῆς, διὸ περιέχει ἐντὸς καὶ ἕτερα χωράφια ἐν τῇ τοποθεσίᾳ τοῦ Κορδολέοντος, καὶ εἴπερ ποτὲ ἐμφανισθῇ παρ' ἡμῶν, ὀφείλει ἔχειν τὸ ἄκυρον, μὴ εἴς τινα βοήθειαν καταφυγόντες ἢ ἐκκλησιαστικὴν ἢ ἀρχοντικὴν ἢ νομικὴν πρός τῳ καὶ οὕτως ἐρρῶσθαι τὴν ἡμετέραν πρᾶσιν εἰς τὸν αἰῶνα τὸν ἅπαντα. ὀφείλει δὲ ἡ μονὴ συνεισάγειν τὸν ἐπιτελεσμόν, μεθ' ὧν ἔχει καὶ ἑτέρων χωραφίων ἀπὸ τοῦ Δερματᾶ καὶ ἀποδοῦναι κατ' ἔτος πρὸς αὐτὸν . . . τέσσαρα ἀνεπαυξήτως πάντη καὶ ἀκωλύτως γραφέντος τοῦ ὕφους διὰ χειρὸς ἐμοῦ, ἱερέως καὶ ταβουλλαρίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ῥωμανοῦ τοῦ Καλοειδᾶ, ἐξ ἐπιτροπῆς τοῦ ἁγιωτάτου μου δεσπότου καὶ τῶν ἐκθεμένων αὐτῷ. μηνὶ μαρτίῳ ἰνδ. ς' τοῦ ͵ςψοα' ἔτους †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ μέγας οἰκονόμος τῆς

ἁγιωτάτης μητροπόλεως Σμύρνης Κωνσταντῖνος, ὁ Καθαρὸς, παρὼν ἐπὶ τῇ παρούσῃ πράσει μαρτυρῶν ὑπέγραφα †. Eadem formula subscripserunt: ὁ μέγας σακελλάριος, Στέφανος ὁ Καθαρὸς, ὁ χαρτυφύλαξ Στέφανος ὁ Κασταμονίτης, ὁ κανστρίσιος, Ἰωάννης ἡ Κεραμήρης, ὁ δευτερεύων τῆς μητροπόλεως, Μιχαὴλ ὁ Βαροπάτης, ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Λέων ὁ Μακρηνός, ὁ δευτερεύων τῶν διακόνων, κληρικὸς καὶ ταβουλλάριος Γεώργιος ὁ Χρυσοβέργης, ὁ ἱερεὺς, κληρικὸς καὶ ἄρχων τῶν ἐκκλησιῶν Γεώργιος ὁ Καθαρὸς, ὁ ἱερεὺς, κληρικὸς καὶ ταβουλλάριος Ῥωμανὸς ὁ Καλοειδᾶς †.

LXXXV. 6748—1239, mense octobri, ind. XIII.

Constantinus Agriparmes monasterio campum vendit.

† Πρατήριον τοῦ Ἀγριπαρμῆ, τῆς γυναικὸς καὶ τῶν υἱῶν αὐτοῦ χάριν τοῦ διακειμένου χωραφίου αὐτῶν τοῦ εἰς τὴν Ἄρκον †.

Σίγνα Κωνσταντίνου τοῦ Ἀγριπαρμῆ, Ξένης, τῆς συμβίου αὐτοῦ, Ἰωάννου, τοῦ υἱοῦ αὐτῶν, Νικολάου τοῦ Κρητικοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Ἡμεῖς οἱ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον τῶν κάτωθεν ῥηθησομένων χωραφίων . . . πρᾶσιν . . . ποιοῦμεν . . . καὶ γὰρ τὸ χωράφιον τὸ διακείμενον ἐν τῇ θέσει τῆς Ἄρκου τὸ ἐναπομεῖναν ἡμῖν ἀπὸ τοῦ προπωληθέντος χωραφίου πρὸς τὸν στρατιώτην τὸν Μονομάχον πιπράσκομεν . . . . πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν μονὴν τῶν Λέμβων . . . εἰς ὑπέρπυρα ἑξάγια τρία. ὡσαύτως πιπράσκομεν πρὸς τὴν αὐτὴν ἁγίαν μονὴν . . . καὶ τὸ ἕτερον ἡμῶν ἀδελφικὸν χωράφιον τὸ διακείμενον ἐν τῇ τοποθεσίᾳ τῶν Παλατίων, πλησιασμοὺς ἐχόντων ἀπὸ νοτίου μέρους τὸ χωράφιον τοῦ Μαυρολέοντος καὶ ἀπὸ βορείου τὸ χωράφιον τῆς αὐτῆς βασιλικῆς ἁγίας μονῆς, καὶ ὡσεὶ στρέμματα ποσούμενον εἴκοσιν εἰς ὑπέρπυρα ἑξάγια πέντε, ὡς ὁμοῦ τὰ πάντα ὑπέρπυρα ὀκτὼ, ἃ δὴ νομίσματα ἐλάβομεν . . . ἀριθμητὰ, σῶα καὶ ἀνελλιπῆ . . . εἰ δ' ἴσως . . . βουληθῶμεν ἀνατρέψαι τὴν παροῦσαν ἡμετέραν . . . πρᾶσιν . . . ὃ ἐλάβομεν τίμημα . . . ἐπὶ τὸ διπλάσιον ἀντιστρέψωμεν πρὸς τὴν διαληφθεῖσαν ἁγίαν μονὴν καὶ χάριν προστίμου ὑπέρπυρα τρίακοντα καὶ τέσσαρα κ. τ. λ. μηνὶ ὀκτωβρίῳ ἰνδ. ϛ' τοῦ ϛψμη' ἔτους †

† Ὁ εὐτελὴς ἱερεὺς Νικόλαος ὁ Χαλιναρᾶς παρὼν ἐπὶ τῇ παρούσῃ πράσει μαρτυρῶν ὑπέγραψα †.

† Ὁ δομέστικος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἰωάννης ὁ Κουνάλλης, τῇ παρούσῃ πράσειμαρτορῶν καὶ γράφας ὑπέγραφα †.

LXXXVI. 6771—1263, mense augusto, ind. VIII.

Nicolaus Creticus et filius monasterio campum vendunt.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Κρητικοῦ Νικολάου καὶ τοῦ υἱοῦ αὐτοῦ χάριν τοῦ χωραφίου τῆς Τραχεινῆς †.

Σίγνα Νικολάου τοῦ Κρητικοῦ καὶ Ἰωάννου τοῦ υἱοῦ αὐτοῦ.

† Ἐν ὀνόματι. κ. τ. λ. Νικόλαος ὁ Κρητικὸς σὺν τῷ γνησίῳ αὐτοῦ υἱῷ . . . τὴν παροῦσαν . . . πρᾶσιν . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων κ. τ. λ. καθὼς τὸ ὕφος δηλώσειεν. καὶ γὰρ φαινόμεθα ἡμεῖς οἱ προτεταγμένοι . . . ἀπεμπολοῦντες τὸ ἀπὸ γονικῆς ἡμῶν κλήρας χωράφιον, τὸ ἐπιλεγόμενον ἡ Τραχεινή, στρέμματα δέκα, τὰ μὲν ὀκτὼ εἰς ὑπέρπυρα δύο, τὰ δὲ ἕτερα δύο στρέμματα προεῖχεν αὐτὰ ἡ τοιαύτη ἁγία βασιλικὴ μονὴ ὡς προσένεξιν, ὑπὲρ ὧν ἀνελάβομεν εἰς ἀντίχαριν μοχθηρὸν ἕν, καὶ ὀφείλει ἀναλαβεῖν τὸ τοιοῦτον χωράφιον, ἐξ οἵου μέρους καὶ βούλεται, εἴτε ἀπὸ ἀνατολικοῦ, εἴτε ἀπὸ δυτικοῦ, ὡς λαβόντες τὰ τοιαῦτα ὑπέρπυρα ἀπὸ τῶν χειρῶν ὑμῶν . . . . . ἐποιήσαμεν πρὸς ταύτην τὴν παροῦσαν πρᾶσιν ἡμῶν. καὶ ἀπὸ τοῦ νῦν ὀφείλει κατέχειν ἡ δηλωθεῖσα σεβασμία μονὴ τὸ τοιοῦτον χωράφιον κ. τ. λ. εἴπερ δὲ γένηται καὶ παρά τινος κίνησις ἰδίου ἡμῶν ἢ συγγενοῦς ἢ ἀδελφοῦ ἢ πλησιαστοῦ ἢ ἀπὸ τοῦ δημοσίου, ὀφείλομεν δεφενδεύειν καὶ διεκδικεῖν ταύτην ἀπὸ παντὸς ἀναφυομένου προσώπου ἀζήμιον καὶ ἀνενόχλητον· εἰ δὲ αὐτοὶ ἡμεῖς βουληθῶμεν ἤ τις τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν . . . . λόγῳ προστίμου ὑποκεισόμεθα ὑπέρπυρα τεσσαράκοντα καὶ τὸ τούτων τρίτον εἰς τὸν δημόσιον κ. τ. λ. ἐνώπιον τῶν ὑπογραφομένων καὶ σιγνογραφησομένων μαρτύρων κάτωθεν. μηνὶ αὐγούστῳ ἰνδ. η' τοῦ ,ςφοα' ἔτους †.

† Ὁ δοῦλος τοῦ ἁγίου μοῦ αὐθέντου τοῦ πανο-

πρωτοσεβάστου καὶ πράκτωρ Μουρμούντων, Θεόδωρος ὁ Σκολλίτζης †.

Σίγνα μαρτύρων Ἰωαννικίου μοναχοῦ τοῦ Βλεμμίδου, Μελετίου μοναχοῦ, Νικολάου τοῦ Τορνάρι.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς χώρας Μουρμούντων, Γεώργιος ὁ Καρονάτης, τὸ παρὸν ἔγγραφον γράψας ὑπέγραψα †.

LXXXVII. 6774—1266, mense augusto, ind. IX.

Georgius Petritses et alii monasterio donant campum.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Πετρίτζη σεβαστοῦ κύρου Γεωργίου τοῦ Καπνοῦ Κωνσταντίνου καὶ τοῦ αὐταδέλφου αὐτοῦ Γεωργίου χάριν τοῦ εἰς τὸ Σαρρα[κη]νικὸν χωραφίου †.

Σίγνα Κωνσταντίνου τοῦ Καπνοῦ, Γεωργίου τοῦ αὐταδέλφου αὐτοῦ, Γεωργίου σεβαστοῦ τοῦ Πετρίτζη.

† Ἐγὼ Γεώργιος σεβαστὸς ὁ Πετρίτζης ὁ ἄνωθεν καὶ κατ' ἀρχὰς τοῦ παρόντος ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οὐκειοχείρως ποιήσας αὐτοθελῶς καὶ οὐκ ἔκ τινος νουθεσίας πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων ποιοῦμαι ἔκδοσιν· καὶ γὰρ τὸν μακαρίτην ἐκεῖνον πατέρα μου φθάσας εἶδον ὡς οἷα χριστιανὸν καὶ τὰ ὑπὲρ τῆς ἰδίας ψυχῆς ἑκάστοτε φροντίζοντα, εἰώθει γὰρ ἐκ ψυχῆς ζεούσης σχολάζειν ἐν ἐκκλησίαις καὶ ἐπιμελεῖσθαι τοὺς ἐν αὐταῖς σεμνοπρεπῶς προσιόντας, ἐξαιρέτως δὲ ἐπὶ τῇ εἰρημένῃ ἁγίᾳ μονῇ τῶν Λέμβων, τοιαύτην ἐπ' αὐτὴν καὶ τοὺς ἀσκουμένους μοναχοὺς ἐπεδείκνυτο τὴν πληροφορίαν οἶμαι ὡς οὐδεὶς ἄλλος, κἀγὼ γοῦν τῷ πατρικῷ ἀγαθῷ ἤθει ἑφεπόμενος ἐπὶ τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ καὶ πρὸς τοὺς ἐν αὐτῇ ἀσκουμένους, γονικὴν ἐν τῷ κάμπῳ τοῦ Μεμανιωμένου εἰς τὸ Σαρρακηνικὸν οὑτωσὶ τοπικῶς λεγόμενον πλησιάζουσαν τῶν χωραφίων αὐτῆς ἐκδίδωμι, στρέμματα τοπικῶς λεγόμενα, ὧν ἡ ποσότης τυγχάνει εἴκοσι καὶ οὐκ ἔλαττον, εἰς ἃ καὶ ἀλυκὸς πέλει καὶ τοῖς ὅροις συνήρμοσται, καθὼς εἰρήκαμεν, τῆς μονῆς, καὶ ἀπέρχεται ἕως τοῦ Παλαιοποτάμου, ὧν τὴν ἔκδοσιν ἐκτίθεμαι ἐπὶ θεῷ μάρτυρι, οὐ διὰ δῶρον ἢ δι' ἄλλην τινὰ προσδο-

κίαν τὴν τυχοῦσαν, ἀλλὰ ψυχικῆς ἕνεκα σωτηρίας τῶν μακαριτῶν αὐθεντῶν καὶ γονέων μου τῶν φυσάντων με, ἀλλὰ δὴ καὶ ἐμοῦ, ἥτις ἔκδοσις ὀφείλει προσεῖναι τῇ σεβασμίᾳ καὶ ἁγίᾳ βασιλικῇ μονῇ συνηριθμημένη τοῖς ἄλλοις κτήμασιν αὐτῆς, ὅθεν καὶ οὐκ ὀφείλει τις τῶν ἁπάντων ἢ τῶν ἐγγενῶν μου ἢ τῶν γειτνιαζόντων ἢ τῶν ἄλλως ἐπήρειαν ἢ ὄχλησιν τινὰ ἐπαγαγεῖν τῇ μονῇ· ὁ γὰρ τολμήσων, ἀφ' ὧν εἰρήκαμεν, λέγω δὲ ὅτι καὶ αὐτὸς εἰ παρὰ τοῦ δαίμονος πειρασθῶ τὴν οἱανδήτινα ῥῆσιν προσβαλεῖν οὐ μόνον οὐ μὴ εἰσακουόμεθα κ. τ. λ. εἰ γὰρ πάλιν τὴν οἰκείαν αὐτοθελῶς ἐκτελέσας γραφὴν κατά τι ἐναντιωθῶ, οὐκέτι ὡς ἄξιος στρατιωτικῶς ἐκδουλεύσω τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τὸ παρόν μου ἐκδοτήριον ἔγγραφον εἰς βεβαίαν πίστωσιν καὶ ἀσφάλειαν αἰωνίζουσαν. μηνὶ αὐγούστῳ κζ' ἰνδ. θ' τοῦ ,ϛφοδ' [ἔτους] ἐπὶ παρουσίᾳ τῶν μαρτύρων, ἤγουν τοῦ μεγαλοδοξοτάτου κυροῦ Βασιλείου τοῦ Μωρουτζίκου, τοῦ Ἀφρατᾶ κυροῦ Θεοδώρου καὶ ἑτέρων †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, προκαθήμενος Σμύρνης, κῦρ Γεώργιος ὁ Καλοειδᾶς μαρτυρῶν ὑπέγραψα †. † Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, σεβαστὸς Νικηφόρος ὁ Λωστρᾶς, καὶ αὐτὸς μαρτυρῶν ὑπέγραψα †. † Ὁ ταπεινὸς ἱερεὺς κληρικὸς καὶ ταβουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ῥωμανὸς ὁ Καλοειδᾶς, καὶ αὐτὸς μαρτυρῶν, ὡς τὸ ὕφος δηλοῖ, ὑπέγραψα †.

† Ὁ εὐτελὴς ἱερεύς, κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, διδάσκαλος τῶν εὐαγγελίων Χριστοῦ τοῦ ὑψηλοτάτου λόγου, σοφίας θεοῦ, νομικὸς καὶ πρωτοπαπᾶς τῆς ἐνορίας Λεύκης καὶ Κουκούλης, Θεόδωρος ὁ Μοσχηνὸς, τὴν παροῦσαν καθαρὰν ἔκδοσιν καὶ αὐτὸς γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

Σίγνον Ἰωάννου	τοῦ Καλο-
γρηγόρου	καὶ μάρτυρος.

LXXXVIII. 6776—1268, mense martio, ind. XI.

Michaël Apelmene monasterio tradit campum.

† Γράμμα παραδοτικὸν σεβαστοῦ τοῦ Ἀπελμενὲ κυροῦ Μιχαὴλ ἐπὶ τοῖς προγραφεῖσι χωραφίοις τοῦ γαμβροῦ αὐτοῦ Πετρίτζη, ἐπεὶ οὐκ ἔφθασε παραδοῦναι τὰ τοιαῦτα ἐκεῖνος τῇ μονῇ ὡς τῷ τέλει τοῦ βίου ἀποδούς †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως σεβαστὸς Μιχαὴλ ὁ Ἀπελμενέ †.

† Ἐν ὀνόματι κ. τ. λ. ὁ ἄνωθεν ..... οἰκειοχείρως προτάξας τίθεμαι καὶ ποιῶ ἑκουσίως κ. τ. λ. ἐπὶ τῇ παρούσῃ ὑποθέσει, καθὼς δηλωθήσεται. καὶ γὰρ ἐπεὶ ὁ περιπόθητός μου ἐκεῖνος γαμβρὸς Γεώργιος ὁ Πετρίτζης ἔφθασεν ἐκδοῦναι πρὸς τὴν σεβασμίαν ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων χωράφιον ἀπὸ τῶν γονικῶν αὐτοῦ χωραφίων τῶν ὄντων ἐν τῷ κάμπῳ τοῦ Μεμανιωμένου πλησίον καὶ σύνεγγυς τῶν χωραφίων τῆς τοιαύτης βασιλικῆς μονῆς τῶν ἐν τῇ τοποθεσίᾳ τοῦ Πύργου διακειμένων καὶ διὰ στηλῶν κεχωρισμένων, γαμματιζόντων τῶν αὐτῶν χωραφίων καὶ ἀλλεπαλλήλως εἰσερχομένων τε καὶ ἐξερχομένων δι' ἰσασμὸν αὐτῶν τῶν χωραφίων· τὸ δηλωθὲν ἐξέδοτο χωράφιον ψυχικῆς ἕνεκα σωτηρίας αὐτοῦ, ὃς ἀνελάβετο ἀπὸ τῆς δηλωθείσης βασιλικῆς ἁγίας μονῆς χάριν ἀντιχάριτος ἐκείνου ἀπὸ τῶν μοναχῶν αὐτῆς ὑπέρπυρα δέκα εἴς τινα συγκρότησιν τῆς στρατιωτικῆς αὐτοῦ δουλείας. ὁ δὲ οὐκ ἔφθασεν ἔτι ζῶν καὶ διὰ τοπικῆς παραδόσεως διαμετρῆσαι καὶ παραδοῦναι αὐτὸ πρὸς τὴν μονήν, ἀλλ' εὗρε τῆς ἐν τῇ Σμύρνῃ διακειμένης μονῆς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου μοναχοὺς κωλύοντας τὴν τούτου παράδοσιν διὰ τὸ ἔχειν καὶ ταύτην μερίδα τε καὶ κληρονομίαν ἐκ διατάξεως γονικῆς ἐκείνου ἀδελφότητος· καὶ γὰρ ἐκωλύετο ἡ τοιαύτη τοπικὴ παράδοσις νομίμως διὰ τὸν γνησιέστερον πλησιασμόν, ἡ δὲ ἀπαραίτητος τομὴ τοῦ θανάτου φθάσασα καὶ ἐπὶ τῷ γαμβρῷ μου ἐκείνῳ, καθὼς καὶ τῇ ἀνθρωπείᾳ φύσει ἐπίκειται, καὶ ἐν τῇ τελευταίᾳ ἀναπνοῇ ἠθέλησε τὰ πάντα αὐτοῦ καλῶς διαθεῖναι καὶ διατάξασθαι. μετὰ γοῦν τῶν λοιπῶν τῆς διαθήκης αὐτοῦ παραγγελμάτων ἐπαφῆκε πρὸς ἡμᾶς, ἵνα καὶ αὐτὸς παραγένωμαι καὶ ἐπι-

στῷ τῷ κάμπῳ τοῦ Μεμανιωμένου καὶ διὰ τοπικῆς παραδόσεως ἐκμετρήσω τὸ δηλωθὲν χωράφιον καὶ παραδώσω πρὸς τὴν εἰρημένην μονήν, συμβιβάσω δὲ καὶ ἀμφότερα τὰ μέρη τῶν δύο βασιλικῶν μονῶν καὶ εἰρηνικῶς φρονεῖν ὡς δοῦλοι Χριστοῦ· τοίνυν καὶ ἡμῶν παραγενομένων ἐκεῖσε, συνόντων μεθ' ἡμῶν καὶ οἱ κρείττονες τῶν δηλωθεισῶν δύο βασιλικῶν μονῶν μοναχοί, πρώτως δὲ οἱ τούτων πανοσιώτατοι καθηγούμενοι εἰς λόγους τὰ πρῶτα εἰσήλθοσαν οὐ μετρίους, ὀψὲ δὲ καὶ μόλις ἐχωρήθησαν πρὸς εἰρηνικὰς ξυμβιβάσεις καὶ αὐθαιρέτως καὶ τὴν χωραφιαίαν διαμετρήσαντες γῆν τῇ εἰρημένῃ βασιλικῇ μονῇ τῶν Λέμβων παραδεδώκαμεν. τὸ δὲ σχῆμα τοῦ χωραφίου περιέχει οὕτως· ἀπὸ τοῦ περιόρου καὶ τῶν πρὸ πολλῶν χρόνων πεπηγμένων βασιλικῶν στηλῶν εἰς περιορισμὸν τῆς τῶν Λέμβων μονῆς χωραφίων σχηματίσαντες σχῆμα τριγωνιαῖον καὶ ὅρους τάξαντες πεποιήκαμεν ἔχειν οὕτως· ἀρχόμενον ἀπὸ τῆς ἱσταμένης στήλης πρὸς δυσμὰς τῆς διαχωριζούσης τὰ τοιαῦτα χωράφια ἀνερχόμενον πρὸς ἀνατολὰς μέχρι καὶ τῆς ἑτέρας στήλης τῆς καὶ αὐτῆς ὡς εἰς περίορον ἱσταμένης καὶ διαχωριζούσης δεξιὰ τὰ χωράφια τῆς βασιλικῆς μονῆς τῶν Λέμβων, ἀριστερὰ δὲ τὰ χωράφια τοῦ Πετρίτζη πηχῶν διαμετρουμένων ἑκατὸν πρὸς τοῖς δέκα. εἶτα ἀπερχόμενον τὸ ἀρκτῷον μέρος κρατοῦν τὸν ὅρον ἐπὶ πηχῶν ἑξήκοντα καὶ δύο ἀποδιδοῖ ἐν τῇ ἑτέρᾳ στήλῃ κατ' ἰσότητα τοῦ αὐτοῦ περιόρου, εἶτα κλίνει πρὸς δυσμὰς τὸ τρίγωνον σχῆμα καὶ κατερχόμενον μέχρι καὶ τῆς στήλης τῆς πρὸς δυσμὰς βλεπούσης, ἔνθα καὶ ἠρξάμεθα πηχῶν καὶ αὐτῶν ἐγγύς που τῶν ἑκατὸν ὡς γινομένων τῶν πηχῶν τοῦ αὐτοῦ σχήματος διακοσίων ἑβδομήκοντα καὶ δύο. ἐπὶ ἁπλότητι διαμετρήσει κατελογίσθη τὸ χωράφιον εἰς ποσότητα μοδίων εἴκοσι καὶ τριῶν, καὶ ἐσεῖται ἡ ἁγία μονὴ ἐπὶ τῇ κατοχῇ τοῦ τοιούτου χωραφίου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, μὴ εὑρίσκουσα παρά τινος ὄχλησιν ἢ ἀπὸ συγγενικοῦ προσώπου ἢ ἀλλοτρίου. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον ἔγγραφον τάξιν ἐπέχον παραδοτικοῦ γράμματος εἰς ἀσφάλειαν αἰωνίζουσαν τῆς διαληφθείσης βασιλικῆς μονῆς. μηνὶ μαρτίῳ ἰνδ. ια' τοῦ ͵ςψος' ἔτους †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Νικηφόρος σεβαστὸς ὁ Λωσταρᾶς †.

† Ἰωαννίκιος ἱερομόναχος μαρτυρῶν ἐπὶ τῇ παρούσῃ ἐκδόσει ὑπέγραψα †. † Ὁ τῆς τοῦ ἁγίου Νικολάου μονῆς καθηγούμενος Παῦλος μαρτυρῶν ὑπέγραψα †.

LXXXIX. 6765—1256, mense martio, ind. XV.

Constantinus Creticus alii monasterio vendunt campos.

† Τὸ πρατήριον ἔγγραφον Κωνσταντίνου τοῦ Κρητικοῦ, Νικολάου τοῦ Δερματᾶ, Κωνσταντίνου τοῦ Κατζιβαρηνοῦ καὶ τῶν παίδων αὐτῶν χάριν τοῦ εἰς τὸν περίορον τῶν Παλατίων χωραφίου αὐτῶν †.

Σίγνα **Κωνσταντίνου τοῦ Κρητικοῦ, Κωνσταντίνου καὶ Ἰωάννου** τῶν υἱῶν αὐτοῦ, Νικολάου τοῦ Δερματᾶ, Κωνσταντίνου τοῦ Κατζιβαρηνοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. Κωνσταντῖνος ὁ Κρητικὸς καὶ Νικόλαος ὁ Δερματᾶς καὶ οἱ γνήσιοι αὐτῶν παῖδες κ. τ. λ. τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον τῶν κάτωθεν ῥηθησομένων χωραφίων καθαρὰν καὶ φανερὰν πρᾶσιν . . . . . . ποιοῦμεν . . . . πρὸς σὲ, τὸν τιμιώτατον καθηγούμενον τῆς σεβασμίας μονῆς τῶν Λέμβων κ. τ. λ. καθὼς δηλωθήσεται· καὶ γὰρ τὰ χωράφια, ἅπερ ἔχομεν ἐν τῇ τοποθεσίᾳ τῶν Παλατίων ὡσεὶ μοδίων ὄντα ἑκατὸν, τὴν πρᾶσιν τούτων διεψημίσαμεν κ. τ. λ. ὕστερον δὲ πάντων περιεστήσαμεν αὐτὰ ἐκ συμφωνίας καὶ ἀρεσκείας ἀμφοτέρων εἰς νομίσματα ἑξάγια ὑπέρπυρα ἕνδεκα, ἃ δὴ καὶ ἐλάβομεν κ. τ. λ. τοίνυν καὶ παραδιδοῦμέν σοι τὰ τοιαῦτα χωράφια ὡσεὶ μοδίων ἑκατὸν, καὶ ὀφείλετε κατέχειν ταῦτα καὶ νέμεσθαι καὶ τὴν ἐξ αὐτῶν ἀποφέρεσθαι πρόσοδον κ. τ. λ. ὁμολογοῦμεν τοῦ μὴ εἰς ἀνατροπὴν καὶ μεταμέλειαν χωρηθῶμεν . . . ἀλλὰ καὶ ἅπερ ἐλάβομεν νομίσματα, ἐπὶ τὸ διπλάσιον ἀντιστρέψωμεν πρὸς σὲ κ. τ. λ. καὶ πρὸς τὸν δημόσιον ζημιοῦσθαι ὀφείλομεν ὑπέρπυρα τριάκοντα πρὸς τὸ καὶ οὕτως ἐρρῶσθαι καὶ βεβαίαν διαμένειν τὴν παροῦσαν . . . . πρᾶσιν εἰς τὸν αἰῶνα τὸν ἅπαντα. μηνὶ μαρτίῳ ἰνδ. α΄ τοῦ ,ϛψξε΄ ἔτους †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ μέγας οἰκονόμος τῆς

ἁγιωτάτης μητροπόλεως Σμύρνης Κονσταντῖνος ὁ Καθαρὸς παρὼν ἐπὶ τῇ παρούσῃ πράσει μαρτυρῶν ὑπέγραψα †.

Subscriptiones eadem formula: ὁ μέγας σακελλάριος Στέφανος ὁ Καθαρός, ὁ χαρτοφύλαξ Στέφανος ὁ Κασταμονίτης, ὁ κανστρίσιος Ἰωάννης ὁ Κεραμηρός, ὁ δευτερεύων Μιχαὴλ ὁ Βαρυπάτης, ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Λέων ὁ Μακρηνός, ὁ δευτερεύων τῶν διακόνων, κληρικὸς καὶ ταβουλλάριος Γεώργιος ὁ Χρυσοβέργης, ὁ ἱερεὺς και ἄρχων τῶν μοναστηρίων Γεώργιος ὁ Καθαρός, ὁ κληρικὸς καὶ ταβουλλάριος Ῥωμανὸς ὁ Καλοειδᾶς.

XC. 6780—1272, mense aprili, ind. XV.

Nicolaus Creticus et filius monasterio vendunt campum.

Τὸ πρατήριον ἔγγραφον Νικολάου τοῦ Κρητικοῦ καὶ Ξένου τοῦ υἱοῦ αὐτοῦ χάριν τοῦ χωραφίου τῆς ἁγίας Ἑλένης.

Σίγνα Νοκολάου τοῦ Κρητικοῦ καὶ Ξένου τοῦ υἱοῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. ἐγὼ Νίκολαος ὁ Δερματᾶς σὺν τῷ υἱῷ μου Ξένῳ τῷ Πεπωλημένῳ οἱ τὴν οἴκησιν ἔχοντες ἐν τῷ χωρίῳ Σιλλ... κ. τ. λ πιπράσκομεν πρὸς τὴν ἁγίαν βασιλικὴν μονὴν τῶν Λέμβων χωράφιον τὸ ἀπὸ γονικῆς ἡμῶν κληρονομίας τὸ ὂν καὶ διακείμενον ἐν τῇ θέσει τῶν Παλατίων τὸ ἐπιλεγόμενον ἡ ἁγία Ἑλένη, ὅπερ ἐστὶν ἰδιοπεριόριστον, καθὼς καὶ οὕτως ἔχει· βόρειον μέρος τὸ βουνίν, νότιον μέρος τὴν βασιλικὴν ὁδόν, ἀνατολικὸν τὸ Μουρμουντηνὸν χωράφιον, δυτικὸν τὴν νεροκαταβασίαν, ἥτις ἐκρέει ἀπὸ τοῦ εὐκτηρίου οἴκου τῆς ἁγίας Ἑλένης καὶ ἀκουμβίζει πάλιν εἰς τὴν βασιλικὴν ὁδὸν τὴν ὑπάγουσαν ἀπὸ τῶν Παλατίων εἰς τὸν Κορδολέοντα. περιέστη δὲ τὸ τίμημα τοῦ τοιούτου χωραφίου εἰς ὑπέρπυρα ἑξάγια δύο ἐπὶ τελείᾳ ἀποπράσει, ἅπερ καὶ ἀναλαβόντες ἀπὸ τῶν χειρῶν τοῦ πανοσιωτάτου ἱερομονάχου, κυροῦ Κωνσταντίνου, εἰς τὰς ἡμετέρας χεῖρας ἀντιπαρεδώκαμεν τὸ τοιοῦτον χωράφιον πρὸς τὴν δηλωθεῖσαν ἁγίαν βασιλικὴν μονὴν καὶ τὸν πανοσιώτατον καθηγούμενον αὐτῆς, ἱερομόναχον κῦρ' Ιωάννην, καὶ τοὺς ὑπ' αὐτὸν μοναχοὺς τὸ ἔχειν καὶ κατέχειν αὐτοῦ κ. τ. λ. εἰ δὲ ἡμεῖς βουληθῶμεν ποτὲ καιρῷ ἢ χρόνῳ

ἀνατρέψαι τὴν παροῦσαν ἡμῶν πρᾶσιν, ἵνα ζημιωθῶμεν χάριν ἀλληλογίας ὑπέρπυρα εἴκοσι πρὸς τὸ μέρος τῆς μονῆς . . . ἕξομεν καὶ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα καταλογισθήσεται, καὶ τοῦ Γηεζῆ τὴν λέπραν περιβαλῆται ὡς ἱμάτιον. μηνὶ ἀπριλλίῳ ἰνδ. ιε΄ τοῦ ͵ςφπ΄ ἔτους ἐνώπιον καὶ τῶν σιγνογραφησομένων μαρτύρων †.

Σίγνα μαρτύρων Ἰωάννου τῆς Παπαδίας, Μιχαὴλ τοῦ Θελόγου, Ξένου τοῦ Σακκᾶ, Γεωργίου τοῦ Σπανοποόλου, Μανουὴλ τοῦ Ἀββαδοπούλου, Γεωργίου τοῦ Ἀγρηνοῦ, Θεοδώρου τοῦ Καλοστεφάνου, Ἰωάννου τοῦ Χαλκέως, Γεωργίου τοῦ Πρινάτου, Κωνσταντίνου τοῦ Ἀγριφαιγόδη, Κωνσταντίνου τοῦ Φωκακοῦ.

† Ὁ εὐτελὴς ἱερεύς, νομικὸς καὶ πριμμικήριος τῶν πριμμικηρίων τῶν ταβουλλαρίων τῆς πέραν ἐνορίας τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης τὸ παρὸν πρατήριον γράψας, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

XCI. Sine anno, mense novembri, ind. XIV.

Gudeles Catasalon protopapas monasterio campum adiudicat.

† Κρίσιμον γράμμα ἐμμάρτυρον παρὰ τοπικῶν κατὰ τοῦ Κρητικοῦ Νικολάου †.

† Πέφθακε μέντοι προδδαμινοῦ τινος καιροῦ καὶ ὁ Κρητικὸς Νικόλαος ἀπεμπολῆσασθαι χωραφιαῖον τόπιον πρός τινα τοὔνομα Κουτούλην, πάροικον ὄντα τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβων, ὃν καὶ κατὰ τὸ σύνηθες τατασχόντα, ἐπεὶ ἐπιστήσατο τὰ τοῦ γράμματος ὁ Κρητικὸς δι' οἰκειοχείρου σιγνογράφου καὶ ἦν νεμόμενος τὸ τοιοῦτον ὁ Κουτούλης χρόνους ἕξ, ἀλλὰ τί τὸ ἐντεῦθεν συμβέβηκε; τοῦ γὰρ νομικοῦ τοῦ Κεραμάρι ἐρασθέντος τοῦ εἰρημένου χωραφίου καὶ τῇ αὐθεντικῇ αὐτοῦ δυναστείᾳ χρησαμένου τῇ τοῦ μεγάλου χρηματίσαντος δρουγγαρίου ἐκείνου τοῦ Γαβαλᾶ ὑπεισῆλθεν ἀδεῶς καὶ κατέσπειρε τὸ χωράφιον, ὁ δέ γε Κουτούλης μὴ ἰσχύων ἀντειπεῖν πρὸς τοῦτον, πρὸς τοὺς Κομάνους μετανάστης ἐγένετο, ὑφ' ὧν καὶ ἰσχύν τινα λαβών, τὸν Κεραμάρην ἠμάχευσεν ἤγουν

τὸ τοῦ Κεραμάρι ζευγάριον κἀκεῖσε ἀπαγαγών, ὁ δὲ Κεραμάρης ἐπὶ τοῦτο μὴ ἔχων τι καὶ δρᾶσαι, τῷ Φαρισσαίῳ καταπείσας, ἐκεῖσε ἀπέστειλεν, ὅπως καὶ δι' ἐντεύξεως τὸ πλέον καὶ διὰ δεξιᾶς μεταχειρίσεως ἐνισχύσειεν ἄρασθαι τοῦτο, ὃ δὴ καὶ πεποίηκε. καταλαβόντος γὰρ τοῦ Φαρισσαίου ἐκεῖσε, ἄλλως πως οὐκ ἠδυνήθη καθιλαρῶσαι αὐτοῖς, εἰ μὴ μετ' οἴνῳ, (φίλοινον γάρ ἐστι τουτὶ τὸ γένος ὡς ὑπὲρ ἕτερον), συμπαρόντος αὐτοῖς καὶ τοῦ Κουτούλη καπηλευσάντων αὐτῶν τὸν Φαρισσαῖον καὶ πιόντων ὑπερπύρων δύο οἴνων· δραξάμενος οὖν τῆς ἀφορμῆς ταύτης ὁ Κεραμάρι, ὡς δικαιούσης αὐτόν, ἀπὸ τότε καὶ μέχρι τοῦ νῦν ἐνέμετο καὶ ἐδέσποζε τοῦ χωραφίου. διὰ τοῦτο καὶ καταλαβόντες τῇ ἡμετέρᾳ χώρᾳ ἀπό τε τοῦ μέρους τῆς σεβασμίας μονῆς τῶν Λέμβων ὁ τιμιώτατος μοναχὸς κῦρις Μάρκος, ἀπὸ δὲ τοῦ Κεραμάρι ὁ αὐτὸς καὶ Μιχαὴλ ὁ Θελόγος, καὶ ᾐτήσαντο ἡμᾶς κρῖναι τοὺς ἀμφοτέρους περὶ τοῦ προδηλωθέντος χωραφίου. καὶ παρόντων ἡμῶν ἐν ᾧ τόπῳ εἰώθαμεν κρίνειν, τὰ τῆς ὑποθέσεως ταύτης αὐτῶν, καθὼς ἔφημεν, διηγοῦντο· ὁ δέ γε Κεραμάρι ἔγγραφον φάρσον δῆθεν παρὰ τοῦ Κρητικοῦ γεγονὸς ὑπεδείκνυεν, ὡς πρὸς αὐτὸν ἀπεμπολῆσαι τὸ τοιοῦτον χωράφιον, ὅπερ ὡς καταγνόντες ἀπερρίψαμεν, καὶ οὐδ' ἀναγνώσεως τοῦτο ἠξιώσαμεν· τί γὰρ καὶ ἐδικαιοῦτο ὁ Κρητικός, ὅπερ προαπεμπόλησε, καὶ πάλιν πωλεῖν; καὶ ὡς γνωρίσαντες οὕτως ἔχειν τὴν ἀλήθειαν διεκρίναμεν, ἵνα τὸ μὲν χωράφιον κατέχηται παρὰ τῆς μονῆς τῶν Λέμβων, ὡς παροίκου ὄντος αὐτῆς τοῦ Κουτούλη καὶ δεσπότιδος, τὸν δὲ Κεραμάρην ἐκεῖθεν τοῦ χωραφίου ἀπεπέμψαμεν ὡς παρὰ τὸ δίκαιον πειρωμένου, ἐπεὶ καὶ ὁ πατὴρ τούτου βιαίως καὶ δυναστικῶς κατεκράτει αὐτοῦ, ἀλλὰ δὴ καὶ οὗτος· οὐδὲ γὰρ βοηθεῖ τοῖς ἀδικοῦσι χρόνος μακρός. διὰ γὰρ τοῦτο καὶ ἡ παροῦσα ἡμῶν αἱρετὴ κρίσις ἐκτεθεῖσα καὶ γραφεῖσα ἐπεδόθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῶν Λέμβων εἰς ἀσφάλειαν. μηνὶ νοεμβρίῳ ἰνδ. ιδ' †.

† Ὁ πρωτοπαπᾶς χώρας Κ[ο]υκούλης Γουδέλης ὁ Κατακαλὼν τὰ παρόντα γράψας καὶ μαρτυρῶν ὑπέγραφα †.

† Ἡ παροῦσα κρίσις ἐμφανισθεῖσα καὶ ἀναγνωσθεῖσά μοι, μαρτυρηθεῖσα δὲ καὶ παρὰ τῶν κρινάντων αὐτὴν τοπικῶν χώρας Κουκούλης ἀξιοπίστων ἀνδρῶν ὡς ἀληθῆ οὖσαν ὑπεγράφη καὶ παρ' ἐμοῦ.

† Ὁ νομικὸς χώρας Λεύκης, Γεώργιος ὁ Μοσχηνός †.

XCII. Sine anno, mense novembri, ind. XIV.

Georgius Scutariotes monasterio adiudicat campum.

† Ἕτερον κριτικὸν γράμμα χάριν τοῦ χωραφίου, οὗπερ ἐξωνήσατο ὁ Κουτούλης ἀπὸ τοῦ Κρητικοῦ καὶ κατεδυνάστευεν αὐτὸ ὁ Κεραμάρης †

† Ὁ μοναχὸς Κρητικὸς ἔφθασε πρὸ χρόνων διαπρᾶσαι πρός τινα πάροικον τῆς σεβασμίας μονῆς τῶν Λέμβων, Κουτούλην λεγόμενον, χωράφιον αὐτοῦ γονικόθεν διαφέρον τούτῳ μοδίων ἕξ, ὃς δὴ Κουτούλης καὶ ἐξωνησάμενος τοῦτο κατεῖχεν αὐτὸ χρόνους ἓξ ἐπὶ τιμήματι ὑπερπύρου ἑνός, μηδέποτε ἐπὶ τοῦτο ἀδικούμενος. εἶθ' οὕτως γείτων ὢν ὁ Κεραμάρης ἐκεῖνος ὁ νομικός, πρὸς δὲ καὶ ἄνθρωπος τοῦ Γαβαλᾶ ἐκείνου, τοῦ καὶ μεγάλου δρουγγαρίου χρηματίσαντος, φθονήσας τῷ τοιούτῳ χωραφίῳ ὡς ἐπικαρπήσαντι τυχὸν τῷ τότε, τί ἐποιήσατο; μετῆλθεν ἐπιτηδείως τὸν Κρητικόν, συνέτυχε τούτῳ θελκτηρικῶς καὶ ἐντεῦθεν μετέστρεψεν αὐτὸν εἰς τὸ ἀναλογῆσαι καὶ ζητεῖν τὸ χωράφιον αὐτοῦ ἐκ τοῦ Κουτούλη, ὃ ἐφάπαξ διέπρασε πρὸς αὐτόν, ἐπὶ τρόπῳ δέ, ἵνα ἐξ αὐτοῦ ἀποσπάσαντος πωλῆσαι τοῦτο ὁ Κρητικὸς πρὸς τὸν Κεραμάρην· τὸ δὲ μηχάνευμα ἦν τοῦ Κεραμάρη. ἐδίδου πρὸς τὸν Κουτούλην τὸ ὑπέρπυρον, ὁ δὲ λαβεῖν οὐκ ἤθελε, ποθῶν ἔχειν, ὅπερ ἅπαξ ἐξωνήσατο. ἀλλὰ τί ἔτι; καὶ πάλιν ὁ Κεραμάρης τὰ τῆς δυναστείας οὐκ ἔληξεν, ἰσχύων τῷ τότε τὰ μέγιστα ὡς ἀπὸ τοῦ αὐθέντου αὐτοῦ, ἀλλὰ κατὰ τὸν καιρὸν τοῦ σπόρου τοῦ χωραφίου τοῦ Κουτούλη ἀδικίᾳ δραξάμενος τοῦτο κατέσπειρε. τοίνυν καὶ ὁ Κουτούλης μὴ ἔχων ἀντιμαχήσασθαι ἤγουν ἀντιδικῆσαι τῷ Κεραμάρῃ, φυγὰς ὁ Κουτούλης εἰς Κομάνους ᾤχετο, ἀφ' ὧν καὶ βοήθειαν λαβὼν ἀμάχιν ἐποίησεν, ἀπῆρε ζευγάριον τοῦ Φιλητοῦ, δι' οὗ καὶ ἀναγκασθεὶς ὁ Κεραμάρης τὸν Φαρισσαῖον πρὸς τοὺς Κομάνους ἀπέστειλεν ἐπὶ τῷ τούτους ἐπιτήδειος ὢν ἐκμειλίξασθαι καὶ τὸ ζευγάριον ἐκεῖθεν ἐξᾶραι, ὃ δὴ καὶ πεποίηκεν· ἀπῆλθεν ἐκεῖσε ὁ Φαρισσαῖος, τοῖς Κομάνοις συνέτυχε, καὶ τούτοις κατέπεισε, τοῖς μὲν δι' οἴνου, ὃ φίλον τοῖς Κομάνοις ἐστί, τὸν δὲ Κουτούλην δι' ὑπερπύρων

δόο, καὶ οὕτω ποιήσας τὸ ἀμάχιν τούτων ἐξῆρε καὶ οἴκοι κατέλαβεν. ἔνθεν τοι τούτων τῶν ἔργων ὁ Κεραμάρης ὡς ἀσφαλείας τινὸς ἐφαψάμενος καὶ οἷον εἰπεῖν δικαίου τὸ χωράφιον τοῦ Κουτούλη χωρὶς ἐγγράφου συνήθους καὶ σταυροῦ τοῦ πολλαχῶς Κουτούλη τοῦ ἀληθῶς γεγονότος κυρίου κατασχὼν ἔκτοτε καὶ μέχρι τοῦ νῦν κρατεῖ. τοίνυν οὕτως ἡμεῖς κατὰ λέξιν γνωρίσαντες, ὡς ἐξ αὐτοῦ τοῦ Κρητικοῦ διέγνωμεν, εἶναι τοῦτο δίκαιον, ὡς ἐπείπερ τὰ πρῶτα μὲν ὁ Κεραμάρης καί, ὡς ἀνωτέρω λέλεκται, ὅτι δυναστικῷ τῷ τρόπῳ ἀπῆρε τοῦτο ἐκ τοῦ Κουτούλη καιρῷ σπόρου καὶ κατέσπειρεν ἀμετόχως. εἶθ' οὕτως γορεύσαντες τὸν Κουτούλην, καθὼς εἴρηται, καὶ γράμμα καταδοχῆς αὐτοῦ καὶ σταυρὸν οὐκ ἔλαβεν ὁ δηλωθεὶς Κεραμάρης ἢ ὁ ἐκεῖσε ἀπελθὼν Φαρισσαῖος, ἀλλ' οὕτως κρατεῖ τούτου ἀμετόχως. διέγνωμεν, ἵνα τὸ μὲν χωράφιον ἀντιστραφῇ πρὸς τὴν σεβασμίαν μονὴν τῶν Λέμβων, τὴν δεσπότιν τοῦ Κουτούλη ἐκείνου· πάροικος γὰρ ἦν οὗτος τῆς μονῆς, ὁ δὲ υἱὸς τοῦ Κεραμάρη, ὁ νῦν νομικός, ἐκστῇ τῆς νομῆς τοῦ χωραφίου, ἐπεὶ οὐδὲ δίκαιόν τι ἐπ' αὐτῷ κέκτηται, οὐδὲ ἐν τῷ πλήθει τῶν χρόνων βιαίως καὶ ἀδίκως τὸ χωράφιον κρατῶν ὁ τούτου πατήρ. λόγος γὰρ νόμιμος, ὅτι. τὸ βίᾳ καὶ ἀδικίᾳ νεμόμενον χρόνος οὐ βοηθεῖ, ἐπεὶ δὲ καταδικασθεὶς ὁ νομικός, 'ὅτι οὐκ εἶχε γράμμα τοῦ Κουτούλη, προεβάλλετο τὸν Κρητικόν, ὅτι ἔχει τούτου ὡς δῆθεν γράμμα, ὡμολόγησεν ἡμῖν ὁ τοιοῦτος Κρητικός, ὅτι ἐπ' ἄλλῳ αὐτοῦ χωραφίῳ ἐποίησε τῷ πατρὶ αὐτοῦ γράμμα, κἀκεῖνος δὲ ἔβαλε καὶ τὸ τοιοῦτον ἐντὸς τοῦ γράμματος βουλῆς τούτου χωρίς, ὃ καὶ τῇ ἀληθείᾳ δοκεῖ· ὁ γὰρ ἅπαξ ἀπεβάλετο σταυρῷ αὐτοῦ καὶ γράμματι ἐγγράφῳ, καθὼς οὗτος ὁ Κρητικὸς παρίστησι λέγων, πῶς ἂν καὶ πάλιν γράμμα αὐτοῦ ἕτερον ποιήσειεν τῷ Κεραμάρη ἔμελλε; διὰ τοῦτο εἰς ἀλήθειαν διακρίναντες ταῦτα πάντα ἐν ἐξετάσει ἀκριβεῖ μετὰ τοῦ τοιούτου νομικοῦ, τῶν συντρόφων αὐτοῦ, παρόντος ἐπὶ τούτῳ καὶ τοῦ Κρητικοῦ καὶ μεγάλῃ τῇ φωνῇ διαμαρτυροῦντος ταῦτα, ἀπεφηνάμεθα ἔχειν τὸ δίκαιον ἐπὶ τῷ τοιούτῳ χωραφίῳ τοῦ Κουτούλη τὴν μονήν, τὸν δὲ Κεραμάρην νομικὸν ἀπέχειν τέλεον ἐξ αὐτοῦ, ὡς τοῦ πατρὸς καὶ τούτου ἀδικίᾳ τὸ τοιοῦτον χωράφιον κρατούντων. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ ἡ παροῦσα κρισίμη γραφὴ καὶ ἐπεδόθη τῇ μονῇ εἰς ἀσφάλειαν' μηνὶ νοεμβρίῳ ἰνδ. ιδ. †.

† Ὁ δοῦλος τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας καὶ δεσποίνης Γεώργιος ὁ Σκουταριώτης †.

XCIII. 6776—1267, mense septembri, ind. XI.

Anna Angelina et filii monasterio donant campum.

† Τὸ τῆς προσενέξεως γράμμα καὶ ὡς διαθηκῷον τῆς Ἀγγελίνης Ἄννης, τοῦ υἱοῦ αὐτῆς καὶ τῆς θυγατρὸς χάριν τοῦ χωραφίου τοῦ Ἀρμένου †.

Σίγνα Ἄννης τῆς Ἀγγελίνης, Ἰωάννου Ἀγγέλου, τοῦ υἱοῦ αὐτῆς, Καλῆς Ἀγγελίνης, τῆς θυγατρὸς αὐτῆς, Μιχαὴλ Καλοδιοικήτου, τοῦ υἱοῦ αὐτῆς.

† Ἐν ὀνόματι κ. τ. λ. ἡμεῖς . . . οἱ ἄνωθεν . . . τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον τοῦ κάτωθεν ῥηθησομένου χωραφίου . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν πανοσιώτατον αὐτῆς καθηγούμενον, ἱερομόναχον κῦρ Ἰωάννην κ. τ. λ. καὶ γὰρ ἐπεὶ ὁ μακαρίτης ἀνήρ μου ἐκεῖνος ὁ Ἄγγελος Μιχαὴλ τῷ χρεὼν ἐλειτούργησε καὶ ὑπὲρ τῆς ἐκείνου ψυχῆς ἡ τιμία ἐπεύχεται ἀδελφότης, ὅπως ἵλεων εὕρῃ τὸν δεσπότην πάντων, ἠθέλησα κἀγὼ ἡ ἄνωθεν δηλωθεῖσα σύζυγος ἐκείνου, Ἄννα ἡ Ἀγγελίνα, καὶ ὁ υἱός μου Ἰωάννης καὶ ἡ θυγάτηρ μου καὶ ὁ ταύτης υἱὸς Μιχαὴλ ἐπιστῆναι τῷ κάμπῳ τοῦ Μεμανιωμένου καὶ ἀκριβῶς τηρῆσαι τὴν ἐκ προικὸς ἐκεῖσε διαφέρουσάν μοι γῆν καὶ ποιῆσαί με ἐν αὐτῇ τὰ δόξαντά μοι μετὰ καὶ βουλῆς καὶ συναινέσεως τῶν κληρονόμων καὶ διαδόχων ἐμοῦ. τοίνυν καὶ παραγινομένων ἡμῶν ἐν τῷ κάμπῳ τοῦ Μεμανιωμένου ἐτηρήθη καὶ ἐμετρήθη μετὰ τῶν ἄλλων καὶ τὸ χωράφιον ἡμῶν τὸ λεγόμενον Ἄρμενον τὸ σύνεγγυς ὂν τῶν χωραφίων τοῦ πανσεβάστου Νεοκαισαρείτου καὶ διὰ πήχεος μετρηθὲν τριακοντατεσσάρων οὔσης γρονθῶν ἤγουν μοδίων τεσσαράκοντα, πεποιήκαμεν ἐν προτιμήσει τῶν ὅλων τὴν προδηλωθεῖσαν μονήν, πρὸς ἣν καὶ παρεδώκαμεν αὐτὸ πρὸς αὐτὴν οὕτως, ὡς καὶ περιορίζεται, ἅμα μὲν ἀποβλέψαντες διὰ τὸ τοῦ ἀνδρός μου ἐκείνου μνημόσυνον, τὸ δὲ καὶ ὡς λαβόντες ἀπό τε τοῦ καθηγουμένου καὶ τῶν ὑπ᾿ αὐτὸν μοναχὸν χάριν εὐλογίας μικρᾶς ὑπέρπυρα δέκα πρὸς τοῖς τέσσαρσιν. ὡσαύτως παρεδώκαμεν καὶ τὰ ποτὲ ἡμῶν

οἰκήματα τὰ ἐν τῷ Πύργῳ σὺν τῇ αὐλῇ καὶ τοῖς μαρσιοτοπίοις αὐτῶν, καθὼς περιορίζονται, καὶ οἷα καὶ ὅσα εἰσί, καὶ ταῦτα ψυχικῆς ἕνεκα σωτηρίας τοῦ μακαρίτου ἐκείνου ἀνδρός μου. ἐσεῖται δὲ ἡ δηλωθεῖσα σεβασμία βασιλικὴ μονὴ ἀνενόχλητος ἀπὸ παντὸς προσώπου βουλομένου ἐνοχλεῖν αὐτήν, συγγενικοῦ τε καὶ ἀλλοτρίου, καὶ διατηρείσθω, ὡς εἴρηται, καὶ ἐκτὸς δόσεως ἐπιτελείας διὰ τὸ παραδοθῆναι ταῦτα παρ' ἡμῶν ὑπὲρ μνημοσύνου αἰωνίζοντος τοῦ ἀνδρός μου. μηδεὶς γοῦν θελήσῃ ποιῆσαι ἀμφιβολίαν τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων ἕνεκα τῶν δεκατεσσάρων ὑπερπύρων τῶν ἐν διακρίσει τῶν μοναχῶν δοθέντων πρὸς ἡμᾶς χάριν εὐλογίας καὶ ἀγάπης αὐτῶν, ὡς ἐκπεσεῖται τῆς προφάσεως ταύτης, ὡς παραλόγως προφασιζομένου, καθέξει δὲ ἡ δηλωθεῖσα σεβασμία μονὴ τὰ χωράφια καὶ τὰ ὀσπήτια, ἔστ' ἂν ὁ ἥλιος τὸ πᾶν ἐφορᾷ. διὰ γὰρ τοῦτο [ἐγεγόνει] καὶ τὸ παρὸν ἡμέτερον ἔγγραφον εἰς ἀσφάλειαν. μηνὶ σεπτεβρίῳ ἰνδ. ιβ' τοῦ ‚ςψος' ἔτους †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, σεβαστὸς Νικηφόρος ὁ Λωσταρᾶς †.

† Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης Στέφανος ὁ Κασταμονίτης τὸ παρὸν ἔγγραφον μαρτυρῶν ὑπέγραψα †. Et eadem formula: ὁ δευτερεύων Μιχαὴλ ὁ Βαρυπάτης, ὁ τῆς τοῦ ἁγίου Νικολάου μονῆς καθηγούμενος Παῦλος, Ἰωαννίκιος ἱερομόναχος. Γεώργιος ἀναγνώστης καὶ ταβουλλάριος ὁ Βωλοβόντης τὸ παρὸν ἔγγραφον γράψας καὶ μαρτυρῶν ὑπέγραψα.

XCIV. 6783—1275, mense martio, ind. III.

Neophytus, abbas monasterii Eerinorum, monasterio Lembi vendit campum.

† Τὸ πρατήριον ἔγγραφον τοῦ μοναχοῦ Νεοφύτου χάριν τοῦ εἰς τὸν Πύργον χωραφίου αὐτοῦ †.

Σίγνον μοναχοῦ Νεοφύτου.

† Ἐν ὀνόματι κ. τ. λ. Νεόφυτος μοναχὸς καὶ καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς ὑπεράγνου θεομήτορος τῶν Ἠερινῶν, ὁ καὶ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν . . . πρᾶσιν . . . ποιῶ . . . διὰ τὸ μὴ εὐπορεῖν με ἀποπληροῦσθαι τὴν τοῦ ἀμπελῶνος δουλείαν, ἠθέλησα

ἐκεμπολῆσαι τὸ εἰς τὸν Πύργον χωράφιον τῆς μονῆς, καὶ διεφημίσαμεν τὴν τούτου διάπρασιν, ἥτις ἦλθε καὶ εἰς τὰς σὰς ἀκοὰς, τοῦ καθηγουμένου τῆς ἁγίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεομήτορος τῶν Λέμβων, καὶ μέσον ἡμῶν λόγων πολλῶν χυθέντων ὕστερον περιεστήσαμεν τὸ τίμημα τούτου ὑπέρπυρα ἑπτὰ, ἅπερ καὶ ἀνελαβόμην ἀπὸ τῶν χειρῶν ὑμῶν κ. τ. ἑ. τὸ δὲ δηλωθὲν χωράφιον τῆς μονῆς ἡμῶν περιίσταται στρέμματα εἴκοσι. καὶ ἀπὸ τοῦ νῦν ὀφείλετε κατέχειν τὸ δηλωθὲν κ. τ. ἑ. εἴπερ δὲ γένηται παρά τινος κίνησις ἰδία ἡμῶν ἢ ἀπὸ τῶν ἐν τῇ τοιαύτῃ μονῇ ἀσκουμένων μοναχῶν, ὀφείλομεν ἡμεῖς δεφενδεύειν καὶ διεκδικεῖν ὑμᾶς ἀπὸ παντὸς ἀναφυομένου προσώπου, καὶ ποιοῦμεν ἀζημίους καὶ ἀνενοχλήτους· εἰ δὲ ἡμεῖς αὐτοὶ βουληθῶμεν, ἤ τις τῶν ὑπ' ἐμὲ μοναχῶν, ἐν πρώτοις τὸ ἀπὸ τοῦ κυρίου καὶ θεοῦ κατάκριμα ληφώμεθα κ. τ. ἑ. καὶ λόγῳ προστίμου ὑποκεισόμεθα νομίσματα χρυσᾶ τεσσαράκοντα καὶ πρὸς τὸν δημόσιον τὸ τούτων τρίτον κ. τ. λ. μηνὶ μαρτίῳ ἰνδ. γ' τοῦ ,ϛψπγ' ἔτους, ἐνώπιον καὶ τῶν κάτωθεν σιγνογραφησομένων μαρτύρων †.

Σίγνα μαρτύρων Νικολάου τοῦ Σπακούλλη, Κωνσταντίνου τοῦ Σπακούλλη, Εὐσταθίου τοῦ Πάρδου.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς καὶ πρωτοπρεσβύτερος χωρίου Μουρμούντων, Γεώργιος ὁ Καρωνίτης, τὸ παρὸν πρατήριον ἔγγραφον γράψας ὑπέγραψα †.

XCV. 6783—1275, mense martio, ind. III.

Eudocia Petritza et familia eius monasterio donant campum.

† Τὸ ἔγγραφον τῆς προσενέξεως τῆς γυναικὸς τοῦ Πετρίτζη ἐκείνου Ἰωάννου, τοῦ υἱοῦ αὐτῆς καὶ τῶν δύο αὐταδέλφων τῶν Καπνῶν, τοῦ Γεωργίου καὶ τοῦ Κωνσταντίνου †.

Σίγνα Εὐδοκίας τῆς συμβίου ἐκείνου Ἰωάννου τοῦ Πετρίτζη, Κωνσταντίνου τοῦ Πετρίτζη καὶ υἱοῦ αὐτῆς, Μιχαὴλ τοῦ ἑτέρου υἱοῦ αὐτῆς, Γεωργίου τοῦ Καπνοῦ, Κωνσταντίνου τοῦ Καπνοῦ καὶ ἀδελφοῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. λ. ἡμεῖς οἱ ἄνωθεν κ. τ. λ. . . . τὴν παρ-

οῦσαν . . . παραδοτικὴν ὁμολογίαν καὶ ἀσφάλειαν τῆς κάτωθεν δηλωθησομένης προσενέξεως τῶν ἄνωθεν ῥηθησομένων, Εὐδοκίας, τῆς συμβίου ἐκείνου Ἰωάννου τοῦ Πετρίτζη, Κωνσταντίνου, τοῦ υἱοῦ αὐτῆς τοῦ Πετρίτζη, σὺν τῶν ἑτέρῳ υἱῷ αὐτῆς τῷ Μιχαὴλ καὶ Γεωργίῳ τῷ Καπνῷ καὶ Κωνσταντίνῳ τῷ ἑτέρῳ Καπνῷ, τῷ αὐταδέλφῳ αὐτοῦ, ἐπαφίομεν ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας τὸ χωράφιον ἡμῶν τὸ διακείμενον ἐν τῇ τοποθεσίᾳ τοῦ Ἁλυκοῦ τὸ καὶ πλησίον τοῦ χωραφίου τῆς ἁγίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης ὡσεὶ στρέμματα ἐννέα, καὶ ἐκδιδοῦμεν τοῦτο ἡμεῖς οἱ ἄνωθεν δηλωθέντες τοῦ κατέχειν καὶ δεσπόζειν αὐτὸ ἡ τοιαύτη μονὴ κατὰ πᾶσαν δεσποτείαν καὶ ἀναφαίρετον κυριότητα ἀκαταζήτητον καὶ ἀνενόχλητον ἀπὸ παντὸς ζητήματος, ἀπό τε προσωπικῶν καὶ ἀλλοτρίων, καὶ οὐ μεταμεληθησόμεθα περὶ τῆς τοιαύτης προσενέξεως καὶ δόσεως, ἐμμένομεν δὲ μᾶλλον ἔχειν αὐτὴν τὸ στέργον καὶ βέβαιον, ἕως οὗ τόδε τὸ περίγειον ἵσταται καὶ ὁ ἥλιος τόδε τὸ πᾶν ἐφορᾷ, καὶ μή τις ἀπὸ τοῦ μέρους ἡμῶν πρὸς ἀνατροπὴν ἑλκύσῃ τῶν συμπεφωνημένων ἡμῖν καὶ πραχθέντων πρὸς τῷ οὐ μὴ εἰσακουσθησόμεθα, ἀλλ' ἀποπεμπώμεθα ἄπρακτοι ἀπὸ παντὸς δικαστηρίου ἄπρακτοι καὶ καταδεδικασμένοι, κερδανοῦμεν δὲ καὶ τὰς ἀρὰς κ. τ. λ. ταῦτα μὲν καὶ ἐν τῷ παρόντι ἐκδοτηρίῳ ἐγγράφῳ οὕτως ἐδηλώθησαν τὰ καὶ γραφέντα ἐξ ἐντολῆς διὰ τοῦ νομικοῦ καὶ πρωτοπρεσβυτέρου χωρίου Μουρμούντων καὶ ὑπογραφέντα διὰ τῶν μαρτύρων. μηνὶ ἀπριλλίῳ ἰνδ. τρίτης τοῦ ,ςψπγ' ἔτους †.

Σίγνα μαρτύρων· Ἰωάννου τοῦ Πετρίτζη, Ἰωάννου τοῦ Ἀσκοῦ, Νικολάου τοῦ Βαχχάνη.

† Ὁ εὐτελὴς ἱερεύς, πρωτοπρεσβύτερος καὶ νομικὸς χωρίου Μουρμούντων, Γεώργιος ὁ Κορωνίτης, τὸ παρὸν ἐκδοτήριον ἔγγραφον γράψας ὑπέγραψα †.

XCVI. 6784—1276, mense martio, ind. IV.

Michaël Petritses monasterio vendit campum in Pyrgo.

† Τὸ πρατήριον ἔγγραφον Μιχαὴλ τοῦ Πετρίτζη χάριν τοῦ εἰς τὸν Πύργον χωραφίου τοῦ ἐπιλεγομένου Καλοριζίκου †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου αὐθέντου καὶ βασιλέως, Μιχαὴλ ὁ Πετρίτζης, οἰκείᾳ χειρὶ προέγραφα †.

† Ἐν ὀνόματι κ. τ. λ. ἐγὼ στρατιώτης Μιχαὴλ ὁ Πετρίτζης ... τὴν παροῦσαν ... πρᾶσιν ... ποιοῦμεν ἑκουσίως ... καὶ οὐκ ἔκ τινος ἀνάγκης ... ἢ φάκτου ἀγνοίας ἢ γυναικείας αἰδοῦς ἢ νοὸς ἀσθενείας κ. τ. λ. . . . πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς ... καθὼς δηλωθήσεται. καὶ γὰρ τὸ χωράφιον τὸ ἐν τῇ τοποθεσίᾳ τοῦ Πύργου τὸ ἐπιλεγόμενον τῆς Καλοριζίκου ὡσεὶ στρέμματα τριάκοντα, πλησιαστὰς ἔχον ἀπὸ μὲν ἀνατολῆς τὸ χωράφιον τοῦ κυροῦ Πόθου, ἀπὸ δὲ δύσεως τὸ χωράφιον τῆς Ὀλυμπηδαραίας καὶ τοῦ Δροσινοῦ, ἀπὸ βορείου χωράφιον δεσποινικὸν καὶ ἀπὸ νοτίου τὸ χωράφιον τοῦ Καδιτινοῦ, ἠθελήσαμεν τοῦτο ἀποποιήσασθαι καὶ εἰς ἀκοὰς ἐλθὸν σοῦ, τοῦ δηλωθέντος καθηγουμένου, καὶ τῶν ὑπὸ σὲ μοναχῶν, καὶ εἰς λόγους ἤλθομεν τὰ μέρη ἀμφότερα περὶ τῆς τούτου τιμῆς, ὕστερον πάντων περιεστήσαμεν αὐτὴν ἀπὸ συμφωνίας καὶ κοινῆς ἡμῶν ἀρεσκείας ὑπερπύρων δέκα ἴππαρ ... ἤγουν εἰς τὸ ἓν ὑπέρπυρον στρέμματα τρία, ἐνώπιον καὶ τῶν κάτωθεν ὀφειλόντων σιγνογραφῆσαι ὡς μαρτύρων τοίνυν, καὶ παραδεδώκαμεν ὑμῖν τὸ ἀναγεγραμμένον χωράφιον κ. τ. λ. ὅθεν λοιπὸν ἐπερωτώμενοι ὁμολογοῦμεν τοῦ μὴ εἰς ἀνατροπὴν καὶ μετάμελον τοῦ παρόντος ἡμῶν ἐγγράφου χωρηθῶμεν .... ἀλλὰ καὶ δόσεως προστίμου ἀποδώσομεν λίτραν μίαν ... καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. λ. μηνὶ μαρτίῳ ἰνδ. δ' τοῦ ͵ϛφπδ' ἔτους ἐνώπιον καὶ τῶν κατωτέρω σιγνογραφησάντων, ἤγουν τοῦ δουκὸς τῶν δεσποινικῶν κτημάτων, κυροῦ Ἀλεξίου τοῦ Ξανθοπούλου, καὶ ἑτέρων.

Σίγνα μαρτύρων· Κωνσταντίνου τοῦ Καπνοῦ, Γεωργίου τοῦ Ἀφρατᾶ, Ἰωάννου τοῦ Μακροῦ, Νικήτα τοῦ Βαχάνη, Ἰωάννου τοῦ Χλιαρηνοῦ, Ξένου τοῦ Λαοδικηνοῦ, Ἰωάννου τοῦ Ἀσκοῦ †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς χωρίου Ὄξους ἐνορίας Κορδολέοντος, Ξένος ὁ Μοδινός, τὰ τῷ προειδηλούμενα γράφας καὶ μαρτυρῶν ὑπέγραψα †.

XCVII. 6784—1276, mense iunio, ind. IV.

Nicolaus Creticus et familia monasterio vendunt campum et ecclesiam.

† Τὸ πρατήριον ἔγγραφον Νικολάου τοῦ Κρητικοῦ, τοῦ καὶ Δερματᾶ καὶ τῶν παίδων καὶ τῶν συγγενῶν αὐτοῦ χάριν τοῦ χωραφίου τοῦ Κραμαστοῦ καὶ τῆς ἐκκλησίας τῆς ἁγίας Ἑλένης †.

Σίγνα Νικολάου τοῦ Κρητικοῦ, τοῦ καὶ Δερματᾶ, Κωνσταντίνου τοῦ Πεπωλημένου καὶ υἱοῦ αὐτοῦ, Εἰρήνης τῆς θυγατρὸς αὐτοῦ τῆς Παλατιανῆς, Γεωργίου τοῦ Ζαμπίκη, Ἰωάννου, τοῦ υἱοῦ αὐτοῦ, Θεοδώρου, τοῦ ἑτέρου υἱοῦ αὐτοῦ, Ξένης, τῆς γυναικὸς τοῦ Ζαμπίκη.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν κ. τ. λ. τὴν παροῦσαν . . . πρᾶσιν ποιοῦμεν . . . πρὸς τὸ μέρος τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεοτόκου τῆς Λεμβιώτίσσης κ. τ. λ. πεπράκαμεν γὰρ τὸ χωράφιον ἡμῶν, οἷον καὶ ὅσον ἐστὶ, τὸ ἐν τῇ τοποθεσίᾳ τοῦ Κραμαστοῦ μετὰ καὶ τῆς οὔσης ἐκεῖσε ἐκκλησίας καὶ ἐπικεκλημένης ἁγίας Ἑλένης μετὰ καὶ τῆς περιοχῆς τοῦ ἐκεῖσε παραρρέοντος ὕδατος, φάραγγός τε καὶ ὀπωρείας, ῥοδαφνῶν, κηπωροτοπίων, πέτρας καὶ ἄλλο, ὅπερ ἐνέμετο, εἰς τελείαν κατοχήν. ὅθεν ὀφείλουσιν οἱ ῥηθέντες μοναχοὶ τῆς σεβασμίας μονῆς τῶν Λέμβῶν κατέχειν αὐτὰ ὡς ἴδια κ. τ. λ. εἰ δ' ὅστις τολμήσειεν τὰ παρ' ἡμῶν βεβαιωθέντα ἀκυρῶσαι . . . . ζημιωθῶμεν καὶ πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα δέκα. διὰ τοῦτο ἐγεγόνει καὶ ἡ παροῦσα ὑμετέρα καθαρὰ πρᾶσις καὶ ἐπεδόθη τῷ μέρει τῆς διαληφθείσης μονῆς εἰς ἀσφάλειαν. μηνὶ ἰουνίῳ ἰνδ. δ' τοῦ ,ςψπδ' ἔτους †.

Σίγνα μαρτύρων· Μιχαὴλ τοῦ Θελόγου, Λέοντος τοῦ Καλοειδᾶ.

† Ὁ εὐτελὴς ἱερεὺς πρωτοπαπᾶς χώρας Μουρμούντων, Γεώργιος ὁ Καρωνίτης, τὸ παρὸν ἔγγραφον γράψας ὑπέγραψα †.

XCIII. 6784—1276, mense aprili, ind. IV.

Tyranina et filii monasterio vendunt campos in Aulacio.

† Τὸ πρατήριον τῆς Τυρρανίνης, τῶν παίδων αὐτῆς καὶ τῶν συγγενῶν χάριν τῶν ἐν τῇ τοποθεσίᾳ τοῦ Αὐλακίου χωραφίων †.

Σίγνα· Καλῆς Σεβαστῆς τῆς Τορρανίνης, Μαρίας Ἀγγελίνης, τῆς θυγατρὸς αὐτῆς, Θεοδώρου τοῦ Μαγκαφᾶ καὶ υἱοῦ αὐτῆς, Ξένης τῆς Διοσορηνῆς, Ἰωάννου τοῦ Μονομάχου, Γεωργίου τοῦ Καλοειδᾶ, Λέοντος τοῦ Καλοειδᾶ, Λέοντος τοῦ Σεβαστοῦ.

† Εὐδοκίᾳ τοῦ προανάρχου πατρὸς, συνεργίᾳ τοῦ συνάρχου υἱοῦ καὶ ἐπινεύσει τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος. ἡμεῖς οἱ τὰς σταυρικὰς σημειώσεις ἐκτυπωσάμενοι ἐν ἀρχῇ τοῦ παρόντος ὕφους ἑκουσίᾳ ἡμῶν ἐφέσει καὶ θελήσει ἀπεμπολήσαμεν πρὸς τὴν σεβασμίαν μονὴν τῶν Λέμβων τὰ χωράφια ἡμῶν τὰ ἐν τῇ τοποθεσίᾳ τοῦ Αὐλακίου, οἷα καὶ ὅσα εἰσί, τὰ καὶ πλησίον τοῦ προκαθημένου Σμύρνης τοῦ Καλοειδᾶ εἰς ὑπέρπυρα δεκαέξ, ἃ καὶ ἐλάβομεν ἀπὸ τοῦ μέρους τῆς ῥηθείσης μονῆς, ὅθεν καὶ οὐχ ἕξει τις ἐπ' ἀδείας δι' ὄχλου ποιῆσαι τὴν μονὴν ἢ ἐκ τῶν κληρονόμων καὶ οἰκείων διαδόχων ἡμῶν, ἀλλὰ δίχα τινὸς ἀμφισβητήσεως κατέχειν ταῦτα ἡ μονὴ καὶ τὴν ἐκ τούτων πρόσοδον ἀποφέρηται. εἰ δέ ποτε τῶν καιρῶν ἀναφανῇ τις ἀπὸ τοῦ μέρους ἡμῶν ἀμφιβάλλειν τὴν μονὴν καὶ ἀνατρέψαι βουληθῇ τὴν ἡμῶν πρᾶσιν, πρῶτον μὲν ἕξει τὰς ἀρὰς κ. τ. ἑ. ζημιωθῆναι δὲ καὶ εἰς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα τριάκοντα. πρὸς γοῦν βεβαίωσιν πλείονα ἐγράφη καὶ ὑπεγράφη ἡ παροῦσα ἡμῶν πρᾶσις καὶ ἐπεδόθη τῷ μέρει τῆς διαληφθείσης μονῆς εἰς ἀσφάλειαν. μηνὶ ἀπριλλίῳ ἰνδ. δ' τοῦ ͵ςψπδ' ἔτους †.

† Ὁ εὐτελὴς ἱερεὺς, πρωτοπαπᾶς καὶ νομικὸς χωρίου Μουρμούντων, Γεώργιος ὁ Καρωνίτης, τὸ παρὸν ἔγγραφον γράψας ὑπέγραψα †.

XCIX. Sine anno, mense martio, ind. XIII.

Ioannes Comes, iubente imperatrice, monasterio tradit locum Hagia.

† Τὸ παραδοτικὸν γράμμα τοῦ τότε δουκεύοντος τὰ ἐν τῇ περιοχῇ τῆς Πέτρας δεσποτικὰ κτήματα, Ἰωάννου τοῦ Κόμητος, χάριν τοῦ τοπίου τῆς Ἁγίας δι' ὁρισμοῦ δεσποτικοῦ †.

† Ἐπεὶ ὡρίσθην παρὰ τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας καὶ δεσποίνης, ὅπως παραδώσω πρὸς τὴν σεβασμίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης τὸ τοπίον τὸ ἐπι-

λεγόμενον τῆς Ἁγίας, τὸ καὶ πλησίον τοῦ τῆς τοιαύτης μονῆς κτήματος τοῦ ἐπιλεγομένου Παλάτια, κατὰ τὸν ὁρισμὸν τῆς κραταιᾶς καὶ ἁγίας αὐτῆς βασιλείας παραδέδωκα τοῦτο πρὸς τὴν τοιαύτην σεβασμίαν βασιλικὴν μονήν, ὅπερ καὶ ἔχει οὕτως· ἄρχεται ἀπὸ τοῦ μονοπατίου τοῦ ἀπερχομένου ἀπὸ τῶν Παλατίων καὶ ἀνέρχεται τὴν ῥάχιν τοῦ ῥύακος τοῦ Βροχαντᾶ βόρειον μέρος, ἐν ᾧ καὶ πέτραι μεγάλαι δύο ἵστανται κατὰ τὸ βόρειον μέρος πλησίον τοῦ λάκκου τοῦ θαλασσηνοῦ, δεξιὰ τὸ περιοριζόμενον, κρατοῦν τὸ αὐτὸ μονοπάτιον, καὶ ἀπέρχεται τὴν φακεολισμένην πέτραν, ἥντινα καὶ στήλην ἔταξεν εἶναι ταύτην ὁ Καρυανίτης ἐκεῖνος, ἐν ᾧ καὶ ·θέσις βουνοῦ συνίσταται δεξιὰ ἔχον ἐπάνω τούτου ἀλωνοτόπιον, καὶ καταντᾷ εἰς τὴν μεγάλην πέτραν τὴν καὶ δεξιόθεν ἱσταμένην, καὶ ἀκουμβίζει μέχρι καὶ τῆς βρύσεως τῆς ἐπιλεγομένης τοῦ Κοκκῆ καὶ τοῦ βουνοῦ τοῦ λεγομένου Φλαμούλου κρατοῦν τὴν ῥάχιν τοῦ τοιούτου βουνοῦ μεσημβρινὸν μέρος δεξιὰ τὸ περιοριζόμενον, καὶ καταντᾷ εἰς τὸν περίορον τῆς Ἁγίας Ἑλένης, ἐν ᾧ καὶ τέσσαρες δρύες παχεῖς πλήρεις συνίστανται, καὶ κατέρχεται κατὰ νότον καὶ ἀκουμβίζει εἰς τὴν βασιλικὴν ὁδόν, κρατοῦν τὴν αὐτὴν ὁδὸν θράσκιον μέρος, καὶ ἀπέρχεται τὴν τοιαύτην ὁδὸν καὶ ἀκουμβίζει εἰς τὸ μονοπάτιον τῶν Παλατίων, ἔνθα καὶ τὴν ἀρχὴν πεποιήκαμεν. καὶ ὀφείλει κατέχειν τὸ τοιοῦτον τόπιον ἡ·τοιαύτη σεβασμία μονὴ καὶ νέμεται ἀνενοχλήτως καὶ ἀδιασείστως, μὴ παρά τινος ἔχουσα τὸν τυχόντα ἐμποδισμόν, μήτε παρὰ τοῦ διενεργοῦντος τὸ μέρος τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας καὶ δεσποίνης, μήτε παρ' ἑτέρου τινός. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον παραδοτικὸν γράμμα καὶ ἐπεδόθη πρὸς τὴν σεβασμίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης εἰς ἀσφάλειαν. μηνὶ μαρτίῳ ἰνδ. ιγ' †.

† Ὁ δοῦλος τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας καὶ δεσποίνης, Ἰωάννης ὁ Κόμης †.

C. Sine anno, mense octobri, ind. X.

Michaël Branas Comnenus monasterio tradit locum Hagiam.

†Ἕτερον παραδοτικὸν χάριν τοῦ προγεγραμμένου τοπίου τῆς Ἁγίας γεγονὸς παρὰ τοῦ Κομνηνοῦ κυροῦ Μιχαὴλ τοῦ Βρανᾶ †.

† Ἐπιδίδομαι πρὸς τὴν σεβασμίαν καὶ θείαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ πρὸς τὸν καθηγούμενον αὐτῆς, κῦριν Ἀγάθωνα, ἀλλὰ δὴ καὶ τοὺς μοναχοὺς τῆς τοιαύτης μονῆς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τὸ ἐν τῇ τοποθεσίᾳ τῆς Ἁγίας τόπιον οὕτως ἐπονομαζόμενον, πεπαλαιωμένη ἐκκλησία, ὁ ἅγιος Κωνσταντῖνος, περιέχον δὲ ὁροκύκλιον τὸ περίορον αὐτοῦ, ὅπερ ἔκπαλαι κεκράτηται. καὶ ὀφείλει κατέχειν τοῦτο ἡ μονή, προηγουμένως ἀνακτίσασθαι τὴν ἐκκλησίαν, προσκαθίσασθαι καὶ πτωχούς, ὅσους καὶ βουληθῇ, καὶ ποιεῖσθαι ἐπανέκτισιν ἐπ' αὐτῷ. ποιοῦμαι δὲ τοῦτο εἰς μνημόσυνον τῆς τρισμακαρίτιδος καὶ ἁγίας μου μητρός, ἥτις ἐνταφιάσθη εἰς τὴν τοιαύτην μονήν, καὶ ἕνεκα ἡμετέρας ψυχικῆς σωτηρίας, καὶ μὴ εὑρίσκειν τὴν τυχοῦσαν ὄχλησιν ἕνεκα τοῦ τοιούτου τοπίου, ἀλλ' ἔχειν τοῦτο καὶ νέμεσθαι τῇ ἐμφανείᾳ τῆς παρούσης μου γραφῆς εἰς τὸν αἰῶνα τὸν ἅπαντα. ὀφείλει γοῦν ὁ κατὰ καιρὸν ἐνεργῶν τὰ εἰς τὰ Μάρμουντα κτῆμά μου ἔχειν ἀγάπην καὶ ἕνωσιν μετὰ τῶν μοναχῶν πάντων καὶ διεκδικεῖν καὶ δεφενδεύειν τὸ τοιοῦτον τόπιον ἐμφανιζομένης πρὸς αὐτὸν τῆς παρούσης μου γραφῆς. μηνὶ ὀκτωβρίῳ ἰνδ. ι' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μιχαὴλ Κομνηνὸς ὁ Βρανᾶς †.

CI. 6789—1280, mense septembri, ind. IX.

Theodorus Garares et uxor monasterio donant campum.

† Τὸ ἐκδοτήριον τοῦ Γαράρη κυροῦ Θεοδώρου καὶ τῆς συμβίου αὐτοῦ χάριν τοῦ χωραφίου τῆς ἁγίας Παρασκευῆς τοῦ πλησίον τῶν Παλατίων †.

† Θεόδωρος ὁ Γαργαρής οἰκείᾳ χειρὶ προέταξα †. Σίγνον Εἰρήνης τῆς Καλοειδίνης καὶ γνησίας συμβίου αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. Θεόδωρος ὁ Γαργάρης καὶ ἡ γνησία σύμβιός μου Εἰρήνη κ. τ. λ. τιθέμεθα καὶ ποιοῦμεν τὸ παρὸν τῆς προαγωγῆς ἡμῶν γράμμα τῆς καὶ προσενέξεως κ. τ. ἑ. πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης πρὸς τὸν ἐπ' αὐτῇ ἡγουμενεύοντα, κῦριν Ἀγάθωνα, καὶ πρὸς τοὺς μετ' αὐτὸν ἀσκουμένους μοναχοὺς πάντας, καθὼς δηλω-

θήσεται. ἰδοὺ διὰ τοῦ παρόντος ἡμῶν γράμματος προσενέγκαμεν πρὸς τὴν σεβασμίαν μονὴν τὸ χωράφιον τὸ γονικόθεν διαφέρον ἡμῖν τὸ ἐν τῇ θέσει τοῦ Μεμανιωμένου καὶ καταπλησίον τῶν Παλατίων, τὸ καὶ ἐπιλεγόμενον τῆς Ἁγίας Παρασκευῆς, ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας, ὃ δὴ καὶ διακαθέξει ἀπὸ τῆς σήμερον ἡ δηλωθεῖσα μονὴ κ. τ. ἑ. ἡμεῖς δὲ οὐ τραπώμεθα πώποτε εἰς ἀθέτησιν τῶν ὧν ὑπετυπώσαμεν, μήπως κατακριθῶμεν ἱερόσυλοι ὡς ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα κ. τ. ἑ. ζημιωθῶμεν δὲ καὶ ὡς πλεονέκται καὶ ἀθετηταὶ τῆς γεγονυίας παρ' ἡμῶν πράξεως κατὰ θεοφιλῆ σκοπὸν ὑπέρπυρα τριάκοντα ἓξ κ. τ. ἑ. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν τῆς προσαγωγῆς ἡμῶν γράμμα καὶ ἐπεδόθη τῷ μέρει τῆς διαληφθείσης μονῆς ἐνώπιον ἀξιοπίστων μαρτύρων εἰς βεβαίωσιν καὶ ἀσφάλειαν αἰωνίζουσαν. μηνὶ σεπτεβρίῳ ἰνδ. θ' τοῦ ͵ςφπ' ἐννάτου ἔτους †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μαντaίας, Νικόλαος ὁ Φιλοκονηγίσης, παρὼν ἐπὶ τῇ παρούσῃ φανερᾷ καὶ καθαρᾷ προσενέξει καὶ αὐτὸς μαρτυρῶν καὶ γράφας ὑπέγραφα †.

CII. Sine anno, mense novembri, ind. VII.

Iudex exercitus Chilas controversiam diiudicat ortam inter monasterium et Comnenum Branam.

† Τὸ κρίσιμον γράμμα τοῦ κριτοῦ τοῦ φοσσάτου, τοῦ Χειλᾶ, χάριν ὧν εἶχεν ἡ μονὴ διενέξεις μετὰ τοῦ Κομνηνοῦ τοῦ Βρανᾶ †.

† Καὶ τοῖς μέρεσιν ἀμφοτέροις, τοῦ τε πανευγενεστάτου Κομνηνοῦ τοῦ Βρανᾶ κυροῦ Μιχαὴλ καὶ τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβων, οὐκ ὀλίγαι διενέξεις καὶ διαμάχαι γεγόνασιν, ὡς ἂν ἐντεῦθεν καὶ ἀνθρώπους μικροῦ κινδυνεῦσαι, ἐπεὶ παρ' ἀλλήλων καὶ πρὸς ἄλληλα τὰ μέρη καὶ τόξα καὶ βέλη ἐνετάθησαν καὶ ἐπέμφθησαν, ἡ δὲ διένεξις τούτοις ἐτύγχανε περὶ γῆς, ἐπεὶ δὲ καὶ πρὸς ἡμᾶς καὶ ἀμφότερα τὰ μέρη παρεγένοντο καὶ ἑκάτερος ἀδικεῖσθαι παρὰ θατέρου μάλιστα διετείνοντο, δεῖν διέγνωμεν ἐπιστῆναι τοῖς τόποις καὶ τὰ τούτων δικαιώματα ἀκριβῶς τηρῆσαι καὶ οὕτω τὴν ἀμφοτέρων λῦσαι διένεξιν καὶ εἰρηναίαν πρὸς ἀλλήλους ἔχειν κατάστασιν.

ὅθεν καὶ καταλαβόντες τὸν τόπον μετὰ τῶν εὑρεθέντων ἡμῖν χρησίμων ἀνθρώπων, ξένων τε τοῦ ἐνταῦθα τόπου καὶ τοπικῶν, ἤγουν τῶν ἀπὸ τῶν βασιλικῶν ἀλλαγίων στρατιωτῶν, κυροῦ Μανουὴλ τοῦ Καλοειδᾶ, κυροῦ Κωνσταντίνου τοῦ Φραγγοπούλου, κυροῦ Ἀλεξίου ἱερέως καὶ τοῦ κυροῦ Νικηφόρου τοῦ Βαρδουβίνου, καὶ τὸ τῆς μονῆς δικαίωμα αἰτησάμενοι κατιδεῖν, ἐνεχειρίσθη παραυτίκα ἡμῖν παρά τε τοῦ ὁσιωτάτου καθηγουμένου, κυροῦ Κλήμεντος, τοῦ οἰκονόμου τῆς κατ' αὐτὸν σεβασμίας μονῆς, κυροῦ Ἰγνατίου καὶ ἑτέρων διαφόρων εὐλαβῶν μοναχῶν, τοῦ τε κυροῦ Μάρκου καὶ λοιπῶν, τὸ καθ' ὁρισμὸν βασιλικὸν γεγονὸς τῇ μονῇ πρακτικὸν πρὸ χρόνων ἤδη πεντήκοντα ἐννέα παρὰ τοῦ στρατοπεδαρχεύσαντος τότε ἔν τε τῇ Φιλαδελφείᾳ καὶ τῷ θέματι τῶν Θρακησίων, κυροῦ Μιχαὴλ τοῦ Φωκᾶ, περιποθήτου ὄντος συγγάμβρου τοῦ ἀοιδίμου βασιλέως, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἐν ᾧ μετὰ τῶν ἄλλων περιωρίζετο τὰ χωραφιαῖα τόπια, τά τε νομαδιαῖα καὶ ὄπεργα τὰ πλησίον καὶ γύρωθεν τῶν Παλατίων, ὧν ἡ καταγραφὴ ἔχει οὕτως· ἄρχεται ἀπὸ τῆς παλαιᾶς ὁδοῦ τῆς ἀπὸ τοῦ Πύργου κατερχομένης, κρατεῖ τὸ ἐκεῖσε παρακείμενον ξηρορύακον τὸ καὶ ὡς ἐν σχήματι τάφρου ὂν καὶ πρὸς ἄρκτον ἀποβλέπον, ἐν ᾗ ὁδῷ καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας ἐχούσης γράμματα ὅμοια, ἤτοι ὅρος Λέμβου, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ ἀπέρχεται ἐφ' ἱκανὸν μέχρι καὶ τῆς βασιλικῆς ὁδοῦ τῆς ἀπὸ τοῦ λιβαδίου τῶν Ἀββάδων κατερχομένης, ἐν ᾗ καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας τετραγώνου ἐχούσης γράμματα ὅμοια, ἀριστερὰ μὲν ἐῶσα τὰ δίκαια τῶν Σμυρναίων, δεξιὰ δὲ τὰ περιοριζόμενα· ἀπὸ ταύτης στρέφεται πρὸς ἀνατολάς, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ τῆς βασιλικῆς ὁδοῦ, ἀριστερὰ ἐῶσα τὰ δίκαια τῆς ἐν τῇ Σμύρνῃ μονῆς τοῦ Σωτῆρος Χριστοῦ τῆς τοῦ Καμελαυκᾶ ἐπιλεγομένης, δεξιὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ῥυακίου τοῦ ἀπὸ τῆς Ἁγίας κατερχομένου καὶ τοῦ ἄκρου παρακειμένου πετροβούνου, ἐν ᾧ καὶ ἐν μιᾷ τῶν ἐκεῖσε μεγάλων πετρῶν ῥιζιμαίων ἐνεκολάψαμεν καὶ γράμματα ὅμοια· εἶτα ἀπὸ ταύτης στρέφεται πρὸς ἀνατολάς, ἐῶσα δεξιὰ μὲν τὰ δίκαια τοῦ Δερματᾶ καὶ τοῦ Κολελοῦ, καὶ ἀπέρχεται μέχρι τοῦ ῥυακίου τοῦ ἀπὸ τῆς ἁγίας Ἑλένης κατερχομένου. ἀπὸ τούτου κλίνει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, κρατεῖ τὸ εἰρημένον ῥυάκιον κατ' εὐθεῖαν καὶ ἀπέρχεται μέχρι τῶν χωραφίων τῶν Τραχεινῶν, ἐν ᾧ καὶ στή-

λην ἐστήσαμεν διὰ μαύρης πέτρας ἐχούσης γράμματα ὅμοια. εἶτα στρέφεται πρὸς ἄρκτον, κρατεῖ τὸν αὐτὸν ἀέρα ἐπὶ πολύ, ἐῶσα ἀριστερὰ μὲν τὰ δίκαια τῶν Σμυρναίων, δεξιὰ τὰ περιοριζόμενα, εἶτα ἔχεται τοῦ αὐτοῦ ἀέρος ἐπὶ πολὺ καὶ ἀπέρχεται μέχρι τῶν χωραφίων τῶν Τραχεινῶν τῶν διαφερόντων τῷ Σμυρναίῳ Μάντει, τῶν καὶ πλησιαζόντων τῷ ἐκεῖσε παρακειμένῳ λιβαδίῳ τῷ καὶ λάκκῳ ἐοικότι, ἐν ᾧ καὶ στήλη διὰ μαύρης πέτρας ἐχούσης γράμματα ὅμοια· ἀπὸ ταύτης ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς δυσμάς, ὁδεύει ἐφ' ἱκανόν, κρατεῖ τὴν παλαιὰν ὁδὸν καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ἄκρου τοῦ Ξηροτροχάλου καὶ τῆς ἐκεῖσε παρακειμένης τάφρου, ἐᾷ ἀριστερὰ τὰ δίκαια τοῦ Μάντη, δεξιὰ τὰ περιοριζόμενα· εἶτα γαμματίζει πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς δυσμὰς καὶ ἀπέρχεται μέχρι τῆς παλαιᾶς ὁδοῦ τῆς εἰς τὸν Πύργον ἀπερχομένης, ἐν ᾧ καὶ στήλη μαρμαρίνη πλατεῖα ἔχουσα γράμματα ὅμοια· ἀπὸ ταύτης καὶ αὖθις στρέφεται πρὸς δυσμάς, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ τῆς παλαιᾶς ὁδοῦ καὶ καταντᾷ, ἔνθα ἤρξατο. ὁ γοῦν περιορισμὸς τῶν ὑπέργων καὶ νομαδιαίων τόπων τῆς μονῆς οὕτω διελαμβάνετο, καὶ ἐν μὲν τοῖς ἄλλοις οὐδεμίαν εἶχε τὴν ἀμφισβήτησιν, ἐν ᾧ καὶ διαλαμβάνει. εἶτα στρέφεται πρὸς ἄρκτον, κρατεῖ τὸν αὐτὸν ἀέρα ἐπὶ πολὺ καὶ ἀπέρχεται μέχρι καὶ τῶν δικαίων τῶν χωραφίων τῶν διαφερόντων τῷ Σμυρναίῳ Μάντει καὶ ἑξῆς ἕως τοῦ Ξηροτροχάλου, οὐκ ὀλίγη τούτοις ἡ ἀμφιβολία καθίστατο, καὶ τὰ γνωρίσματα ἣν ἑκάτερος διερμηνεύων τῶν τόπων ἄλλως καὶ οὐ κατὰ μίαν φωνήν· ἡμεῖς δ' αἰτησάμενοι ἄνδρας εἰς μαρτυρίαν, μηδενὶ τούτων ὑποκειμένους καὶ φιλαλήθεις καὶ τῶν τόπων εἰδήμονας, παρέστησαν ἡμῖν καὶ ἀμφότερα τὰ μέρη ἄνδρα περίπου τὰ ὀγδοήκοντα καὶ πρὸς ἐληλακότα, κλῆσις δὲ αὐτῷ Μιχαήλ, τὸ δ' ἐπίκλην Βαρόχειρ, ὡς ἂν δὲ τούτοις λυθείη καὶ ἡ διένεξις καὶ εἰρηναία εἴη κατάστασις εἰς τὸ ἔμπροσθεν· ἠκούσαμεν γὰρ καὶ τῆς τοῦ θεοῦ ἐκκλησίας διαπρυσίου κήρυκος, Παύλου λέγω τοῦ σκεύους τῆς ἐκλογῆς, ὡς πέρας πάσης ἀντιλογίας εἰς βεβαίωσιν ὁ ὅρκος, ἀνὰ χεῖρας λαβεῖν αὐτὸν τὸν τοῦ κυρίου σταυρὸν αὐτῷ προετρέψαμεν καὶ οὕτως φανεροῦν ἡμῖν αὐτὸν τὰ γνωρίσματα, ἃ τῷ παλαιῷ, ὡς ἔφημεν, διελαμβάνετο δικαιώματι· ἔδειξεν οὖν ἡμῖν αὐτὸς τὰ γνωρίσματα, ἐπεὶ τῷ μακρῷ χρόνῳ αἱ στῆλαι τοῦ τόπου ἐξεβλήθησαν, καὶ νέας ἡμεῖς ἐτάξαμεν τεθῆναι στήλας, ὡς ἐντεῦθεν

γινώσκεσθαι τὰ τοῦ Μάντη χωραφιαῖα καὶ νομαδιαῖα τόπια, ὧν ἐστι δεσπότης ὁ Κομνηνὸς κῦρις Μιχαὴλ ὁ Βρανᾶς, προικόθεν ἔχων αὐτὰ κἀπὶ τούτοις καὶ προστάγματα καὶ χρυσόβουλλα προσκυνητὰ καὶ τούτων εἶναι δεσπότην αὐτῶν, γινώσκεσθαι δ' αὖθις καὶ τὰ χωραφιαῖα καὶ νομαδιαῖα τόπια τῆς μονῆς τοὺς κατ' αὐτὴν μοναχούς, ἐφ' οἷς ὡσαύτως καὶ παλαιὰ καὶ νέα βασιλικὰ προστάγματα καὶ χρυσόβουλλα καὶ ἀπογραφικὰ ἔχουσι δικαιώματα καὶ τούτων εἶναι τὴν μονὴν δεσπότιν γινώσκεσθαι· εἶναι δὲ δεῖν διακρίνομεν τὴν πλησιάζουσαν ἀμφοτέρους νομαδιαίαν γῆν, ὡς νῦν εὑρισκομένων καὶ τὸ ἑξῆς, ὡς ἐντεῦθεν ἔχειν τὴν νομὴν ἐν αὐτοῖς καὶ ἀμφοτέρων τὰ ζῷα καὶ μηδένα τούτων ἐπ' ἀδείας ἔχειν καλλιεργῆσαι καὶ ὑπεργῶσαι τὴν εὑρισκομένην ἀρτίως νομαδιαίαν γῆν, ἣν θάτερος θατέρῳ πλησιάζει, ἀλλ' εἴπερ τις βίᾳ τινὶ τούτων γένηται καὶ χρῆσις ὑπεργῶσαι γῆν ἀπὸ τῆς νῦν εὑρισκομένης νομαδιαίας καὶ χωραφιαίαν ἐργάσασθαι ἐξ ἄλλου μέρους, ὅθεν θατέρῳ οὐ προσεγγίζει, ἐκεῖθεν ἔσται ἄδεια ὑπεργῶσαι καὶ οὕτως ἔσται τούτοις τὸ ἀνενόχλητον· τάττομεν δὲ καὶ τοὺς κατ' ἔχθραν γενομένους χάνδακας παρὰ θατέρων τῶν μερῶν καταλυθῆναι καὶ ἀνέτους εἶναι ὡς τὸ πρότερον διὰ τῆς εἰρήνης καλόν, ἧς οὐδὲν βέλτιον, οὐδὲ θεῷ εὐάρεστον πέφυκεν. εἶναι δὲ ἄνετον κατὰ τὸν καιρὸν τοῦ χειμῶνος καὶ τὸ παρακείμενον τόπιον ἀμφοτέροις, ἐν ᾧ σαμάκιον γίνεται, καὶ εἰσέρχεσθαι ἐν αὐτῷ τὰ τῶν ἀμφοτέρων ζῷα καὶ νέμεσθαι αὐτό, ἐν δὲ τῷ καιρῷ τοῦ ἔαρος, ὅτε ὁ χόρτος ἀναβλαστήσει, παρ' ἀμφοτέρων φυλάττεσθαι καὶ μὴ παραχωρεῖν εἰσέρχεσθαι ζῷα ἐν αὐτῷ καὶ ἔχειν ἀμφοτέρους εἰς χρῆσιν τὸν ἐκεῖσε γενόμενον χόρτον. οὕτω τοίνυν ἀμφότερα τὰ μέρη τὴν ἡμετέραν διάγνωσιν ἀποδεξάμενα καὶ ἐγγράφως, ὡς ᾐτήσαντο, ἐξεθέμεθα, διττὰ ποιήσαντες γράμματα κατὰ πάντα ἰσάζοντα, ἑκάστῳ τούτων δεδώκαμεν ἕκαστον. μηνὶ νοεμβρίῳ ἰνδ. ἑβδόμης †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κριτὴς τοῦ θεοφρουρήτου φοσσάτου, σεβαστὸς Κωνσταντῖνος ὁ Χειλᾶς †.

Ἡ καταρχὴ τῶν χαρτῴων δικαιωμάτων τῶν Μήλων καὶ τῆς Βάρης χάριν τῶν ἐν αὐτοῖς πραγμάτων †.

CIII. Sine anno, mense augusto, ind. VII.

Imperator describi iubet ascripticios vici Melorum et agros monasterii.

† Πρόσταγμα διοριζόμενον τῷ δουκὶ τῶν Θρακησίων τῷ Λάσκαρι κορῷ Κωνσταντίνῳ, ἵνα τηρήσῃ ταῦτα ἀπογραφικῶς καὶ ἀποκαταστήσῃ καὶ παραδώσῃ †.

† Οἰκεῖε τῇ βασιλείᾳ' μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Κωνσταντῖνε Λάσκαρι. ἡ βασιλεία μου διορίζεταί σοι, ὡς ἂν ἀπέλθῃς εἰς τὸ χωρίον τὰ Μῆλα τὸ ὑπὸ τὴν σεβασμίαν μονὴν τῶν Λέμβων καὶ ἀναθεωρήσῃς τοὺς ἐκεῖσε προσκαθημένους παροίκους καὶ ἀναγράψῃς τούτους καὶ ἀποκαταστήσῃς ἕκαστον τῶν παροίκων ἢ ζευγαριτικὴν ἢ βοϊδατικὴν κατὰ τὴν ἑκάστου εὐπορίαν καὶ δύναμιν καὶ ἀποκαταστήσῃς αὐτοὺς διδόναι τὸ ἀναλογοῦν τῷ ζευγαράτῳ καὶ τῷ βοϊδάτῳ παροικιὸν τέλος καὶ τὴν δουλείαν αὐτοῦ, καὶ ἵνα διδῶσι καὶ τὸ οἰκομοδοπαράσπορον, καθὼς καὶ ἐπὶ τοῦ Βλαττεροῦ καὶ ἐπὶ τοῦ προηγουμενεύοντος Γερασίμου τοῦ Ὀφικιάνου καὶ μὴ ἐάσῃς τοὺς χωρίτας ἕνα ἕκαστον ποιεῖν, ὅπερ ἄρα καὶ βούλεται. ἐπεὶ δὲ καὶ Μιχαὴλ ὁ Γουναρόπουλος εἶχε πρώην ἀπὸ τῆς γῆς τῶν Μήλων γῆν βοϊδατικῶν τριῶν καὶ ἀπὸ θελήσεως αὐτοῦ καὶ τοῦ μέρους αὐτοῦ ἀπέλυσε τὴν μίαν βοϊδατικὴν γῆν καὶ κατεῖχε ταύτην τὸ μέρος τοῦ Βλατεροῦ καὶ μετὰ ταῦτα κατεῖχε ταύτην καὶ τὸ μέρος τῆς μονῆς μέχρι καὶ τῆς σήμερον, νῦν δὲ πειρᾶται ὁ τοιοῦτος Γουναρόπουλος παραδοῦναι ταύτην πρὸς ἕτερον πρόσωπον, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν εἴπερ θελήσει ὁ τοιοῦτος Γουναρόπουλος κατέχειν τὴν τοιαύτην βοϊδατικὴν γῆν, ἵνα ἀποκαταστήσῃς αὐτὸν κατέχειν ταύτην καὶ καταβάλλειν πρὸς τὸ μέρος τῆς μονῆς τὰ ὑπὲρ τοῦ τοιούτου βοϊδατικοῦ ἀνήκοντα τούτῳ τελέσματα καὶ λοιπὰ παροικικὰ βάρη· εἰ δ' ἴσως οὐ δύναται κατέχειν ταύτην ὁ Γουναρόπουλος, ἵνα ἀποκαταστήσῃς τὸ μέρος τῆς μονῆς ἀνενοχλήτως κατέχειν τὴν τοιαύτην βοϊδατικὴν γῆν καὶ μὴ παραχωρήσῃς παραδοῦναι αὐτὴν πρός τινα συγγενῆ αὐτοῦ. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν

τῆς βασιλείας μου· εἴπερ δὲ μετὰ τὴν ἀποκατάστασιν καὶ παράδοσιν τῆς γῆς εὑρήσεις ἐλευθέραν γῆν, ἀποκατάστησον τὸ μέρος τῆς μονῆς, ἵνα κατέχῃ αὐτήν †.

† Εἶχε τό· μηνὶ αὐγουστῳ ἰνδ. ζ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CIV. 6716—1208, mense martio, ind. XI.

Nicolaus Gunaropulus Annae, uxori Nicetae Blateri, campos vendit.

† Πρατήριον ἔγγραφον Νικοδήμου μοναχοῦ τοῦ Γουναροπούλου καὶ τῆς ποτὲ συμβίου αὐτοῦ καὶ τοῦ υἱοῦ περὶ τῆς μερίδος τοῦ χωραφίου τοῦ ἐν τῇ τοποθεσίᾳ τοῦ Δημοσίου διακειμένου †.

Σίγνα· Νικοδήμου μοναχοῦ τοῦ Γουναροπούλου, Ξανθῆς τῆς ποτὲ συζύγου αὐτοῦ, Σωτηρίχου τοῦ υἱοῦ αὐτῶν †.

Ἐν ὀνόματι κ. τ. λ. Νικόδημος μοναχὸς ὁ Γουναρόπουλος καὶ ἡ ποτὲ σύμβιος αὐτοῦ καὶ Σωτήριχος ὁ υἱὸς αὐτῶν κ. τ. λ. μετὰ τὴν τοῦ ὅλου ὕφους ἀνάγνωσιν καὶ διάγνωσιν τὴν παροῦσαν . . . πρᾶσιν . . . . ποιοῦμεν . . . . πρὸς σέ, τὴν εὐγενεστάτην κυρὰν Ἄνναν τὴν τοῦ ἀποιχομένου κυροῦ Νικήτα τοῦ Βλατεροῦ σύμβιον, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος . . . . καθὼς δηλωθήσεται. καὶ γὰρ τὴν γονικόθεν διαφέρουσαν ἡμῖν μερίδα ἐν τοῖς χωραφίοις τοῖς διακειμένοις ἐν τῇ τοποθεσίᾳ τῇ ἐπιλεγομένῃ τὸ Δημόσιον, τὰ καὶ ποτὲ καθαρπαγέντα παρὰ τῶν Κυπαρισιωτῶν, βουληθέντες ταῦτα ἐκποιήσασθαι τὴν πρᾶσιν τούτων διεφημίσαμεν, ἔφθασε δὲ ἡ περὶ αὐτῶν φήμη καὶ εἰς τὰς ἀκοὰς τῆς διαληφθείσης κυρᾶς Ἄννης τῆς Βλατεροῦ, ἠθελήσασα αὐτὰ ἐξωνήσασθαι, καὶ λόγων μέσον ἡμῶν γινομένων περὶ τοῦ τιμήματος τούτων ὕστερον περιεστήσαμεν αὐτὴν ἐκ συμφωνίας τῶν ἀμφοτέρων εἰς νομίσματα . . . εἴκοσι διὰ τραχέων, ἃ δὴ νομίσματα καὶ ἐλάβομεν κ. τ. λ. ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτὰ καὶ χρᾶσθαι κ. τ. λ. τελῶν πρὸς ἡμᾶς ἕκαστον χρόνον χάριν ἐπιτελείας . . . . νομίσματα τὸ ἥμισυ κ. τ. λ. ἐπερωτώμενοι ὁμολογοῦμεν . . . μὴ εἰς ἀνατροπὴν καὶ μεταμέλειαν ὅλως χωρῆσαι κ. τ. λ. ἀλλὰ πρὸ δίκης ἁπάσης καὶ δίχα δόσεως λιβέλλου καὶ δικαστικῆς ἀκολουθίας καὶ παντὸς ἑτέρου δικαστικοῦ διατάγματος μόνῃ τῇ ἐμφανείᾳ τοῦ παρόν-

τος ἡμῶν ἐγγράφου, ἵνα σοι παρέχωμεν, ἃ ἐλάβομεν, εἰς τὴν τῶν χωραφίων τιμὴν, καὶ ἃς ἔχεις καταβαλέσθαι πάσας ἐξόδους, ἐπὶ τὸ διπλάσιον· τοῦ γὰρ παρόντος ἡμῶν ἐγγράφου ἀρχεῖν σοι ὀφείλοντος καὶ ἀντὶ σωματικῆς παραδόσεως καὶ εἰς σχολὴν νομικὴν, λόγῳ δὲ προστίμου ὑποκεισόμεθα πρὸς σὲ ποσότητα νομισμάτων... ἐκ συμφωνίας τῶν ἀμφοτέρων τριακονταέξ... πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τούτων τρίτον. μηνὶ μαρτίῳ ἰνδ. ια′ ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων τοῦ ,ςψις′ †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Κωνσταντῖνος σεβαστὸς ὁ Καλοειδᾶς, παρήμην ἐπὶ τῇ παρούσῃ συμφωνίᾳ καὶ ἀσφαλείᾳ, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †. Et eadem formula: ὁ εὐτελὴς ἱερεὺς καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Λέων ὁ Μουζηθρᾶς, ὁ κληρικὸς καὶ νομικὸς Κωνσταντῖνος ὁ Στρατιώτης †. Θεοφύλακτος ἀναγνώστης καὶ κληρικὸς ὁ Ξανθὸς, σκευοφύλαξ Κωνσταντῖνος ὁ Ξανθὸς ἔγραψα καὶ ὑπέγραψα.

CV. 6703—1194, mense octobri, ind. XIII.

Uxor Constomaris eximitur a tributo pendendo pro agris.

† Τὸ παρὸν ἴσον παρεξεβλήθη ἀπὸ τῶν παντοκρατορικῶν πρωτοτόπων δικαιωμάτων, δι' ἃς εἶχον διενέξεις περὶ τῶν χωραφίων τοῦ Γουναροπούλου †.

† Τὴν ἐνέργειαν ποιούμενοι κατὰ τὴν ιε′ ἰνδ. τῶν κατὰ τὴν Σμύρνην κτημάτων τῆς σεβασμίας μονῆς τοῦ Παντοκράτορος καὶ εὕρομεν ἐν τῷ προαστείῳ τοῦ Δημοσίου τὴν γονὴν τοῦ Κωνστομάρη ἐκείνου, ἀναγραφομένην οὕτω ῥητῶς· ἡ γονὴ τοῦ ἀποιχομένου ἐκείνου Κωνστομάρη, θυγάτηρ δὲ τοῦ Γουναροπούλου, εὑρέθη παρ' ἡμῶν νέμεσθαι γῆν πάνυ ἀτελῶς ἐκ τῆς ἁγίας ἡμῶν μονῆς ἐκ τοῦ προαστείου τοῦ εἰς τὸ Δημόσιον, ὑπὲρ ἧς καὶ ὀφείλει τελεῖν ἀπ' ἀρχῆς τῆς ιβ′ ἰνδ. νομίσματα τέσσαρα, ὀφείλει δὲ ἀπολῦσαι τὰ παρ' αὐτῆς κατεχόμενα χωράφια τῶν ἐξαλειμματικῶν στάσεων τὰ παρ' ἐμοὶ διαγνωσθέντα ἐκ τῆς στάσεως τοῦ Σπανοῦ καὶ τῆς Κουλουμπλίας καὶ τῶν λοιπῶν· εἰ δ' ἴσως πειρᾶται καὶ ἔτι κρατεῖν ταῦτα, ὀφείλει ἔχειν ἐπ' ἀδείας ὁ ἐνεργῶν δικαίῳ τῆς μονῆς ἐξῶσαι αὐτὴν καθόλου ἐκ

τῶν διαφερόντων πάντων τῇ μονῇ· τὴν γοῦν τοιαύτην γῆν ἀναφηλαφήσαντες εὕρομεν ταύτην μαρτυρηθεῖσαν παρὰ τῶν ὅλων κληρικῶν τῆς Σμύρνης, τῶν καὶ μεθ' ἡμῶν παρουσιασάντων, ἐξ ὧν εἰσιν οὗτοι· Βασίλειος ὁ Χρυσοβέργης, ὁ βεστιαρίτης τοῦ βασιλέως τοῦ ἁγίου, κῦρις Γεώργιος, ὁ Κολελὸς Κωνσταντῖνος, Νικόλαος ὁ Βλαττόπουλος, ὁ σακελλάριος κῦρις Μιχαὴλ ὁ Ῥαπτόπουλος, Νικόλαος, ὁ υἱὸς τοῦ πρωτοπαπᾶ Γεωργίου, καὶ οἱ λοιποί, οἵτινες διὰ τὴν πολογραφίαν εἰάθησαν, ὡς διαφέρουσαν ταύτην τῇ δηλωθείσῃ γονῇ καὶ τοῖς παισὶν αὐτῆς καὶ νεμομένην αὐτὴν πλείονας τῶν τεσσαράκοντα χρόνων, καταβάλλουσαν ἐν τοῖς διορογίσμασιν αὐτῆς νομίσματα οὐκ ὀλίγα, καὶ γέγονε πρὸς αὐτὴν ἡ τῶν τεσσάρων νομισμάτων παρὰ τοῦ ἀναγραφέως ἐπαύξησις, ἥτις καὶ βαρυνθεῖσα τὸ τοιοῦτον τέλος διὰ τὴν τῆς γῆς ὀλιγότητα, καὶ διὰ τοῦτο προσεθήκαμεν ἐν τῷ πρακτικῷ τῆς μονῆς περὶ αὐτῆς ἐπανάληψιν, ἐκχωρήσαντες αὐτὴν κατὰ τὴν τοιαύτην γῆν ἀπεριχλονήτως, καθὼς καὶ τὸ πρότερον κατὰ τὴν παλαιὰν αὐτῆς δεσποτείαν καὶ νομήν. ἐπὶ τούτῳ γὰρ τὴν παροῦσαν ἡμετέραν διάκρισιν πρὸς αὐτὴν καὶ τὸ μέρος αὐτῆς πεποιήκαμεν. μηνὶ ὀκτωβρίῳ ἰνδ. ιε' τοῦ ͵ϛφγ' ἔτους †.

† Καὶ τοῦτο ἀπὸ τοῦ συμφώνου τοῦ Πόθου ὑπὲρ τῶν χωραφίων τῶν ἥμισυ τοῦ δημοσίου ὀφείλει ἐπιτελεῖν ἕκαστον χρόνον νομίσματα προτιμώμενα δύο καὶ τοῦτο ἀπὸ τοῦ πρακτικοῦ τοῦ Κωνστομάρη τὰ διδόμενα παρὰ τοῦ αὐτοῦ βεστιαρίτου .... τέσσαρα πρὸς τὸν Βλατερὸν ὑπὲρ ἐπιτελείας τῶν γονικῶν αὐτοῦ χωραφίων ζευγαρίου δίμοιρον †.

CVI. 6716—1207, mense novembri, ind. XI.

Gunaropuli Basilio Blatero campos vendunt.

† Ἕτερον πρατήριον τοῦ Γουναροπούλου Μιχαὴλ ὑπὲρ τῶν χωραφίων τοῦ ποταμοῦ τοῦ Δημοσιάτου †.

Σίγνα· Νικολάου τοῦ Γουναροπούλου, Μιχαὴλ τοῦ Γουναροπούλου καὶ Ἰωάννου τοῦ αὐταδέλφου αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. Μιχαὴλ ὁ Γουναρόπουλος καὶ Ἰωάννης, ὁ τούτου αὐτάδελφος, ἔτι δὲ Νικόλαος, ὁ τούτων ἐξάδελφος, ὁ υἱὸς τοῦ ἀποιχομένου ἐκείνου Βασιλείου τοῦ Γουναροπούλου κ. τ. ἑ. τὴν

παροῦσαν κ. τ. ἑ. πρᾶσιν . . . . ποιοῦμεν . . . . πρὸς σὲ, τὸν μεγαλο-
δοξότατον οἰκεῖον, βεστιαρίτην τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέν-
του καὶ βασιλέως, κῦριν Βασίλειον τὸν Βλατερὸν, καὶ διὰ σοῦ πρὸ
τὸ ὑπὸ σὲ μέρος ἅπαν κ. τ. ἑ. καθὼς δηλωθήσεται· καὶ γὰρ τὰ
πέραθεν τοῦ Δημοσιάτου ποταμοῦ χωράφια τὰ γονικόθεν ἡμῖν δια-
φέροντα, εἰς ἃ καὶ διάφοροι ἀμφισβητήσεις καὶ μάχαι γεγόνασι μετὰ
τοῦ ἁγιωτάτου μητροπολίτου ἐκείνου Σμύρνης, κυροῦ Κωνσταντίνο
τοῦ Παρθένου, τὰ τέταρτα τούτων ἠβουλήθημεν ἐκποιήσασθαι, κα
λόγων μέσον ἡμῶν γενομένων περὶ τῆς τούτων τιμῆς, σοῦ τοῦ ῥηθέν-
τος Βλατεροῦ θελήσαντος ἐξωνήσασθαι ταῦτα, περιεστήσαμεν αὐτὴ
ἐκ συγκαταθέσεως τῶν ἀμφοτέρων εἰς νομίσματα . . . τεσσαράκοντα, λα-
βόντες μετρητῶς εἰς τὰς χεῖρας ἡμῶν . . . . τὴν παροῦσαν πρᾶσι
πρὸς σὲ ποιούμεθα καὶ περιιστάμενοι τῆς τοιαύτης τετάρτης μερίδο
τῶν χωραφίων αὐτῶν διὰ κατοχὴν καὶ νομὴν ἐκχωροῦμέν σοι ἐπιλα-
βέσθαι αὐτῶν καὶ χρᾶσθαι κ. τ. ἑ. ἐπερωτώμενοι δὲ μᾶλλον παρὰ
σοῦ ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα τοῦ μὴ ἐναλλάξαι ἢ ἀθετῆσα
ἢ πρὸς τὸν δεφενσίωνα ἀμελῆσαι ἑνὸς καὶ μόνου ῥήματος ἢ πλέο
τίμημα ἐπιζητήσωμεν διπλασιασμοῦ ἢ αὐτοῦ δὴ τοῦ ὑπερθεματισμοῦ
καὶ ὑπ' αὐτοῦ τοῦ διπλασίου δικαίου ἢ ἄλλην τινὰ δικαιολογίαν ἐπι-
σύρωμεν ἐπὶ ἀνατροπῇ καὶ ἀθετήσει τῆς παρούσης πράσεως ἡμῶν
μὴ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλὰ πρὸ δίκης ἁπάσης καὶ δίχα
δόσεως λιβέλλου καὶ δικαστικῆς ἀκολουθίας καὶ παντὸς ἑτέρου δικα-
στικοῦ διατάγματος μόνῃ τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμῶν ἐγγράφου
ἵνα ἐπανέρχωνται πρὸς σὲ, ἃ ἐλάβομεν νομίσματα τὴν τούτων τιμὴ
καὶ ἃς ἐπ' αὐτὰ καταβαλέσθαι ἐξόδους ἐπὶ τὸ διπλάσιον. τοῦ γὰρ
παρόντος ἡμῶν ἐγγράφου ἀρκεῖν σοι ὀφείλοντος καὶ ἀντὶ σωματικῆς
παραδόσεως καὶ εἰς σχολὴν νομικὴν, λόγῳ δὲ προστίμου τὸ ἐκ συμ-
φωνίας καὶ ἐκ κοινῆς ἡμῶν ἀρεσκείας τῶν ἀμφοτέρων νομίσματα
. . . λίτρας τρεῖς καὶ πρὸς τὸ βασιλικὸν βεστιάριον τὸ τούτων τρίτο
κ. τ. ἑ. μηνὶ νοεμβρίῳ ἰνδ. ια'. ἐνώπιον τῶν ὑπογραφόντω
μαρτύρων τοῦ ,ςφις' ἔτους †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐ-
θέντου καὶ βασιλέως, Ἰωάννης ὁ Λαγκιδᾶς, παρὼ
ἐπὶ τῇ παρούσῃ πράσει, ὡς τὸ ὕφος δηλοῖ, μαρτυ-
ρῶν ὑπέγραψα †.

† Ὁ εὐτελὴς ἱερεύς, κληρικὸς et eadem formula: ὁ ἱερεὺς καὶ κληρικὸς Κωνσταντῖνος ὁ Χαρτᾶς, ὁ ἱερεὺς καὶ κληρικὸς Μιχαὴλ ὁ Ἀδαμάντης, Θεοφύλακτος ἀναγνώστης καὶ κληρικὸς ὁ Ξανθός, ὁ ἱερεύς, σκευοφύλαξ καὶ νομικὸς Σμύρνης Κωνσταντῖνος ὁ Ξανθὸς .... γράψας κ. τ. ἑ.

CVII. 6737—1228, mense decembri, ind. II.

Georgius, metropolita Smyrnae, controversiam diiudicat ortam inter monasterium et Prinobaritas.

† Σημείωμα ἐμμάρτυρον τοῦ μητροπολίτου Σμύρνης χάριν τῆς διενέξεως, ἧς εἶχον μετὰ τῶν Πρινοβαριτῶν ὑπὲρ τοῦ χωραφίου τοῦ Σπανοῦ †.

† Μηνὶ δεκεμβρίῳ ἰνδ. β' ἐπὶ παρουσίᾳ τῶν ἀπὸ χωρίου Πρινοβάρεως εὐλαβεστάτου ἱερέως τοῦ Κομνηνοῦ, τοῦ ἑτέρου ἱερέως, εὐλαβεστάτου τοῦ Βαραζηνοῦ, τοῦ ἐν τῷ αὐτῷ χωρίῳ ἐνεργοῦντος πράκτορος Γεωργίου, τῶν ἀπὸ τοῦ αὐτοῦ χωρίου οἰκοδεσποτῶν, Μιχαὴλ τοῦ Πολιτικοῦ, Γεωργίου τοῦ τῆς Παπάδας, Μιχαὴλ τοῦ Γαρούλη, τοῦ οἰκολόγου Θεοφυλάκτου καὶ ἑτέρων †.

† Ἐξ αἰτήσεως τοῦ πανοσιωτάτου καθηγουμένου τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς ἐπονομαζομένης τῶν Λέμβων, μοναχοῦ κυροῦ Γερασίμου, ἀπεστάλη παρ' ἡμῶν ὁ ἐντιμότατος ἄρχων τῆς καθ' ἡμᾶς ἁγιωτάτης μητροπόλεως, ἱερεὺς καὶ μέγας σακελλάριος, Κωνσταντῖνος ὁ Βαρυπάτης, ἐφ' ᾧ τηρῆσαι τὴν μέσον τῆς ὑπ' αὐτὸν μονῆς καὶ τῶν Πρινοβαριτῶν διὰ τοῦ χωραφίου τοῦ οὕτω πως ἐπονομαζομένου τοῦ Σπανοῦ καὶ μέσον τῶν δικαίων τῶν χωραφίων τῆς Βάρης, τῆς ὑπὸ τὴν βασιλικὴν μονὴν οὔσης ὑπόθεσιν, καὶ ἐπεὶ ἐκεῖσε οὗτος ἐνεδήμησε, προσεκαλέσατο τοὺς ἄνωθεν ἱερεῖς καὶ οἰκοδεσπότας, ἀλλὰ καὶ τὸν πράκτορα χωρίου τῆς Πρινοβάρεως καὶ ἀπὸ τοῦ χωρίου Βάρης τῆς ὑπὸ τὴν βασιλικὴν μονὴν οὔσης, ὡς δεδήλωται, τόν τε μοναχὸν Μελέτιον τὸν Χαμοκριτὴν καὶ λοιποὺς οἰκοδεσπότας, ὃς δὴ Χαμοκριτὴς εἶπε μετὰ ἀφορισμοῦ γινώσκειν, ἀρχαῖος ὤν, ὅτι ἦν ποτὲ τὸ δηλωθὲν χωρίον ἡ Βάρη τῆς ἐν τῇ πόλει σεβασμίας βασιλικῆς μονῆς τοῦ Παντοκράτορος Σωτῆρος Χριστοῦ, καὶ ἀπεστάλη παρὰ τῆς ἁγίας ἐκείνης μονῆς μοναχὸς εἰς τὸ τηρῆσαι καὶ ἀπογράψασθαι τὰ ὑπὸ τὸ χωρίον Βάρης χωρά-

φια καὶ λοιπὰ ἐπὶ τῆς βασιλείας τοῦ ἀοιδίμου βασιλέως, κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ εὗρεν ὁ δηλωθεὶς μοναχὸς τὸ τοιοῦτον χωράφιον ἐντὸς ὂν τῶν χωραφίων τῆς Βάρης καὶ παρὰ τῶν ἄνωθε Πρινοβαριτῶν νεμόμενον βιαίως, μετὰ δὲ πάντων τῶν ὑπὸ τὴν Βάρη ἦν ἀνακαλούμενος καὶ αὐτὸ τὸ ἐπιλεγόμενον χωράφιον τοῦ Σπανοῦ ὡς δ' οὐδὲν ἤνυεν, εἰσελθὼν ἐν τῇ πόλει ὁ τὴν Βάρην τῷ τότε κρατῶν μοναχὸς ἀναφορὰν ἐποιήσατο περὶ πάντων, ἀλλὰ δὴ καὶ περ τοῦ τοιούτου χωραφίου πρὸς τὸν καθηγούμενον τῆς μονῆς τοῦ Παντοκράτορος, καὶ ὃς πρὸς τὸν βασιλέα τὸν ἅγιον ἀνέδραμε, καὶ ὁρισμὸ ἐπορίσατο πρὸς τὸν ἐνεργοῦντα τότε τὸ δουκάτον τοῦ Θρακησίου Κυριακούτζικον, ἀναψηλαφῆσαι καὶ τηρῆσαι τὴν τοῦ χωραφίου ὑπόθεσι καὶ ἀποκαταστῆσαι ἐν αὐτῷ τὸν δικαιούμενον, ὡς δὲ ἐνεδήμησε κα τοὺς Πρινοβαρίτας εἵλκυσε δεῖξαι, ὅπως κατέχουσι τὸ δηλωθὲν χωράφιον ἢ ἐξ ἀγορασίας ἢ ἐκ παραδόσεως δουκικῆς ἢ ἀπὸ χαριστική ἢ ἄλλως ὡς οἱ κατέχοντές τινα ἀκίνητα, οὐκ ἠδυνήθησαν δεῖξαι ἢ ἐμφανίσαι τι δικαίωμα ἐπ' αὐτῷ, ἀλλ' ἢ μόνῳ δυναστικῷ τῷ τρόπῳ καὶ βιαίᾳ χειρὶ ἐκράτησε καὶ ἐζημίωσε τοὺς Πρινοβαρίτας, καὶ ἦ ζητῶν καὶ τὰς συνεισφορὰς τοῦ τοιούτου χωραφίου, καὶ ἀποσπάσα τοῦτο ἀπὸ τῶν Πρινοβαριτῶν κἀκεῖθεν αὐτοὺς ἐκδιώξας ἀποκατέστησ τοῦτο εἰς τὸ δηλωθὲν χωρίον τὴν Βάρην τὴν ὑπὸ τὴν μονὴν τῷ τότ οὖσαν τοῦ Παντοκράτορος, νῦν δὲ οὖσαν ὑπὸ τὴν βασιλικὴν μονὴ τῶν Λέμβων, καὶ ἦμεν ἔκτοτε νεμόμενοι αὐτὸ μέχρι τοῦ νῦν. παρατηρήσαντες δὲ καιρὸν τῆς τοῦ καθηγουμένου ἡμῶν ἀποδημίας (ἦ γὰρ οὗτος ἀποδημῶν διά τινας ἀναγκαίας καὶ ἀπαραιτήτους τῆς μονῆς δουλείας) δυναστείᾳ χρησάμενοι οἱ Πρινοβαρῖται εἰσῆλθοσα ἀνάρχως μετὰ τοξαρίων καὶ ἁρμάτων ὅτι πολλῶν καὶ κατέσπειρα μετὰ τῶν ὅλων ζευγαρίων τοῦ χωρίου ἐν μιᾷ ἡμέρᾳ τὸ δηλωθὲν χωράφιον. ταῦτ' ἔφησεν ὁ παλαιὸς χαμοκριτὴς ἐνώπιον τῶν Πρινοβαριτῶν, ἦσαν δὲ συμμαρτυροῦντες τούτῳ καὶ οἱ λοιποὶ ἅπαντες Βαρηνοί, οἱ δὲ ἄνωθεν Πρινοβαρῖται διισχυρίζοντο πρὸς ταῦτα, ἦσαν δὲ ἅπαντες λέγειν μιᾷ φωνῇ, ὅτι τὸ τοιοῦτον χωράφιον οἴδαμεν πρὸ χρόνω μακρῶν συμπαροίκου ἡμῶν εἶναι τοῦ ἐπιλεγομένου Σπανοῦ· ἦν γά ποτε τῇ Πρινοβάρει πάροικος ἐπιλεγόμενος Σπανός, ἦν δὲ καὶ τῇ Βάρει τῷ αὐτῷ ὀνόματι πάροικος ἀκούομενος, ὡς δὲ τῆς τοῦ ὀνόματος φήμης μέσον καὶ ἀμφοτέρων τῶν μερῶν ἐνέπεσε καὶ ἦν ὁ λόγο

ὁ περὶ ἀμφοτέρων τῶν Σπανῶν πολύς, ἔλυσαν οἱ ἄνωθεν Πρινοβαρῖται ἐνώπιον καὶ τοῦ πράκτορος αὐτῶν τὸ ἀμφισβητούμενον, εἰπόντες ἐκ συνθήματος μιᾷ φωνῇ καὶ γλώσσῃ πρὸς τὸν πανοσιώτατον καθηγούμενον τῆς δηλωθείσης βασιλικῆς μονῆς, τὸν κῦριν Γεράσιμον (ἦν γὰρ καὶ οὗτος ἐκεῖσε παρρησιαζόμενος ἐπὶ τῇ διαδικασίᾳ τοῦ ῥηθέντος χωραφίου μετὰ καί τινων μοναχῶν τῆς ὑπ' αὐτὸν μονῆς) ὡς εἴπερ, κῦρ ἡγούμενε, σὺ αὐτὸς πεζεύσων ἰδίαις χερσὶν ἀποσπάσεις τὰς στήλας τοῦ τοιούτου χωραφίου, διὰ γνωρίμων γὰρ ἦν λαβράτων γύρωθεν περιοριζόμενον τὸ τοιοῦτον χωράφιον, ἀπολύομεν τοῦτο, καὶ ὁ κρατῶν αὐτὸ αὐδεὶς ἔσται ἐξ ἡμῶν. ταῦτ' εἶπον καὶ εὐθὺς ὁ ἀπὸ τοῦ αὐτοῦ χωρίου τῆς Πρινοβάρεως οἰκοδεσπότης ὁ Πολιτικὸς λεγόμενος μετακομίσας λισκάριον δέδωκεν εἰς χεῖρας τῷ καθηγουμένῳ οὕτως εἰπών· λάβε τοῦτο, καὶ εἰ τὰς στήλας ἀφέλεις, ἀφιστάμεθα τοῦ τοσούτου χωραφίου. ὁ δὲ λαβὼν ἰδίαις· χερσὶν ἀπὸ τοῦ Πολιτικοῦ τὸ λισκάριν καὶ εἰπών, ὅτι· ὅλοι τὸ τοιοῦτον ῥῆμα ἐστὲ λέγοντες, εὐθὺς καὶ ὁ Κομνηνὸς ἱερεὺς καὶ οἱ λοιποὶ οἰκοδεσπόται, ὡς ἔφημεν, οἱ Πρινοβαρῖται καὶ αὐτὸς ὁ πράκτωρ αὐτῶν εἶπον στοιχεῖν τῇ τοιαύτῃ φωνῇ· ὁ δὲ καθηγούμενος παρουσίᾳ πάντων ἀνέσπασε τρεῖς στήλας τοῦ τοιούτου χωραφίου, ὡς δεδήλωται. εἰς παράστασιν οὖν τῆς τοιαύτης πράξεως καὶ ἀποσόβησιν καὶ ἐκδίωξιν τῶν Πρινοβαριτῶν ἀπὸ τοῦ δηλωθέντος χωραφίου καὶ δικαίωσιν καὶ ἀποκατάστασιν τῆς μονῆς ἡ παροῦσα παρ' ἡμῶν ἐγεγόνει σημείωσις. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις τοῦ ,ςψλζ' ἔτους †.

† Ὁ μητροπολίτης Σμύρνης Γεώργιος †.

CVIII. 6740—1225, mense augusto, ind. V.

Monachus Nicander Gunaropulus Basilio Blatero campos vendit.

† Τὸ πρατήριον ἔγγραφον τοῦ μοναχοῦ Νικάνδρου τοῦ Γουναροπούλου χάριν τῶν πέραν τοῦ Δημοσιάτου ποταμοῦ χωραφίων †.

Σίγνον Νικάνδρου μοναχοῦ τοῦ Γουναροπούλου.

† Ἐν ὀνόματι κ. τ. ἑ. Νίκανδρος μοναχὸς ὁ Γουναρόπουλος κ. τ. ἑ. ὁμολογῶ ἐνώπιον τοῦ θεοῦ καὶ τῶν πανσεβάστων οἰκειοτάτων τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ Σμυρναίων ἀρχόν-

των, τοῦ τε Φαγομόδη κυροῦ Κωνσταντίνου, τοῦ καστροφύλακος κυροῦ Θεοφυλάκτου τοῦ Βραχιονίτου, τοῦ κυροῦ Ἰσαακίου τοῦ Λεβούνη, τῶν βασιλικῶν βεστιαριτῶν, τοῦ Καπνοῦ κυροῦ Ἀλεξίου, τοῦ Καδιανοῦ κυροῦ Νικήτα, τοῦ αὐταδέλφου αὐτοῦ, κυροῦ Μιχαήλ, ὅτι τὰ χωράφια τοῦ Δημοσιάτου ποταμοῦ, ἅτινα κατεκράτησεν ὁ μακαρίτης μητροπολίτης Σμύρνης, ὁ Παρθένης κῦρις Κωνσταντῖνος, τὴν ὅλην μου μερίδα ἐξ ἀκεραίου, καλῇ τῇ πίστει καὶ χωρίς τινος βίας ἢ ὑποθέσεως οἱασδήτινος διέπρασα πρὸς τὸν ἀποιχόμενον ἐκεῖνον κῦριν Βασίλειον τὸν Βλατερὸν, καὶ τὸ πρατήριον ἔγγραφον τὸ γεγονὸς παρ' ἐμοῦ τε καὶ τοῦ μέρους μου πρὸς τὸν διαληφθέντα Βλατερὸν ἐκεῖνον κῦριν Βασίλειον, προτροπῇ ἡμετέρᾳ γραφὲν παρὰ τοῦ χρηματίσαντος ἀρχιερέως Σωσάνδρων, κυροῦ Κωνσταντίνου τοῦ Ξανθοῦ, καὶ τὰ ἐν αὐτῷ δηλούμενα εἴκοσι . . . σῶα καὶ ἀνελλιπῆ ἔλαβον ἀπὸ τοῦ Βλατεροῦ καὶ τοῦ μέρους ἐκείνου καὶ ὡς αὐθέντης καὶ κληρονόμος καὶ μὴ ἔχειν οἱῳδήτινι προσώπῳ ἀναγκαῖον εἰς τὰ τοιαῦτα χωράφια, οὕτω διέπρασα ταῦτα. καὶ ἠθέλησε καὶ ἔτι ὁ γαμβρὸς τοῦ Βλατεροῦ ἐκείνου, ὁ Ῥαβδοκανάκης κῦρις Ἰωάννης, καὶ ἔτι δήλη γενέσθαι παρ' ἡμῶν ἡ τῶν χωραφίων ὁμολογία, ἣν καὶ ποιήσας καθαρὰν ἐνώπιον τοῦ θεοῦ ἐπιδέδωκα. πρὸς ἐπὶ τούτοις ὁμολογῶ, ὅτι καὶ οἱ ἐξάδελφοί μου οἱ Γουναρόπουλοι, ὁ Μιχαὴλ καὶ ὁ Ἰωάννης, ἤκουον ἐκ τοῦ στόματος αὐτῶν μετὰ τὸ διαπρᾶσαι ἐμὲ τὰ τοιαῦτα χωράφια πρὸς τὸν Βλατερὸν, ὅτι ἤδη καὶ ἡμεῖς μέλλομεν διαπρᾶσαι ταῦτα πρὸς τὸ τοιοῦτον πρόσωπον, καὶ εἰς δήλωσιν τῆς τοιαύτης ὁμολογίας τὴν παροῦσαν μαρτυρίαν ἐξεθέμεθα. μηνὶ αὐγούστῳ ἰνδ. ε' τοῦ ςψμ' ἔτους ἐνώπιον τῶν ὑπογραφόντων μαρτύρων †.

† Ὁ μέγας οἰκονόμος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Λέων ὁ Ἀργρὸς, παρὼν ἐπὶ τῇ παρούσῃ ὁμολογίᾳ μαρτυρῶν ὑπέγραφα †. Et eadem formula: ὁ ἱερεὺς, νομικὸς καὶ πρωτονοτάριος, Θεόδωρος ὁ Ἀστραγαλῖνος, ὁ ἱερεὺς καὶ κληρικὸς Λέων ὁ Σκορτζίδης, ὁ γραφεὺς τοῦ ὕφους ταπεινὸς διάκονος ὁ Καλοσινηρὸς Νικήτας ὁ καὶ σημειούμενος δικαίῳ τοῦ παναγιωτάτου αὐθέντου καὶ δεσπότου μου, τοῦ πανυπερτίμου ἀρχιεπισκόπου Σμύρνης, κυροῦ Γεωργίου κ. τ. ἑ.

CIX. 6733—1225, mense martio, ind. XIII.

Eudocia Gunaropula monasterio campum vendit.

† Τὸ πρατήριον ἔγγραφον Εὐδοκίας τῆς συμβίου ἐκείνου τοῦ Γουναροπούλου καὶ τοῦ υἱοῦ αὐτῆς καὶ τῆς θυγατρὸς καὶ τῆς συμβίου τοῦ Γουναροπούλου ἐκείνου Μιχαὴλ χάριν τοῦ χωραφίου τοῦ ἐν τῇ τοποθεσίᾳ διακειμένου τοῦ Λιλίδη †.

Σίγνα Εὐδοκίας, τῆς συμβίου ἐκείνου τοῦ Γουναροπούλου, Μιχαήλ, τοῦ υἱοῦ αὐτῆς, Εἰρήνης, τῆς θυγατρὸς αὐτῆς, Μαρίας, τῆς συμβίου ἐκείνου Μιχαὴλ τοῦ Γουναροπούλου.

† Ἐν ὀνόματι κ. τ. ἑ. οἱ ἄνωθεν . . . τὴν παροῦσαν κ. τ. ἑ. πρᾶσιν κ. τ. ἑ. ποιοῦμεν . . . πρὸς σὲ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, κῦριν Γεράσιμον τὸν Ὀφικίανον κ. τ. ἑ. καθὼς δηλωθήσεται· καὶ γὰρ τὸ χωράφιον ἡμῶν τὸ ὂν καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τῇ ἐπιλεγομένῃ τοῦ Μλίδη τὰ καὶ πλησίον τῶν ἀμπέλων Θεοδώρου τοῦ Μεγαλωνᾶ ὡσεὶ μοδίων τεσσάρων μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ βουληθέντες ἐκποιήσασθαι κ. τ. ἑ. καὶ λόγων . . . γενομένων περὶ τοῦ τιμήματος αὐτοῦ ὕστερον περιεστήσαμεν . . . . ὑπέρπυρα τέσσαρα, καὶ λαβόντες κ. τ. ἑ. ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτοῦ κ. τ. ἑ. ἐπερωτώμενοι ὁμολογοῦμεν . . . . τοῦ μὴ εἰς ἀνατροπὴν . . . . χωρηθῶμεν . . . . ἀλλὰ πρὸ δίκης πάσης κ. τ. ἑ. ἵνα ἐπανέρχωνται τὰ τοιαῦτα ὑπέρπυρα, τὸ τίμημα τοῦ τοιούτου χωραφίου, καὶ ἃς ἔχει καταβαλέσθαι ἐπ' αὐτῷ ἐξόδους ἐπὶ τὸ διπλάσιον κ. τ. ἑ. λόγῳ δὲ προστίμου παρασχεῖν ὀφείλομεν πρὸς σὲ καὶ ἅπαν τὸ μέρος τῆς μονῆς τὸ τοιοῦτον τίμημα καὶ πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα τριάκοντα καὶ ἓξ κ. τ. ἑ. μηνὶ μαρτίῳ ἰνδ. ιγ' τοῦ ,ϛψλγ'. ὀφείλει δὲ τελεῖν ἡ μονὴ πρὸς ἡμᾶς κατ' ἔτος ὑπὲρ ἐπιτελείας νομίσματα . . . δ' †.

Σίγνα μαρτύρων· Στεφάνου τοῦ Τζυκαλᾶ, Ἰωάννου τοῦ Βλατεροῦ, Ξένου τοῦ Λεγᾶ, Θεοδώρου τοῦ Μεγαλωνᾶ.

† Θεόδωρος, ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, ὁ

Κάλλιστος παρὼν καὶ αὐτὸς καὶ μαρτυρῶν γράφας ὑπέγραφα †.

CX. 6744—1236, mense aprili, ind. IX.

Ioannes Rhabdocanaces monasterio campum vendit.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Ῥαβδοκανάκη, τῆς γυναικὸς αὐτοῦ καὶ τῆς πενθερᾶς χάριν τῶν χωραφίων τῶν ὄντων εἰς τὸ Δημόσιον †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἰωάννης ὁ Ῥαβδοκανάκης οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνα· Ἄννης τῆς συζύγου αὐτοῦ καὶ Μαρίας τῆς πενθερᾶς αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Ἰωάννης ὁ Ῥαβδοκανάκης, καὶ Ἄννα ἡ γνησία σύζυγος τούτου, ὁ μὲν οἰκειοχείρως προτάξας, ἡ δὲ αὐτοχείρως τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐγχαράξασα τὴν παροῦσαν συμβίβασιν τῶν κάτωθεν δηλωθησομένων χωραφίων . . . . ποιοῦμεν . . . . πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου ἡμῶν θεομήτορος τῆς Λεμβιωτίσσης, κῦριν Παῦλον κ. τ. ἑ. καὶ γὰρ τὰ χωράφια τὰ ὄντα καὶ διακείμενα ἐν τῇ τοποθεσίᾳ τοῦ Δημοσίου καὶ ἀπὸ προικὸς περιελθόντα ἡμῖν τοῖς ὁμοζύγοις ἐξ ἀγορᾶς περιελθόντα τοὺς αὐθέντας καὶ γονεῖς ἡμῶν, ἐμοῦ δὲ τοῦ Ῥαβδοκανάκη πενθεροῦ, ἤγουν ἀπὸ τῶν Γουναροπούλων, καθὼς τὰ τῶν τοιούτων χωραφίων πρατήρια ἔγγραφα πλατυκώτερον παρίστησι τὰ τούτων γνωρίσματα καὶ τὸν πλησιασμὸν αὐτῶν, εἴχομεν δὲ αὐτὰ ἡμεῖς οἱ ὁμόζυγοι ἀπερικόπως καὶ ἐνεμόμεθα ὡς δεσπόται αὐτῶν, ὅτι δὲ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς ἐδωρήσατο τὸ χωρίον τὴν Βάρην τῇ παρὰ τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτοῦ ἐκ νέου ἀνεγερθείσῃ εἰρημένῃ μονῇ τῶν Λέμβων καὶ κατεκράτησας σύ, ὁ πανοσιώτατος καθηγούμενος, κῦρ Παῦλος, ὡς δικαιολογούμενος παρὰ πάντα δίκαιον λόγον, κατακρατοῦμεν ἡμεῖς οἱ ὁμόζυγοι τὰ τοιαῦτα χωράφια, καὶ ὅτι οὐδὲ οἱ αὐθένται καὶ γονεῖς ἡμῶν ἐξωνήσαντο αὐτὰ ἀπὸ τῶν Γουναροπούλων

ἐκείνων, ἀλλὰ βιαίᾳ χειρὶ κατεκράτουν τῶν τοιούτων χωραφίων καὶ ἀδίκως ἐπροικίσθησαν ἡμῖν. καὶ ἤλθομεν περὶ τούτων εἰς διαφόρους δικαιολογίας καὶ κρίσεις καὶ προσκυνητὰ προστάγματα διάφορα ἐπορισάμεθα περὶ τῶν τοιούτων χωραφίων καὶ ἀποκατάστασιν τοῦ τότε διέποντος τὴν δουκικὴν ἀρχὴν τοῦ θέματος τοῦ Θρακησίων, κυροῦ Ἰωάννου Δούκα τοῦ Κουρτίκη, καὶ ἕτερα δικαιώματα οὐκ ὀλίγα, καὶ αὐτὰ τὰ πρατήρια ἔγγραφα ἐνεμφάνισα, καὶ εἴχομεν καὶ εἰς τὸ ἑξῆς ἀμφότεροι καθεκάστην ὀχλήσεις καὶ κρίσεις καὶ μάχας. εἰς περιαίρεσιν οὖν παντὸς σκανδάλου συνηρέσθημεν μετὰ σοῦ, τοῦ εἰρημένου καθηγουμένου, καὶ τῶν ὑπὸ σὲ μοναχῶν, καὶ ἐνεχειρίσαμεν τῇ σῇ ἁγιότητι καὶ τὰ προσκυνητὰ προστάγματα καὶ τὴν δουκικὴν ἀποκατάστασιν καὶ αὐτὰ τὰ πρατήρια ἔγγραφα καὶ ἁπλῶς, εἴ τι δίκαιον εἴχομεν ἐπὶ τοῖς τοιούτοις χωραφίοις, καὶ συμφωνοῦμεν καὶ ἀσφαλιζόμεθα διὰ τοῦ παρόντος ἡμῶν συμβιβαστικοῦ ἐγγράφου τοῦ ἔχειν τὰ τοιαῦτα χωράφια ἡ ῥηθεῖσα ἁγία μονή, μέχρις ἂν τὸ περίγειον συνίσταται καὶ ὁ ἥλιος τὸ πᾶν ἐφορᾷ· καὶ ἐάν ποτε τῶν καιρῶν εὑρεθῶμεν ἢ ἡμεῖς οἱ ὁμόζυγοι ἢ ἕτερός τις ἀπὸ τῶν κληρονόμων ἡμῶν καὶ διαδόχων ὄχλησίν τινα ἐπάξαι τῇ εἰρημένῃ μονῇ ἕνεκα τῶν τοιούτων χωραφίων ἢ οἱανδήτινα ὄχλησιν ἢ δικαίωμα ἐμφανίσῃ ἢ ἴσον ἢ κύριον, ἵνα ἔχῃ τὸ ἄπρακτον καὶ ἀβέβαιον, πρὸς ἐπὶ τούτοις καὶ δόσεως προστίμου ὑποκείμενοι ὑπέρπυρα λίτραν μίαν, διὰ τὸ καθαρῶς διελύθημεν καὶ συνεβιβάσθημεν καὶ ἐλάβομεν καὶ ἀπὸ τῶν χειρῶν σου, τοῦ πανοσιωτάτου καθηγουμένου, ὑπέρπυρα ἑξάγια πέντε, διὰ τὸ καὶ ἐνώπιον τοῦ περιποθήτου αὐταδέλφου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, πανευγενεστάτου Κομνηνοῦ κυροῦ Δημητρίου τοῦ Τορνίκη, κριθῆναι ἡμᾶς μετά τε τοῦ προδηλωθέντος καθηγουμένου καὶ πάντων τῶν τῆς μονῆς μοναχῶν, ἢ ἵνα ἐπομόσῃ τὸ μέρος τοῦ Βλατεροῦ ἢ τὸ μέρος τῆς μονῆς περὶ τῶν τοιούτων χωραφίων. καὶ διὰ τὸ μὴ τελεσθῆναι τὸν ὅρκον ἀπό τινος τῶν μερῶν συνηρέσθημεν καλοθελῶς καὶ ἐλάβομεν ἀπὸ τοῦ μέρους τῆς μονῆς τὰ πέντε ὑπέρπυρα, καὶ ἕξει ἀπὸ τοῦ νῦν κατὰ νομὴν τῷ μέρει τῆς μονῆς εἰς τὰ τοιαῦτα χωράφια ἄδειαν ποιεῖν ἐπ' αὐτοῖς τὸ βουλητέον. μηνὶ ἀπριλλίῳ ἰνδ. θ' ἔτους ͵ςψμδ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, προκαθήμενος Σμύρνης Ἰω-

θήσεται. ἰδοὺ διὰ τοῦ παρόντος ἡμῶν γράμματος προσενέγκαμεν πρὸς τὴν σεβασμίαν μονὴν τὸ χωράφιον τὸ γονικόθεν διαφέρον ἡμῖν τὸ ἐν τῇ θέσει τοῦ Μεμανιωμένου καὶ καταπλησίον τῶν Παλατίων, τὸ καὶ ἐπιλεγόμενον τῆς Ἁγίας Παρασκευῆς, ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας, ὃ δὴ καὶ διακαθέξει ἀπὸ τῆς σήμερον ἡ δηλωθεῖσα μονὴ κ. τ. ἑ. ἡμεῖς δὲ οὐ τραπώμεθα πώποτε εἰς ἀθέτησιν τῶν ὧν ὑπετυπώσαμεν, μήπως κατακριθῶμεν ἱερόσυλοι ὡς ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα κ. τ. ἑ. ζημιωθῶμεν δὲ καὶ ὡς πλεονέκται καὶ ἀθετηταὶ τῆς γεγονυίας παρ' ἡμῶν πράξεως κατὰ θεοφιλῆ σκοπὸν ὑπέρπυρα τριάκοντα ἓξ κ. τ. ἑ. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν τῆς προσαγωγῆς ἡμῶν γράμμα καὶ ἐπεδόθη τῷ μέρει τῆς διαληφθείσης μονῆς ἐνώπιον ἀξιοπίστων μαρτύρων εἰς βεβαίωσιν καὶ ἀσφάλειαν αἰωνίζουσαν. μηνὶ σεπτεβρίῳ ἰνδ. θ' τοῦ ‚ςφπ' ἐννάτου ἔτους †.

† Ὁ πριμμικήριος τῶν ταβουλλαρίων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, Νικόλαος ὁ Φιλοκανηγίτης, παρὼν ἐπὶ τῇ παρούσῃ φανερᾷ καὶ καθαρᾷ προσενέξει καὶ αὐτὸς μαρτυρῶν καὶ γράφας ὑπέγραφα †.

CII. Sine anno, mense novembri, ind. VII.

Iudex exercitus Chilas controversiam diiudicat ortam inter monasterium et Comnenum Branam.

† Τὸ κρίσιμον γράμμα τοῦ κριτοῦ τοῦ φοσσάτου, τοῦ Χειλᾶ, χάριν ὧν εἶχεν ἡ μονὴ διενέξεις μετὰ τοῦ Κομνηνοῦ τοῦ Βρανᾶ †.

† Καὶ τοῖς μέρεσιν ἀμφοτέροις, τοῦ τε πανευγενεστάτου Κομνηνοῦ τοῦ Βρανᾶ κυροῦ Μιχαὴλ καὶ τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβων, οὐκ ὀλίγαι διενέξεις καὶ διαμάχαι γεγόνασιν, ὡς ἂν ἐντεῦθεν καὶ ἀνθρώπους μικροῦ κινδυνεῦσαι, ἐπεὶ παρ' ἀλλήλων καὶ πρὸς ἄλληλα τὰ μέρη καὶ τόξα καὶ βέλη ἐνετάθησαν καὶ ἐπέμφθησαν, ἡ δὲ διένεξις τούτοις ἐτύγχανε περὶ γῆς, ἐπεὶ δὲ καὶ πρὸς ἡμᾶς καὶ ἀμφότερα τὰ μέρη παρεγένοντο καὶ ἑκάτερος ἀδικεῖσθαι παρὰ θατέρου μάλιστα διετείνοντο, δεῖν διέγνωμεν ἐπιστῆναι τοῖς τόποις καὶ τὰ τούτων δικαιώματα ἀκριβῶς τηρῆσαι καὶ οὕτω τὴν ἀμφοτέρων λῦσαι διένεξιν καὶ εἰρηναίαν πρὸς ἀλλήλους ἔχειν κατάστασιν.

ὅθεν καὶ καταλαβόντες τὸν τόπον μετὰ τῶν εὑρεθέντων ἡμῖν χρησίμων ἀνθρώπων, ξένων τε τοῦ ἐνταῦθα τόπου καὶ τοπικῶν, ἤγουν τῶν ἀπὸ τῶν βασιλικῶν ἀλλαγίων στρατιωτῶν, κυροῦ Μανουὴλ τοῦ Καλοειδᾶ, κυροῦ Κωνσταντίνου τοῦ Φραγγοπούλου, κυροῦ Ἀλεξίου ἱερέως καὶ τοῦ κυροῦ Νικηφόρου τοῦ Βαρδουβίνου, καὶ τὸ τῆς μονῆς δικαίωμα αἰτησάμενοι κατιδεῖν, ἐνεχειρίσθη παραυτίκα ἡμῖν παρά τε τοῦ ὁσιωτάτου καθηγουμένου, κυροῦ Κλήμεντος, τοῦ οἰκονόμου τῆς κατ' αὐτὸν σεβασμίας μονῆς, κυροῦ Ἰγνατίου καὶ ἑτέρων διαφόρων εὐλαβῶν μοναχῶν, τοῦ τε κυροῦ Μάρκου καὶ λοιπῶν, τὸ καθ' ὁρισμὸν βασιλικὸν γεγονὸς τῇ μονῇ πρακτικὸν πρὸ χρόνων ἤδη πεντήκοντα ἐννέα παρὰ τοῦ στρατοπεδαρχεύσαντος τότε ἔν τε τῇ Φιλαδελφείᾳ καὶ τῷ θέματι τῶν Θρακησίων, κυροῦ Μιχαὴλ τοῦ Φωκᾶ, περιποθήτου ὄντος συγγάμβρου τοῦ ἀοιδίμου βασιλέως, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἐν ᾧ μετὰ τῶν ἄλλων περιωρίζετο τὰ χωραφιαῖα τόπια, τά τε νομαδιαῖα καὶ ὄπεργα τὰ πλησίον καὶ γύρωθεν τῶν Παλατίων, ὧν ἡ καταγραφὴ ἔχει οὕτως· ἄρχεται ἀπὸ τῆς παλαιᾶς ὁδοῦ τῆς ἀπὸ τοῦ Πύργου κατερχομένης, κρατεῖ τὸ ἐκεῖσε παρακείμενον ξηρορύακον τὸ καὶ ὡς ἐν σχήματι τάφρου ὂν καὶ πρὸς ἄρκτον ἀποβλέπον, ἐν ᾗ ὁδῷ καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας ἐχούσης γράμματα ὅμοια, ἤτοι ὅρος Λέμβου, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ ἀπέρχεται ἐφ' ἱκανὸν μέχρι καὶ τῆς βασιλικῆς ὁδοῦ τῆς ἀπὸ τοῦ λιβαδίου τῶν Ἀββάδων κατερχομένης, ἐν ᾗ καὶ ἐστήσαμεν στήλην διὰ μαύρης πέτρας τετραγώνου ἐχούσης γράμματα ὅμοια, ἀριστερὰ μὲν ἐῶσα τὰ δίκαια τῶν Σμυρναίων, δεξιὰ δὲ τὰ περιοριζόμενα· ἀπὸ ταύτης στρέφεται πρὸς ἀνατολάς, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ τῆς βασιλικῆς ὁδοῦ, ἀριστερὰ ἐῶσα τὰ δίκαια τῆς ἐν τῇ Σμύρνῃ μονῆς τοῦ Σωτῆρος Χριστοῦ τῆς τοῦ Καμελαυκᾶ ἐπιλεγομένης, δεξιὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ῥυακίου τοῦ ἀπὸ τῆς Ἁγίας κατερχομένου καὶ τοῦ ἄκρου παρακειμένου πετροβούνου, ἐν ᾧ καὶ ἐν μιᾷ τῶν ἐκεῖσε μεγάλων πετρῶν ῥιζιμαίων ἐνεκολάψαμεν καὶ γράμματα ὅμοια· εἶτα ἀπὸ ταύτης στρέφεται πρὸς ἀνατολάς, ἐῶσα δεξιὰ μὲν τὰ δίκαια τοῦ Δερματᾶ καὶ τοῦ Κολελοῦ, καὶ ἀπέρχεται μέχρι τοῦ ῥυακίου τοῦ ἀπὸ τῆς ἁγίας Ἑλένης κατερχομένου. ἀπὸ ταύτου κλίνει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, κρατεῖ τὸ εἰρημένον ῥυάκιον κατ' εὐθεῖαν καὶ ἀπέρχεται μέχρι τῶν χωραφίων τῶν Τραχεινῶν, ἐν ᾧ καὶ στή-

λην ἐστήσαμεν διὰ μαύρης πέτρας ἐχούσης γράμματα ὅμοια. εἶτα στρέφεται πρὸς ἄρκτον, κρατεῖ τὸν αὐτὸν ἀέρα ἐπὶ πολὺ, ἐῶσα ἀριστερὰ μὲν τὰ δίκαια τῶν Σμυρναίων, δεξιὰ τὰ περιοριζόμενα, εἶτα ἔχεται τοῦ αὐτοῦ ἀέρος ἐπὶ πολὺ καὶ ἀπέρχεται μέχρι τῶν χωραφίων τῶν Τραχεινῶν τῶν διαφερόντων τῷ Σμυρναίῳ Μάντει, τῶν καὶ πλησιαζόντων τῷ ἐκεῖσε παρακειμένῳ λιβαδίῳ τῷ καὶ λάκκῳ ἐοικότι, ἐν ᾧ καὶ στήλη διὰ μαύρης πέτρας ἐχούσης γράμματα ὅμοια· ἀπὸ ταύτης ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς δυσμὰς, ὁδεύει ἐφ' ἱκανὸν, κρατεῖ τὴν παλαιὰν ὁδὸν καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ἄκρου τοῦ Ξηροτροχάλου καὶ τῆς ἐκεῖσε παρακειμένης τάφρου, ἐᾷ ἀριστερὰ τὰ δίκαια τοῦ Μάντη, δεξιὰ τὰ περιοριζόμενα· εἶτα γαμματίζει πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς δυσμὰς καὶ ἀπέρχεται μέχρι τῆς παλαιᾶς ὁδοῦ τῆς εἰς τὸν Πύργον ἀπερχομένης, ἐν ᾧ καὶ στήλη μαρμαρίνη πλατεῖα ἔχουσα γράμματα ὅμοια· ἀπὸ ταύτης καὶ αὖθις στρέφεται πρὸς δυσμὰς, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ τῆς παλαιᾶς ὁδοῦ καὶ καταντᾷ, ἔνθα ἤρξατο. ὁ γοῦν περιορισμὸς τῶν ὑπέργων καὶ νομαδιαίων τόπων τῆς μονῆς οὕτω διελαμβάνετο, καὶ ἐν μὲν τοῖς ἄλλοις οὐδεμίαν εἶχε τὴν ἀμφισβήτησιν, ἐν ᾧ καὶ διαλαμβάνει. εἶτα στρέφεται πρὸς ἄρκτον, κρατεῖ τὸν αὐτὸν ἀέρα ἐπὶ πολὺ καὶ ἀπέρχεται μέχρι καὶ τῶν δικαίων τῶν χωραφίων τῶν διαφερόντων τῷ Σμυρναίῳ Μάντει καὶ ἑξῆς ἕως τοῦ Ξηροτροχάλου, οὐκ ὀλίγη τούτοις ἡ ἀμφιβολία καθίστατο, καὶ τὰ γνωρίσματα ἦν ἑκάτερος διερμηνεύων τῶν τόπων ἄλλως καὶ οὐ κατὰ μίαν φωνήν· ἡμεῖς δ' αἰτησάμενοι ἄνδρας εἰς μαρτυρίαν, μηδενὶ τούτων ὑποκειμένους καὶ φιλαλήθεις καὶ τῶν τόπων εἰδήμονας, παρέστησαν ἡμῖν καὶ ἀμφότερα τὰ μέρη ἄνδρα περίπου τὰ ὀγδοήκοντα καὶ πρὸς ἐληλακότα, κλῆσις δὲ αὐτῷ Μιχαὴλ, τὸ δ' ἐπίκλην Βαρύχειρ, ὡς ἂν δὲ τούτοις λυθείη καὶ ἡ διένεξις καὶ εἰρηναῖα εἴη κατάστασις εἰς τὸ ἔμπροσθεν· ἠκούσαμεν γὰρ καὶ τῆς τοῦ θεοῦ ἐκκλησίας διαπρυσίου κήρυκος, Παύλου λέγω τοῦ σκεύους τῆς ἐκλογῆς, ὡς πέρας πάσης ἀντιλογίας εἰς βεβαίωσιν ὁ ὅρκος, ἀνὰ χεῖρας λαβεῖν αὐτὸν τὸν τοῦ κυρίου σταυρὸν αὐτῷ προετρέψαμεν καὶ οὕτως φανεροῦν ἡμῖν αὐτὸν τὰ γνωρίσματα, ἃ τῷ παλαιῷ, ὡς ἔφημεν, διελαμβάνετο δικαιώματι· ἔδειξεν οὖν ἡμῖν αὐτὸς τὰ γνωρίσματα, ἐπεὶ τῷ μακρῷ χρόνῳ αἱ στῆλαι τοῦ τόπου ἐξεβλήθησαν, καὶ νέας ἡμεῖς ἐτάξαμεν τεθῆναι στήλας, ὡς ἐντεῦθεν

γινώσκεσθαι τὰ τοῦ Μάντη χωραφιαῖα καὶ νομαδιαῖα τόπια, ὧν ἐστι δεσπότης ὁ Κομνηνὸς κῦρις Μιχαὴλ ὁ Βρανᾶς, προικόθεν ἔχων αὐτὰ κἀκεῖ τούτοις καὶ προστάγματα καὶ χρυσόβουλλα προσκυνητὰ καὶ τούτων εἶναι δεσπότην αὐτῶν, γινώσκεσθαι δ' αὖθις καὶ τὰ χωραφιαῖα καὶ νομαδιαῖα τόπια τῆς μονῆς τοὺς κατ' αὐτὴν μοναχούς, ἐφ' οἷς ὡσαύτως καὶ παλαιὰ καὶ νέα βασιλικὰ προστάγματα καὶ χρυσόβουλλα καὶ ἀπογραφικὰ ἔχουσι δικαιώματα καὶ τούτων εἶναι τὴν μονὴν δεσπότιν γινώσκεσθαι· εἶναι δὲ δεῖν διακρίνομεν τὴν πλησιάζουσαν ἀμφοτέρους νομαδιαίαν γῆν, ὡς νῦν εὑρισκομένων καὶ τὸ ἑξῆς, ὡς ἐντεῦθεν ἔχειν τὴν νομὴν ἐν αὐτοῖς καὶ ἀμφοτέρων τὰ ζῷα καὶ μηδένα τούτων ἐπ' ἀδείας ἔχειν καλλιεργῆσαι καὶ ὑπεργῶσαι τὴν εὑρισκομένην ἀρτίως νομαδιαίαν γῆν, ἣν θάτερος θατέρῳ πλησιάζει, ἀλλ' εἴπερ τις βίᾳ τινὶ τούτων γένηται καὶ χρῆσις ὑπεργῶσαι γῆν ἀπὸ τῆς νῦν εὑρισκομένης νομαδιαίας καὶ χωραφιαίαν ἐργάσασθαι ἐξ ἄλλου μέρους, ὅθεν θατέρῳ οὐ προσεγγίζει, ἐκεῖθεν ἔσται ἄδεια ὑπεργῶσαι καὶ οὕτως ἔσται τούτοις τὸ ἀνενόχλητον· τάττομεν δὲ καὶ τοὺς κατ' ἔχθραν γενομένους χάνδακας παρὰ θατέρων τῶν μερῶν καταλυθῆναι καὶ ἀνέτους εἶναι ὡς τὸ πρότερον διὰ τῆς εἰρήνης καλόν, ἧς οὐδὲν βέλτιον, οὐδὲ θεῷ εὐάρεστον πέφυκεν. εἶναι δὲ ἄνετον κατὰ τὸν καιρὸν τοῦ χειμῶνος καὶ τὸ παρακείμενον τόπιον ἀμφοτέροις, ἐν ᾧ σαμάκιον γίνεται, καὶ εἰσέρχεσθαι ἐν αὐτῷ τὰ τῶν ἀμφοτέρων ζῷα καὶ νέμεσθαι αὐτό, ἐν δὲ τῷ καιρῷ τοῦ ἔαρος, ὅτε ὁ χόρτος ἀναβλαστήσει, παρ' ἀμφοτέρων φυλάττεσθαι καὶ μὴ παραχωρεῖν εἰσέρχεσθαι ζῷα ἐν αὐτῷ καὶ ἔχειν ἀμφοτέρους εἰς χρῆσιν τὸν ἐκεῖσε γενόμενον χόρτον. οὕτω τοίνυν ἀμφότερα τὰ μέρη τὴν ἡμετέραν διάγνωσιν ἀποδεξάμενα καὶ ἐγγράφως, ὡς ᾐτήσαντο, ἐξεθέμεθα, διττὰ ποιήσαντες γράμματα κατὰ πάντα ἰσάζοντα, ἑκάστῳ τούτων δεδώκαμεν ἕκαστον. μηνὶ νοεμβρίῳ ἰνδ. ἑβδόμης†.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κριτὴς τοῦ θεοφρουρήτου φοσσάτου, σεβαστὸς Κωνσταντῖνος ὁ Χειλᾶς †.

Ἡ καταρχὴ τῶν χαρτῴων δικαιωμάτων τῶν Μήλων καὶ τῆς Βάρης χάριν τῶν ἐν αὐτοῖς πραγμάτων †.

CIII. Sine anno, mense augusto, ind. VII.

Imperator describi iubet ascripticios vici Melorum et agros monasterii.

† Πρόσταγμα διοριζόμενον τῷ δουκὶ τῶν Θρακησίων τῷ Λάσκαρι κυρῷ Κωνσταντίνῳ, ἵνα τηρήσῃ ταῦτα ἀπογραφικῶς καὶ ἀποκαταστήσῃ καὶ παραδώσῃ †.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Κωνσταντῖνε Λάσκαρι. ἡ βασιλεία μου διορίζεταί σοι, ὡς ἂν ἀπέλθῃς εἰς τὸ χωρίον τὰ Μῆλα τὸ ὑπὸ τὴν σεβασμίαν μονὴν τῶν Λέμβων καὶ ἀναθεωρήσῃς τοὺς ἐκεῖσε προσκαθημένους παροίκους καὶ ἀναγράψῃς τούτους καὶ ἀποκαταστήσῃς ἕκαστον τῶν παροίκων ἢ ζευγαριτικὴν ἢ βοϊδατικὴν κατὰ τὴν ἑκάστου εὐπορίαν καὶ δύναμιν καὶ ἀποκαταστήσῃς αὐτοὺς διδόναι τὸ ἀναλογοῦν τῷ ζευγαράτῳ καὶ τῷ βοϊδάτῳ παροικιὸν τέλος καὶ τὴν δουλείαν αὐτοῦ, καὶ ἵνα διδῶσι καὶ τὸ οἰκομοδοπαράσπορον, καθὼς καὶ ἐπὶ τοῦ Βλαττεροῦ καὶ ἐπὶ τοῦ προηγουμενεύοντος Γερασίμου τοῦ Ὀφικιάνου καὶ μὴ ἐάσῃς τοὺς χωρίτας ἕνα ἕκαστον ποιεῖν, ὅπερ ἄρα καὶ βούλεται. ἐπεὶ δὲ καὶ Μιχαὴλ ὁ Γουναρόπουλος εἶχε πρώην ἀπὸ τῆς γῆς τῶν Μήλων γῆν βοϊδατικῶν τριῶν καὶ ἀπὸ θελήσεως αὐτοῦ καὶ τοῦ μέρους αὐτοῦ ἀπέλυσε τὴν μίαν βοϊδατικὴν γῆν καὶ κατεῖχε ταύτην τὸ μέρος τοῦ Βλατεροῦ καὶ μετὰ ταῦτα κατεῖχε ταύτην καὶ τὸ μέρος τῆς μονῆς μέχρι καὶ τῆς σήμερον, νῦν δὲ πειρᾶται ὁ τοιοῦτος Γουναρόπουλος παραδοῦναι ταύτην πρὸς ἕτερον πρόσωπον, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν εἴπερ θελήσει ὁ τοιοῦτος Γουναρόπουλος κατέχειν τὴν τοιαύτην βοϊδατικὴν γῆν, ἵνα ἀποκαταστήσῃς αὐτὸν κατέχειν ταύτην καὶ καταβάλλειν πρὸς τὸ μέρος τῆς μονῆς τὰ ὑπὲρ τοῦ τοιούτου βοϊδατικοῦ ἀνήκοντα τούτῳ τελέσματα καὶ λοιπὰ παροικικὰ βάρη· εἰ δ' ἴσως οὐ δύναται κατέχειν ταύτην ὁ Γουναρόπουλος, ἵνα ἀποκαταστήσῃς τὸ μέρος τῆς μονῆς ἀνενοχλήτως κατέχειν τὴν τοιαύτην βοϊδατικὴν γῆν καὶ μὴ παραχωρήσῃς παραδοῦναι αὐτὴν πρός τινα συγγενῆ αὐτοῦ. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν

τῆς βασιλείας μου· εἴπερ δὲ μετὰ τὴν ἀποκατάστασιν καὶ παράδοσιν τῆς γῆς εὑρήσεις ἐλευθέραν γῆν, ἀποκατάστησον τὸ μέρος τῆς μονῆς, ἵνα κατέχῃ αὐτήν †.

† Εἶχε τό· μηνὶ αὐγούστῳ ἰνδ. ζ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CIV. 6716—1208, mense martio, ind. XI.

Nicolaus Gunaropulus Annae, uxori Nicetae Blateri, campos vendit.

† Πρατήριον ἔγγραφον Νικοδήμου μοναχοῦ τοῦ Γουναροπούλου καὶ τῆς ποτὲ συμβίου αὐτοῦ καὶ τοῦ υἱοῦ περὶ τῆς μερίδος τοῦ χωραφίου τοῦ ἐν τῇ τοποθεσίᾳ τοῦ Δημοσίου διακειμένου †.

Σίγνα· Νικοδήμου μοναχοῦ τοῦ Γουναροπούλου, Ξανθῆς τῆς ποτὲ συζύγου αὐτοῦ, Σωτηρίχου τοῦ υἱοῦ αὐτῶν †.

Ἐν ὀνόματι κ. τ. λ. Νικόδημος μοναχὸς ὁ Γουναρόπουλος καὶ ἡ ποτὲ σύμβιος αὐτοῦ καὶ Σωτήριχος ὁ υἱὸς αὐτῶν κ. τ. λ. μετὰ τὴν τοῦ ὅλου ὕφους ἀνάγνωσιν καὶ διάγνωσιν τὴν παροῦσαν . . . πρᾶσιν . . . . ποιοῦμεν . . . . πρὸς σὲ, τὴν εὐγενεστάτην κυρὰν Ἄνναν τὴν τοῦ ἀποιχομένου κυροῦ Νικήτα τοῦ Βλατεροῦ σύμβιον, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ ἅπαν μέρος . . . . καθὼς δηλωθήσεται. καὶ γὰρ τὴν γονικόθεν διαφέρουσαν ἡμῖν μερίδα ἐν τοῖς χωραφίοις τοῖς διακειμένοις ἐν τῇ τοποθεσίᾳ τῇ ἐπιλεγομένῃ τὸ Δημόσιον, τὰ καὶ ποτὲ καθαρπαγέντα παρὰ τῶν Κυπαρισιωτῶν, βουληθέντες ταῦτα ἐκποιήσασθαι τὴν πρᾶσιν τούτων διεφημίσαμεν, ἔφθασε δὲ ἡ περὶ αὐτῶν φήμη καὶ εἰς τὰς ἀκοὰς τῆς διαληφθείσης κυρᾶς Ἄννης τῆς Βλατεροῦ, ἠθέλησας αὐτὰ ἐξωνήσασθαι, καὶ λόγων μέσον ἡμῶν γινομένων περὶ τοῦ τιμήματος τούτων ὕστερον περιεστήσαμεν αὐτὴν ἐκ συμφωνίας τῶν ἀμφοτέρων εἰς νομίσματα . . . εἴκοσι διὰ τραχέων, ἃ δὴ νομίσματα καὶ ἐλάβομεν κ. τ. λ. ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτὰ καὶ χρᾶσθαι κ. τ. λ. τελῶν πρὸς ἡμᾶς ἕκαστον χρόνον χάριν ἐπιτελείας . . . . νομίσματα τὸ ἥμισυ κ. τ. λ. ἐπερωτώμενοι ὁμολογοῦμεν . . . μὴ εἰς ἀνατροπὴν καὶ μεταμέλειαν ὅλως χωρῆσαι κ. τ. λ. ἀλλὰ πρὸ δίκης ἁπάσης καὶ δίχα δόσεως λιβέλλου καὶ δικαστικῆς ἀκολουθίας καὶ παντὸς ἑτέρου δικαστικοῦ διατάγματος μόνῃ τῇ ἐμφανείᾳ τοῦ παρόν-

τος ἡμῶν ἐγγράφου, ἵνα σοι παρέχωμεν, ἃ ἐλάβομεν, εἰς τὴν τῶν χωραφίων τιμὴν, καὶ ἃς ἔχεις καταβαλέσθαι πάσας ἐξόδους, ἐπὶ τὸ διπλάσιον· τοῦ γὰρ παρόντος ἡμῶν ἐγγράφου ἀρκεῖν σοι ὀφείλοντος καὶ ἀντὶ σωματικῆς παραδόσεως καὶ εἰς σχολὴν νομικὴν, λόγῳ δὲ προστίμου ὑποκεισόμεθα πρὸς σὲ ποσότητα νομισμάτων ... ἐκ συμφωνίας τῶν ἀμφοτέρων τριακονταὲξ ... πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τούτων τρίτον. μηνὶ μαρτίῳ ἰνδ. ια' ἐνώπιον τῶν ὑπογραφομένων μαρτύρων τοῦ ,ςψις' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Κωνσταντῖνος σεβαστὸς ὁ Καλοειδᾶς, παρήμην ἐπὶ τῇ παρούσῃ συμφωνίᾳ καὶ ἀσφαλείᾳ, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψα †. Et eadem formula: ὁ εὐτελὴς ἱερεὺς καὶ κληρικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Λέων ὁ Μουζηθρᾶς, ὁ κληρικὸς καὶ νομικὸς Κωνσταντῖνος ὁ Στρατιώτης †. Θεοφύλακτος ἀναγνώστης καὶ κληρικὸς ὁ Ξανθός, σκευοφύλαξ Κωνσταντῖνος ὁ Ξανθὸς ἔγραψα καὶ ὑπέγραψα.

CV. 6703—1194, mense octobri, ind. XIII.

Uxor Constomaris eximitur a tributo pendendo pro agris.

† Τὸ παρὸν ἴσον παρεξεβλήθη ἀπὸ τῶν παντοκρατορικῶν πρωτοτύπων δικαιωμάτων, δι' ἃς εἶχον διενέξεις περὶ τῶν χωραφίων τοῦ Γουναροπούλου †.

† Τὴν ἐνέργειαν ποιούμενοι κατὰ τὴν ιε' ἰνδ. τῶν κατὰ τὴν Σμύρνην κτημάτων τῆς σεβασμίας μονῆς τοῦ Παντοκράτορος καὶ εὕρομεν ἐν τῷ προαστείῳ τοῦ Δημοσίου τὴν γονὴν τοῦ Κωνστομάρη ἐκείνου, ἀναγραφομένην οὕτω ῥητῶς· ἡ γονὴ τοῦ ἀποιχομένου ἐκείνου Κωνστομάρη, θυγάτηρ δὲ τοῦ Γουναροπούλου, εὑρέθη παρ' ἡμῶν νέμεσθαι γῆν πάνυ ἀτελῶς ἐκ τῆς ἁγίας ἡμῶν μονῆς ἐκ τοῦ προαστείου τοῦ εἰς τὸ Δημόσιον, ὑπὲρ ἧς καὶ ὀφείλει τελεῖν ἀπ' ἀρχῆς τῆς ιβ' ἰνδ. νομίσματα τέσσαρα, ὀφείλει δὲ ἀπολῦσαι τὰ παρ' αὐτῆς κατεχόμενα χωράφια τῶν ἐξαλειμματικῶν στάσεων τὰ παρ' ἐμοὶ διαγνωσθέντα ἐκ τῆς στάσεως τοῦ Σπανοῦ καὶ τῆς Κουλουμπλίας καὶ τῶν λοιπῶν· εἰ δ' ἴσως πειρᾶται καὶ ἔτι κρατεῖν ταῦτα, ὀφείλει ἔχειν ἐπ' ἀδείας ὁ ἐνεργῶν δικαίῳ τῆς μονῆς ἐξεῶσαι αὐτὴν καθόλου ἐκ

τῶν διαφερόντων πάντων τῇ μονῇ· τὴν γοῦν τοιαύτην γῆν ἀναφηλαφήσαντες εὕρομεν ταύτην μαρτυρηθεῖσαν παρὰ τῶν ὅλων κληρικῶν τῆς Σμύρνης, τῶν καὶ μεθ' ἡμῶν παρουσιασάντων, ἐξ ὧν εἰσιν οὗτοι· Βασίλειος ὁ Χρυσοβέργης, ὁ βεστιαρίτης τοῦ βασιλέως τοῦ ἁγίου, κῦρις Γεώργιος, ὁ Κολελὸς Κωνσταντῖνος, Νικόλαος ὁ Βλαττόπουλος, ὁ σακελλάριος κῦρις Μιχαὴλ ὁ Ῥαπτόπουλος, Νικόλαος, ὁ υἱὸς τοῦ πρωτοπαπᾶ Γεωργίου, καὶ οἱ λοιποί, οἵτινες διὰ τὴν πολυγραφίαν ειάθησαν, ὡς διαφέρουσαν ταύτην τῇ δηλωθείσῃ γονῇ καὶ τοῖς παισὶν αὐτῆς καὶ νεμομένην αὐτὴν πλείονας τῶν τεσσαράκοντα χρόνων, καταβάλλουσαν ἐν τοῖς διορογίσμασιν αὐτῆς νομίσματα οὐκ ὀλίγα, καὶ γέγονε πρὸς αὐτὴν ἡ τῶν τεσσάρων νομισμάτων παρὰ τοῦ ἀναγραφέως ἐπαύξησις, ἥτις καὶ βαρυνθεῖσα τὸ τοιοῦτον τέλος διὰ τὴν τῆς γῆς ὀλιγότητα, καὶ διὰ τοῦτο προσεθήκαμεν ἐν τῷ πρακτικῷ τῆς μονῆς περὶ αὐτῆς ἐπανάληψιν, ἐκχωρήσαντες αὐτὴν κατὰ τὴν τοιαύτην γῆν ἀπεριχλονήτως, καθὼς καὶ τὸ πρότερον κατὰ τὴν παλαιὰν αὐτῆς δεσποτείαν καὶ νομήν. ἐπὶ τούτῳ γὰρ τὴν παροῦσαν ἡμετέραν διάκρισιν πρὸς αὐτὴν καὶ τὸ μέρος αὐτῆς πεποιήκαμεν. μηνὶ ὀκτωβρίῳ ἰνδ. ιε' τοῦ ,ςφγ' ἔτους †.

† Καὶ τοῦτο ἀπὸ τοῦ συμφώνου τοῦ Πόθου ὑπὲρ τῶν χωραφίων τῶν ἥμισυ τοῦ δημοσίου ὀφείλει ἐπιτελεῖν ἕκαστον χρόνον νομίσματα προτιμώμενα δύο καὶ τοῦτο ἀπὸ τοῦ πρακτικοῦ τοῦ Κωνστομάρη τὰ διδόμενα παρὰ τοῦ αὐτοῦ βεστιαρίτου .... τέσσαρα πρὸς τὸν Βλατερὸν ὑπὲρ ἐπιτελείας τῶν γονικῶν αὐτοῦ χωραφίων ζευγαρίου δίμοιρον †.

CVI. 6716—1207, mense novembri, ind. XI.

Gunaropuli Basilio Blatero campos vendunt.

† Ἕτερον πρατήριον τοῦ Γουναροπούλου Μιχαὴλ ὑπὲρ τῶν χωραφίων τοῦ ποταμοῦ τοῦ Δημοσιάτου †.

Σίγνα· Νικολάου τοῦ Γουναροπούλου, Μιχαὴλ τοῦ Γουναροπούλου καὶ Ἰωάννου τοῦ αὐταδέλφου αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. Μιχαὴλ ὁ Γουναρόπουλος καὶ Ἰωάννης, ὁ τούτου αὐτάδελφος, ἔτι δὲ Νικόλαος, ὁ τούτων ἐξάδελφος, ὁ υἱὸς τοῦ ἀποιχομένου ἐκείνου Βασιλείου τοῦ Γουναροπούλου κ. τ. ἑ. τὴν

παροῦσαν κ. τ. ἑ. πρᾶσιν . . . . ποιοῦμεν . . . . πρὸς σέ, τὸν μεγαλοδοξότατον οἰκεῖον, βεστιαρίτην τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κῦριν Βασίλειον τὸν Βλατερόν, καὶ διὰ σοῦ πρὸς τὸ ὑπὸ σὲ μέρος ἅπαν κ. τ. ἑ. καθὼς δηλωθήσεται· καὶ γὰρ τὸ πέραθεν τοῦ Δημοσιάτου ποταμοῦ χωράφια τὰ γονικόθεν ἡμῖν διαφέροντα, εἰς ἃ καὶ διάφοροι ἀμφισβητήσεις καὶ μάχαι γεγόνασι μετὰ τοῦ ἁγιωτάτου μητροπολίτου ἐκείνου Σμύρνης, κυροῦ Κωνσταντίνου τοῦ Παρθένου, τὰ τέταρτα τούτων ἠβουλήθημεν ἐκποιήσασθαι, καὶ λόγων μέσον ἡμῶν γενομένων περὶ τῆς τούτων τιμῆς, σοῦ τοῦ ῥηθέντος Βλατεροῦ θελήσαντος ἐξωνήσασθαι ταῦτα, περιεστήσαμεν αὐτὴν ἐκ συγκαταθέσεως τῶν ἀμφοτέρων εἰς νομίσματα . . . τεσσαράκοντα, λαβόντες μετρητῶς εἰς τὰς χεῖρας ἡμῶν . . . . τὴν παροῦσαν πρᾶσιν πρὸς σὲ ποιούμεθα καὶ περιιστάμενοι τῆς τοιαύτης τετάρτης μερίδος τῶν χωραφίων αὐτῶν διὰ κατοχὴν καὶ νομὴν ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτῶν καὶ χρᾶσθαι κ. τ. ἑ. ἐπερωτώμενοι δὲ μᾶλλον παρὰ σοῦ ὁμολογοῦμεν καὶ ἀσφαλιζόμεθα τοῦ μὴ ἐναλλάξαι ἢ ἀθετῆσαι ἢ πρὸς τὸν δεφενσίωνα ἀμελῆσαι ἑνὸς καὶ μόνου ῥήματος ἢ πλέον τίμημα ἐπιζητήσωμεν διπλασιασμοῦ ἢ αὐτοῦ δὴ τοῦ ὑπερθεματισμοῦ καὶ ὑπ' αὐτοῦ τοῦ διπλασίου δικαίου ἢ ἄλλην τινὰ δικαιολογίαν ἐπισύρωμεν ἐπὶ ἀνατροπῇ καὶ ἀθετήσει τῆς παρούσης πράσεως ἡμῶν, μὴ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλὰ πρὸ δίκης ἁπάσης καὶ δίχα δόσεως λιβέλλου καὶ δικαστικῆς ἀκολουθίας καὶ παντὸς ἑτέρου δικαστικοῦ διατάγματος μόνῃ τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμῶν ἐγγράφου, ἵνα ἐπανέρχωνται πρὸς σέ, ἃ ἐλάβομεν νομίσματα τὴν τούτων τιμὴν καὶ ἃς ἐπ' αὐτὰ καταβαλέσθαι ἐξόδους ἐπὶ τὸ διπλάσιον. τοῦ γὰρ παρόντος ἡμῶν ἐγγράφου ἀρκεῖν σοι ὀφείλοντος καὶ ἀντὶ σωματικῆς παραδόσεως καὶ εἰς σχολὴν νομικήν, λόγῳ δὲ προστίμου τὸ ἐκ συμφωνίας καὶ ἐκ κοινῆς ἡμῶν ἀρεσκείας τῶν ἀμφοτέρων νομίσματα . . . λίτρας τρεῖς καὶ πρὸς τὸ βασιλικὸν βεστιάριον τὸ τούτων τρίτον κ. τ. ἑ. μηνὶ νοεμβρίῳ ἰνδ. ια'. ἐνώπιον τῶν ὑπογραφόντων μαρτύρων τοῦ ‚ςφιϛ' ἔτους †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Ἰωάννης ὁ Δαγκιδᾶς, παρὼν ἐπὶ τῇ παρούσῃ πράσει, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραφα †.

† Ὁ εὐτελὴς ἱερεὺς, κληρικὸς et eadem formula: ὁ ἱερεὺς καὶ κληρικὸς Κωνσταντῖνος ὁ Χαρτᾶς, ὁ ἱερεὺς καὶ κληρικὸς Μιχαὴλ ὁ Ἀδαμάντης, Θεοφύλακτος ἀναγνώστης καὶ κληρικὸς ὁ Ξανθὸς, ὁ ἱερεὺς, σκευοφύλαξ καὶ νομικὸς Σμύρνης Κωνσταντῖνος ὁ Ξανθὸς .... γράψας κ. τ. ἑ.

CVII. 6737—1228, mense decembri, ind. II.

Georgius, metropolita Smyrnae, controversiam diiudicat ortam inter monasterium et Prinobaritas.

† Σημείωμα ἐμμάρτυρον τοῦ μητροπολίτου Σμύρνης χάριν τῆς διενέξεως, ἧς εἶχον μετὰ τῶν Πρινοβαριτῶν ὑπὲρ τοῦ χωραφίου τοῦ Σπανοῦ †.

† Μηνὶ δεκεμβρίῳ ἰνδ. β' ἐπὶ παρουσίᾳ τῶν ἀπὸ χωρίου Πρινοβάρεως εὐλαβεστάτου ἱερέως τοῦ Κομνηνοῦ, τοῦ ἑτέρου ἱερέως, εὐλαβεστάτου τοῦ Βαραζηνοῦ, τοῦ ἐν τῷ αὐτῷ χωρίῳ ἐνεργοῦντος πράκτορος Γεωργίου, τῶν ἀπὸ τοῦ αὐτοῦ χωρίου οἰκοδεσποτῶν, Μιχαὴλ τοῦ Πολιτικοῦ, Γεωργίου τοῦ τῆς Παπάδας, Μιχαὴλ τοῦ Γαρούλη, τοῦ οἰκολόγου Θεοφυλάκτου καὶ ἑτέρων †.

† Ἐξ αἰτήσεως τοῦ πανοσιωτάτου καθηγουμένου τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς ἐπονομαζομένης τῶν Λέμβων, μοναχοῦ κυροῦ Γερασίμου, ἀπεστάλη παρ' ἡμῶν ὁ ἐντιμότατος ἄρχων τῆς καθ' ἡμᾶς ἁγιωτάτης μητροπόλεως, ἱερεὺς καὶ μέγας σακελλάριος, Κωνσταντῖνος ὁ Βαροπάτης, ἐφ' ᾧ τηρῆσαι τὴν μέσον τῆς ὑπ' αὐτὸν μονῆς καὶ τῶν Πρινοβαριτῶν διὰ τοῦ χωραφίου τοῦ οὕτω πως ἐπονομαζομένου τοῦ Σπανοῦ καὶ μέσον τῶν δικαίων τῶν χωραφίων τῆς Βάρης, τῆς ὑπὸ τὴν βασιλικὴν μονὴν οὔσης ὑπόθεσιν, καὶ ἐκεῖ ἐκεῖσε οὗτος ἐνεδήμησε, προσεκαλέσατο τοὺς ἄνωθεν ἱερεῖς καὶ οἰκοδεσπότας, ἀλλὰ καὶ τὸν πράκτορα χωρίου τῆς Πρινοβάρεως καὶ ἀπὸ τοῦ χωρίου Βάρης τῆς ὑπὸ τὴν βασιλικὴν μονὴν οὔσης, ὡς δεδήλωται, τόν τε μοναχὸν Μελέτιον τὸν Χαμοκριτὴν καὶ λοιποὺς οἰκοδεσπότας, ὃς δὴ Χαμοκριτὴς εἶπε μετὰ ἀφορισμοῦ γινώσκειν, ἀρχαῖος ὤν, ὅτι ἦν ποτὲ τὸ δηλωθὲν χωρίον ἡ Βάρη τῆς ἐν τῇ πόλει σεβασμίας βασιλικῆς μονῆς τοῦ Παντοκράτορος Σωτῆρος Χριστοῦ, καὶ ἀπεστάλη παρὰ τῆς ἁγίας ἐκείνης μονῆς μοναχὸς εἰς τὸ τηρῆσαι καὶ ἀπογράψασθαι τὰ ὑπὸ τὸ χωρίον Βάρης χωρά-

φια καὶ λοιπὰ ἐπὶ τῆς βασιλείας τοῦ ἀοιδίμου βασιλέως, κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ εὗρεν ὁ δηλωθεὶς μοναχὸς τὸ τοιοῦτον χωράφιον ἐντὸς ὂν τῶν χωραφίων τῆς Βάρης καὶ παρὰ τῶν ἄνωθε Πρινοβαριτῶν νεμόμενον βιαίως, μετὰ δὲ πάντων τῶν ὑπὸ τὴν Βάρη ἦν ἀνακαλούμενος καὶ αὐτὸ τὸ ἐπιλεγόμενον χωράφιον τοῦ Σπανοῦ ὡς δ' οὐδὲν ἤνυεν, εἰσελθὼν ἐν τῇ πόλει ὁ τὴν Βάρην τῷ τότε κρατῶν μοναχὸς ἀναφορὰν ἐποιήσατο περὶ πάντων, ἀλλὰ δὴ καὶ περ τοῦ τοιούτου χωραφίου πρὸς τὸν καθηγούμενον τῆς μονῆς τοῦ Παντοκράτορος, καὶ ὃς πρὸς τὸν βασιλέα τὸν ἅγιον ἀνέδραμε, καὶ ὁρισμὸ ἐπορίσατο πρὸς τὸν ἐνεργοῦντα τότε τὸ δουκάτον τοῦ Θρακησίου Κυριακούτζικον, ἀναψηλαφῆσαι καὶ τηρῆσαι τὴν τοῦ χωραφίου ὑπόθεσι καὶ ἀποκαταστῆσαι ἐν αὐτῷ τὸν δικαιούμενον, ὡς δὲ ἐνεδήμησε κα τοὺς Πρινοβαρίτας εἵλκυσε δεῖξαι, ὅπως κατέχουσι τὸ δηλωθὲν χωράφιον ἢ ἐξ ἀγορασίας ἢ ἐκ παραδόσεως δουκικῆς ἢ ἀπὸ χαριστικῆ ἢ ἄλλως ὡς οἱ κατέχοντές τινα ἀκίνητα, οὐκ ἠδυνήθησαν δεῖξαι ἢ ἐμφανίσαι τι δικαίωμα ἐπ' αὐτῷ, ἀλλ' ἢ μόνῳ δυναστικῷ τῷ τρόπῳ καὶ βιαίᾳ χειρὶ ἐκράτησε καὶ ἐζημίωσε τοὺς Πρινοβαρίτας, καὶ ἦ ζητῶν καὶ τὰς συνεισφορὰς τοῦ τοιούτου χωραφίου, καὶ ἀποσπάσα τοῦτο ἀπὸ τῶν Πρινοβαριτῶν κἀκεῖθεν αὐτοὺς ἐκδιώξας ἀποκατέστησ τοῦτο εἰς τὸ δηλωθὲν χωρίον τὴν Βάρην τὴν ὑπὸ τὴν μονὴν τῷ τότ οὖσαν τοῦ Παντοκράτορος, νῦν δὲ οὖσαν ὑπὸ τὴν βασιλικὴν μονὴ τῶν Λέμβων, καὶ ἦμεν ἔκτοτε νεμόμενοι αὐτὸ μέχρι τοῦ νῦν. παρατηρήσαντες δὲ καιρὸν τῆς τοῦ καθηγουμένου ἡμῶν ἀποδημίας (ἦ γὰρ οὗτος ἀποδημῶν διά τινας ἀναγκαίας καὶ ἀπαραιτήτους τῆς μονῆς δουλείας) δυναστείᾳ χρησάμενοι οἱ Πρινοβαρῖται εἰσῆλθοσα ἀνάρχως μετὰ τοξαρίων καὶ ἁρμάτων ὅτι πολλῶν καὶ κατέσπειρα μετὰ τῶν ὅλων ζευγαρίων τοῦ χωρίου ἐν μιᾷ ἡμέρᾳ τὸ δηλωθὲν χωράφιον. ταῦτ' ἔφησεν ὁ παλαιὸς χαμοκριτὴς ἐνώπιον τῶν Πρινοβαριτῶν, ἦσαν δὲ συμμαρτυροῦντες τούτῳ καὶ οἱ λοιποὶ ἅπαντες Βαρηνοί, οἱ δὲ ἄνωθεν Πρινοβαρῖται διισχυρίζοντο πρὸς ταῦτα, ἦσαν δὲ ἅπαντες λέγειν μιᾷ φωνῇ, ὅτι τὸ τοιοῦτον χωράφιον οἴδαμεν πρὸ χρόνων μακρῶν συμπαροίκου ἡμῶν εἶναι τοῦ ἐπιλεγομένου Σπανοῦ· ἦν γάρ ποτε τῇ Πρινοβάρει πάροικος ἐπιλεγόμενος Σπανός, ἦν δὲ καὶ τῇ Βάρει τῷ αὐτῷ ὀνόματι πάροικος ἀκουόμενος, ὡς δὲ τῆς τοῦ ὀνόματος φήμης μέσον καὶ ἀμφοτέρων τῶν μερῶν ἐνέπεσε καὶ ἦν ὁ λόγος

ὁ περὶ ἀμφοτέρων τῶν Σπανῶν πολύς, ἦλθοσαν οἱ ἄνωθεν Πρινοβαρῖται ἐνώπιον καὶ τοῦ πράκτορος αὐτῶν τὸ ἀμφισβητούμενον, εἰπόντες ἐκ συνθήματος μιᾷ φωνῇ καὶ γλώσσῃ πρὸς τὸν πανοσιώτατον καθηγούμενον τῆς δηλωθείσης βασιλικῆς μονῆς, τὸν κῦριν Γεράσιμον (ἦν γὰρ καὶ οὗτος ἐκεῖσε παρρησιαζόμενος ἐπὶ τῇ διαδικασίᾳ τοῦ ῥηθέντος χωραφίου μετὰ καὶ τινων μοναχῶν τῆς ὑπ' αὐτὸν μονῆς) ὡς εἴπερ, κῦρ ἡγούμενε, σὺ αὐτὸς πεζεύσων ἰδίαις χερσὶν ἀποσπάσεις τὰς στήλας τοῦ τοιούτου χωραφίου, διὰ γνωρίμων γὰρ ἦν λαβράτων γύρωθεν περιοριζόμενον τὸ τοιοῦτον χωράφιον, ἀπολύομεν τοῦτο, καὶ ὁ κρατῶν αὐτὸ οὐδεὶς ἔσται ἐξ ἡμῶν. ταῦτ' εἶπον καὶ εὐθὺς ὁ ἀπὸ τοῦ αὐτοῦ χωρίου τῆς Πρινοβάρεως οἰκοδεσπότης ὁ Πολιτικὸς λεγόμενος μετακομίσας λισκάριον δέδωκεν εἰς χεῖρας τῷ καθηγουμένῳ οὕτως εἰπών· λάβε τοῦτο, καὶ εἰ τὰς στήλας ἀφέλεις, ἀφιστάμεθα τοῦ τοιούτου χωραφίου. ὁ δὲ λαβὼν ἰδίαις χερσὶν ἀπὸ τοῦ Πολιτικοῦ τὸ λισκάριν καὶ εἰπών, ὅτι· ὅλοι τὸ τοιοῦτον ῥῆμα ἐστὲ λέγοντες, εὐθὺς καὶ ὁ Κομνηνὸς ἱερεὺς καὶ οἱ λοιποὶ οἰκοδεσπόται, ὡς ἔφημεν, οἱ Πρινοβαρῖται καὶ αὐτὸς ὁ πράκτωρ αὐτῶν εἶπον στοιχεῖν τῇ τοιαύτῃ φωνῇ· ὁ δὲ καθηγούμενος παρουσίᾳ πάντων ἀνέσπασε τρεῖς στήλας τοῦ τοιούτου χωραφίου, ὡς δεδήλωται. εἰς παράστασιν οὖν τῆς τοιαύτης πράξεως καὶ ἀποσόβησιν καὶ ἐκδίωξιν τῶν Πρινοβαριτῶν ἀπὸ τοῦ δηλωθέντος χωραφίου καὶ δικαίωσιν καὶ ἀποκατάστασιν τῆς μονῆς ἡ παροῦσα παρ' ἡμῶν ἐγεγόνει σημείωσις. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις τοῦ ,ϛψλζ' ἔτους †.

† Ὁ μητροπολίτης Σμύρνης Γεώργιος †.

CVIII. 6740—1225, mense augusto, ind. V.

Monachus Nicander Gunaropulus Basilio Blatero campos vendit.

† Τὸ πρατήριον ἔγγραφον τοῦ μοναχοῦ Νικάνδρου τοῦ Γουναροπούλου χάριν τῶν πέραν τοῦ Δημοσιάτου ποταμοῦ χωραφίων †.

Σίγνον Νικάνδρου μοναχοῦ τοῦ Γουναροπούλου.

† Ἐν ὀνόματι κ. τ. ἑ. Νίκανδρος μοναχὸς ὁ Γουναρόπουλος κ. τ. ἑ. ὁμολογῶ ἐνώπιον τοῦ θεοῦ καὶ τῶν πανσεβάστων οἰκειοτάτων τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ Σμυρναίων ἀρχόν-

των, τοῦ τε Φαγομόδη κυροῦ Κωνσταντίνου, τοῦ καστροφύλακος κυροῦ Θεοφυλάκτου τοῦ Βραχιονίτου, τοῦ κυροῦ Ἰσαακίου τοῦ Λεβούνη, τῶν βασιλικῶν βεστιαριτῶν, τοῦ Καπνοῦ κυροῦ Ἀλεξίου, τοῦ Καδιανοῦ κυροῦ Νικήτα, τοῦ αὐταδέλφου αὐτοῦ, κυροῦ Μιχαήλ, ὅτι τὰ χωράφια τοῦ Δημοσιάτου ποταμοῦ, ἅτινα κατεκράτησεν ὁ μακαρίτης μητροπολίτης Σμύρνης, ὁ Παρθένης κῦρις Κωνσταντῖνος, τὴν ὅλην μου μερίδα ἐξ ἀκεραίου, καλῇ τῇ πίστει καὶ χωρίς τινος βίας ἢ ὑποθέσεως οἱασδήτινος διέπρασα πρὸς τὸν ἀποιχόμενον ἐκεῖνον κῦριν Βασίλειον τὸν Βλατερὸν, καὶ τὸ πρατήριον ἔγγραφον τὸ γεγονὸς παρ' ἐμοῦ τε καὶ τοῦ μέρους μου πρὸς τὸν διαληφθέντα Βλατερὸν ἐκεῖνον κῦριν Βασίλειον, προτροπῇ ἡμετέρᾳ γραφὲν παρὰ τοῦ χρηματίσαντος ἀρχιερέως Σωσάνδρων, κυροῦ Κωνσταντίνου τοῦ Ξανθοῦ, καὶ τὰ ἐν αὐτῷ δηλούμενα εἴκοσι . . . σῶα καὶ ἀνελλιπῆ ἔλαβον ἀπὸ τοῦ Βλατεροῦ καὶ τοῦ μέρους ἐκείνου καὶ ὡς αὐθέντης καὶ κληρονόμος καὶ μὴ ἔχειν οἱῳδήτινι προσώπῳ ἀναγκαῖον εἰς τὰ τοιαῦτα χωράφια, οὕτω διέπρασα ταῦτα. καὶ ἠθέλησε καὶ ἔτι ὁ γαμβρὸς τοῦ Βλατεροῦ ἐκείνου, ὁ Ῥαβδοκανάκης κῦρις Ἰωάννης, καὶ ἔτι δήλη γενέσθαι παρ' ἡμῶν ἡ τῶν χωραφίων ὁμολογία, ἣν καὶ ποιήσας καθαρὰν ἐνώπιον τοῦ θεοῦ ἐπιδέδωκα. πρὸς ἐπὶ τούτοις ὁμολογῶ, ὅτι καὶ οἱ ἐξάδελφοί μου οἱ Γουναρόπουλοι, ὁ Μιχαὴλ καὶ ὁ Ἰωάννης, ἤκουον ἐκ τοῦ στόματος αὐτῶν μετὰ τὸ διαπρᾶσαι ἐμὲ τὰ τοιαῦτα χωράφια πρὸς τὸν Βλατερὸν, ὅτι ἤδη καὶ ἡμεῖς μέλλομεν διαπρᾶσαι ταῦτα πρὸς τὸ τοιοῦτον πρόσωπον, καὶ εἰς δήλωσιν τῆς τοιαύτης ὁμολογίας τὴν παροῦσαν μαρτυρίαν ἐξεθέμεθα. μηνὶ αὐγούστῳ ἰνδ. ε' τοῦ ςψμ' ἔτους ἐνώπιον τῶν ὑπογραφόντων μαρτύρων †.

† Ὁ μέγας οἰκονόμος τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Λέων ὁ Ἀργρὸς, παρὼν ἐπὶ τῇ παρούσῃ ὁμολογίᾳ μαρτυρῶν ὑπέγραψα †. Et eadem formula: ὁ ἱερεὺς, νομικὸς καὶ πρωτονοτάριος, Θεόδωρος ὁ Ἀστραγαλῖνος, ὁ ἱερεὺς καὶ κληρικὸς Λέων ὁ Σκορτζίδης, ὁ γραφεὺς τοῦ ὕφους ταπεινὸς διάκονος ὁ Καλοσινηρὸς Νικήτας ὁ καὶ σημειούμενος δικαίῳ τοῦ παναγιωτάτου αὐθέντου καὶ δεσπότου μου, τοῦ πανυπερτίμου ἀρχιεπισκόπου Σμύρνης, κυροῦ Γεωργίου κ. τ. ἑ.

CIX. 6733—1225, mense martio, ind. XIII.

Eudocia Gunaropula monasterio campum vendit.

† Τὸ πρατήριον ἔγγραφον Εὐδοκίας τῆς συμβίου ἐκείνου τοῦ Γουναροπούλου καὶ τοῦ υἱοῦ αὐτῆς καὶ τῆς θυγατρὸς καὶ τῆς συμβίου τοῦ Γουναροπούλου ἐκείνου Μιχαὴλ χάριν τοῦ χωραφίου τοῦ ἐν τῇ τοποθεσίᾳ διακειμένου τοῦ Λιλίδη †.

Σίγνα Εὐδοκίας, τῆς συμβίου ἐκείνου τοῦ Γουναροπούλου, Μιχαήλ, τοῦ υἱοῦ αὐτῆς, Εἰρήνης, τῆς θυγατρὸς αὐτῆς, Μαρίας, τῆς συμβίου ἐκείνου Μιχαὴλ τοῦ Γουναροπούλου.

† Ἐν ὀνόματι κ. τ. ἑ. οἱ ἄνωθεν . . . τὴν παροῦσαν κ. τ. ἑ. πρᾶσιν κ. τ. ἑ. ποιοῦμεν . . . πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, κῦριν Γεράσιμον τὸν Ὀφικίανον κ. τ. ἑ. καθὼς δηλωθήσεται· καὶ γὰρ τὸ χωράφιον ἡμῶν τὸ ὂν καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τῇ ἐπιλεγομένῃ τοῦ Μλίδη τὰ καὶ πλησίον τῶν ἀμπέλων Θεοδώρου τοῦ Μεγαλωνᾶ ὡσεὶ μοδίων τεσσάρων μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ βουληθέντες ἐκποιήσασθαι κ. τ. ἑ. καὶ λόγων . . . γενομένων περὶ τοῦ τιμήματος αὐτοῦ ὕστερον περιεστήσαμεν . . . . ὑπέρπυρα τέσσαρα, καὶ λαβόντες κ. τ. ἑ. ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτοῦ κ. τ. ἑ. ἐπερωτώμενοι ὁμολογοῦμεν . . . . τοῦ μὴ εἰς ἀνατροπὴν . . . . χωρηθῶμεν . . . . ἀλλὰ πρὸ δίκης πάσης κ. τ. ἑ. ἵνα ἐπανέρχωνται τὰ τοιαῦτα ὑπέρπυρα, τὸ τίμημα τοῦ τοιούτου χωραφίου, καὶ ἃς ἔχει καταβαλέσθαι ἐπ' αὐτῷ ἐξόδους ἐπὶ τὸ διπλάσιον κ. τ. ἑ. λόγῳ δὲ προστίμου παρασχεῖν ὀφείλομεν πρὸς σὲ καὶ ἅπαν τὸ μέρος τῆς μονῆς τὸ τοιοῦτον τίμημα καὶ πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα τριάκοντα καὶ ἓξ κ. τ. ἑ. μηνὶ μαρτίῳ ἰνδ. ιγ' τοῦ ‚ϛψλγ'. ὀφείλει δὲ τελεῖν ἡ μονὴ πρὸς ἡμᾶς κατ' ἔτος ὑπὲρ ἐπιτελείας νομίσματα . . . δ' †.

Σίγνα μαρτύρων· Στεφάνου τοῦ Τζυκαλᾶ, Ἰωάννου τοῦ Βλατεροῦ, Ξένου τοῦ Λεγᾶ, Θεοδώρου τοῦ Μεγαλωνᾶ.

† Θεόδωρος, ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, ὁ

Κάλλιστος παρὼν καὶ αὐτὸς καὶ μαρτυρῶν γράφας ὑπέγραφα †.

CX. 6744—1236, mense aprili, ind. IX.

Ioannes Rhabdocanaces monasterio campum vendit.

† Τὸ πρατήριον ἔγγραφον τοῦ Ῥαβδοκανάκη, τῆς γυναικὸς αὐτοῦ καὶ τῆς πενθερᾶς χάριν τῶν χωραφίων τῶν ὄντων εἰς τὸ Δημόσιον †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἰωάννης ὁ Ῥαβδοκανάκης οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνα· Ἄννης τῆς συζύγου αὐτοῦ καὶ Μαρίας τῆς πενθερᾶς αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Ἰωάννης ὁ Ῥαβδοκανάκης, καὶ Ἄννα ἡ γνησία σύζυγος τούτου, ὁ μὲν οἰκειοχείρως προτάξας, ἡ δὲ αὐτοχείρως τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐγχαράξασα τὴν παροῦσαν συμβίβασιν τῶν κάτωθεν δηλωθησομένων χωραφίων . . . . ποιοῦμεν . . . . πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου ἡμῶν θεομήτορος τῆς Λεμβιωτίσσης, κῦριν Παῦλον κ. τ. ἑ. καὶ γὰρ τὰ χωράφια τὰ ὄντα καὶ διακείμενα ἐν τῇ τοποθεσίᾳ τοῦ Δημοσίου καὶ ἀπὸ προικὸς περιελθόντα ἡμῖν τοῖς ὁμοζύγοις ἐξ ἀγορᾶς περιελθόντα τοὺς αὐθέντας καὶ γονεῖς ἡμῶν, ἐμοῦ δὲ τοῦ Ῥαβδοκανάκη πενθεροῦ, ἤγουν ἀπὸ τῶν Γουναροποῦλων, καθὼς τὰ τῶν τοιούτων χωραφίων πρατήρια ἔγγραφα πλατυκώτερον παρίστησι τὰ τούτων γνωρίσματα καὶ τὸν πλησιασμὸν αὐτῶν, εἴχομεν δὲ αὐτὰ ἡμεῖς οἱ ὁμόζυγοι ἀπερικόπως καὶ ἐνεμόμεθα ὡς δεσπόται αὐτῶν, ὅτι δὲ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς ἐδωρήσατο τὸ χωρίον τὴν Βάρην τῇ παρὰ τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτοῦ ἐκ νέου ἀνεγερθείσῃ εἰρημένῃ μονῇ τῶν Λέμβων καὶ κατεκράτησας σύ, ὁ πανοσιώτατος καθηγούμενος, κῦρ Παῦλος, ὡς δικαιολογούμενος παρὰ πάντα δίκαιον λόγον, κατακρατοῦμεν ἡμεῖς οἱ ὁμόζυγοι τὰ τοιαῦτα χωράφια, καὶ ὅτι οὐδὲ οἱ αὐθένται καὶ γονεῖς ἡμῶν ἐξωνήσαντο αὐτὰ ἀπὸ τῶν Γουναροπούλων

ἐκείνων, ἀλλὰ βιαίᾳ χειρὶ κατεκράτουν τῶν τοιούτων χωραφίων καὶ ἀδίκως ἐπροικίσθησαν ἡμῖν. καὶ ἤλθομεν περὶ τούτων εἰς διαφόρους δικαιολογίας καὶ κρίσεις καὶ προσκυνητὰ προστάγματα διάφορα ἐπορισάμεθα περὶ τῶν τοιούτων χωραφίων καὶ ἀποκατάστασιν τοῦ τότε διέποντος τὴν δουκικὴν ἀρχὴν τοῦ θέματος τοῦ Θρακησίων, κυροῦ Ἰωάννου Δούκα τοῦ Κουρτίκη, καὶ ἕτερα δικαιώματα οὐκ ὀλίγα, καὶ αὐτὰ τὰ πρατήρια ἔγγραφα ἐνεμφάνισα, καὶ εἴχομεν καὶ εἰς τὸ ἑξῆς ἀμφότεροι καθεκάστην ὀχλήσεις καὶ κρίσεις καὶ μάχας. εἰς περιαίρεσιν οὖν παντὸς σκανδάλου συνηρέσθημεν μετὰ σοῦ, τοῦ εἰρημένου καθηγουμένου, καὶ τῶν ὑπὸ σὲ μοναχῶν, καὶ ἐνεχειρίσαμεν τῇ σῇ ἁγιότητι καὶ τὰ προσκυνητὰ προστάγματα καὶ τὴν δουκικὴν ἀποκατάστασιν καὶ αὐτὰ τὰ πρατήρια ἔγγραφα καὶ ἁπλῶς, εἴ τι δίκαιον εἴχομεν ἐπὶ τοῖς τοιούτοις χωραφίοις, καὶ συμφωνοῦμεν καὶ ἀσφαλιζόμεθα διὰ τοῦ παρόντος ἡμῶν συμβιβαστικοῦ ἐγγράφου τοῦ ἔχειν τὰ τοιαῦτα χωράφια ἡ ῥηθεῖσα ἁγία μονή, μέχρις ἂν τὸ περίγειον συνίσταται καὶ ὁ ἥλιος τὸ πᾶν ἐφορᾷ· καὶ ἐάν ποτε τῶν καιρῶν εὑρεθῶμεν ἢ ἡμεῖς οἱ ὁμόζυγοι ἢ ἕτερός τις ἀπὸ τῶν κληρονόμων ἡμῶν καὶ διαδόχων ὄχλησίν τινα ἐπάξαι τῇ εἰρημένῃ μονῇ ἕνεκα τῶν τοιούτων χωραφίων ἢ οἱανδήτινα ὄχλησιν ἢ δικαίωμα ἐμφανίσῃ ἢ ἴσον ἢ κύριον, ἵνα ἔχῃ τὸ ἄπρακτον καὶ ἀβέβαιον, πρὸς ἐπὶ τούτοις καὶ δόσεως προστίμου ὑποκείμενοι ὑπέρπυρα λίτραν μίαν, διὰ τὸ καθαρῶς διελύθημεν καὶ συνεβιβάσθημεν καὶ ἐλάβομεν καὶ ἀπὸ τῶν χειρῶν σου, τοῦ πανοσιωτάτου καθηγουμένου, ὑπέρπυρα ἑξάγια πέντε, διὰ τὸ καὶ ἐνώπιον τοῦ περιποθήτου αὐταδέλφου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, πανευγενεστάτου Κομνηνοῦ κυροῦ Δημητρίου τοῦ Τορνίκη, κριθῆναι ἡμᾶς μετά τε τοῦ προδηλωθέντος καθηγουμένου καὶ πάντων τῶν τῆς μονῆς μοναχῶν, ἢ ἵνα ἐπομόσῃ τὸ μέρος τοῦ Βλατεροῦ ἢ τὸ μέρος τῆς μονῆς περὶ τῶν τοιούτων χωραφίων. καὶ διὰ τὸ μὴ τελεσθῆναι τὸν ὅρκον ἀπό τινος τῶν μερῶν συνηρέσθημεν καλοθελῶς καὶ ἐλάβομεν ἀπὸ τοῦ μέρους τῆς μονῆς τὰ πέντε ὑπέρπυρα, καὶ ἕξει ἀπὸ τοῦ νῦν κατὰ νομὴν τῷ μέρει τῆς μονῆς εἰς τὰ τοιαῦτα χωράφια ἄδειαν ποιεῖν ἐπ' αὐτοῖς τὸ βουλητέον. μηνὶ ἀπριλλίῳ ἰνδ. θ' ἔτους ͵ϛψμδ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, προκαθήμενος Σμύρνης Ἰω-

άννης σεβαστὸς ὁ Ἀλωπὸς †. † Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Σωτήριχος ὁ Πόθος, μαρτυρῶν ὑπέγραψα †.

Σίγνα μαρτύρων Νικολάου τοῦ Βαροπάτου τοῦ καὶ Βλατεροῦ καὶ Μοσχάτου, τοῦ αὐταδέλφου αὐτοῦ.

† Ὁ σκευοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Γεώργιος ὁ Καλοειδᾶς, παρὼν ἐπὶ τῇ παρούσῃ συμβιβάσει μαρτυρῶν ὑπέγραψα †. Et eadem formula: ὁ ἱερεὺς καὶ πρωτέκδικος Λέων ὁ Σκορτζίδης, ὁ ἀχρεῖος ἐν διακόνοις μέγας οἰκονόμος ὁ Καλοοινάρης Νικήτας μαρτυρῶν γράψας ὑπέγραψα.

CXI. Sine anno, mense augusto, ind. V.

Imperator monasterio confirmat donationem vici Barae.

† Δωρεαστικὸν πρόσταγμα ἀποδιῶκον τοὺς Βλατεροὺς ἀπὸ τῆς περιοχῆς τῆς Βάρης †.

† Ἔφθασε μὲν ἡ βασιλεία μου δωρήσασθαι τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων τὸ κατὰ τὴν Σμύρνην διακείμενον χωρίον τὴν Βάρην ἤτοι τὰ Μῆλα μετὰ πάσης τῆς περιοχῆς καὶ διακρατήσεως τούτου, ἀποσπάσασα τοῦτο ἀπὸ τῆς χειρὸς τοῦ Βλατεροῦ ἐκείνου, ὡς ἀπὸ τῶν δικαίων ὂν τῆς σεβασμίας ποτὲ μονῆς τοῦ Παντοκράτορος, καὶ προσκυρώσασα τῇ ῥηθείσῃ τῶν Λέμβων μονῇ εἰς κατοχὴν ἀναφαίρετον. ἐπεὶ δὲ ὑπεμνήσθη τῇ βασιλείᾳ μου, ὡς ἡ γυνὴ τοῦ Βλατεροῦ ἐκείνου καὶ πάλιν δι' ὄχλου γίνεται τῇ μονῇ, πειρωμένη ἀποσπάσαι ἀπὸ τῶν συνόρων τοῦ τοιούτου χωρίου γῆν, ἣν ἀνακαλεῖται ὡς ἐξ ἀγορασίας περιελθοῦσαν αὐτῇ ἀπὸ τῶν τῆς Βάρης παροίκων, καὶ ταῦτα μηδεμίαν σχοῦσα μετοχὴν ἐπὶ τῷ τοιούτῳ χωρίῳ, ἀφ' ὅτου ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς τοῦτο ἀπεσπάσθη καὶ τῇ σεβασμίᾳ τῶν Λέμβων προσεκυρώθη μονῇ, ἡ βασιλεία μου τὸ πάντη ἀνενόχλητον καὶ ἀπερίσπαστον περιποιουμένη τοῖς μοναχοῖς, μὴ βουλομένη δὲ καὶ ἀπὸ τοῦ περιόρου τοῦ τοιούτου χωρίου ὅλως ἀποσπασθῆναί τι παρ' οἱουδήτινος ἢ παρ' αὐτοῦ τοῦ Βλαττεροῦ διὰ τὸ ἅπαξ ἀφιερωθῆναι τοῦτο τῷ θεῷ, διορίζεται διὰ τῆς παρούσης προστάξεως, κατέχεσθαι τοῦτο ἀνακρωτηριάστως πάντη καὶ ἀκολοβώτως παρὰ τοῦ μέρους τῆς ῥηθείσης τῶν Λέμβων σεβασμίας μονῆς, καθὼς κατείχετο τοῦτό

τοτε καὶ παρὰ τοῦ μέρους τῆς σεβασμίας μονῆς τοῦ Παντοκράτορος, καὶ μετὰ παντὸς τοῦ περιόρου αὐτοῦ καὶ κατὰ τὰς περιλήψεις τοῦ προσόντος τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων χρυσοβούλλου λόγου τῆς βασιλείας μου, τοῦ μέρους τῆς ῥηθείσης γυναικὸς τοῦ Βλαττεροῦ ἤτοι τοῦ γαμβροῦ αὐτοῦ τοῦ Ῥαβδοκανάκη, μακρὰν ὀφείλοντος ἐκδιωχθῆναι ἀπὸ τῶν συνόρων τοῦ τοιούτου χωρίου καὶ μὴ δι' ὄχλου γίνεσθαι τῇ μονῇ χάριν τῶν παρ' αὐτοῦ ἀνακαλουμένων χωραφίων ἀπὸ τοῦ περιόρου αὐτοῦ ὡς καὶ παντὸς ἑτέρου προσώπου πειρωμένου ἀποσπάσαι τι ἐκ τῆς ῥηθείσης μονῆς τῇ ἐμφανείᾳ καὶ μόνῃ τῆς παρούσης προστάξεως τῆς βασιλείας μου. ἥτις ἐγεγόνει καὶ ἐπεδόθη τῇ μονῇ εἰς ἀσφάλειαν καὶ παντελῆ ἀνενοχλησίαν αὐτῆς †.

† Εἶχε τό· μηνὶ αὐγούστῳ ἰνδ. ε' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXII. 6748—1240, mense aprili, ind. XIII.

Maria, uxor Michaëlis Gunaropuli, monasterio campum vendit.

† Τὸ πρατήριον ἔγγραφον τῆς συμβίου τοῦ Γουναροπούλου ἐκείνου Μιχαὴλ καὶ τῶν παίδων αὐτῶν χάριν τοῦ χωραφίου τοῦ Ῥουμπάκου †.

Σίγνα· Μαρίας τῆς συμβίου τοῦ Γουναροπούλου Μιχαήλ, Γεωργίου τοῦ Γουναροπούλου, Εἰρήνης τῆς συμβίου αὐτοῦ †. Γεώργιος ἀναγνώστης, ὁ υἱὸς τοῦ Γουναροπούλου, οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι κ. τ. ἑ. Ἐγὼ Μαρία ἡ σύμβιος ἐκείνου Μιχαὴλ τοῦ Γουναροπούλου καὶ οἱ παῖδές μου, Γεώργιος καὶ Ἰωάννης, ἔτι δὲ κἀγὼ Γεώργιος ὁ Γουναρόπουλος καὶ ἡ σύμβιός μου Εἰρήνη . . . . τὴν παροῦσαν . . . . πρᾶσιν . . . . ποιοῦμεν . . . . πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας μονῆς τῶν Λέμβων, κῦριν Ἰγνάτιον, καθὼς τὸ ὕφος δηλοῖ· καὶ γὰρ φαινόμεθα ἡμεῖς οἱ προειρημένοι ἀπεμπολοῦντες πρὸς τὴν ὑπὸ σὲ ἁγίαν μονὴν χωράφιον μοδίων δύο ἐν τῇ τοποθεσίᾳ τοῦ Ῥουμπάκου καταπλησίον δυτικοῦ μέρους τοῦ Στεφάνου καὶ δεξιοῦ τοῦ Χαμοκριτῆ καὶ τοῦ Μόσχου εἰς ὑπέρπυρα δύο καὶ . . . ἓξ καὶ χάριν ἐπιτελείας πραττόμενα δύο πληρουμένων τριῶν χρόνων· καὶ γὰρ τὰ τοιαῦτα ὑπέρπυρα καὶ τὰ λαβόντες ἀπὸ τῶν χειρῶν σου εἰς τὰς ἡμετέρας χεῖρας ἐπ' ὄψεσι καὶ τῶν μαρ-

τύρων παραδεδώκαμέν σοι τὸ τοιοῦτον χωράφιον, καὶ ἀρκέσαι ἡμῖν τὸ παρὸν πρατήριον ἔγγραφον ἡμῶν, ὡς ἂν δεσπόζῃς αὐτὸ κ. τ. ἑ. ἀλλὰ καὶ χάριν προστίμου ὑποκεισόμεθα τοῦ ζημιοῦσθαι πρὸς ὑμᾶς τριάκοντα καὶ ἕξ. μηνὶ ἀπριλλίῳ ἰνδ ιγ' τοῦ ,ςψμη' †.

† Ἐγράφη δὲ τὸ παρὸν πρατήριον ἐξ ἐπιτροπῆς τοῦ πανοσιωτάτου καθηγουμένου κυροῦ Ἰγνατίου τῆς διαληφθείσης μονῆς †

Σίγνα μαρτύρων· Ἰωάννου τοῦ Βλαττηροῦ, Στεφάνου τοῦ Λεγᾶ, Γεωργίου τοῦ Κωνστομάρη, Ξένου τοῦ Λεγᾶ, Ξένου τοῦ Μεγαλωνᾶ, Νικήτα τοῦ Καταφυγιώτου.

† Ὁ εὐτελὴς ἱερεὺς Λέων ὁ Κοπάδης τὸ παρὸν πρατήριον γράφας ὑπέγραψα †.

CXIII. 6755—1246, mense decembri, ind. V.

Ioannes Blatterus et familia molendinum monasterio vendunt.

† Τὸ πρατρήριον ἔγγραφον Ἰωάννου τοῦ Βλαττεροῦ καὶ τῶν παίδων αὐτοῦ, Εὐδοκίας τοῦ Κουτελοῦ, καὶ τῶν παίδων αὐτῆς, Καλῆς τῆς τοῦ Στεφάνου, καὶ τῶν παίδων αὐτῆς καὶ Εὐδοκίας τῆς τοῦ Πιλάτου χάριν τοῦ ὑδρομυλικοῦ αὐτῶν ἐργαστηρίου †.

Σίγνα· Ἰωάννου τοῦ Βλαττεροῦ, Στεφάνου τοῦ υἱοῦ αὐτοῦ, Κωνσταντίνου, τοῦ αὐταδέλφου αὐτοῦ, Κωνσταντίνου, υἱοῦ τοῦ Κουτελοῦ, Ἰωάννου, τοῦ ἀδελφοῦ αὐτοῦ, Γεωργίου τοῦ ἑτέρου υἱοῦ αὐτοῦ, Ἰωάννου, γαμβροῦ τοῦ Καλοστεφάνου, Εὐδοκίας τῆς Κουτελοῦ, Ἰωάννου, τοῦ υἱοῦ αὐτῆς, Εὐδοκίας, τῆς τοῦ Πιλάτου, Στεφάνου, τοῦ υἱοῦ αὐτῆς, Νικολάου, τοῦ ἑτέρου υἱοῦ αὐτῆς, Καλῆς τῆς τοῦ Στεφάνου, Ξένου, τοῦ υἱοῦ αὐτῆς.

† Νικόλαος ἀναγνώστης οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι κ. τ. λ. Ἰωάννης ὁ Βλαττερὸς σὺν τοῖς παισί μου, τῷ Στεφάνῳ καὶ Κωνσταντίνῳ, Εὐδοκία ἡ τοῦ Κουτελοῦ σὺν τοῖς παισί μου, τῷ Κωνσταντίνῳ, τῷ Ἰωάννῃ καὶ τῷ Γεωργίῳ, Καλὴ ἡ τοῦ Στεφάνου σὺν τοῖς παισί μου, Νικολάῳ ἀναγνώστῃ, τῷ γαμβρῷ μου Ἰωάννῃ καὶ Ξένῳ τῷ υἱῷ μου καὶ Εὐδοκία ἡ τοῦ Πιλάτου σὺν

τοῖς παισί μου, Νικολάῳ, Στεφάνῳ καὶ τῷ Γαλατᾷ . . . τὴν παροῦσαν πρᾶσιν . . . ποιοῦμεν . . . ἀποβαλλόμενοι καὶ ἀποτασσόμενοι πάντα νόμον τὸν ἴσως προσβοηθοῦντα ἡμῖν ἐπ' ἀναιρέσει τῆς παρούσης ἡμῶν πράσεως, ἧς ἐξεθέμεθα πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν ἡμῶν μονήν· ἐπεὶ γὰρ εὑρισκόμεθα πολὺ πλῆθος καὶ οὐκ ἰσχύομεν ἐξυπηρετεῖν τὰς δουλείας τοῦ ὑδρομυλικοῦ ἐργαστηρίου καὶ ἐριζόμενοι ἠφήκαμεν αὐτό, καὶ ἀπῆλθεν εἰς ἀφανισμόν, ἀπεμπολοῦμεν αὐτὸ πρὸς τὴν μονὴν ταύτην καὶ πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον κῦριν Παῦλον, εἰς τὸν αἰῶνα τὸν ἅπαντα, καθὼς δηλωθήσεται· καὶ γὰρ συναρεσθέντες μετά σου πιπράσκομεν ἀπεντεῦθεν τὸ ὑδρομυλικὸν ἐργαστήριον εἰς ὑπέρπυρα ἕξ, ἃ δὴ καὶ λαβόντες κ. τ. ἑ. παραδεδώκαμέν σοι σωματικῶς τὸ τοιοῦτον ὑδρομωλικὸν ἐργαστήριον ἐξ ὁλοκλήρου, καὶ ἀρκέσῃ ὑμῖν τὸ παρὸν πρατήριον ἔγγραφον κ. τ. ἑ. λοιπὸν καὶ ἐπερωτώμενοι ὁμολογοῦμεν κ. τ. ἑ. τοῦ μὴ εἰς ἀνατροπὴν . . . . χωρηθῶμεν τῆς παρούσης ἡμῶν ἐγγράφου πράσεως πώποτε ἢ πλέον τίμημα ζητήσωμεν ἢ διατίμησιν ἀνακαλεσόμεθα καὶ ἀναργυρίαν ἢ ἕτερόν τι κεφάλαιον προβαλλώμεθα, ἐπεὶ οὐ μόνον οὐ μὴ εἰσακουσόμεθα . . . ἀλλὰ καὶ τὸ τίμημα, ὅπερ ἐλάβομεν, ἐπιδιπλασιάσωμέν σοι καὶ ζημίᾳ λίτρας μιᾶς ὑπερπύρων ὑποκεισοῦμεν καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. ἑ. μηνὶ δεκεβρίῳ ἰνδ. ε' τοῦ ͵ςψνε' ἔτους †.

Σίγνα μαρτύρων Γεωργίου τοῦ Γουναροπούλου; Ξένου τοῦ Αἰμιλινοῦ, Μανουὴλ τοῦ Ῥοδιανοῦ, Ξένου τοῦ Λεγᾶ, Ἰωάννου τοῦ Χαροχριτοῦ, Νικήτα τοῦ Καταφυγιώτου, τοῦ Γαλατᾶ, Θεοδώρου τοῦ Βαραγγία †.

† Ὁ εὐτελὴς ἱερεὺς Λέων ὁ Λιπαρηνὸς τὰ τοῦ παρόντος πρατηρίου ὕφους δηλούμενα γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

CXIV. 6740—1232, mense aprili, ind. V.

Gregorius Ponerus monasterio campum vendit.

† Τὸ πρατήριον ἔγγραφον Γρηγορίου τοῦ Πονηροῦ καὶ τῆς γυναικὸς αὐτοῦ χάριν τοῦ χωραφίου τοῦ εἰς τὸν ἅγιον Γεώργιον †.

Σίγνα· Γρηγορίου τοῦ Πονηροῦ καὶ Καλῆς τῆς συμβίου αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. Γρηγόριος ὁ Πονηρὸς καὶ ἡ τούτου σύμβιος Καλή, ἔτι δὲ καὶ ὁ υἱὸς αὐτοῦ Νικήτας . . . τὴν παροῦσαν . . . πρᾶσιν . . . ποιοῦμεν πρὸς σέ, τὸν πανοσιώτατον αὐθέντην καὶ καθηγούμενον τῆς σεβασμίας μονῆς τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης, τὸν κῦριν Παῦλον. κ. τ. ἑ. καὶ γὰρ τὸ χωράφιον ἡμῶν τὸ γονικῶς καὶ κληρονομικῶς ἡμῖν διαφέρον τὸ ὂν καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, ὡσεὶ μοδίων δύο καὶ πενταλι . . . ἑνὸς ἠθέλησας ἐξωνήσασθαι, καὶ λόγων μέσον ἡμῶν γινομένων περὶ τοῦ τιμήματος αὐτοῦ, ὕστερον περιεστήσαμεν αὐτῷ ἐκ συμφωνίας καὶ ἀρεσκείας ἡμῶν εἰς νομίσματα ὑπέρπυρα δύο καὶ . . . ἕν, ἅπερ καὶ λαβόντες κ. τ. ἑ. ἐνώπιον καὶ ὄψει τῶν κάτωθεν ὀφειλόντων σιγνογραφῆσαι μαρτύρων καὶ τελείως ἐκστάντες τῆς αὐτοῦ διακατοχῆς καὶ νομῆς ἐκχωροῦμέν σοι ἐπιλαβέσθαι αὐτοῦ κ. τ. ἑ. σωματικῶς οὖν τὴν σήμερον παρ' ἡμῶν παρεδόθη σοι, καὶ οὐδέποτε χωρήσωμεν πρὸς ἀνατροπὴν τῆς παρ' ἡμῶν γενομένης πράσεως κ. τ. ἑ. ἀλλὰ πρὸ δίκης ἁπάσης κ. τ. ἑ. ἵνα ἐπανέρχωνται τὰ νομίσματα τοῦ τοιούτου χωραφίου πρὸς τὸν αὐθέντην ἡμῶν καὶ ἃς ἔχει καταβαλέσθαι ἐπ' αὐτῷ ἐξόδους ἐπιδιπλασιάσωμεν κ. τ. ἑ. λόγῳ δὲ προστίμου παρασχεῖν ὀφείλομεν πρὸς σὲ καὶ τὴν μονὴν ὑπέρπυρα δέκα καὶ τὸ κατὰ νόμους εἰς τὸν δημόσιον κ. τ. ἑ. μηνὶ ἀπριλλίῳ ἰνδ. ς' τοῦ ,ςφμ' πρώτου ἔτους κ. τ. ἑ.

Σίγνα μαρτύρων· Στεφάνου τοῦ Τζουκαλᾶ, Ξένου τοῦ Ἀλεξάνδρου, Νικήτα τοῦ Καταφογιώτου, Γεωργίου τοῦ Μοσχόχειρος.

† Ὁ γραφεὺς τοῦ ὕφους, εὐτελὴς ἱερεὺς καὶ νομικὸς τῆς ἁγιοσοφιτικῆς χώρας Πρινοβάρεως Θεόδωρος ὁ Γουγγουλίκης, παρὼν καὶ μαρτυρῶν γράφας ὑπέγραφα †.

CXV. Sine anno, mense iulio, ind. VI.

Donatio Barae iterum monasterio confirmatur.

† Πρόσταγμα ἐπικυρωτικὸν ἀπολογιάζον καθόλου τοὺς Βλαττηροὺς ἀπὸ τῶν δικαίων τῆς Βάρης †.

† Εἶχον μὲν διενέξεις καὶ διαμάχας ὅ τε βεστιαρίτης τῆς βασιλείας μου, Ἰωάννης ὁ Ῥαβδοκανάκης καὶ ἡ κατὰ Σμύρνην διακειμένη σεβασμία μονὴ τῶν Λέμβων περί τινος γῆς διακειμένης εἰς τὸ δωρηθὲν αὐτῇ χωρίον τὴν Βάρην παρὰ τῆς βασιλείας μου ἤτοι τὰ Μῆλα, καὶ ἀνεκαλεῖτο τὴν τοιαύτην γῆν ὁ Ῥαβδοκανάκης, ὡς κατὰ λόγον προικὸς δοθεῖσαν αὐτῷ παρὰ τοῦ πενθεροῦ αὐτοῦ τοῦ Βλαττεροῦ ἐκείνου Βασιλείου διὰ συμφώνου, περιελθοῦσαν δὲ τῷ τοιούτῳ Βλαττερῷ ἐξ ἀγορασίας ἀπὸ τῶν ἐν τῷ χωρίῳ τῶν Μήλων προσκαθημένων Γουναροπούλων, τοῦ τε Μιχαὴλ, τοῦ Ἰωάννου καὶ τοῦ Νικήτα, καὶ ὑπὸ παροικίαν τελούντων αὐτῷ, τὸ δὲ μέρος τῆς μονῆς τῶν Λέμβων ἐξ ἐναντίας τούτῳ ἐφέρετο διισχυριζόμενον, διαφέρειν αὐτῷ τὴν τοιαύτην γῆν, ὡς οὖσαν ἀπὸ τῶν δικαίων τοῦ χωρίου τῶν Μήλων, τοῦ δωρηθέντος αὐτῇ παρὰ τῆς βασιλείας μου, καὶ ψευδῆ καὶ παράλογον γεγονέναι τὴν διάπρασιν ταύτης, ὡς ὑπὸ παροικίαν τελούσης καὶ ἐξ ἄλλων μὲν δικαιοῦσθαι αὐτὴν, ἀλλὰ δὴ καὶ ἀπὸ τοῦ σύμφημον τῆς ἐκεῖσε χώρας μαρτυρίαν γενέσθαι περὶ τῆς τοιαύτης γῆς. ἐπεὶ δὲ τὰ περὶ τῆς τοιαύτης ὑποθέσεως παρὰ τῷ περιποθήτῳ αὐταδέλφῳ τῆς βασιλείας μου, τῷ Κομνηνῷ κυρῷ Δημητρίῳ τῷ Τορνίκῃ, ἐλαλήθησαν καὶ ἐτηρήθησαν παρ' αὐτοῦ, παρουσίᾳ καὶ τοῦ Ῥαβδοκανάκη καὶ τοῦ μέρους τῆς ῥηθείσης μονῆς, διέγνω ὁ ῥηθεὶς αὐτάδελφος τῆς βασιλείας μου ὁ Κομνηνὸς καὶ ἀπεφήνατο, ὡς οὐκ ὤφειλον οἱ Γουναρόπουλοι διαπωλῆσαι πρὸς τὸν Βλαττερὸν τὴν τοιαύτην γῆν διὰ τὸ ὑπὸ παροικίαν τελεῖν ταύτην καὶ μὴ ὀφείλειν τοὺς ὑποτελεῖν πιπράσκειν τὰ παρ' αὐτῶν κατεχόμενα πρὸς τοὺς κατὰ λόγον προνοίας, ἔχοντας αὐτὰ ὡς ὑπὸ τὴν τοῦ δημοσίου χεῖρα ἀείποτε τελοῦντα, καὶ διὰ τοῦτο δίκαιον ἐστὶ τὸ τὴν τοιαύτην γῆν κατέχεσθαι μὲν παρὰ τῆς μονῆς τῶν Λέμβων, ὡς οὖσαν ἀπὸ τῶν δικαίων τοῦ χωρίου αὐτοῦ, διὰ τὸ καὶ τὰς γυναῖκας τῶν Γουναροπούλων, τοῦ τε Ἰωάννου καὶ τοῦ Μιχαὴλ, ἔτι τῷ βίῳ περιεῖναι καὶ ὑπὸ παροικίαν τελεῖν τῇ μονῇ, τὸν δὲ Ῥαβδοκανάκην μὴ ἔχειν τὸ ἀπὸ τοῦδε δίκαιόν τι ἐπ' αὐτῇ, παραστῆσαι δὲ δι' ὅρκου ὡς τὴν τοιαύτην ἀμφίμαχον γῆν ὁ πενθερὸς αὐτοῦ, ὁ Βλαττερὸς, ἠγόρασεν ἀπὸ τῶν ῥηθέντων Γουναροπούλων καὶ ὑπέρπυρα δέδωκεν εἰς τοσήνδε ῥητὴν ποσότητα περιιστάμενα χάριν ἀγορᾶς τῆς τοιαύτης γῆς, καὶ οὕτω μὲν τὴν τοιαύτην δι' ὅρκου ἀπόδειξιν ἀντιστραφῆναι αὐτῷ παρὰ

τῆς μονῆς τῶν Λέμβων, ὅσα ἀποδειχθῶσιν ὑπέρπορα δοθῆναι τοῖς Γουναροπούλοις παρὰ τοῦ πενθεροῦ αὐτοῦ ἐπὶ τῇ ἀγορᾷ τῆς τοιαύτης γῆς. διορίζεται γοῦν καὶ ἡ βασιλεία μου διὰ τῆς παρούσης προστάξεως αὐτῆς, διαλυτωθῆναι τὴν τοιαύτην ὑπόθεσιν κατὰ τὴν παροῦσαν διάγνωσιν τοῦ περιποθήτου αὐταδέλφου τῆς βασιλείας μου, τοῦ Κομνηνοῦ κυροῦ Δημητρίου τοῦ Τορνίκη. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῷ μέρει τῆς διαληφθείσης μονῆς τῶν Λέμβων εἰς ἀσφάλειαν καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός †.

† Εἶχε τὸ· μηνὶ ἰουλίῳ ἰνδ. ς' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

† Εἶχε δὲ καὶ κηρίνην βοῦλλαν ἀπῃωρημένην διὰ τοῦ βασιλικοῦ δακτύλου καὶ τὸ· διὰ τοῦ Τορνίκη Δημητρίου ὡς ἔθος τοῖς μεσάζουσιν †.

CXVI. 6758—1250, mense augusto, ind. VIII.

Filii Gunaropuli monasterio possessiones vendunt.

† Τὸ πρατήριον τῶν παίδων τοῦ Γουναροπούλου, Γεωργίου ἀναγνώστου, καὶ τῶν λοιπῶν χάριν τῶν χωραφίων τοῦ Δημοσίου †.

Γεώργιος ἀναγνώστης οἰκείᾳ χειρὶ προέταξα.

Σίγνα· Ξένου τοῦ Αἰμιλιανοῦ, Εἰρήνης, τῆς συμβίου αὐτοῦ, Μιχαήλ, τοῦ υἱοῦ αὐτοῦ, Νικολάου, τοῦ ἑτέρου υἱοῦ αὐτοῦ, Ἰωάννου, τοῦ ἀδελφοῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν .... ὅτε Γεώργιος ἀναγνώστης καὶ ἡ τούτου σύμβιος Θεοφανώ, Ἰωαννης ὁ γνήσιος αὐτάδελφος αὐτοῦ καὶ ἡ τούτου σύμβιος Μαρία καὶ Ξένος, ὁ γαμβρὸς αὐτῶν, ὁ Αἰμιλιανός, καὶ ἡ τούτου σύμβιος Εἰρήνη καὶ οἱ παῖδες αὐτοῦ, ὅ τε Νικόλαος καὶ Μιχαήλ, τὴν παροῦσαν ... πρᾶσιν ... ποιοῦμεν ... πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον καὶ αὐθέντην ἡμῶν, ἱερομόναχον κῦριν Ἀθανάσιον, καὶ τὸν οἰκονόμον, κῦριν Μάξιμον, καὶ πρὸς πάντας τοὺς μοναχούς. καὶ γὰρ τὰ γονικὰ ἡμῶν ἀμπέλια τὰ καὶ κληρονομικῶς ἡμῖν διαφέροντα καὶ ἐν τῇ τοποθεσίᾳ τοῦ Δημοσίου διακείμενα, τοῦ μὲν Γεωργίου πινακίων ἑπτὰ εἰς πρό-

βατα μεγάλα δεκατρία μετα τῶν ὑπογεννημάτων αὐτῶν, τοῦ γαμβροῦ δὲ αὐτοῦ τοῦ Ξένου μοδίου ἑνὸς εἰς ὑπέρπυρα ἑπτὰ ἥμισυ, τοῦ δὲ Ἰωάννου ἥμισυ μοδίου εἰς ὑπέρπυρα τρία, καὶ τελείως ἐκστάντες τῆς αὐτῶν διακατόχου νομῆς ἐκχωροῦμεν ὑμῖν ἐπιλαβέσθαι αὐτῶν καὶ χρᾶσθαι κ. τ. ἑ. σωματικῶς οὖν ἀπὸ τῆς σήμερον παρεδόθησαν παρ' ἡμῶν τὰ τοιαῦτα ἀμπέλια, καὶ οὐδέποτε χωρήσωμεν πρὸς ἀνατροπὴν κ. τ. ἑ. καὶ ἐάν τις τὴν παροῦσαν πρᾶσιν βουληθῇ ἐγκλῆσαι κ. τ. ἑ. ὀφείλει δὲ τελεῖν κατ' ἔτος τὸν αὔγουστον μῆνα πρὸς τὸ μέρος τοῦ Γουναροπούλου. . . δύο. μ η ν ὶ α ὐ γ ο ύ σ τ ῳ ἰ ν δ. η' τοῦ ,ς φ ν η' ἔ τ ο υ ς †.

Μάρτυρες ἦσαν οὗτοι· Γεώργιος ὁ γαμβρὸς τοῦ Γουναροπούλου, Ἰωάννης ὁ Μαῦρος, ὁ Καλοειδᾶς, Ἰωάννης ὁ Πάρδος καὶ Κυριακός, ὁ γαμβρὸς αὐτοῦ †.

† Ὁ γ ρ α φ ε ὺ ς τ ο ῦ ὕ φ ο υ ς Σ τ έ φ α ν ο ς ἱ ε ρ ε ὺ ς ὁ Λ ε υ κ ά τ η ς π α ρ ὼ ν κ α ὶ μ α ρ τ υ ρ ῶ ν, ὡ ς τ ὸ ὕ φ ο ς δ η λ ο ῖ, κ α ὶ γ ρ ά ψ α ς ὑ π έ γ ρ α ψ α †.

CVII. 6700—1192, mense septembri, ind. X.

Monachus Gerontius monasterio S. Mariae bona sua donat.

† Τ ὸ δ ι α θ η κ ῷ ο ν γ ρ ά μ μ α τ ο ῦ μ ο ν α χ ο ῦ Γ ε ρ ο ν τ ί ο υ χ ά ρ ι ν τ ῆ ς μ ο ν ῆ ς τ ῆ ς ἁ γ ί α ς Μ α ρ ί ν η ς κ α ὶ ὧ ν π ρ ο σ ε κ ό ρ ω σ ε π ρ α γ μ ά τ ω ν †.

Σίγνον Γεροντίου μοναχοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἀρχῇ μὲν πάντοτε τὸ τῆς ἁγίας τριάδος προβάλλεσθαι ὀφείλομεν ὄνομα, δι' αὐτῆς γὰρ ζῶμεν καὶ κρινούμεθα καὶ ἐσμέν, καὶ οὕτως ἄρχεσθαι ἄμεινον τῆς οἱασοῦν ὑποθέσεως. τί οὖν, φησίν, θάνατον ὁ θεὸς πεποίηκεν, ἀλλ' ἐπειδὴ κατ' εἰκόνα ἰδίαν ὁ θεὸς τὸν ἄνθρωπον ἔπλασεν, εὔδηλον, ὅτι καὶ ὁ ἄνθρωπος ἀθάνατος ἦν· ἡ γάρ τοι τοῦ πρωτοπλάστου καὶ προπάτορος παρακοὴ θάνατον εἰς τὸν κόσμον εἰσήγαγεν, ἐντεῦθεν μετέδωκεν εἰς ἡμᾶς τοὺς ἑαυτοῦ ἀπογόνους τὸ τοῦ προπάτορος πτῶμα. τοίνυν ἀεὶ μεμνῆσθαι θανάτου χρεών. ὅθεν κἀγὼ Γερόντιος μοναχὸς ὁ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν κ. τ. ἑ. τὸ τοῦ θανάτου ἄωρον δεδιώς, ἵνα

μήπως ὡς κλέπτης ἐπιστῇ μοι ὁ θάνατος καὶ τὰ ἐν ἐμοὶ πάντα ἀδιοίκητα εὕρῃ, δεῖν ἔστιν, ἕως ὅτε ἐρρωμένον καὶ ἀσινῆ κεκτημένος τὸν νοῦν καὶ τὰς φρένας, τὰ πάντα μοι διαθέσθαι καὶ δῆλα τοῖς ἰδίοις δηλώσειν καταλιπὼν μετὰ θάνατον· καὶ πρῶτον μὲν ἀφίημι πᾶσι χριστιανοῖς τὴν ἐκ θεοῦ καὶ πλάστου πάντων συγχώρησιν, ἔπειτα ἀφίημι εἰς τὴν μονὴν τὴν ἀνεγερθεῖσαν παρ' ἐμοῦ ἐκ βάθρων δι' οἰκείων μου κόπων καὶ ἀναλωμάτων καὶ καμάτων τὴν καὶ ἐπονομαζομένην ἁγίαν Μαρίνην τῶν Μήλων, ἀφ' ὧν τὴν σήμερον καθευρέθησαν ἐν τῇ τοιαύτῃ μονῇ βοΐδια καματηρὰ πέντε, ἀγελάδια τρία, μοσχάρια δύο, πρόβατα ἑξήκοντα καὶ δύο, φυτείαν μοδίων δύο ἐν τῇ τοποθεσίᾳ τῆς Βάρης, ἣν ἐξωνησάμην ἀπὸ τοῦ Ληστοῦ, ὀνικὸν ἀρρενικὸν, λισκάρια τρία, τζάπια πέντε, ἀξινάρια β', κλαδέκτρα δύο, δρέπανα ὀκτὼ, σμιλάρια τέσσαρα, κεραστικὸν ἕν, τηγάνιν ἕν, πριόνι ἕν, ξυλογάριον ἕν, τρυπάνιν μέγα, σφυροκόρακον, μελισσάρια, κιβέρται καὶ θηρίδαι ἑξήκοντα, βιβλία ι', εὐαγγέλιον, ὀκτώηχος δικάνονος, στιχηροκαθίστρον, τριῴδιον, μηναῖον, πεντηκοστάριον, ἀναγνωστικὰ δύο, κλίμαξ καὶ λαῦσος, σχηματολόγιον καὶ κοντακάριν, σίτου μόδια πε' καὶ χάριν σπόρου μόδια με'. εἰσὶ καὶ ἕτερα βιβλία τοῦ μοναχοῦ Ματθαίου, μηναῖον, ψαλτήριον, εὐχολόγιον, κοντάκιν, χρυσοστομικὸν καὶ προηγιασμένας. εὑρέθησαν δὲ καὶ ὄσπρα φάβατα μόδια ιε', ἐρεβίνθια μόδια ιδ', ἕτερα ἐρεβίνθια μόδια ι'. ταῦτα δὲ πάντα ἐπαφίημι πρὸς τὴν ῥηθεῖσαν μονὴν καὶ πρὸς τὸν υἱόν μου, τὸν μοναχὸν Ματθαῖον. ἐπαφίημι δὲ καὶ τὸν ἀνεψιόν μου, κῦριν Μιχαὴλ τὸν τοῦ Χιώτου, εἰς τὸ ἐπιβλέπειν καὶ ἐπισκιάζειν τὴν τοιαύτην μονὴν ὡς ἐπίτροπον. ἔχειν δὲ ὁ προρρηθεὶς μοναχὸς κῦρις Ματθαῖος, ὁ καὶ υἱός μου, ἐπ' ἀδείας εἰσάγειν καὶ ἐξάγειν καὶ τἄλλα πάντα ποιεῖν τὰ ἀρέσκοντα τῷ θεῷ καὶ ἀνθρώποις, καὶ εἰ οὕτως ἔχει, διαπράξασθαι, οὐδεὶς ἐξεῶσαι αὐτὸν ἀπὸ τῆς τοιαύτης μονῆς. ἐπαφίημι δὲ καὶ τὴν συναδελφήν μου, τὴν κυρὰν Καλληνίκην, ἐντὸς τοῦ νέου περιβολίου δένδρα μῆλας δύο, ῥοδάκινα δύο, ἀπίδιον μίαν βασιλικὴν καὶ ἑτέραν δροσαπίδιαν, ὡς πολλὰ κοπιάσασαν καὶ αὐτὴν εἰς τὴν τοιαύτην μονὴν, ὡς ἔσονται δῆλα εἰς πολὺν κόπον οἱ κόποι αὐτῆς. οἷος δὲ ἀπὸ τῶν συγγενῶν μου ἢ τῶν ἐγγὺς καὶ πόρρωθεν ἢ ἀπὸ τῶν γειτονευόντων ἢ καὶ τῶν ἀλλοτρίων προσώπων βουληθῇ ἀνατρέψαι ἢ ἀθετῆσαι τὰ παρ' ἡμῶν δόξαντα καὶ συμφωνηθέντα ὡς αὐθέντης καὶ κτήτωρ, ἵνα

ἐπισπᾶται τὰς ἀρὰς κ. τ. ἑ. μηνὶ σεπτεβρίῳ ἰνδ. η' ἔτους ,ςψ' ἐπώπιον τῶν κάτωθεν ὑπογραφόντων μαρτύρων ἐν τῇ καθαρᾷ μου ταύτῃ διαθήκῃ †.

Σίγνα μαρτύρων· Ἰωάννου τοῦ Βλαττεροῦ, Στεφάνου τοῦ Λεγᾶ, Ἰωάννου τοῦ Χαμοκριτοῦ, Ξένου τοῦ Λεγᾶ, Γαλάτου τοῦ Χαμοκριτῆ †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς χωρίου Πρινοβάρεως, Θεόδωρος ὁ Γουγγουλίκης, παρὼν ἐπὶ τῇ παρούσῃ καθαρᾷ διαθήκῃ καὶ γράφας ὑπέγραφα †.

CXVIII. 6755—1246, mense decembri, ind. V.

Monachus Matthaeus Chiotes et filii presbytero Stephano campum donant.

† Τὸ ἐκδοτήριον γράμμα τοῦ μοναχοῦ Ματθαίου τοῦ Χιώτου καὶ τῶν παίδων αὐτοῦ καὶ ἑτέρων, ὧν κάτωθεν δηλώσομεν †.

Σίγνον· μοναχοῦ Ματθαίου τοῦ Χιώτου, Ἰωάννου, τοῦ υἱοῦ αὐτοῦ, Καλῆς, τῆς θυγατρὸς αὐτοῦ, Θεοδώρου τοῦ Ἀκακιανοῦ, Μαρίας τοῦ Λιγάτου, Ἰωάννου τοῦ Πονηροῦ, Σοφίας, τῆς συμβίου αὐτοῦ, Γεωργίου, τοῦ υἱοῦ αὐτοῦ.

† Καὶ Σκύθαι μὲν καὶ Πέρσαι καὶ Ἄραβες καὶ πᾶν γένος βαρβαρικὸν τὸ πάτριον ἔθος ἀντὶ νόμου κρατεῖ· ἐν ἐκείνοις γὰρ καὶ καταπέλται καὶ ξίφη καὶ πόλεμοι διὰ παντὸς κρατοῦντες τὴν ἐφιζάνουσαν ἐν αὐτοῖς φυσικὴν ὠμότητα, ἡμεῖς δὲ οἱ χριστιανοί, ὡς ἐλπίζοντες παραστῆναι τὸ πάνδημον θέατρον καὶ τὸν ἀλάθητον ὀφθαλμὸν τοῦ δεσπότου Χριστοῦ, διὰ τοῦτο ὁμολογοῦμεν καὶ πράττομεν ἐν ὀνόματι κ. τ. ἑ. Ματθαῖος μοναχὸς ὁ Χιώτης, Ἰωάννης, ὁ υἱὸς αὐτοῦ, Θεόδωρος, ὁ γαμβρὸς αὐτοῦ, ὁ Ἀκακιανὸς, ἡ τούτου τε σύμβιος Καλή, Μαρία ἡ Λιγάτισσα, Ἰωάννης ὁ Πονηρὸς καὶ ἡ σύμβιος αὐτοῦ Σοφία .... τὴν παροῦσαν .... καθαρὰν δωρεὰν ποιοῦμεν πρὸς σὲ, τὸν θεοσεβέστατον ἱερέα κῦριν Στέφανον, καὶ πρὸς τὴν σύμβιόν σου, κυρὰν Μαρίαν κ. τ. ἑ. καθὼς δηλωθήσεται· καὶ γὰρ ἐκδιδοῦμέν σοι ... τὸ χωράφιον ἡμῶν τὸ ὂν καὶ διακείμενον ἐν τῷ χωρίῳ τῇ Βάρῃ τοῦ ἀνεγερθῆναι ἐκ βάθρων παρὰ σοὶ εὐκτήριον εἰς ὄνομα

τῆς ὑπερενδόξου θεοτόκου καὶ πρῶτα μὲν τοῦ ἐξυμνεῖσθαι τὸ θεῖον, εἶθ' οὕτως ὑπερεύχεσθαι παντὸς τοῦ χριστωνύμου καὶ ὀρθοδόξου πληρώματος, ἐπεὶ καὶ δι' ὑπομνήσεως σοῦ, τοῦ θεοσεβεστάτου ἱερέως, πρὸς τὸν αὐθέντην ἡμῶν τὸν βασιλέα ἀπελθόντος καὶ πορισαμένου θεῖον καὶ προσκυνητὸν ὁρισμὸν τοῦ ἀνεγερθῆναι παρὰ σοῦ τὸν τοιοῦτον εὐκτήριον· σὺν αὐτῷ οὖν ἐκδιδοῦμέν σοι καὶ τὸ ἐρημοάμπελον τὸ ἀπὸ μεσημβρίας διακείμενον τοῦ ἀνεγερθησομένου ναοῦ, ὅπερ ἐνέμετο Μαρία, ἡ αὐταδέλφη τοῦ προαναγεγραμμένου μοναχοῦ Ματθαίου, οἷον καὶ ὅσον ἐστὶν, ἔχον καὶ ῥιζάριον ἐν μέσῳ τοῦ τροχάλλου μου, καὶ διδῶ καὶ αὐτὸ εἰς τὴν ἐκκλησίαν, τὸ δέ γε χωράφιον ἤγουν τὴν μερίδα τοῦ Πονηροῦ κυροῦ Ἰωάννου οὕτως ἐκδίδωμι αὐτό· ἄρχεται ἀπὸ τῆς μέσης τῶν οἰκημάτων τοῦ μοναχοῦ Ματθαίου τοῦ Χιώτου καὶ ἀπέρχεται κατ' ἰσότητα ἀπὸ ἄρκτου, ὄπισθεν δὲ τῶν οἰκημάτων τοῦ Πονηροῦ ἔχειν καὶ δεσπόζειν ἡ ἐκκλησία εἰσοδοέξοδον ἀμαξίου, τὸ δὲ ἕτερον χωράφιον ἀπὸ ἀνατολῆς ἐστι τῶν Χαμοκριτάδων. τὸ δὲ ἡμέτερον οὕτως ἐκδιδοῦμεν αὐτὸ ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας καὶ χωρὶς τινὸς βάρους καὶ συζητήσεως καὶ ἐλεύθερον ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας, ἀλλὰ καὶ ὁ δωρούμενος δύναται ὡς ἐκ μεταμελείας θανάτου αἰτίας ἀνατρέπειν τὴν δωρεὰν, ἄλλοι δὲ καὶ τοῦ νόμου τοῦ ἀνατρέποντος τὰς δωρεὰς τὰς ὑπὲρ τὰ πεντακόσια νομίσματα τυγχανούσας, ἀλλ' ἡμεῖς σὲ τὸν μετάμελον ἀνείλομεν σήμερον, καὶ οὐδέποτε χωρηθῶμεν πρὸς ἀνατροπὴν τῆς παρούσης ἡμῶν δωρεᾶς, ἀλλὰ κατέχειν τὸ αὐτὸ εὐκτήριον ἐξουσιαστικῶς καὶ μονομερῶς, μέχρις ἂν ὁ θεὸς τὸ ζῆν δωρῆταί σοι, μὴ μόνον οὐ μὴ εἰσακούεται ἐμφανιζομένου τοῦ παρ' ἡμῶν γεγονότος ἐγγράφου, ἀλλὰ καὶ δόξης προστίμου ὑπόκειται νομισμάτων ὑπερπύρων εἰς τὸ βασιλικὸν βεστιάριον λίτραν μίαν· σὺν τούτοις καὶ τὰς ἀρὰς ἕξει κ. τ. ἑ. μηνὶ δεκεβρίῳ ἰνδ. πέμπτης τοῦ ͵ςφνε' ἔτους †.

Σίγνα μαρτύρων· Ξένου τοῦ Λεγᾶ, Ἰωάννου τοῦ Μαύρου, Γεωργίου τοῦ Γουναροπούλου.

† Θεόδωρος, ἱερεὺς καὶ νομικὸς τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης καὶ ἐνορίας Μανταίας, ὁ Κάλλιστος, καὶ γράψας ὑπέγραψα †.

† Ὁ εὐτελὴς ἀναγνώστης Γεώργιος, ὁ υἱὸς τοῦ πρωτοπαπᾶ, οἰκείᾳ χειρὶ ὑπέταξα †. † Ὁ εὐτε-

λῆς ἀναγνώστης Ἰωάννης ὁ Κουβουκλείσιος ὑπέγραφα †.

Σίγνα μαρτύρων· Κωνσταντίνου τοῦ Βλαττεροῦ, Καλῆς τῆς Φιλαγρίνης, Γεωργίου τοῦ Καλοειδῆ. τὸ τῆς ἐκκλησίας πρᾶγμα ἐστὶ τοῦτο· ἀμπέλιον τοῦ Σκαμανδρηνοῦ πινακίου ἑνός, χωράφιον εἰς τοὺς ἁγίους τεσσαράκοντα, οἷον καὶ ὅσον εἰς τὴν Ληνὸν τρίτην μερίδα, τὸ ἔσσω χωράφιον τῆς ἐκκλησίας μετὰ τῶν δένδρων τῶν ἥμισυ †.

CXIX. 6758—1250, mense aprili, ind. VIII.

Maria Catophygiotissa et Gregorius Tzancaropulus monasterio campos vendunt.

† Τὸ πρακτήριον ἔγγραφον τῆς Καταφυγιωτίσσης καὶ τῶν παίδων αὐτῆς καὶ Γρηγορίου τοῦ Τζαγκαροπούλου καὶ τῆς γυναικὸς αὐτοῦ χάριν τῶν χωραφίων αὐτῶν τῶν εἰς τὸν Μαύρικαν καὶ εἰς τὸν Γονοπάτην †.

Σίγνα· Μαρίας τῆς Καταφυγιωτίσσης, Γεωργίου, τοῦ υἱοῦ αὐτῆς, Θεοδώρου, τοῦ ἑτέρου υἱοῦ αὐτῆς, Γρηγορίου τοῦ Τζαγκαροπούλου, Ἄννης, τῆς συμβίου αὐτοῦ †.

† Ἐν ὀνόματι κ. τ. ἑ. Μαρία ἡ Καταφυγιώτισσα κ. τ. ἑ. τὴν παροῦσαν . . . πρᾶσιν . . . ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν βασιλικὴν μονὴν τῶν Λέμβων καὶ πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον καὶ αὐθέντην ἡμῶν, ἱερομόναχον κῦριν Ἀθανάσιον κ. τ. ἑ. καὶ γὰρ τὰ χωράφια ἡμῶν τὰ ὄντα καὶ διακείμενα τὸ μὲν τοῦ Γρηγορίου εἰς τὸν Μαύρικαν μοδίων δύο, εἰς ὑπέρπυρον ἓν ἥμισυ, τῆς δὲ Καταφυγιωτίσσης εἰς τὸν Γονοπάτην, ὡσεὶ μοδίων τριῶν ἥμισυ εἰς ὑπέρπυρα τρία, μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν βουληθέντες ἐκποιήσασθαι τὴν παροῦσαν πρᾶσιν αὐτῶν περιεστήσαμεν εἰς ἅπερ ὑπέρπυρα προεγράφαμεν, ἅπερ καὶ λαβόντες κ. τ. ἑ. ὀφείλει διὰ τοῦτο κατέχειν ἡ μονὴ ταῦτα κ. τ. ἑ. καὶ ἐάν τις τὴν παροῦσαν ἡμῶν πρᾶσιν ἐναλλάξαι ἢ ἀθετῆσαι κ. τ. λ. μηνὶ ἀπριλλίῳ ἰνδ. ε' τοῦ ͵ςψνη' ἔτους †.

Σίγνα μαρτύρων· Ξένου τοῦ Λεγᾶ, Γεωργίου τοῦ Γουναροπούλου.

† Ὁ εὐτελὴς ἱερεὺς Στέφανος ὁ Λευκάτης γράφας ὑπέγραφα †.

CXX. Sine anno, mense augusto, ind. XI.

Imperator donationem possessionum in vico Bara confirmat.

† Πρόσταγμα διορίζον περὶ τῶν ὑποστατικῶν τῶν παίδων τοῦ Κωνστομάρη, ἤγουν τοῦ Πόθου καὶ τοῦ Μαντειανοῦ, ὧν ἔχουσιν εἰς τὴν Βάρην, ἀπολογιάζον αὐτοὺς ἐπιφωνηματικῶς καὶ διὰ παιδεύσεως †.

† Ἔφθασε μὲν ἡ βασιλεία μου προσκυρῶσαι τῇ σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τῇ τῶν Λέμβων κτήματά τε καὶ ὑποστατικὰ διάφορα εἰς ὑπηρεσίαν καὶ οἰκονομίαν τῶν ταύτῃ ἐνασκουμένων μοναχῶν διὰ χρυσοβούλλων αὐτῆς. ἐπεὶ δὲ ἐδέησε καὶ περίορον γενέσθαι ἐπ' αὐτοῖς, ὥρισεν ἡ βασιλεία μου τῷ τότε στρατοπεδάρχῃ ὄντι τοῦ θέματος τῶν Θρακησίων ἐκείνῳ, κυρῷ Μιχαὴλ τῷ Φωκᾷ συμπεριλαβεῖν διὰ περιόρου πάντα τὰ προσαρμόσαντα τῇ τοιαύτῃ μονῇ διά τε χρυσοβούλλων τῆς βασιλείας μου, διά τε ἐξωνήσεως τῶν κατὰ καιροὺς ἡγουμενευσάντων ἐν αὐτῇ, ἀλλὰ δὴ καὶ προσενέξεως, καὶ πεπλήρωκεν ὁ δηλωθεὶς Φωκᾶς, καθὼς ὡρίσθη παρὰ τῆς βασιλείας μου, κατὰ λογὸν δὲ πεποιηκὼς τὸν τοιοῦτον περίορον τῇ δηλωθείσῃ μονῇ τῶν Λέμβων, τοῦτον ἐπέδωκεν, ὃς καὶ παρὰ τοῦ μέρους αὐτῆς τῇ βασιλείᾳ μου ἐμφανισθεὶς ἐπεκυρώθη τε καὶ ἐβεβαιώθη διὰ χρυσοβούλλου τῆς βασιλείας μου. ἐδόκουν γοῦν οἱ ταύτῃ τῇ μονῇ ἐνασκούμενοι, ὡς τὰ ἐντὸς τούτου περικλεισθέντα ἀναποσπάστως καὶ ἀκεραίως κρατοῦσι καὶ νέμονται, ἀγνοοῦντες, ὡς ἐντὸς τοῦ τοιούτου περιόρου ὁ Κωστομάρης ἐκεῖνος καὶ ὁ Πόθος Σωτήριχος καὶ ὁ σύγγαμβρος αὐτοῦ ὁ Μαντειανὸς καὶ ἕτεροι προσγενεῖς αὐτῶν κρατοῦσι χωράφια οὐκ ὀλίγα καὶ τὴν ἐκ τούτων ἀποκερδαίνουσιν εἴσοδον ἐν τῇ Βάρῃ καὶ τῷ περιόρῳ ταύτης τυγχάνοντα, ἐν οἷς δὴ χωραφίοις προσφάτως καὶ ἀμπέλιον κατεφύτευσαν, ἐξ οὗπερ ἀμπελίου ἔγνωσαν οἱ μοναχοὶ ἐντὸς τοῦ περιόρου αὐτῶν κρατεῖσθαι παρὰ τῶν δηλωθέντων ἀμετόχως τὰ τοιαῦτα χωράφια. ἀνέδραμον γοῦν εἰς τὴν βασιλείαν μου οἱ τοιοῦτοι μοναχοὶ καὶ ἀναφορὰν περὶ τούτου πρὸς αὐτὴν ἐποίησαν, καὶ παρόντος τοῦ Πόθου, τοῦ Μαντειανοῦ καὶ τῶν λοιπῶν προσγενῶν αὐτῶν τῶν ἀπὸ τοῦ Κωνστομάρη ἐτηρήθη τὰ τῆς ὑποθέσεως ὁρισμῷ τῆς βασιλείας μου, καὶ ὑπέδειξαν οἱ μοναχοὶ τὰ

προσόντα αὐτοῖς χρυσόβουλλα τῆς βασιλείας μου καὶ τὸν περίορον, ἐν ᾧ δὴ περιόρῳ οὐδόλως ἐδηλοῦτο κατέχειν τὸν Κωνστομάρην ἐν τῷ τόπῳ τῆς Βάρης ἢ τὸν Πόθον ἢ ἕτερόν τινα τῶν προσγενῶν αὐτῶν χωράφιον ἢ ἕτερόν τι ὁποιονδήτι ὑποστατικόν. ἀπῃτεῖτο δὲ καὶ ὁ Πόθος καὶ οἱ προσγενεῖς αὐτοῦ δεῖξαι εἰς δικαίωμα αὐτῶν ἢ ἀποκατάστασιν τοῦ στρατοπεδάρχου ἐκείνου τοῦ Φωκᾶ ἢ γραφὴν αὐτοῦ ἐνυπόγραφον δικαιοῦσαν τούτους ἐπὶ τῇ τῶν τοιούτων ὑποστατικῶν κατοχῇ καὶ νομῇ· ἐπεὶ δὲ οὐδέν τι τοιοῦτον ἠδυνήθησαν δεῖξαι, ἀλλὰ λόγους καὶ αἰτίας προυβάλλοντο, ἐξ ὧν οὐδεμίαν εὗρον ὠφέλειαν, διεγνώσθη ἐν τῇ τοιαύτῃ κρίσει κατέχεσθαι τὰ τοιαῦτα ὑποστατικὰ παρὰ τῆς τῶν Λέμβων μονῆς, ὡς ἐντὸς τοῦ περιόρου αὐτῆς κείμενα, καὶ μὴ ἔχειν τὸ ἀπὸ τοῦδε μετουσίαν τινὰ τοὺς ἀπὸ γένους τοῦ Κωστομάρη, τὸν Πόθον, τὸν Μαντειανὸν καὶ τοὺς λοιπούς, ἐπὶ τοῖς τοιούτοις ὑποστατικοῖς. ἐν ἀκροάσει γενομένη ἡ βασιλεία μου τῆς τοιαύτης ἀποφάσεως καὶ παιδεύσεως ἀξίους εἶναι κέκρικεν, ὡς ἀμετόχως ἐθέλοντας κρατεῖν τὰ μὴ δικαίως αὐτοῖς διαφέροντα, φιλανθρωπότερον δὲ διατεθεῖσα μόνον ἀποσοβηθῆναι τούτους τῆς τῶν τοιούτων ὑποστατικῶν νομῆς, διωρίσατο τὴν μονὴν δὲ κυρίαν μένειν καὶ δεσπότιν καὶ αὐτῶν ὡς ἐμφερομένων, ὡς εἴρηται, τῷ περιόρῳ αὐτῆς, ὅθεν καὶ διορίζεταί σοι τῷ Ἀγάλλωνι τῷ Κωπίδῃ ἐπιστῆναι κατὰ τόπον καὶ ποιήσασθαι καὶ σωματικὴν παράδοσιν πρὸς τὴν δηλωθεῖσαν μονὴν τῶν τοιούτων ὑποστατικῶν, ὥστε μηδόλως ἔχειν ἐπ' ἀδείας τοὺς τοῦ Κωνστομάρη ἀπογόνους, τὸν Πόθον, τὸν Μαντειανὸν καὶ τοὺς λοιπούς, ὄχλησιν ἐπάγειν τὸ ἀπὸ τοῦδε τῇ τοιαύτῃ μονῇ χάριν τῶν τοιούτων ὑποστοτικῶν, ἀμπελίων καὶ χωραφίων φημί· διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός, ὀφείλων προσεῖναι τῇ πολλάκις διαληφθείσῃ μονῇ τῆς βασιλείας μου εἰς ἀνενοχλησίαν αὐτῆς καὶ ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ αὐγούστῳ ἰνδ. ἑνδεκάτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXI. Sine anno, mense iulio, ind. II.

Imperator Theodorum Calothetum iura monasterii tueri iubet.

† Ἕτερον πρόσταγμα διοριζόμενον τῷ πανσεβάστῳ Καλοθέτῳ περὶ ὧν πειρῶνται ὑποστατικῶν οἱ τοῦ Κωνστομάρη, τοῦ Πόθου καὶ τοῦ Μαντειανοῦ ἀπόγονοι, ὅπως κατὰ τὰς περιλήψεις τῶν τῆς μονῆς δικαιωμάτων παραδώσει ταῦτα πρὸς αὐτὴν †.

† Θεῖε τῆς βασιλείας μου, πανσέβαστε σεβαστὲ κῦρ Θεόδωρε Καλόθετε· ὑπεμνήσθη ἡ βασιλεία μου παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῶν Λέμβων, ὡς οὐκ ὀλίγας διενέξεις καὶ ὀχλήσεις εὑρίσκει καὶ αὖθις παρά τε τῶν Μαντειανῶν καὶ τῶν προσγενῶν αὐτοῦ ἐπὶ τοῖς χωραφίοις καὶ τῷ ἀμπελίῳ, οἷς κατέχει διὰ χρυσοβούλλων τοῦ ἀοιδίμου βασιλέως, αὐθέντου καὶ θείου τῆς βασιλείας μου, καὶ διὰ περιόρου τοῦ στρατοπεδάρχου ἐκείνου, κυροῦ Φωκᾶ, ἐν οἷς καὶ ἐκρίθησαν διαφόρους φορὰς ὁρισμῷ τοῦ ἀοιδίμου βασιλέως, αὐθέντου καὶ θείου τῆς βασιλείας μου, παρά τε τοῦ Μεσοποταμίτου ἐκείνου καὶ ἑτέρων, καὶ ἐφάνη τὸ μέρος τῆς τοιαύτης μονῆς δικαιούμενον ἐπ' αὐτοῖς. ἀποτρεπόμενοι δὲ οἱ τοιοῦτοι Μαντειανοί, ὡς μὴ ἔχοντες δίκαιον, καὶ ἐγεγόνεισαν τῷ τότε καὶ ὁρισμοὶ τῆς βασιλείας ἐκείνου διοριζόμενοι κατέχειν τὰ τοιαῦτα χωράφια καὶ τὸ ἀμπέλιον τὴν μονὴν καὶ νέμεσθαι ὡς τὸ πρότερον· διορίζεται οὖν σοὶ ἡ βασιλεία μου, ὡς ἂν τηρήσῃς τὰ προσόντα τῇ τοιαύτῃ μονῇ χρυσόβουλλα τοῦ ἀοιδίμου αὐθέντου καὶ θείου τῆς βασιλείας μου καὶ τὸν περίορον τῆς τοιαύτης μονῆς καὶ τὰ λοιπὰ προστάγματα καὶ κατὰ τὰς περιλήψεις αὐτῶν ἀποκαταστήσῃς τὴν τοιαύτην μονὴν κατέχειν καὶ νέμεσθαι πᾶν εἴ τι ἐν αὐτοῖς ἐμπεριείληπται ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως· τὸ στέργον γὰρ ἔχειν βούλεται ἡ βασιλεία μου τὰ τοιαῦτα πάντα δικαιώματα καὶ ἀπερικλόνητον καὶ ἀπαράθραυστον κατὰ πάσας τὰς περιλήψεις καὶ διαστίξεις αὐτῶν, ἔκτοτε δὲ διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν ἐπιφωνήσῃ τῷ τε Μαντειανῷ τῷ Διαβατηνῷ καὶ τοῖς υἱοῖς τοῦ Πόθου, ὥστε μηδόλως πόδα παραβαλεῖν ἐπὶ τοῖς τοιούτοις χωραφίοις καὶ τῷ ἀμπελίῳ, ἀλλ' ἀπέχειν τέλεον ἐξ αὐτῶν. εἰ δ' ἔτι προσμένουσι τῇ δυναστείᾳ, παιδεύσῃς αὐτοὺς προσηκόντως, ὥστε καὶ μὴ βουλομένους

παῦσαι τῆς δυναστείας καὶ δεφενδεύῃς παντοίως τοὺς μοναχούς, ὥστε μὴ εὑρίσκειν ἐξ αὐτῶν τὴν τυχοῦσαν ὄχλησιν· ποίησον οὖν, καθὼς σοι διορίζεται ἡ βασιλεία μου, ἀντίστρεψον δὲ τῷ μέρει τῆς μονῆς ταύτης καὶ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου εἰς ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ ἰουλίῳ ἰνδ. δευτέρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXII. Sine anno, mense augusto, ind. II.

Theodotus Calothetus monasterio adiudicat campos et vineam.

† Γράμμα ἀποκαταστικὸν τοῦ Καλοθέτου πρὸς τὴν περίληψιν τοῦ ἄνωθεν προστάγματος, ἀπολογιάζον δὲ καθόλου τῷ μέρει τῶν Μαντειανῶν καὶ τῶν ἑτέρων προσγενῶν αὐτῶν, ἤγουν τῷ Πόθῳ καὶ τοῖς λοιποῖς †.

† Θεῖον καὶ προσκυνητὸν ὁρισμὸν ἡμῖν προεκόμισε τὸ μέρος τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεομήτορος τῶν Λέμβων, διοριζόμενόν μοι, ὡς οὐκ ὀλίγας διενέξεις καὶ ὀχλήσεις εὑρίσκει ἡ τοιαύτη μονὴ παρά τε τῶν Μαντειανῶν καὶ τῶν προσγενῶν αὐτῶν ἐπὶ τοῖς χωραφίοις καὶ τῷ ἀμπελίῳ, οἷς κατέχει διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου αὐθέντου μου, τοῦ βασιλέως κυροῦ Ἰωάννου τοῦ Δούκα, ἀλλὰ δὴ καὶ διὰ περιόρου τοῦ στρατοπεδάρχου ἐκείνου, τοῦ Φωκᾶ, καὶ ἵνα τηρήσω τὰ προσόντα αὐτῇ χρυσόβουλλα καὶ τὸν περίορον καὶ τὰ λοιπὰ προστάγματα, καὶ κατὰ τὰς περιλήψεις αὐτῶν ἀποκαταστήσω κατέχειν καὶ νέμεσθαι τὴν τοιαύτην μονὴν πᾶν, εἴ τι ἐν αὐτοῖς ἐμπερείληπται ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως. κατὰ γοῦν τὴν περίληψιν τοῦ τοιούτου θείου καὶ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ ἐτηρήθησαν παρ' ἐμοὶ τά τε προσκυνητὰ χρυσόβουλλα, ὁ δηλωθεὶς περίορος καὶ τὰ προσκυνητὰ προστάγματα, καὶ εὗρον ἐν αὐτοῖς ἐντὸς ἐμπεριειλημμένα μετὰ τῶν ἄλλων καὶ τὰ χωράφια καὶ τὸ ἀμπέλιον τὰ ἀπὸ τοῦ Γουναροπούλου καὶ ἐν διαστίξει ὄντα παρὰ τῶν Μαντειανῶν καὶ τῶν προσγενῶν αὐτῶν· τοίνυν οὕτως ἐχόντων ἀποκαθιστῶμεν καὶ ἡμεῖς διὰ τοῦ παρόντος γράμματος ἔχειν τὴν τοιαύτην μονὴν τὰ τοιαῦτα χωράφια καὶ τὸ ἀμπέλιον ἀδιάσειστα καὶ πάντη ἀνενό-

χλητα κατὰ τὴν περίληψιν τῶν προσόντων αὐτῇ δικαιωμάτων καὶ κρίσεων, καὶ καθὼς ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς διορίζεται. ἔνθεντοι καὶ οὐκ ὀφείλει τις εἴτε ἀπὸ τοῦ μέρους τῶν Μαντειανῶν, εἴτε τῶν προσγενῶν αὐτῶν ἢ ἑτέρων τινῶν ὄχλησιν ἐπαγαγεῖν τῷ μέρει τῆς μονῆς ἢ τὸν τυχόντα διασεισμὸν ἕνεκα τῶν τοιούτων χωραφίων καὶ τοῦ ἀμπελίου, ἀλλ' ἀπέχειν τέλεον ἐξ αὐτῶν. εἰ δ' ἴσως καὶ ἔτι πειρᾶταί τις ἐξ αὐτῶν ὀχλῆσαι καὶ αὖθις τὴν τοιαύτην μονὴν καὶ τῇ δυναστείᾳ προσμένει, ὁ τοιοῦτος γινωσκέτω, παιδευθῆναι μέλλει καὶ ζημιωθῆναι προσηκόντως, ὥστε καὶ μὴ βουλόμενος παῦσαι τῆς δυναστείας, ὡς μὴ πειθόμενος τῷ βασιλικῷ προσκυνητῷ προστάγματι, καὶ ἐσεῖται ἀπό γε τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀνενόχλητος καὶ ἀδιάσειστος ἡ δηλωθεῖσα σεβασμία βασιλικὴ μονὴ τῶν Λέμβων τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμετέρου σιγιλλιώδους γράμματος, οὗ καὶ γεγονότος ἐπεδόθη τῷ μέρει αὐτῆς εἰς ἀσφάλειαν. μηνὶ αὐγούστῳ ἰνδ. δευτέρας †.

† Ὁ δοῦλος καὶ θεῖος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Θεόδοτος σεβαστὸς ὁ Καλόθετος †.

CXXIII. Sine anno, mense novembri, ind. XII.

Imperator diiudicat controversiam ortam inter monasterium et Pothum Apelmene.

† Ἕτερον πρόσταγμα καθυποβάλλον ὑπὸ ζημίαν τῷ μέρει τῶν Μαντειανῶν καὶ τῶν προσγενῶν αὐτῶν, εἴπερ οὐ παύσουσι διενοχλεῖν τοὺς μοναχούς †.

† Εἶχε μὲν τὸ μέρος τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῶν Λέμβων οὐκ ὀλίγας διαστίξεις καὶ διαμάχας μετὰ τοῦ μέρους τοῦ Πόθου τοῦ Ἀπελμενὲ καὶ τῶν σὺν αὐτοῖς περί τινος γῆς οὔσης ἐντὸς τοῦ περιόρου τοῦ γεγονότος αὐτῇ παρὰ τοῦ στρατοπεδάρχου ἐκείνου, κυροῦ Φωκᾶ, πρὸ χρόνων πολλῶν, ὑπὲρ οὗ δὴ περιόρου ἐγεγόνει καὶ χρυσόβουλλον τῆς βασιλείας μου, ἐπιστηρίζον αὐτὸν καὶ ἐτηρήθη ἡ τοιαύτη ὑπόθεσις ἐν τῇ αὐλῇ τῆς βασιλείας μου, παρόντων καὶ ἀμφοτέρων τῶν μερῶν, καὶ ἀνεφάνησαν οἱ μοναχοὶ δικαιούμενοι ἐπὶ τῇ τοιαύτῃ γῇ, καὶ ἐγεγόνει αὐτοῖς καὶ ὁρισμὸς τῆς βασι-

λείας μου περὶ τούτου. οἱ δὲ δηλωθέντες ἀπεπέμφθησαν, ὡς μὴ δίκαιον ἔχοντες. ἐπεὶ δὲ καὶ πάλιν ὤχλουν τοὺς μοναχοὺς οἱ ἀνωτέρω δηλωθέντες χάριν τῆς τοιαύτης γῆς, καὶ ἐνεφάνισαν οὗτοι ἐν τῇ αὐλῇ τῆς βασιλείας μου καὶ ἔγγραφον, ἀφ' οὗπερ μᾶλλον ἐδηλώθη, ὡς ἡ τοιαύτη γῆ ἀπὸ τῶν δικαίων ἦν τῆς κατὰ τὴν Κωνσταντινούπολιν σεβασμίας μονῆς τοῦ Παντοκράτορος Χριστοῦ, δέον ἔκρινε καὶ αὖθις ἡ βασιλεία μου κατέχεσθαι τὴν τοιαύτην γῆν παρὰ τοῦ μέρους τῆς εἰρημένης σεβασμίας μονῆς τῶν Λέμβων αὐθεντικῶς καὶ δεσποτικῶς καὶ νέμεσθαι ἀπερικόπως καὶ τὴν ἐντεῦθεν πρόσοδον ἀποκερδαίνειν καὶ μηδεμίαν τὸ ἀπὸ τοῦδε εὑρίσκειν ὄχλησιν ἐπὶ ταύτῃ παρὰ τῶν εἰρημένων μερῶν, ὡς ὀφειλόντων τούτων ἀπέχειν τέλεον ἐξ αὐτῆς. εἰ δ' ἴσως ποτὲ πειρασθῶσιν οὗτοι πάλιν ὀχλεῖν τὸ μέρος τῆς μονῆς τῶν Λέμβων χάριν τῆς τοιαύτης γῆς, ὀφείλει ὁ κατὰ χώραν ἐνεργῶν δικαίῳ τοῦ δημοσίου, ἐμφανιζομένου αὐτῷ τοῦ παρόντος ὁρισμοῦ τῆς βασιλείας μου, ἀφαιρεῖσθαι ἐξ αὐτῶν τῶν ἀνωτέρω δηλωθέντων χάριν ζημίας ὡς ἀπειθῶν ὑπέρπυρα χίλια. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός, καὶ ἐπεδόθη τῷ μέρει τῆς εἰρημένης σεβασμίας μονῆς τῶν Λέμβων εἰς δικαίωσιν καὶ ἀσφάλειαν †.

† Εἶχε τό. μηνὶ νοεμβρίῳ ἰνδ. ιβ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXIV. Sine anno, mense maio, ind. XIV.

Georgius Macrenus, dux thematis Thracesiorum, monasterio adiudicat campos et vineam occupata a Manteanis.

† Ἕτερον γράμμα τοῦ δουκὸς τοῦ θέματος τῶν Θρακησίων, τοῦ Μακρηνοῦ κυροῦ Γεωργίου, ἀποκαθιστὰν τοὺς μοναχοὺς εἰς τὴν γῆν καὶ τὸ ἀμπέλιον, ὅπερ καταδυναστεύουσιν οἱ Μαντειανοὶ καὶ οἱ προσγενεῖς αὐτῶν †.

† Ἐπεὶ θεῖον καὶ προσκυνητὸν βασιλικὸν ὁρισμὸν ἐδεξάμην τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως διὰ τὴν ὑπόθεσιν, ἣν εἶχον οἱ μοναχοὶ τῆς σεβασμίας βασιλικῆς μονῆς τῶν Λέμβων μετὰ τοῦ Ἠλιοῦ τοῦ Μαντειανοῦ καὶ τοῦ Κωνστομάρη καὶ τῶν προσγενῶν αὐτῶν περὶ χωραφίων καὶ ἀμπελίων, ἥτις δὴ ὑπόθεσις πολλάκις ἐτηρήθη καὶ ἐφάνη ἔχειν τὸ δίκαιον ἡ μονή, κατὰ γοῦν τὴν

περίληψιν τοῦ θείου καὶ προσκυνητοῦ βασιλικοῦ ὁρισμοῦ ἀποκαθιστῶμεν καὶ δι' ἡμετέρας γραφῆς τὸ μέρος τῆς μονῆς εἰς τὸ κατέχειν ταῦτα καὶ νέμεσθαι καὶ τὴν ἐξ αὐτῶν ἀποκερδαίνειν εἴσοδον πάντη ἀνενοχλήτως καὶ ἀταράχως, τὸ δέ γε μέρος τοῦ Μαντειανοῦ μένειν ἔξω τῆς γεγονυίας ἀποκαταστάσεως, καὶ οὐκ ὀφείλει ὅλως βαλεῖν πόδα ἐπ' αὐτοῖς ἢ τὴν οἱανδήτινα ὄχλησιν ἢ δυναστείαν ἐπαγαγεῖν τῇ μονῇ τῆς τοιαύτης ὑποθέσεως, ὡς εἴρηται, ἕνεκα. εἰ δ' ἴσως σπεύδει, ὡς ἀνήνεγκται, παρυποσπάσαι τι ἀπὸ τῶν δικαίων τῆς μονῆς τὸ μέρος τῶν Μαντειανῶν, μέλλει ζημιοῦσθαι τὰ χίλια ὑπέρπυρα, εἰ μὴ ἀποστῶσι δυναστεύειν τοὺς μοναχούς, καθὼς καὶ ὁ θεῖος καὶ προσκυνητὸς ὁρισμὸς διορίζεται. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τοῖς διαληφθεῖσι μοναχοῖς εἰς ἀσφάλειαν. μηνὶ μαΐῳ ἰνδ. ιδ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, Γεώργιος ὁ Μακρηνός †.

CXXV. Sine anno.

Theodorus Callistus, metropolita Smyrnae, confirmat acta, quae monasterio adiudicant possessiones occupatas a Manteanis.

† Γράμμα τοῦ μητροπολίτου Σμύρνης, τοῦ Καλλίστου κυροῦ Θεοδώρου, ἐπιβεβαιοῦν τὰ γεγονότα προστάγματα καὶ λοιπὰ ἀποκαταστικὰ δικαιώματα, ὑπὲρ ὧν ὑποστατικῶν πραγμάτων καταδυναστεύεται ἡ μονὴ παρὰ τῶν Μαντειανῶν καὶ τῶν προσγενῶν αὐτῶν ἤγουν τοῦ Πόθου καὶ τῶν λοιπῶν †.

† Ὁ πρὸ βραχέος ἐν τῇ σεβασμίᾳ καὶ βασιλικῇ [μονῇ] τῶν Λέμβων γεγονὼς θεῖος καὶ βασιλικὸς προσκυνητὸς ὁρισμὸς ἐμφανίσθη τῇ ἡμῶν ταπεινότητι τὴν σήμερον παρὰ τοῦ ἐν τῇ αὐτῇ ἁγίᾳ βασιλικῇ μονῇ ἡγουμενεύοντος, τιμιωτάτου ἐν ἱερομονάχοις, κυροῦ Κυρίλλου, καὶ τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν, ὃς δὴ βασιλικὸς καὶ θεῖος προσκυνητὸς ὁρισμὸς διηγόρευε τὸ στέργον ἔχειν, βέβαιόν τε καὶ πάγιον πάντα τὰ ἐν τῇ τοιαύτῃ μονῇ προγεγονότα προσκυνητὰ χρυσόβουλλά τε καὶ λοιπὰ δικαίωματα, μὴ τολμήσοντός τινος

τῶν ἐποίκων Σμύρνης ἢ τῶν πέριξ προσώπων ἀρχοντικῶν ἢ ἐκκλησιαστικῶν ἢ τοῦ μέρους τοῦ Μαντειανοῦ ἢ τοῦ Πόθου ἢ ἑτέρου τινὸς ἀποσπάσαι τι ἐκ τῶν ἀκινήτων πραγμάτων τῆς τοιαύτης βασιλικῆς μονῆς τῶν ἐμπεριειλημμένων ἐν τοῖς χρυσοβούλλοις καὶ τοῖς προστάγμασιν αὐτῆς, εἰ δὲ καὶ ἔτι διωρίζετο, τολμήσει τις ἐκ τοῦ μέρους τοῦ Κωνστομάρη ἢ τοῦ Πόθου ἐνοχλῆσαι τῇ τοιαύτῃ μονῇ, εἴτε διὰ τὸν ἀμπελῶνα, εἴτε διὰ τὰ χωράφια τὰ ἐν τῇ Βάρῃ διακείμενα ἢ διὰ πάροικον, ζημιωθῆναι ὀφείλει τὰ ἐν τῷ προγεγονότι διοριζόμενα ὁρισμῷ παρὰ τοῦ . . . .

Reliqua desunt, folio uno e cod. exsciso.

CXXVI. Sine anno, mense augusto, ind. VII.

Imperator vetat monasterium a Comneno Phila vexari.

Initium deest.

. . . .

αὐτοὺς ἀντιστρέψαι πρὸς τὴν μονήν, εἴ τι ἀδίκως καὶ δυναστικῶς ἀφείλοντο ἀπὸ τῶν ζῴων τῆς μονῆς, ὡσαύτως ἵνα τηρήσῃς καὶ τὴν τοῦ ποταμοῦ ὑπόθεσιν καί, εἴπερ εὑρήσεις, ὅτι ἐντὸς τοῦ περιόρου τῆς μονῆς ἐστι τὸ τοιοῦτον ὕδωρ, ἵνα ἐπιφωνήσῃς τὸ μέρος τοῦ Φιλῆ, ἀπέχειν ἀπὸ τῶν τῆς μονῆς δικαίων, καὶ ἀποκαταστήσῃς αὐτὴν ἀνενοχλήτως κατέχειν τὸν τοιοῦτον ποταμόν, καὶ ἐπιφωνήσῃς τῷ μέρει τοῦ ἀπέχειν τέλεον ἀπὸ τοῦ ῥηθέντος ποταμοῦ. ὡσαύτως ἵνα ἀποκαταστήσῃς τὴν τοιαύτην μονὴν κατέχειν ἀνεμποδίστως καὶ ἃ εἶχον ἔκπαλαι ἐλαϊκὰ δένδρα, ἵνα ἔχωσι ταῦτα ἀνεμποδίστως πάντη καὶ ἀνενοχλήτως κατὰ τὴν περίληψιν τοῦ προσόντος τῇ μονῇ χρυσοβούλλου τῆς βασιλείας μου. καὶ θέλει ἡ βασιλεία μου, ἵνα ἀποκαταστήσῃς τὴν μονὴν εἰς τὸν οἰκεῖον περίορον καὶ μὴ κατά τι παρεμποδίζεσθαι παρὰ τοῦ Κομνηνοῦ τοῦ Φιλῆ. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, καὶ ἀποκατάστησον τὸ μέρος τῆς μονῆς, ἵνα μὴ ἔχῃ ὄχλησιν ἀπὸ τοῦ μέρους τοῦ Κομνηνοῦ τοῦ Φιλῆ, ἀλλ' ἵνα κατέχωσιν ἀνενοχλήτως τὰ οἰκεῖα δίκαια αὐτῶν †.

† Εἶχε τό· μηνὶ αὐγούστῳ ἰνδ. ἑβδόμης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXVII. Sine anno, mense aprili, ind. VI.

Imperator monasterium tuetur contra vexationes Ioannis Ducae Curtici.

† Ἕτερον πρόσταγμα διοριζόμενον καὶ τὸ τοιοῦτον, εἶναι τὴν μονὴν καὶ τὰ ἐν αὐτῇ πάντα ἀνώτερον πάσης δημοσιακῆς καὶ δουκικῆς χειρός †.

† Περιπόθητε σύγγαμβρε τῆς βασιλείας μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρις Ἰωάννη Δούκα Κουρτίκη. τὸ μέρος τῆς σεβασμίας μονῆς τῶν Λέμβων, ἀναδραμὸν πρὸς τὴν βασιλείαν μου, ὑπέμνησεν αὐτῇ, ὅτι παραθεωρῶν τὸ γεγονὸς αὐτῇ χρυσόβουλλον τῆς βασιλείας μου ἐπὶ παντοίᾳ ἐξκουσσείᾳ τῶν παρὰ τῆς βασιλείας μου ἀνατεθειμένων αὐτῇ κτημάτων ὁποιωνδήτινων, οὐ μικρῶς ἐπηρεάζεις τοὺς παροίκους τοῦ κτήματος αὐτῶν τῆς Βάρεως· καθέλκεις γὰρ καὶ αὐτοὺς μετὰ τῆς λοιπῆς χώρας εἰς δόσεις στυπαξούγγων, καρβώνων, πλωΐμων, κανισκίων, χρειῶν δουκικῶν καὶ ἄλλων τοιούτων, οὐ μόνον δὲ εἰς τὸ κτῆμα αὐτῶν ποιεῖς ταῦτα, ἀλλὰ καὶ εἰς αὐτοὺς τοὺς τῆς μονῆς μοναχούς, καὶ οἷος ἀπ' αὐτῶν ἀντιποιήσεται ὑπὲρ τοῦ πράγματος τῆς μονῆς, ἀπεντεῦθεν φυλακίζεις αὐτὸν καὶ ἀτιμοῖς καὶ ἐπαπειλῇ δαίρειν, καὶ ἄλλα τοιαῦτα κακωτικὰ ἐργάζῃ εἰς τὴν μονήν. καὶ ἐθαύμασεν ἡ βασιλεία μου, πῶς τοιαῦτα γίνονται παρὰ σοῦ, καὶ ταῦτα γινώσκοντος, ὁποῖον θέλημα ἔχει ἡ βασιλεία μου πρὸς τὴν τοιαύτην μονήν. σὺ ἐὰν εἶχες πού ποτε τίποτε οἰκεῖον, ἐπηρεάζετο δὲ παρ' ἄλλου, ἔμελλες δυσφορεῖν πολλὰ περὶ τούτου καὶ εἰς τόπον, ὃν γνωρίζεις, ὅτι ἀνεκαίνισεν ἡ βασιλεία μου, καὶ εἰς μονὴν ἐγκατέστησε, καὶ ὅπερ δὲ ἔχουσιν οἱ μοναχοί, ψυχικὸν ἔχουσι τῆς βασιλείας μου ἀπὸ δωρεᾶς αὐτῆς, θέλει, ἵνα ποιῇς τοιαῦτα ἐπιζήμια καὶ κακωτικά. διορίζεται γοῦν σοι ἡ βασιλεία μου ἐπιφωνηματικῶς, ἵνα μὴ μάθῃ ἀπὸ τοῦ νῦν, ὅτι ἢ σὺ ἤ τις τῶν δικαίῳ σου ἢ αὐτὸς ὁ λογαριαστής σου ὅλως παρενέβαλεν εἰς κτῆμα τῆς μονῆς, ἢ εἰς τὴν τυχοῦσαν δόσιν αὐτὸ καθείλκυσεν, ἢ τινὰ τῶν ἐν αὐτῇ μοναχῶν ἔθλιψεν ἢ ἠτίμωσε, καὶ μὰ τὴν κεφαλήν μου, εἰς τὸ δεκαπλάσιον θέλει παθεῖν τὴν ἀτιμίαν ὁ ἄνθρωπός σου ὁ ταύτην ποιήσων. διατήρει γοῦν τὴν μονὴν καὶ τὰ ὑπ' αὐτὴν πάντα, καθὼς διετηροῦντο καὶ ἐπὶ τῶν πρὸ σοῦ καὶ κατὰ τὴν περίληψιν τοῦ προσόντος αὐτῇ χρυσοβούλλου τῆς βασιλείας μου, καὶ μηδεμίαν ὄχλησιν ὅλως ἐπάγῃς

αὐτῇ, ἢ τοῖς παροίκοις καὶ δουλευταῖς αὐτῆς. ὁ δὲ παρὼν τῆς βασιλείας μου ὁρισμὸς μετὰ τὸ ἐμφανισθῆναί σοι ἀντιστραφήτω τῇ μονῇ ἐπὶ τῷ προσεῖναι αὐτῇ καὶ εἰς τὸ ἑξῆς εἰς ἀσφάλειαν καὶ ἀνενοχλησίαν αὐτῶν †.

† Εἶχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ἕκτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXVIII. Sine anno, mense iulio, ind. XII.

Imperator iubet Theodorum Icanatum tueri iura monasterii.

† Ἕτερον πρόσταγμα διοριζόμενον καὶ τὸ τοιοῦτον διαμένειν, καὶ τὴν μονὴν καὶ τὰ μετόχια αὐτῆς ἀνώτερα πάσης ἐπηρείας δημοσιακῆς καὶ χειρὸς δουκικῆς †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Θεόδωρε Ἰκανάτε. τὸ μέρος τῆς μονῆς τῶν Λέμβων ὑπέμνησε τὴν βασιλείαν μου, ὅτι ὁ ἐνεργήσας ἐν τῇ Σμύρνῃ Κωνστομάρης οὐκ ὀλίγα διέσεισε τοὺς ἐν τῷ μετοχίῳ τῆς μονῆς τοῦ ἁγίου Γεωργίου τοῦ Ἐξωκαστρίτου καὶ τοὺς ἐν τοῖς ἑτέροις μετοχίοις, ἀλλὰ καὶ οἱ σκουτελάδες καὶ οἱ οἰνοχεῖς τῆς βασιλείας μου ἐπηρεάζουσι καὶ συντρίβουσι τούτους· ἡ βασιλεία μου γοῦν θέλημα ἔχει, ἵνα μήτε σκουτελᾶς, μήτε οἰνοχόος, μήτε τὸ μέρος σου εἰσέρχηται ὅλως καὶ διασείῃ τοὺς ἐν τοῖς τοιούτοις μετοχίοις, καὶ διορίζεταί σοι, ὡς ἂν δεφενδεύῃς σὺ ταῦτα καὶ οἰκονομῇς, ἵνα κατὰ τὴν περίληψιν τοῦ χρυσοβούλλου τῆς βασιλείας μου διατηρῶνται ἀδιάσειστα καὶ ἀνενόχλητα, καὶ μηδεὶς τολμᾷ πόδα ὅλως παραβάλλειν ἐν αὐτοῖς, καὶ ἄλλοτε περὶ τούτου μὴ ὀχληθῇ ἡ βασιλεία μου, ἀλλὰ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεψον τῷ μέρει τῆς μονῆς εἰς ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ ἰουλίῳ ἰνδ. ιβ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXIX. Sine anno, mense februario, ind. VIII.

Imperator monasterium tuetur contra vexationes Tziritzonis.

† Ἕτερον πρόσταγμα δι' ἣν εἶχεν ὄχλησιν ἡ μονὴ ἀπὸ τοῦ μέρους τοῦ Τζιρίθωνος εἰς τὰ Μῆλα †.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, κῦρις Μανουὴλ Καντακουζηνέ. τὸ μέρος τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῶν Λέμβων ἀνέφερε τῇ βασιλείᾳ μου, ὅτι τὸ μέρος τοῦ Τζιρίθωνος ἐκείνου δυναστεύει τοῦτο εἰς τὸν τόπον τὸν ἐπιλεγόμενον τὰ Μῆλα, εἰς ὃν οὐ μετεῖχεν οὔτε ὁ Δούκας ἐκεῖνος, κῦρις Θεόδωρος, ὃς προεῖχεν ὃ ἔχει κτῆμα τὸ μέρος τοῦ Τζιρίθωνος, οὔτε οἱ πρὸ αὐτοῦ. ἀπέρχονται γὰρ οἱ τοῦ μέρους τοῦ Τζιρίθωνος εἰς τὸν τοιοῦτον τόπον τοῦ μοναστηρίου, καὶ καταφρονητικῶς διακείμενοι πρὸς τὴν μονὴν ποιοῦσι ζημίας εἰς τοὺς καθημένους ἐν τῷ τοιούτῳ τόπῳ, καὶ οὐ φροντίζουσι τῆς μονῆς. διορίζεταί σοι γοῦν ἡ βασιλεία μου, ὡς ἂν κατὰ τόπον ἐπιστῇς καὶ τηρήσῃς τὴν τοιαύτην ὑπόθεσιν, καὶ εἴπερ εὑρήσεις, ὅτι ὁ τοιοῦτος τόπος δίκαιον ἔνι τῆς μονῆς τῆς βασιλείας μου, καὶ ἀδίκως κατεπεμβαίνει τούτου τὸ μέρος τοῦ Τζιρίθωνος, καὶ οὐδὲ ὁ ἔχων τὸ κτῆμα, ὃ ἔχει τὸ μέρος τοῦ Τζιρίθωνος, κῦρις Θεόδωρος ὁ Δούκας, εἶχεν αὐτόν, ἀποσοβήσῃς μὲν τὸ μέρος τοῦ Τζιρίθωνος, καὶ ἐπιφωνήσῃς ἀπέχειν ἐξ αὐτοῦ, τὴν δὲ μονὴν οἰκονομήσῃς κατέχειν αὐτὸν ἀνενοχλήτως, καθὼς καὶ τὸ πρότερον, καθὼς καὶ ἐπὶ τοῦ Δούκα ἐκείνου κυροῦ Θεοδώρου καὶ κατὰ τὴν τοῦ χρυσοβούλλου τῆς βασιλείας μου περίληψιν †.

† Εἶχε τὸ. μηνὶ φεβρουαρίῳ ἰνδ. ὀγδόης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXX. Sine anno, mense ianuario, ind. V.

Pincerna Cantacusenus exemptionem monasterii a tributis confirmat.

† Ἕτερον γράμμα πιγκέρνη τοῦ Καντακουζηνοῦ ἀνώτερον διατηροῦν καὶ τὴν μονὴν καὶ τὰ ὑπ' αὐτὴν κτήματα ἀπὸ πάσης δημοσιακῆς συζητήσεως †.

† Ἐπεὶ θεῖον καὶ προσκυνητὸν χρυσόβουλλον κέκτηται ἡ σεβασμία βασιλικὴ μονὴ τῶν Λέμβων, διοριζόμενον μηδόλως εἰσέρχεσθαι τὸν δημόσιον ἐπὶ τῆς αὐτῆς κτήμασιν ἢ βιβαρίοις ἢ ἄλλοις τισὶν αὐτῇ διαφέρουσιν, ἀλλὰ ἀπέχειν τέλεον ἐξ αὐτῶν, παρεγγυώμεθα πᾶσι τοῖς ἐνεργοῦσι δικαίῳ ἡμῶν, νῦν τε οὖσι καὶ ἐς ὕστερον ἐλευσομένοις, μηδόλως ἐπάγειν ἐμποδισμὸν ἢ διασεισμὸν τὸν τυχόντα ἐπὶ τοῖς κτή-

μασι τῆς ῥηθείσης μονῆς ἢ βιβαρίοις ἢ μετοχίοις ἢ ζευγηλατείοις ἢ χωρίοις ἔν τε τῇ Μανταίᾳ, ἐν τοῖς Παλατίοις καὶ τοῖς ἀλλαχοῦ οὖσι, μήτε μὴν ἐν τοῖς χειρογριπίοις, ἀλλὰ μηδὲ κονταράτους ἐκβάλλειν ἢ ἀερικεύειν τινὰ τῶν τῆς μονῆς, ἀλλὰ ἀπέχειν τέλεον ἐξ αὐτῆς καὶ πάντων τῶν ὑπ' αὐτήν, καθὼς ὁ θεῖος καὶ χρυσόβουλλος λόγος διακελεύεται. ἴστω γὰρ πᾶς ὁ τολμήσων ὄχλησιν τὴν τυχοῦσαν ἐπάξαι τινὶ τῶν τῆς μονῆς ἢ ζημιῶσαι ἢ ἀγγαρεῦσαι ἢ ἄλλο τι κακωτικὸν καὶ ἄτιμον διαπράξασθαι, κἂν οἷος ἄρα καὶ εἴη, ζημίᾳ μέλλει ὑποβληθῆναι καὶ ἀτιμίᾳ. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῇ ῥηθείσῃ σεβασμίᾳ μονῇ εἰς ἀσφάλειαν. ὡσαύτως ὀφείλει ἔχειν καὶ τὸ ὕδωρ τοῦ κατερχομένου ποταμοῦ ἀπὸ τοῦ τῆς μονῆς ὄρους καὶ δεσπόζειν αὐτό, καθὼς ἐξ ἀρχῆς εἶχέ τε καὶ ἐδέσποζε, καὶ μὴ εὑρίσκειν ἐμποδισμὸν ὑπό τινος τῶν Μαντειανῶν. μηνὶ ἰαννουαρίῳ ἰνδ. ε' †.

† Ὁ δοῦλος τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως ὁ Πιγκέρνης †.

CXXXI. Sine anno, mense iunio, ind. X.

Imperator tuetur iura Basilii Blatteri in Demorio.

† Τὰ προστάγματα, ἅπερ εἶχε τὸ μέρος τοῦ Βλαττεροῦ καὶ τοῦ Ῥαβδοκανάκη εἰς δικαίωσιν αὐτῶν χάριν τῶν εἰς τὸν Δημοσιάτην ποταμὸν χωραφίων τῶν Γουναροπούλων †.

† Ὑπέμνησε τὴν βασιλείαν μου ὁ ἀπὸ τῶν βεστιαριτῶν αὐτῆς τῶν ὑπὸ τὸν περιπόθητον αὐτάδελφον τῆς βασιλείας μου, κῦριν Ἀλέξιον τὸν Κομνηνόν, Βασίλειος ὁ Βλαττερός, ὡς οἱ προσγενεῖς αὐτοῦ καὶ παῖδες τοῦ Γουναροπούλου, ὅ τε Μιχαήλ, ὁ Ἰωάννης καὶ ὁ Νικόλαος, οἱ οἰκοῦντες ἐν τῷ κατεπανίκῳ τῆς Σμύρνης, εἶχον γονικόθεν αὐτοῖς διαφέροντα καὶ πρὸ μακρῶν τῶν χρόνων παρὰ τούτων κατεχόμενα τόπια χωραφιαῖα τινὰ ἐν τῇ τοποθεσίᾳ τῇ οὕτως ἐπιλεγομένῃ τὸ Δημόσιον διακείμενα, καθήρπασαν δὲ ταῦτα πρὸ χρόνων ἤδη τριῶν οἱ ἔποικοι τοῦ ὑπὸ τὴν ἁγιωτάτην ἐκκλησίαν Σμύρνης χωρίου τοῦ Κυπαρισσίου, καὶ βιαίᾳ χειρὶ κατέχοντες τὴν ἐξ αὐτῶν ἀποφέρονται πρόσοδον, καὶ ἐπεὶ ἐδεήθη τῆς βασιλείας μου ὁ δηλωθεὶς

Βλαττερὸς διορίσασθαι μὴ ἀπὸ τῆς τοιαύτης τῶν Κοπαρισσηνῶν πλεονεξίας στερεῖσθαι τοὺς ἀναγεγραμμένους προσγενεῖς αὐτοῦ τῶν αὐτοῖς διαφερόντων τοπίων, διορίζεταί σοι ἡ βασιλεία μου τῷ κατὰ χώραν ἐνεργοῦντι, τηρῆσαι τὰ περὶ τούτου, καὶ εἰ εὑρήσεις οὕτως ἔχουσαν τὴν ἀλήθειαν, ἀποκαταστῆσαι τούτους ἐπ' αὐτοῖς, ὡς ἂν κατέχωσι ταῦτα κατὰ τὸ γονικόθεν, ὡς ὑπέμνησαν ἐπὶ τούτοις προσαρμόζον αὐτοῖς δίκαιον, καὶ ἱκανῶσαι ἀπὸ τῶν Κοπαρισσηνῶν ἐποίκων τὰς τούτοις ἀνηκούσας μορτάς, ἐφ' ὅσῳ καιρῷ οἱ αὐτοὶ ἔποικοι τὰ τοιαῦτα ἐνεμήθησαν τόπια †.

† Εἶχε τὸ. μηνὶ ἰουνίῳ ἰνδ. δεκάτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXXII. Sine anno, mense octobri, ind. IV.

Imperator tuetur iura Ioannis Rhabdocanaci in Demosio.

† Ἕτερον πρόσταγμα τοῦ αὐτοῦ, οὗ προεγράφαμεν Ῥαβδοκανάκη, χάριν τῶν αὐτῶν χωραφίων †.

† Ὁ βεστιαρίτης τῆς βασιλείας μου, Ἰωάννης ὁ Ῥαβδοκανάκης, ὑπέμνησε τὴν βασιλείαν μου, ὡς ὁ πενθερὸς αὐτοῦ, ἐκεῖνος ὁ Βλαττερός, ἔφθασε δοῦναι αὐτῷ κατὰ λόγον προικὸς μετὰ τῶν ἄλλων καὶ τὰ ἐξ ἀγορασίας περιελθόντα τούτῳ χωράφια ἀπὸ τῶν Γουναροπούλων ἐκείνων, τὰ ἐν τῇ τοποθεσίᾳ τοῦ Δημοσιάτου ποταμοῦ διακείμενα, ἐφ' οἷς καὶ χρυσόβουλλον τῆς βασιλείας μου πρόσεστι τούτῳ, διοριζόμενον κατέχεσθαι παρ' αὐτοῦ πάντα τὰ προικοδοτηθέντα αὐτῷ οἱαδήτινα ἀκίνητα. νῦν δὲ τὸ μέρος τῆς σεβασμίας μονῆς τῶν Λέμβων πειρᾶται ἰδιοποιήσασθαι τὰ τοιαῦτα χωράφια καὶ τοῦτον τῆς κατοχῆς ἐκδιῶξαι, καὶ ταῦτα ἐκ μακρῶν χρόνων κατεχόμενα παρὰ τοῦ πενθεροῦ αὐτοῦ, ἐκείνου τοῦ Βλαττεροῦ. ἐπεὶ γοῦν, εἰ οὕτως ἔχει, ἄδικον ἐλογίσατο τοῦτο ἡ βασιλεία μου, διορίζεται διὰ τῆς παρούσης προστάξεως, κατέχεσθαι παρ' αὐτοῦ τὰ τοιαῦτα χωράφια, καθὼς καὶ ἐπροικοδοτήθησαν αὐτῷ, καὶ μὴ ἔχειν ἄδειαν τὸ μέρος τῆς ῥηθείσης μονῆς τῶν Λέμβων ταῦτα ἰδιοποιήσασθαι, ἀλλὰ ἀπέχειν ἐξ αὐτῶν τῇ ἐμφανείᾳ τῆς παρούσης προστάξεως τῆς βασιλείας μου, ἥτις καὶ ἐγεγόνει τῷ ῥηθέντι Ῥαβδοκανάκῃ εἰς ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. δ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXXIII. Sine anno, mense iunio, ind. VI.

Imperator Ioanni Rhabdocanaci adiudicat possessiones quasdam.

† Ἕτερον πρόσταγμα ἐπικυρωτικὸν τοῦ οὗ προείπομεν Ῥαβδοκανάκη ὑπὲρ τῶν αὐτῶν χωραφίων τῶν Γουναροπούλων τῶν εἰς τὸν Δημοσιάτην ποταμόν †.

† Ὁ βεστιαρίτης τῆς βασιλείας μου, Ἰωάννης ὁ Ῥαβδοκανάκης, ὑπέμνησε τὴν βασιλείαν μου, ὡς ἐπὶ τοῖς διαφέρουσιν αὐτῷ ἀπὸ προικὸς χωραφιαίοις τοπίοις ἐν τῇ τοποθεσίᾳ τοῦ Δημοσιάτου ποταμοῦ διακειμένοις καὶ παρὰ τοῦ πενθεροῦ αὐτοῦ τοῦ Βλαττεροῦ ἐκείνου ἐξωνηθεῖσιν ἀπὸ τοῦ Γουναροπούλων ἠδικεῖτο παρὰ τοῦ μέρους τῆς σεβασμίας μονῆς τῶν Λέμβων· ἐπειρᾶτο γὰρ ὁ καθηγούμενος τῆς τοιαύτης μονῆς ἀποσπάσαι ταῦτα ἐξ αὐτοῦ καὶ ἰδιοποιήσασθαι, καὶ διὰ τοῦτο ἐπορίσατο ὁρισμὸν τῆς βασιλείας μου ὁ Ῥαβδοκανάκης, διοριζόμενον τηρηθῆναι τὴν τοιαύτην ὑπόθεσιν παρὰ τοῦ περιποθήτου συγγάμβρου τῆς βασιλείας μου, δουκὸς τοῦ θέματος τῶν Θρακησίων, κυροῦ Ἰωάννου Δούκα τοῦ Κουρτίκη, ὃς καὶ τηρήσας αὐτὴν παρουσίᾳ καὶ τοῦ καθηγουμένου τῆς τοιαύτης μονῆς τῶν Λέμβων, ἐγνώρισε δικαιούμενον τὸν Ῥαβδοκανάκην ἐπὶ τοῖς τοιούτοις χωραφίοις, διὸ καὶ ἔγγραφον ἀποκατάστασιν ἐποίησε πρὸς αὐτόν, διαλαμβάνουσαν κατέχεσθαι παρ᾽ αὐτοῦ τὰ τοιαῦτα χωράφια καὶ μὴ ἔχειν μετουσίαν τινὰ τὸ μέρος τῆς τοιαύτης μονῆς ἐπ᾽ αὐτοῖς. ἐδεήθη γοῦν τῆς βασιλείας μου ὁ ῥηθεὶς Ῥαβδοκανάκης καὶ ὁρισμοῦ ταύτης ἐπιτυχεῖν, ἐπικυροῦντος τὴν τοιαύτην ἔγγραφον κρίσιν τε καὶ ἀποκατάστασιν. ἡ γοῦν βασιλεία μου τὴν δέησιν αὐτοῦ προσηκαμένη ηὐδόκησε τὰ περὶ τούτου, ὅθεν καὶ ἐπικυροῖ ταύτην διὰ τῆς παρούσης προστάξεως, καὶ διορίζεται τὸ στέργον ἔχειν καὶ ἀπαράθραυστον κατὰ πάσας τὰς περιλήψεις καὶ διαστίξεις αὐτῆς, ὥστε κατέχεσθαι παρ᾽ αὐτοῦ τε καὶ τοῦ μέρους αὐτοῦ τὰ τοιαῦτα χωράφια ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, κἂν μετὰ τὴν τοιαύτην κρίσιν ὁρισμὸν τῆς βασιλείας μου ἐπορίσατο τὸ μέρος τῆς τοιαύτης μονῆς ἕτερόν τι διοριζόμενον, ἐφ᾽ ᾧ καὶ ὀφείλει ὁ κατὰ χώρας ἐνεργῶν ἀντιλαμβάνεσθαι τοῦ μέρους τοῦ Ῥαβδοκανάκη καὶ μὴ παραχωρεῖν τὸ μέρος τῆς τοιαύτης μονῆς ἀδικεῖν αὐτόν, μᾶλλον μὲν οὖν καὶ οἰκονομῆσαι δοθῆναι πρὸς αὐτὸν

παρὰ τοῦ μέρους αὐτῆς τὴν ἀνήκουσαν τούτῳ μορτὴν ἀπὸ τῶν τοιούτων χωραφίων. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει αὐτῷ καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμὸς εἰς ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ ἰουνίῳ ἰνδ. ἕκτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †. † Εἶχε δὲ καὶ κηρίνην βούλλαν διὰ τοῦ θείου καὶ βασιλικοῦ δακτυλίου καί, ὡς ἔθος τοῖς μεσάζουσι, κάτωθεν σεσημειωμένον· διὰ τοῦ Τορνίκη Δημητρίου †.

CXXXIV. Sine anno, mense maio, ind. IV.

Imperator iura et privilegia monasterii confirmat.

† Ἕτερον πρόσταγμα, ἐπικυροῦν τὰ τῆς μονῆς χρυσόβουλλα καὶ δικαιώματα, ὅσα καὶ εἰσίν †.

† Ἐπεὶ ὁ καθηγούμενος καὶ οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς κατὰ τὸ ὄρος τῆς Σμύρνης διακειμένης τῆς ὑπεράγνου θεοτόκου καὶ ἐπονομαζομένου τοῦ Λέμβου ἐδεήθησαν τῆς βασιλείας μου ὁρισμοῦ ταύτης τυχεῖν, ἐπιβεβαιοῦντος τὰ προσόντα αὐτοῖς χρυσόβουλλα καὶ τοὺς λοιποὺς ὁρισμοὺς τοῦ ἀοιδίμου βασιλέως καὶ πατρὸς τῆς βασιλείας μου καὶ τὰ λοιπὰ παλαιγενῆ δικαιώματα καὶ κατὰ τὰς αὐτῶν περιλήψεις κατέχειν καὶ νέμεσθαι τὴν τοιαύτην μονὴν ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ ἀναποσπάστως πάντα τὰ ὁθενδήποτε προσαρμόσαντα τῇ τοιαύτῃ μονῇ κτήματα καὶ λοιπὰ ὑποστατικά, εἴτε ἀπὸ δωρεῶν τοῦ ἀοιδίμου βασιλέως καὶ πατρὸς τῆς βασιλείας μου περιῆλθον αὐτῇ, εἴτε ἐξ ἀγορασίας, εἴτε καὶ ἀπὸ προσενέξεως τινῶν φιλοχρίστων, καὶ ἡ βασιλεία μου τῇ αἰτήσει αὐτῶν προσχοῦσα τὸν παρόντα ὁρισμὸν αὐτῆς ἐπώρεξε τούτοις, δι' οὗ καὶ διορίζεται τὸ ἑδραῖον ἔχειν καὶ ἀπερικλόνητον τά τε χρυσόβουλλα καὶ τοὺς λοιποὺς ὁρισμοὺς τοῦ ἀοιδίμου βασιλέως καὶ πατρὸς τῆς βασιλείας μου καὶ τὰ λοιπὰ παλαιγενῆ δικαιώματα καὶ κατὰ τὰς περιλήψεις αὐτῶν κατέχειν καὶ νέμεσθαι καὶ εἰς τὸ ἑξῆς ὡς ἕως τοῦ νῦν πάντα τὰ ὁθενδήποτε προσαρμόσαντα αὐτῇ κτήματα ἀναποσπάστως καὶ ἀνενοχλήτως καὶ μὴ εὑρίσκειν ἀπό τινος ἐπὶ τῇ τούτων κατοχῇ καὶ νομῇ τὸν τυχόντα διασεισμόν, κατέχειν δὲ καὶ τὸ μετό-

χιον τὸ ἀνεγερθὲν ἀρτίως παρ' αὐτῶν τὸ κατὰ τοὺς Πλάνους διακείμενον καὶ παρὰ τοῦ Πλανήτου προσενεχθὲν καὶ μηδ' εἰς τοῦτο εὑρίσκειν ἀπό τινων διασεισμόν. ἐπεὶ δὲ ἀπεγράφησαν καὶ τὰ κτήματα τοῦ τοιούτου μοναστηρίου παρὰ τῶν μοναχῶν δι' ὁρισμοῦ τοῦ ἀοιδίμου βασιλέως, τοῦ πατρὸς τῆς βασιλείας μου, καὶ ἐδεήθησαν τῆς βασιλείας μου ἔχειν τὸ στέργον τὴν τοιαύτην ἀπογραφήν, διορίζεται ἡ βασιλεία μου στέργειν καὶ τὴν τοιαύτην ἀπογραφὴν καὶ μηδόλως τολμῆσαι τινὰ χωρῆσαι εἰς ἀνατροπὴν τῆς τοιαύτης ἀπογραφῆς, διαφυλάττεσθαι δὲ καὶ τὰ τοιαῦτα κτήματα καὶ τὰ βιβάρια τῆς μονῆς καὶ τὰ λοιπὰ ὑποστατικὰ ἀδιάσειστα καὶ ἀνενόχλητα πάσης καὶ παντοίας ἐξκουσσείας ἐπαπολαύοντα καὶ εἰς τὸ μετέπειτα ὡς καὶ ἕως τοῦ νῦν, καὶ οὐδόλως καθελκυσθήσονται εἰς οἱανδήτινα δόσιν ἢ ἐνοχληθήσονται τὸ σύνολον ἢ παρά τινος ἐπηρεασθήσονται τῇ ἐμφανείᾳ τοῦ παρόντος ὁρισμοῦ τῆς βασιλείας μου, ὅστις ἐγεγόνει τῇ τοιαύτῃ μονῇ εἰς ἀσφάλειαν.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδ. τετάρτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXXV. Sine anno, mense iulio, ind. II.

Imperator iura et privilegia monasterii confirmat.

† Ἕτερον πρόσταγμα περιεκτικὸν καὶ ἐπιβεβαιωτικὸν εἰς ὅσαπερ ἔχει ἡ μονὴ δικαιώματα, χρυσόβουλλα καὶ ὁρισμοὺς χάριν τῶν ἁπάντων ὑποστατικῶν πραγμάτων αὐτῆς καὶ παροίκων †.

† Πρόσεισι μὲν χρυσόβουλλα καὶ ὁρισμοὶ τῶν ἀοιδίμων βασιλέων, τοῦ τε θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, καὶ τοῦ ἐξαδέλφου τῆς βασιλείας μου, κυροῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι, τῇ κατὰ τὸ ὄρος τῆς Σμύρνης διακειμένῃ σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας θεοτόκου τῆς τοῦ Λέμβου ἐπονομαζομένης, διοριζόμενοι κατέχειν αὐτὴν πάντα τὰ ὁθενδήποτε προσαρμόσαντα αὐτῇ κτήματα καὶ λοιπὰ ὑποστατικά, εἴτε ἀπὸ δωρεᾶς τοῦ ἀοιδίμου βασιλέως καὶ θείου τῆς βασιλείας μου περιῆλθον αὐτῇ, εἴτε ἐξ ἀγορασίας, εἴτε ἀπὸ προσενέξεως τινῶν φιλοχρίστων, ἀπερικλόνητα πάντα καὶ ἀπαρασάλευτα. ἐδεήθη δὲ ὁ ἐν αὐτῇ ἡγουμενεύων ἱερομόναχος Κύριλλος σὺν τοῖς

ὑπ' αὐτὸν μοναχοῖς καὶ ἀρτίως τῆς βασιλείας μου τυχεῖν ὁρισμοῦ ταύτης εἰς ἐπιστηριγμὸν τῶν προσόντων αὐτῇ χρυσοβούλλων, προσταγμάτων καὶ λοιπῶν δικαιωμάτων τῶν παρ' αὐτῆς κατεχομένων, ὧν καὶ τὴν δέησιν ἡ βασιλεία μου προσηκαμένη τὸν παρόντα αὐτῆς ὁρισμὸν τῇ τοιαύτῃ μονῇ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς ἐπιχορηγεῖ, δι' οὗ καὶ διορίζεται, ἔχειν τὰ προσόντα αὐτῇ χρυσόβουλλα καὶ ὁρισμοὺς καὶ λοιπὰ δικαιώματα τὸ ἑδραῖον καὶ πάγιον καὶ κατέχειν καὶ εἰς τὸ ἑξῆς τὰ ἐν αὐτῇ κτήματα, ὡς ἀνωτέρω δεδήλωται, ἀνενοχλήτως καὶ ἀπαρεμποδίστως, μὴ κωλυομένην ἐπὶ τῇ κατοχῇ καὶ νομῇ τούτων παρά τινος, καθὼς κατεῖχεν αὕτη ταῦτα καὶ πρότερον καὶ ἕως τοῦ νῦν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ δηλωθείσῃ μονῇ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς εἰς ἀσφάλειαν καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός †.

† Εἶχε τό· μηνὶ ἰουλίῳ ἰνδ. δευτέρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς καὶ κηρίνην βούλλαν διὰ τοῦ θείου καὶ βασιλικοῦ δακτυλίου καὶ τό· διὰ τοῦ Ταρνίκη Κομνηνοῦ Ἀνδρονίκου, ὡς ἔθος κάτωθεν τοῖς μεσάζουσιν †.

CXXXVI. Sine anno, mense decembri, ind. IV.

Imperator iterum iura et privilegia monasterii confirmat.

† Ἕτερον πρόσταγμα καὶ τὸ τοιοῦτον περιεκτικὸν ἐπικυροῦν πάντα τὰ προσόντα τῇ μονῇ δικαιώματα χάριν τῶν πραγμάτων αὐτῆς πάντων †.

† Ἐπεὶ οἱ ἀπὸ τῆς κατὰ τὴν Σμύρνην σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς τοῦ Λέμβου μοναχοὶ ἀναδραμόντες πρὸς τὴν βασιλείαν μου ἐδεήθησαν αὐτῆς ὁρισμοῦ ταύτης τυχεῖν, ἐπικυροῦντα τὰ προσόντα αὐτοῖς χρυσόβουλλα καὶ προστάγματα τῶν ἀοιδίμων βασιλέων καὶ λοιπὰ δικαιώματα καὶ κατὰ τὰς αὐτῶν περιλήψεις κατέχειν καὶ νέμεσθαι, εἴ τι εὑρίσκονται κατέχοντες ἀνέκαθεν μέχρι καὶ σήμερον, ἀνενοχλήτως καὶ ἀταράχως καὶ μὴ παρά τινος τῶν ἁπάντων ὑφίστασθαι τὴν οἱανοῦν ὄχλησιν ἢ ἐπήρειαν, ἡ βασιλεία μου τῆς δεήσεως αὐτῶν ἐπακούσασα τὸν παρόντα ὁρισμὸν αὐτῆς ἐπώρεξε τούτοις, δι' οὗ καὶ διορίζεται τὸ στέργον ἔχειν καὶ ἐνεργὸν τὰ προσ-

όντα αὐταῖς χρυσόβουλλα καὶ λοιπὰ προστάγματα, ἔτι δὲ καὶ ἀπογραφικὰς ἀποκαταστάσεις καὶ κατὰ τὰς αὐτῶν περιλήψεις κατέχειν αὐτοὺς καὶ νέμεσθαι πᾶν, εἴ τι εὑρίσκονται κατέχοντες ἀνέκαθεν μέχρι καὶ σήμερον, ἀνενοχλήτως, ἀναποσπάστως καὶ ἀταράχως, ἔχειν τε καὶ πάντας τοὺς ἐν τοῖς κτήμασιν αὐτῶν προσκαθημένους, ξένους καὶ ἀνεπιγνώστους τῷ δημοσίῳ, ἤγουν τοὺς νησιώτας καὶ τοὺς ἑτέρους καὶ μὴ εὑρίσκειν ἐπ' αὐτοῖς ἀπό τινος τῶν ἁπάντων τὴν οἱανοῦν ἐπήρειαν ἢ ὄχλησιν, μήτε ἀπὸ τοῦ δημοσίου, μήτε ἀπό τινος ἄλλου, ἀλλὰ μένειν αὐτοὺς ἀνενοχλήτους καὶ ἀταράχους ἐπὶ πᾶσιν οἷς κέκτηνται, ὡς ἔκπαλαι καὶ μέχρι τῆς σήμερον. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῷ μέρει τῆς διαληφθείσης μονῆς τῆς βασιλείας μου καὶ ὁ παρὼν αὐτῆς ὁρισμὸς εἰς ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ δεκεμβρίῳ ἰνδ. δ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXXVII. Sine anno, mense martio, ind. III.

Imperator ducem thematis Thracesiorum iubet tueri iura monasterii contra Manteanos.

† Ἕτερον πρόσταγμα ἀπολογιάζον καὶ τὸ τοιοῦτον, τοὺς Μαντειάνοὺς καὶ τοὺς αὐτῶν προσγενεῖς ἀφ' ὧν πειρῶνται ἔχειν ὑποστατικὰ εἰς τὴν Βάρην †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Θεόδωρε Κρυβιτζιώτα· ὑπεμνήσθη ἡ βασισιλεία μου παρὰ τῶν μοναχῶν τῶν ἀπὸ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῶν Λέμβων, ὡς ἀδικίαν καὶ ὄχλησιν εὑρίσκουσιν ἐπὶ τοῖς δικαίοις τῆς τοιαύτης μονῆς παρά τε τοῦ Διαβατηνοῦ καὶ τῶν Μαντειανῶν, καὶ ταῦτα πολλάκις ἀποπεμφθέντων αὐτῶν, ὡς ἀμετόχως λαλούντων διά τε ὁρισμῶν τοῦ ἀοιδίμου βασιλέως καὶ θείου τῆς βασιλείας μου, τοῦ ἀοιδίμου βασιλέως καὶ ἐξαδέλφου τῆς βασιλείας μου καὶ ὁρισμοῦ τῆς βασιλείας μου, καὶ οὐδ' οὕτως πείθονται. καὶ διορίζεται ἡ βασιλεία μου, ὡς ἂν εἰ οὕτω τὰ τῆς ἀληθείας εὑρήσεις ἔχειν, οἰκονομήσῃς, μὴ εὑρίσκειν τὴν διαληφθεῖσαν σεβασμίαν μονὴν ὄχλησίν τινα ἢ διάσειξιν ἐπὶ τοῖς δικαίοις αὐτῆς παρὰ τῶν ἀνωτέρω ῥηθέντων, καὶ ποίησον, καθὼς σοι ὁ βασιλεία μου διορίζεται· ἀντί-

στρεψον δὲ τῇ ἀνωτέρω εἰρημένῃ σεβασμίᾳ μονῇ τῶν Λέμβων καὶ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου εἰς ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. τρίτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXXVIII. Sine anno, mense iulio, ind. XIV.

Georgius Macrenus, dux thematis Thracesiorum, monasterium a tributis eximit.

† Ἕτερον γράμμα τοῦ δουκὸς τῶν Θρακησίων τοῦ Μακρηνοῦ ἐξκουσσεῦον καὶ τοῦτο τὰ τῆς μονῆς πάντα †.

†. Ἐπεὶ θεῖον καὶ προσκυνητὸν χρυσόβουλλον κέκτηται ἡ σεβασμία βασιλικὴ μονὴ τῶν Λέμβων, διοριζόμενον μηδόλως εἰσέρχεσθαι τὸν δημόσιον ἐπὶ τοῖς αὐτῆς κτήμασιν ἢ βιβαρίοις ἢ ἄλλοις τισὶν αὐτῇ διαφέρουσιν, ἀλλ' ἀπέχειν τέλεον ἐξ αὐτῶν, ὅθεν καὶ παρεγγυώμεθα πᾶσι τοῖς ἐνεργοῦσι δικαίῳ ἡμῶν, νῦν τε οὖσι καὶ ἐσύστερον ἐλευσομένοις, μηδόλως ἐπάγειν ἐμποδισμὸν ἢ διασεισμὸν τὸν τυχόντα ἐπὶ τοῖς κτήμασι τῆς ῥηθείσης μονῆς ἢ βιβαρίοις ἢ μετοχίοις ἢ ζευγηλατείοις ἢ χωρίοις ἔν τε τῇ Μανταίᾳ καὶ τοῖς Παλατίοις καὶ τοῖς ἀλλαχοῦ οὖσι, μήτε μὴν ἐν τοῖς χειρογριπίοις, ἀλλὰ μηδὲ κονταράτους ἐκβάλλειν ἢ ἀερικεύειν τινὰ τῆς μονῆς ἀπὸ τῶν ὄντων ἐν τῇ Μανταίᾳ, ἀλλ' ἀπέχειν τέλεον ἐξ αὐτῶν καὶ πάντων τῶν ὑπ' αὐτήν, καθὼς ὁ θεῖος καὶ προσκυνητὸς χρυσόβουλλος λόγος διακελεύεται· ἴστω γὰρ πᾶς ὁ τολμήσων, ὁποῖος ἄρα καὶ εἴη, ὁρμήσῃ ὄχλησιν τὴν τυχοῦσαν ἢ βαλεῖν πόδα ἐπᾶραι τινὶ τῶν τῆς μονῆς ἢ ζημιῶσαι ἢ ἀγγαρεῦσαι ἢ ἄλλο τι κακωτικὸν καὶ ἄτιμον διαπράξασθαι, κἂν καὶ ὁποῖος ᾖ, μέλλει ὑποβληθῆναι ζημίᾳ καὶ ἀτιμίᾳ. ὡσαύτως ὀφείλει ἔχειν καὶ τὸ ὕδωρ τοῦ κατερχομένου ποταμοῦ ἀπὸ τοῦ τῆς μονῆς ὄρους καὶ δεκατίζειν αὐτό, καθὼς ἐξ ἀρχῆς εἶχέ τε καὶ ἐδέσποζε, καὶ μὴ εὑρίσκειν ἐμποδισμὸν ἀπό τινος τῶν Μαντειανῶν. ἐπεὶ δὲ διάφορα προστάγματα καὶ χρυσόβουλλα κέκτηται ἡ μονὴ τῶν Λέμβων εἰς τὸ μηδέ τινα ἔχειν τὸ σύνολον ἕνωσιν ἢ σμίξιν μετὰ τῆς Σμύρνης, ἀλλ' ὡς ἴδιον διαμένειν ὡς ἔξωθεν αὐτῆς, ὀφείλει διὰ τῆς παρούσης ἡμετέρας γραφῆς εἶναι ἀνακρωτηρίαστον, ἀκαταζήτητον καὶ ἀτάραχον ἀπὸ πάντων καὶ παντοίων τῶν ἐπερχομένων δημοσιακῶν

ζητημάτων, ἤγουν πλωΐμων, κονταράτων, στυπαξούγγων, πισσοῦγροπίσσων, μιτάτων καὶ ἀλλοίων τινῶν κατὰ τὴν περίληψιν τῶν θείων καὶ προσκυνητῶν χρυσοβούλλων καὶ ὁρισμῶν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τοῖς ῥηθεῖσι μοναχοῖς εἰς ἀσφάλειαν. μηνὶ ἰουλίῳ ἰνδ. ιδʹ †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, Γεώργιος ὁ Μακρηνός †.

CXXXIX. Sine anno et mense.

Irene Comnena Branaena et gener eius Theodorus Comnenus Philes donant monasterio campum.

† Τὸ γράμμα τῆς Κομνηνῆς τῆς Βραναίνης χάριν τοῦ εἰς τὴν Βάρην χωραφίου τοῦ Σπανοῦ ὡς ἐκδοτήριον †.

† Εἰρήνη Κομνηνὴ ἡ Βράναινα οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν τῷ ὀνόματι τοῦ πατρὸς κ. τ. ἑ. ἐγὼ ἡ ἄνωθεν προτάξασα σὺν τῷ περιποθήτῳ μου γαμβρῷ, κυρῷ Θεοδώρῳ Κομνηνῷ τῷ Φιλῇ, ἐκδιδόαμεν πρὸς τὴν σεβασμίαν μονὴν τῶν Λέμβων καὶ πρός σε, τὸν πανοσιώτατον καθηγούμενον αὐτῆς, ἱερομόναχον κῦρ Παῦλον, καὶ πρὸς τοὺς ὑπὸ σὲ μοναχοὺς τὸ χωράφιον τὸ ἐπιλεγόμενον τοῦ Σπανοῦ καὶ τοῦ . . . ὅπερ ἐστὶν ἐντὸς τοῦ περιόρου τοῦ Παντοκράτορος . . . ὅτι γεγόνασιν ἐν μέσῳ τῶν ἡμετέρων παροίκων, ἀλλὰ δὴ καὶ τῆς βασιλικῆς ἁγίας μονῆς τῶν Λέμβων διαστίξεις πολλαὶ περὶ τούτων, ἔστι δὲ καὶ χωράφιον, οὐδὲν συνέβη καὶ ὅρκος, καὶ δέον ἐκρίναμεν διὰ τὸ ἀκριμάτιστον ἡμῶν τοῦ ἔχειν τοῦτον ἡ μονή, καὶ οὐ μὴ κριματιζόμεθα τούτου χάριν. καὶ παρεδόθη αὐτὸ πρὸς τὸν ῥηθέντα καθηγούμενον ὑπὲρ ψυχικῆς δωρεᾶς τοῦ πανευγενεστάτου Κομνηνοῦ κυροῦ Θεοδώρου τοῦ Φιλῆ καὶ τῆς πανευγενεστάτης Κομνηνῆς κυρᾶς Εἰρήνης εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους †.

CXL. Sine anno, mense februario, ind. II.

Theodorus Comnenus Philes confirmat donationem campi.

† Ἕτερον γράμμα Κομνηνοῦ τοῦ Φιλῆ χάριν τοῦ αὐτοῦ χωραφίου τοῦ Σπανοῦ †.

† Ἐπεὶ ἐλθόντες οἱ μοναχοὶ οἱ ἀπὸ τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης καὶ ἐμφάνισαν ἡμῖν σιγίλλιον τῆς κυρᾶς καὶ μανίτζας μου καὶ ἰδικόν μου, ὅτι ἐντὸς τῆς Βάρης εἴχομεν χωράφιον ἐξ ἀγορασίας, καὶ δεδώκαμεν αὐτὸ εἰς τὴν μονὴν πρὸ χρόνων πολλῶν, καὶ εἶχεν αὐτὸ καὶ ἐνέμετο, τὰ νῦν δὲ ὤχλησεν αὐτοὺς ὁ ἄνθρωπός μου, καὶ πάλιν θέλημα ἔχω, ἵνα κατέχῃ αὐτὸ ἡ μονή, καθὼς εἶχεν αὐτὸ καὶ πρότερον, ἀνενοχλήτως, καὶ μὴ τολμήσῃ τις τῶν ἡμετέρων ἵνα ὀχλήσῃ τὸ μέρος τῆς μονῆς ἕνεκα τοῦ τοιούτου χωραφίου. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῷ μέρει τῆς μονῆς εἰς περισσοτέραν ἀσφάλειαν. μηνὶ φευρουαρίῳ ἰνδ. δευτέρας†.

† Ὁ Φιλῆς †.

CXLI. 6788—1280, mense martio, ind. VIII.

Georgius Cacabas vendit monasterio campum in Lilida.

† Τὸ πρατήριον Γεωργίου τοῦ Κακαβᾶ καὶ τῶν ἀδελφῶν αὐτοῦ χάριν τοῦ χωραφίου αὐτῶν τοῦ εἰς τὸν Λιλίδην †.

Σίγνα Γεωργίου τοῦ Κακαβᾶ, Νικολάου, τοῦ αὐταδέλφου αὐτοῦ, καὶ Καλῆς, τῆς αὐταδέλφης αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν τὴν πρᾶσιν . . . τιθέμεθα καὶ ποιοῦμεν πρὸς τὴν βασιλικὴν μονὴν τῶν Λέμβων, καθὼς δηλωθήσεται. καὶ γὰρ τὸ χωράφιον ἡμῶν τὸ ὂν καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τοῦ Λιλίδη, τὸ καὶ πλησιαστὰς ἔχον ἀπὸ μὲν ἀνατολῆς χωράφιον τοῦ Κουτλᾶ, ἀπὸ δὲ δύσεως χωράφιον τοῦ Πελάτου καὶ ἀπὸ ἄρκτου χωράφιον τοῦ Τριαλώνου Μιχαὴλ καὶ ἀπὸ μεσημβρίας χωράφιον τοῦ Καλοστεφάνου . . . καὶ λόγων κινηθέντων περὶ τοῦ τιμήματος αὐτῶν ὕστερον περιεστήσαμεν αὐτῷ ἐκ συμφωνίας καὶ ἀρεσκείας τῶν ἡμετέρων εἰς ὑπέρπυρον ἕν, ὅπερ καὶ λαβόντες . . . καὶ τελείως ἐκστάντες τῆς αὐτοῦ διακατοχῆς καὶ νομῆς ἐκχωρούμεθά σοι ἐπιλαβέσθαι αὐτοῦ κ. τ. ἑ. ὅστις δὲ ἐξ ἡμῶν βουληθῇ ὑπὲρ ἀνατροπῆς λαλῆσαι εὐλόγου ἢ ἀνευλόγου . . . δόσεως προστίμου ὑποκεισόμεθα πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα λίτραν μίαν. μηνὶ μαρτίῳ ἰνδ. η´ τοῦ ͵ςψπη´ ἔτους†.

Μάρτυρες· Νικόλαος ὁ Μαγγούφης, Ἰωάννης ὁ Περγαμηνός, Γεώργιος ὁ Τριαλώνης.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς Γεώργιος ὁ Γουναρόπουλος γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

CXLII. 6794—1286, mense iulio, ind. XIV.

Alexius Pothus et familia monasterio vendunt campos in loco Bara.

† Τὸ πρατήριον Ἀλεξίου τοῦ Πόθου καὶ τῆς γυναικὸς καὶ τῶν παίδων αὐτοῦ χάριν τοῦ χωραφίου, οὗπερ εἶχεν εἰς τὴν Βάρην †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἀλέξιος ὁ Πόθος οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνα Μαρίας, τῆς συμβίου αὐτοῦ, Ἰωάννου, τοῦ υἱοῦ αὐτοῦ Ἄννης, Εἰρήνης καὶ Θεοδώρας, τῶν θυγατέρων αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν . . . τιθέμεθα καὶ ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν καὶ βασιλικὴν μονὴν τῶν Λέμβων καὶ πρὸς τὸν ἐν αὐτῇ ἡγεμονεύοντα κῦρ Κάλλιστον . . . τὴν πρᾶσιν . . . καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ χωράφια ἡμῶν τὰ ὄντα καὶ διακείμενα ἐν τῇ τοποθεσίᾳ τῆς Βάρης τὰ καὶ πλησίον ὄντα τοῦ ἀδελφοῦ μου, κυροῦ Ἰωάννου τοῦ Πόθου, ἤγουν τὰ ἐκ τῆς γονικῆς ἡμῶν κληρονομίας τὰ ἥμιση μετὰ πάντων τῶν δικαίων αὐτῶν, καὶ λόγων μέσον ἡμῶν κινηθέντων περὶ τοῦ τιμήματος αὐτῶν ἐσύστερον περιεστήσαμεν αὐτῷ εἰς ὑπέρπυρα δεκαεννέα καὶ ἰσπαρίππιν τιμῆς ὑπερπύρων δεκαέξ, ἅτινα δὴ καὶ λαβόντες ἀπὸ τῶν χειρῶν ὑμῶν καὶ . . . τοῦ ἐν μοναχοῖς κυροῦ Θεοστηρίκτου . . . ἐκχωροῦμεν ὑμῖν ἐπιλαβέσθαι αὐτῶν, καὶ οὐδέποτε χωρήσωμεν πρὸς ἀνατροπὴν τῆς παρούσης ἡμῶν πράσεως. ὅστις δὲ ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι εὐλόγως ἢ ἀνευλόγως, οὐ μὴ εἰσακουσθησόμεθα, ἀλλὰ καὶ δόσεως λόγου προστίμου ὑποκεισόμεθα πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπερπύρων λίτραν μίαν. μηνὶ ἰουλίῳ ἰνδ. ιδ΄ τοῦ ϛψϟδ΄ ἔτους †.

Μάρτυρες· Ἰωάννης ὁ Μουρμουντανός, Νικόλαος ὁ Μαγκούφης, Κωνσταντῖνος ὁ Ῥαδηνός.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου τοῦ βασιλέως, Γεώργιος ὁ Πετρίτζης, τὴν παροῦσαν ἔγγραφον μαρτυρῶν ὑπέγραψα †.

† Ὁ νομικὸς τῶν Ἁγιοσοφιτικῶν χωρῶν, Μανουὴλ ἱερεὺς ὁ Βεστάρχ[ης], τὸ παρὸν πρατήριον ἔγγραφον ὡς παρὼν καὶ μαρτυρῶν ὑπέγραφα †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικός, Γεώργιος ὁ Γουναρόπουλος, τὰ τοῦ ὕφους γράψας καὶ μαρτυρῶν ὑπέγραφα †.

CXLIII. 6795—1287, mense martio, ind. XV.

Constantinus Gabalas et familia monasterio vendunt campos in loco Bara.

† Τὸ πρατήριον ἔγγραφον Κωνσταντίνου τοῦ Γαβαλᾶ, τῆς γυναικὸς καὶ τῶν παίδων αὐτῶν χάριν τῶν εἰς τὴν Βάρην χωραφίων αὐτῶν †.

† Κωνσταντῖνος ὁ Γαβαλᾶς οἰκείᾳ χειρὶ προέταξα. σίγνα Ξένης, τῆς συζύγου συμβίου αὐτοῦ, Ἰωάννου, Ἄννης καὶ Εἰρήνης, τῶν παίδων αὐτῶν, Ἄννης τῆς Γλαβαίνης, τῆς πενθερᾶς αὐτοῦ.

Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν . . . ἐκποιοῦμεν πρὸς τὴν μονὴν τῶν Λέμβων καὶ τὸν ἐν αὐτῇ ἡγουμονεύοντα, κῦρ Κάλλιστον, τὰ χωράφια ἡμῶν τὰ διακείμενα ἐν τῇ τοποθεσίᾳ τῆς Βάρης τὰ καὶ πλησίον καὶ ἐναπολειφθέντα ἀπὸ τοῦ θείου ἡμῶν, κυροῦ Ἀλεξίου. καὶ λόγων μέσον ἡμῶν κινηθέντων περὶ τοῦ τιμήματος αὐτῶν, ὕστερον περιεστήσαμεν αὐτῷ εἰς ὑπέρπυρα τριάκοντα καὶ πέντε. ἃ δὴ καὶ λαβόντες . . . ἐκχωρούμεθα ὑμῖν ἐπιλαβέσθαι αὐτῶν κ. τ. ἑ. ὅστις δὲ ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι . . . λόγῳ προστίμου ὑποκείσεται πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπερπύρων λίτραν μίαν. μηνὶ μαρτίῳ ἰνδ. ιε' τοῦ ,ςψϞε' ἔτους †.

Σίγνα· Μιχαὴλ Νόθου, υἱοῦ Γεωργίου τοῦ Πόθου, Ἰωάννου, τοῦ ἀδελφοῦ αὐτοῦ, Μαρίας τῆς Λεονταρίνης, Νικολάου τοῦ Σμύρνου, Γεωργίου τοῦ Λεοντάρη, Ἰωάννου τοῦ Μονεμβασιώτου, Θεοδώρας τῆς Μεσοποταμιτίσσης.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικός, Γεώργιος ὁ Γουναρόπουλος, τὰ τοῦ ὕφους γράψας καὶ μαρτυρῶν ὑπέγραφα †.

CXLIV. [6801—1293], mense maio, ind. VI.

Manuel Sguropulus iussu imperatoris describendos curat fines possessionum monasterii.

† Τὸ ἑσύστερον γεγονὸς ἀποκαταστατικὸν γράμμα παρὰ τοῦ δομεστίκου τῶν ἀνατολικῶν θεμάτων δι' ὁρισμοῦ προσκυνητοῦ χάριν τοῦ περιόρου τῆς μονῆς, ἐπεὶ κατεδυναστεύετο παρὰ τῶν Νεοχωριτῶν εἰς τὴν περιοχὴν αὐτοῦ καὶ νομὴν τὴν ἀνέκαθεν ὁροθετηθεῖσαν †.

† Οἱ ἐν τῇ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ οὕτω πως ἐπικεκλημένῃ τῶν Λέμβων ἐνασκούμενοι μοναχοὶ θεῖον καὶ προσκυνητὸν πρόσταγμα προκεκομίκασί μοι, διοριζόμενον, ὅπως τηρήσω τὰς διενέξεις, ἃς ἔχουσιν ἐπὶ τῷ περιόρῳ τῆς γῆς αὐτῶν μετά τε τοῦ οἰκείου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, πανευγενεστάτου Δούκα κυροῦ Μανουὴλ τοῦ Ἀπρηνοῦ, μετὰ τοῦ Μαυροζώμη, ὡς κατεχομένων τὴν γῆν τῆς Θρακησίνης καὶ ἀρτίως δοθεῖσαν τῇ αὐτῇ Θρακησίνῃ δι' ὁρισμοῦ προσκυνητοῦ, ἔτι δὲ καὶ μετὰ τῶν Νεοχωριτῶν, καὶ οἰκονομήσω, ἵνα διαμένωσιν ἀνενόχλητοι. καὶ κατὰ τὴν περίληψιν τοῦ τοιούτου θείου καὶ προσκυνητοῦ προστάγματος μὴ δυνηθεὶς αὐτὸς αὐτοφὶν ἀπελθεῖν καὶ τηρῆσαι αὐτὰς διὰ τὰς ἐπικειμένας δουλείας τῆς ἐνοχῆς μου, ἀπέστειλα δικαίῳ μου τὸν γαμβρόν μου, κῦρ Μανουὴλ τὸν Κριτόπουλον, παραδηλώσας διὰ γραφῆς μου καὶ τῷ δεσπότῃ μου, τῷ πανιερωτάτῳ μητροπολίτῃ Σμύρνης καὶ ὑπερτίμῳ, εἰς τὸ ἐξαποστεῖλαι ἄρχοντας τῆς ἐκκλησίας αὐτοῦ καὶ ἀπελθεῖν μετὰ τοῦ εἰρημένου Κριτοπούλου καὶ ἐφευρεῖν μετὰ πάσης ἀληθείας καὶ ἐξετάσεως τὴν ἀλήθειαν, καὶ δὴ ἀποστείλας τόν τε μέγαν σακελλάριον τὸν Σταφηδάκη καὶ τὸν σακελλίου τὸν Λαπαρδᾶν παρεγένοντο μετὰ τῶν μοναχῶν εἰς τὸν τόπον, ἔνθα καὶ ἡ διένεξις ἦν. ὑπῆρχον δὲ ἐκεῖσε καὶ ὅσοι ἀπὸ τοῦ χωρίου τοῦ Παναρέτου Μανταίας χρήσιμοι γέροντες οἱ καὶ πρὸς πίστωσιν μαρτυρίας εὐπρόσδεκτοι καὶ ἔχοντες τὰς εἰδήσεις καὶ τὰ γνωρίσματα τοῦ τόπου, ὅ τε Θεόδωρος ὁ Μαρτῖνος, Νικόλαος ὁ Κακαβᾶς, Λέων ὁ Ἀρμένης, Θεόδωρος ὁ Βαρίτης, ὁ νομικὸς Γεώργιος, Γεώργιος ὁ Παλαμάρης, Μιχαὴλ ὁ Ἐξάκουστος, Ἰωάννης ὁ Παρδολέων, ὁ Λογγίβαρδος Μιχαήλ, Ἰωάννης ὁ Ῥοδινός, Νικόλαος ὁ Παρδοπεφαγωμένος, Μιχαὴλ ὁ Βαρίτης,

ἱερεὺς ὁ Γεώργιος καὶ ἕτεροι, καὶ ἀναγινώσκοντες τὸν περίορον τῆς γῆς τῆς δηλωθείσης σεβασμίας μονῆς, ἀλλὰ δὴ καὶ τὸ προσὸν αὐτῇ χρυσόβουλλον, τὰς κατὰ τόπους ὁροθεσίας, ἐφ' αἷς οἱ Παναρετῖται ἠρωτῶντο μετ' ἐπιτιμίου, ἀληθεύειν τὸν περίορον διωμνύμενοι ἔφασκον καὶ ἐκεῖ τὰς στήλας πηγνύντες, ἔνθα οἱ αὐτοὶ μετὰ τοῦ περιόρου ἐδείκνυον τοὺς ἀπὸ τοῦ μέρους τοῦ Δούκα κενοὺς καὶ ἀπράκτους, ὡς μὴ ἔχοντας δίκαιον, ἐφ' οἷς ἠδίκουν δεικνύοντας, ἀδυνατοῦντες λέγειν τι ὡς κατὰ πρόσωπον αὐτῶν τὸ δίκαιον ἁπαντῶν. ὡς δ' ὡρίσθη δι' ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὁ δηλωθεὶς γαμβρός μου ὁ Κριτόπουλος ἀπελθεῖν εἰς τὴν δουκικὴν ἐνέργειαν τῆς νήσου Χίου, οὐκ ἔφθασε τηρῆσαι καὶ τὴν τῶν Νεοχωριτῶν ὑπόθεσιν, ἀλλὰ κατέλειψε ταύτην ἀτήρητον. καὶ πάλιν οἱ μοναχοὶ τῆς δηλωθείσης σεβασμίας μονῆς πρός με ἀφίκοντο, ἵνα καὶ τὴν τούτων ὑπόθεσιν διορθώσωνται, καὶ ἀποστείλας τὸν μεγαλοδοξότατον καὶ ἠγαπημένον μοι σύντροφον, τὸν βασιλικὸν βεστιαρίτην, κῦρ Λέοντα τὸν Μοναστηριώτην, καὶ ἀπελθὼν ἐν τῷ τόπῳ, ἔνθα καὶ ἡ τῶν Νεοχωριτῶν ὑπόθεσις ἦν, συναθροίσας καὶ ἀπὸ τῶν πέλας χωρίων, τῆς τε Μανταίας, στρατιώτην τὸν Πετρίτζην, τὸν γαμβρὸν τοῦ Θρακήση, καὶ ἀπὸ τῶν Χειλῶν ἱερέα Νικόλαον τὸν Λιβαδιώτην, Καλλονᾶν τὸν Δαμάλιον καὶ τὸν Ῥαφομμάτην Μανουήλ, καὶ τοῦ περιόρου τῆς μονῆς ἀναγινωσκομένου εἰς ἐπήκοον πάντων, καὶ πάντες οἰκοδεσπόται καὶ τοπικοὶ γέροντες ἐν ἐπιτιμίῳ τ' ἀληθῆ λέγειν τὸν περίορον, παρίστων καὶ τὰς στήλας δεικνύντες ἐν οἷς τόποις μετὰ τοῦ περιόρου ἐπήγνυον, καὶ ἀνενοχλήτους τοῦ λοιποῦ τοὺς μοναχοὺς κατέστησα, τοὺς δὲ Νεοχωρίτας μηκέτι κατεπεμβαίνειν τῶν ὁροθεσίων τῆς μονῆς πεποίηκα, μηδὲ πειρᾶσθαι, ἐφ' οἷς μὴ ἔχειν δίκαιον δικαιοῦσθαι τῷ λόγῳ τῆς δυναστείας, ἀλλὰ μένειν ἀμφότερα τὰ μέρη ἐν ὅροις τοῖς ἰδίοις καὶ τῆς ἀδικίας ἀπέχεσθαι. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ τῶν Λέμβων δι' ἀσφάλειαν καὶ ἀνενοχλησίαν αὐτῆς. μηνὶ μαΐῳ ἰνδ. ἕκτης †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μανουὴλ σεβαστὸς Σγουρόπουλος, ὁ δομέστικος τῶν ἀνατολικῶν θεμάτων †.

CXLV. 6802—1293, mense novembri, ind. VII.

Incolae Neochorii promittunt se non moturos esse litem de finibus monasterii.

† Γράμμα ὑποσχετικὸν τῶν ἐποίκων τοῦ Νεοχωρίου, ἵνα μηδόλως τολμήσωσι πώποτε κινῆσαι λόγον κατὰ τοῦ πλησιάζοντος αὐτῶν περιόρου τῆς μονῆς †.

† Ἡμεῖς οἱ ἔποικοι τοῦ Νεοχωρίου, ὅ τε Θεόδωρος ὁ Πολίτης, Θεόδωρος ὁ Ζουλουχίνης, Νικήτας ὁ Λεμβάτης, Μιχαὴλ ὁ Μαυροπόδης, Ἰωάννης ὁ Βουλγησαῖος, Γεώργιος ὁ Βουλγησαῖος, Νικόλαος ὁ Ζουλουχίνης, Κωνσταντῖνος ὁ Ἀμπελᾶς, Μιχαὴλ ὁ Εὐμενὸς, Μανουὴλ ὁ Μαννὸς, Ἰωάννης ὁ Πολίτης, ὁ ἕτερος Πολίτης Νικόλαος, Ἰωάννης ὁ Σοριγμὴς καὶ οἱ ἕτεροι ὑπισχνούμεθα διὰ τῆς παρούσης ἡμῶν γραφῆς, ὅτι εἴπερ ὀψέ ποτε βουληθῶμεν δι' ὄχλου καθυποβαλεῖν τὴν σεβασμίαν βασιλικὴν μονὴν τῶν Λέμβων ἐπὶ τῷ προσόντι εἰς ταύτην παλαιγενεῖ περιόρῳ τῷ πλησιάζοντι τῷ δηλωθέντι χωρίῳ ἡμῶν, δι' οὗπερ πλησιασμοῦ ἐπειρώμεθα ἀνάρχως καὶ παρὰ πάντα δίκαιον λόγον καὶ εἰσερχόμεθα καὶ κατεκάμνομεν τὰ ἐντὸς τοῦ εἰρημένου περιόρου περιοριζόμενα χωράφια, καὶ ἐντεῦθεν ἀνήνεγκον τὰ περὶ τούτου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ οἱ ἐν τῇ προαναπεφωνημένῃ μονῇ ἀσκούμενοι μοναχοί, καὶ ἀπελύθη θεῖον καὶ προσκυνητὸν πρόσταγμα πρὸς τὸν πανσέβαστον, σεβαστὸν οἰκεῖον τῇ κραταιᾷ καὶ ἁγίᾳ αὐτοῦ βασιλείᾳ καὶ κύριον ἡμῶν, τὸν δομέστικον τῶν ἀνατολικῶν θεμάτων, ὅπως ἂν πέμψειε καὶ τηρήσαιεν τὰ τοῦ προδηλωθέντος περιόρου, ὃ δὴ καὶ πεποίηκεν καὶ ἐξαπέστειλε δικαίῳ αὐτοῦ τὸν ἀπὸ τῶν βασιλικῶν βεστιαριτῶν μεγαλοδοξότατον κῦρ Λέοντα τὸν Μοναστηριώτην, καὶ ἐτήρησε τὰ τοῦ τοιούτου περιόρου, καὶ εὗρε παρὰ τὸν τοῦ δικαίου λόγον πειρωμένους ἡμᾶς καὶ κατὰ λόγον δυναστείας, ὡς ἐντὸς τοῦ προδηλωθέντος περιόρου καταγεγραμμένα εὑρισκόμενα, τὰ παρ' ἡμῶν πεπειρᾶσθαι χωράφια, ἡμεῖς δὲ μηδ' ὁπωσοῦν ἔχοντες ἢ ὑποδεικνύοντες χαρτῷον δικαίωμα, διὰ τοῦτο καὶ τὸ κῦρος καὶ στέργον καὶ ἐνεργοῦν προσῆξαν καὶ προσεκύρωσαν τῷ πολλάκις δηλωθέντι περιόρῳ, ἡμᾶς δὲ ἀπέπεμψαν ὡς παρὰ τὸν τοῦ δικαίου λόγον πειρωμένους. ἐπεὶ καὶ διὰ τοῦτο διέκριναν, ἵνα ἀποδώσωμεν καὶ τὴν τῶν χωραφίων μορτὴν, ὧν ἐφθάσαμεν τὸν παρελθόντα

στρεφον δὲ τῇ ἀνωτέρω εἰρημένῃ σεβασμίᾳ μονῇ τῶν Λέμβων καὶ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου εἰς ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. τρίτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXXXVIII. Sine anno, mense iulio. ind. XIV.

Georgius Macrenus, dux thematis Thracesiorum, monasterium a tributis eximit.

† Ἕτερον γράμμα τοῦ δουκὸς τῶν Θρακησίων τοῦ Μακρηνοῦ ἐξκουσσεῦον καὶ τοῦτο τὰ τῆς μονῆς πάντα †.

†. Ἐπεὶ θεῖον καὶ προσκυνητὸν χρυσόβουλλον κέκτηται ἡ σεβασμία βασιλικὴ μονὴ τῶν Λέμβων, διοριζόμενον μηδόλως εἰσέρχεσθαι τὸν δημόσιον ἐπὶ τοῖς αὐτῆς κτήμασιν ἢ βιβαρίοις ἢ ἄλλοις τισὶν αὐτῇ διαφέρουσιν, ἀλλ' ἀπέχειν τέλεον ἐξ αὐτῶν, ὅθεν καὶ παρεγγυώμεθα πᾶσι τοῖς ἐνεργοῦσι δικαίῳ ἡμῶν, νῦν τε οὖσι καὶ ἐσύστερον ἐλευσομένοις, μηδόλως ἐπάγειν ἐμποδισμὸν ἢ διασεισμὸν τὸν τυχόντα ἐπὶ τοῖς κτήμασι τῆς ῥηθείσης μονῆς ἢ βιβαρίοις ἢ μετοχίοις ἢ ζευγηλατείοις ἢ χωρίοις ἔν τε τῇ Μανταίᾳ καὶ τοῖς Παλατίοις καὶ τοῖς ἀλλαχοῦ οὖσι, μήτε μὴν ἐν τοῖς χειρογριπίοις, ἀλλὰ μηδὲ κονταράτους ἐκβάλλειν ἢ ἀερικεύειν τινὰ τῆς μονῆς ἀπὸ τῶν ὄντων ἐν τῇ Μανταίᾳ, ἀλλ' ἀπέχειν τέλεον ἐξ αὐτῶν καὶ πάντων τῶν ὑπ' αὐτήν, καθὼς ὁ θεῖος καὶ προσκυνητὸς χρυσόβουλλος λόγος διακελεύεται· ἴστω γὰρ πᾶς ὁ τολμήσων, ὁποῖος ἄρα καὶ εἴη, ὁρμήσῃ ὄχλησιν τὴν τυχοῦσαν ἢ βαλεῖν πόδα ἐπᾶραι τινὶ τῶν τῆς μονῆς ἢ ζημιῶσαι ἢ ἀγγαρεῦσαι ἢ ἄλλο τι κακωτικὸν καὶ ἄτιμον διαπράξασθαι, κἂν καὶ ὁποῖος ᾖ, μέλλει ὑποβληθῆναι ζημίᾳ καὶ ἀτιμίᾳ. ὡσαύτως ὀφείλει ἔχειν καὶ τὸ ὕδωρ τοῦ κατερχομένου ποταμοῦ ἀπὸ τοῦ τῆς μονῆς ὄρους καὶ δεκατίζειν αὐτό, καθὼς ἐξ ἀρχῆς εἶχέ τε καὶ ἐδέσποζε, καὶ μὴ εὑρίσκειν ἐμποδισμὸν ἀπό τινος τῶν Μαντειανῶν. ἐπεὶ δὲ διάφορα προστάγματα καὶ χρυσόβουλλα κέκτηται ἡ μονὴ τῶν Λέμβων εἰς τὸ μηδέ τινα ἔχειν τὸ σύνολον ἕνωσιν ἢ σμίξιν μετὰ τῆς Σμύρνης, ἀλλ' ὡς ἴδιον διαμένειν ὡς ἔξωθεν αὐτῆς, ὀφείλει διὰ τῆς παρούσης ἡμετέρας γραφῆς εἶναι ἀνακρωτηρίαστον, ἀκαταζήτητον καὶ ἀτάραχον ἀπὸ πάντων καὶ παντοίων τῶν ἐπερχομένων δημοσιακῶν

ζητημάτων, ἤγουν πλωΐμων, κονταράτων, στυπαξούγγων, πισσοῦγροπίσσων, μιτάτων καὶ ἄλλοίων τινῶν κατὰ τὴν περίληψιν τῶν θείων καὶ προσκυνητῶν χρυσοβούλλων καὶ ὁρισμῶν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τοῖς ῥηθεῖσι μοναχοῖς εἰς ἀσφάλειαν. μηνὶ ἰουλίῳ ἰνδ. ιδ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, Γεώργιος ὁ Μακρηνός †.

CXXXIX. Sine anno et mense.

Irene Comnena Branaena et gener eius Theodorus Comnenus Philes donant monasterio campum.

† Τὸ γράμμα τῆς Κομνηνῆς τῆς Βραναίνης χάριν τοῦ εἰς τὴν Βάρην χωραφίου τοῦ Σπανοῦ ὡς ἐκδοτήριον †.

† Εἰρήνη Κομνηνὴ ἡ Βράναινα οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν τῷ ὀνόματι τοῦ πατρὸς κ. τ. ἑ. ἐγὼ ἡ ἄνωθεν προτάξασα σὺν τῷ περιποθήτῳ μου γαμβρῷ, κυρῷ Θεοδώρῳ Κομνηνῷ τῷ Φιλῇ, ἐκδιδόαμεν πρὸς τὴν σεβασμίαν μονὴν τῶν Λέμβων καὶ πρός σε, τὸν πανοσιώτατον καθηγούμενον αὐτῆς, ἱερομόναχον κῦρ Παῦλον, καὶ πρὸς τοὺς ὑπὸ σὲ μοναχοὺς τὸ χωράφιον τὸ ἐπιλεγόμενον τοῦ Σπανοῦ καὶ τοῦ . . . ὅπερ ἐστὶν ἐντὸς τοῦ περιόρου τοῦ Παντοκράτορος . . . ὅτι γεγόνασιν ἐν μέσῳ τῶν ἡμετέρων παροίκων, ἀλλὰ δὴ καὶ τῆς βασιλικῆς ἁγίας μονῆς τῶν Λέμβων διαστίξεις πολλαὶ περὶ τούτων, ἔστι δὲ καὶ χωράφιον, οὐδὲν συνέβη καὶ ὅρκος, καὶ δέον ἐκρίναμεν διὰ τὸ ἀκριμάτιστον ἡμῶν τοῦ ἔχειν τοῦτον ἡ μονή, καὶ οὐ μὴ κριματιζόμεθα τούτου χάριν. καὶ παρεδόθη αὐτὸ πρὸς τὸν ῥηθέντα καθηγούμενον ὑπὲρ ψυχικῆς δωρεᾶς τοῦ πανευγενεστάτου Κομνηνοῦ κυροῦ Θεοδώρου τοῦ Φιλῆ καὶ τῆς πανευγενεστάτης Κομνηνῆς κυρᾶς Εἰρήνης εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους †.

CXL. Sine anno, mense februario, ind. II.

Theodorus Comnenus Philes confirmat donationem campi.

† Ἕτερον γράμμα Κομνηνοῦ τοῦ Φιλῆ χάριν τοῦ αὐτοῦ χωραφίου τοῦ Σπανοῦ †.

† Ἐπεὶ ἐλθόντες οἱ μοναχοὶ οἱ ἀπὸ τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης καὶ ἐμφάνισαν ἡμῖν σιγίλλιον τῆς κυρᾶς καὶ μανίτζας μου καὶ ἰδικόν μου, ὅτι ἐντὸς τῆς Βάρης εἴχομεν χωράφιον ἐξ ἀγορασίας, καὶ δεδώκαμεν αὐτὸ εἰς τὴν μονὴν πρὸ χρόνων πολλῶν, καὶ εἶχεν αὐτὸ καὶ ἐνέμετο, τὰ νῦν δὲ ὤχλησεν αὐτοὺς ὁ ἄνθρωπός μου, καὶ πάλιν θέλημα ἔχω, ἵνα κατέχῃ αὐτὸ ἡ μονή, καθὼς εἶχεν αὐτὸ καὶ πρότερον, ἀνενοχλήτως, καὶ μὴ τολμήσῃ τις τῶν ἡμετέρων ἵνα ὀχλήσῃ τὸ μέρος τῆς μονῆς ἕνεκα τοῦ τοιούτου χωραφίου. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῷ μέρει τῆς μονῆς εἰς περισσοτέραν ἀσφάλειαν. μηνὶ φευρουαρίῳ ἰνδ. δευτέρας †.

† Ὁ Φιλῆς †.

CXLI. 6788—1280, mense martio, ind. VIII.

Georgius Cacabas vendit monasterio campum in Lilida.

† Τὸ πρατήριον Γεωργίου τοῦ Κακαβᾶ καὶ τῶν ἀδελφῶν αὐτοῦ χάριν τοῦ χωραφίου αὐτῶν τοῦ εἰς τὸν Λιλίδην †.

Σίγνα Γεωργίου τοῦ Κακαβᾶ, Νικολάου, τοῦ αὐταδέλφου αὐτοῦ, καὶ Καλῆς, τῆς αὐταδέλφης αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν τὴν πρᾶσιν ... τιθέμεθα καὶ ποιοῦμεν πρὸς τὴν βασιλικὴν μονὴν τῶν Λέμβων, καθὼς δηλωθήσεται. καὶ γὰρ τὸ χωράφιον ἡμῶν τὸ ὂν καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τοῦ Λιλίδη, τὸ καὶ πλησιαστὰς ἔχον ἀπὸ μὲν ἀνατολῆς χωράφιον τοῦ Κουτλᾶ, ἀπὸ δὲ δύσεως χωράφιον τοῦ Πελάτου καὶ ἀπὸ ἄρκτου χωράφιον τοῦ Τριαλώνου Μιχαὴλ καὶ ἀπὸ μεσημβρίας χωράφιον τοῦ Καλοστεφάνου ... καὶ λόγων κινηθέντων περὶ τοῦ τιμήματος αὐτῶν ὕστερον περιεστήσαμεν αὐτῷ ἐκ συμφωνίας καὶ ἀρεσκείας τῶν ἡμετέρων εἰς ὑπέρπυρον ἕν, ὅπερ καὶ λαβόντες ... καὶ τελείως ἐκστάντες τῆς αὐτοῦ διακατοχῆς καὶ νομῆς ἐκχωρούμεθά σοι ἐπιλαβέσθαι αὐτοῦ κ. τ. ἑ. ὅστις δὲ ἐξ ἡμῶν βουληθῇ ὑπὲρ ἀνατροπῆς λαλῆσαι εὐλόγου ἢ ἀνευλόγου ... δόσεως προστίμου ὑποκεισόμεθα πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπέρπυρα λίτραν μίαν. μηνὶ μαρτίῳ ἰνδ. η΄ τοῦ ͵ςψπη΄ ἔτους †.

Μάρτυρες· Νικόλαος ὁ Μαγγούφης, Ἰωάννης ὁ Περγαμηνός, Γεώργιος ὁ Τριαλώνης.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικὸς Γεώργιος ὁ Γουναρόπουλος γράψας καὶ μαρτυρῶν ὑπέγραψα †.

CXLII. 6794—1286, mense iulio, ind. XIV.

Alexius Pothus et familia monasterio vendunt campos in loco Bara.

† Τὸ πρατήριον Ἀλεξίου τοῦ Πόθου καὶ τῆς γυναικὸς καὶ τῶν παίδων αὐτοῦ χάριν τοῦ χωραφίου, οὗπερ εἶχεν εἰς τὴν Βάρην †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἀλέξιος ὁ Πόθος οἰκείᾳ χειρὶ προέταξα †.

Σίγνα Μαρίας, τῆς συμβίου αὐτοῦ, Ἰωάννου, τοῦ υἱοῦ αὐτοῦ Ἄννης, Εἰρήνης καὶ Θεοδώρας, τῶν θυγατέρων αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν . . . τιθέμεθα καὶ ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν καὶ βασιλικὴν μονὴν τῶν Λέμβων καὶ πρὸς τὸν ἐν αὐτῇ ἡγεμονεύοντα κῦρ Κάλλιστον . . . τὴν πρᾶσιν . . . καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ χωράφια ἡμῶν τὰ ὄντα καὶ διακείμενα ἐν τῇ τοποθεσίᾳ τῆς Βάρης τὰ καὶ πλησίον ὄντα τοῦ ἀδελφοῦ μου, κυροῦ Ἰωάννου τοῦ Πόθου, ἤγουν τὰ ἐκ τῆς γονικῆς ἡμῶν κληρονομίας τὰ ἥμιση μετὰ πάντων τῶν δικαίων αὐτῶν, καὶ λόγων μέσον ἡμῶν κινηθέντων περὶ τοῦ τιμήματος αὐτῶν ἐσύστερον περιεστήσαμεν αὐτῷ εἰς ὑπέρπυρα δεκαεννέα καὶ ἱππαρίππιν τιμῆς ὑπερπύρων δεκαέξ, ἅτινα δὴ καὶ λαβόντες ἀπὸ τῶν χειρῶν ὑμῶν καὶ . . . τοῦ ἐν μοναχοῖς κυροῦ Θεοστηρίκτου . . . ἐκχωροῦμεν ὑμῖν ἐπιλαβέσθαι αὐτῶν, καὶ οὐδέποτε χωρήσωμεν πρὸς ἀνατροπὴν τῆς παρούσης ἡμῶν πράσεως. ὅστις δὲ ἐξ ἡμῶν βουληθῇ ἀνατρέψαι εὐλόγως ἢ ἀνευλόγως, οὐ μὴ εἰσακουσθησόμεθα, ἀλλὰ καὶ δόσεως λόγου προστίμου ὑποκεισόμεθα πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπερπύρων λίτραν μίαν. μηνὶ ἰουλίῳ ἰνδ. ιδʹ τοῦ ϛψϟδʹ ἔτους †.

Μάρτυρες· Ἰωάννης ὁ Μουρμουντανός, Νικόλαος ὁ Μαγκούφης, Κωνσταντῖνος ὁ Ῥαδηνός.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου τοῦ βασιλέως, Γεώργιος ὁ Πετρίτζης, τὴν παροῦσαν ἔγγραφον μαρτυρῶν ὑπέγραψα †.

† Ὁ νομικὸς τῶν Ἁγιοσοφιτικῶν χωρῶν, Μανουὴλ ἱερεὺς ὁ Βεστάρχ[ης], τὸ παρὸν πρατήριον ἔγγραφον ὡς παρὼν καὶ μαρτυρῶν ὑπέγραφα †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικός, Γεώργιος ὁ Γουναρόπουλος, τὰ τοῦ ὕφους γράφας καὶ μαρτυρῶν ὑπέγραφα †.

CXLIII. 6795—1287, mense martio, ind. XV.

Constantinus Gabalas et familia monasterio vendunt campos in loco Bara.

† Τὸ πρατήριον ἔγγραφον Κωνσταντίνου τοῦ Γαβαλᾶ, τῆς γυναικὸς καὶ τῶν παίδων αὐτῶν χάριν τῶν εἰς τὴν Βάρην χωραφίων αὐτῶν †.

† Κωνσταντῖνος ὁ Γαβαλᾶς οἰκείᾳ χειρὶ προέταξα. σίγνα Ξένης, τῆς συζύγου συμβίου αὐτοῦ, Ἰωάννου, Ἄννης καὶ Εἰρήνης, τῶν παίδων αὐτῶν, Ἄννης τῆς Γλαβαίνης, τῆς πενθερᾶς αὐτοῦ.

Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν . . . ἐκποιοῦμεν πρὸς τὴν μονὴν τῶν Λέμβων καὶ τὸν ἐν αὐτῇ ἡγουμενεύοντα, κὺρ Κάλλιστον, τὰ χωράφια ἡμῶν τὰ διακείμενα ἐν τῇ τοποθεσίᾳ τῆς Βάρης τὰ καὶ πλησίον καὶ ἐναπολειφθέντα ἀπὸ τοῦ θείου ἡμῶν, κυροῦ Ἀλεξίου. καὶ λόγων μέσον ἡμῶν κινηθέντων περὶ τοῦ τιμήματος αὐτῶν, ὕστερον περιεστήσαμεν αὐτῷ εἰς ὑπέρπυρα τριάκοντα καὶ πέντε. ἃ δὴ καὶ λαβόντες . . . ἐκχωρούμεθα ὑμῖν ἐπιλαβέσθαι αὐτῶν κ. τ. ἑ. ὅστις δὲ ἀφ' ἡμῶν βουληθῇ ἀνατρέψαι . . . λόγῳ προστίμου ὑποκείσεται πρὸς τὸ βασιλικὸν βεστιάριον ὑπερπύρων λίτραν μίαν. μηνὶ μαρτίῳ ἰνδ. ιε' τοῦ ,ϛψϟε' ἔτους †.

Σίγνα· Μιχαὴλ Νόθου, υἱοῦ Γεωργίου τοῦ Πόθου, Ἰωάννου, τοῦ ἀδελφοῦ αὐτοῦ, Μαρίας τῆς Λεονταρίνης, Νικολάου τοῦ Σμύρνου, Γεωργίου τοῦ Λεοντάρη, Ἰωάννου τοῦ Μονεμβασιώτου, Θεοδώρας τῆς Μεσοποταμιτίσσης.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ νομικός, Γεώργιος ὁ Γουναρόπουλος, τὰ τοῦ ὕφους γράφας καὶ μαρτυρῶν ὑπέγραφα †.

CXLIV. [6801—1293], mense maio, ind. VI.

Manuel Sguropulus iussu imperatoris describendos curat fines possessionum monasterii.

† Τὸ ἐσύστερον γεγονὸς ἀποκαταστατικὸν γράμμα παρὰ τοῦ δομεστίκου τῶν ἀνατολικῶν θεμάτων δι' ὁρισμοῦ προσκυνητοῦ χάριν τοῦ περιόρου τῆς μονῆς, ἐπεὶ κατεδυναστεύετο παρὰ τῶν Νεοχωριτῶν εἰς τὴν περιοχὴν αὐτοῦ καὶ νομὴν τὴν ἀνέκαθεν ὁροθετηθεῖσαν †.

† Οἱ ἐν τῇ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ οὕτω πως ἐπικεκλημένῃ τῶν Λέμβων ἐνασκούμενοι μοναχοὶ θεῖον καὶ προσκυνητὸν πρόσταγμα προκεκομίκασί μοι, διοριζόμενον, ὅπως τηρήσω τὰς διενέξεις, ἃς ἔχουσιν ἐπὶ τῷ περιόρῳ τῆς γῆς αὐτῶν μετά τε τοῦ οἰκείου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, πανευγενεστάτου Δούκα κυροῦ Μανουὴλ τοῦ Ἀπρηνοῦ, μετὰ τοῦ Μαυροζώμη, ὡς κατεχομένων τὴν γῆν τῆς Θρακησίνης καὶ ἀρτίως δοθεῖσαν τῇ αὐτῇ Θρακησίνῃ δι' ὁρισμοῦ προσκυνητοῦ, ἔτι δὲ καὶ μετὰ τῶν Νεοχωριτῶν, καὶ οἰκονομήσω, ἵνα διαμένωσιν ἀνενόχλητοι. καὶ κατὰ τὴν περίληψιν τοῦ τοιούτου θείου καὶ προσκυνητοῦ προστάγματος μὴ δυνηθεὶς αὐτὸς αὐτοφὶν ἀπελθεῖν καὶ τηρῆσαι αὐτὰς διὰ τὰς ἐπικειμένας δουλείας τῆς ἐνοχῆς μου, ἀπέστειλα δικαίῳ μου τὸν γαμβρόν μου, κῦρ Μανουὴλ τὸν Κριτόπουλον, παραδηλώσας διὰ γραφῆς μου καὶ τῷ δεσπότῃ μου, τῷ πανιερωτάτῳ μητροπολίτῃ Σμύρνης καὶ ὑπερτίμῳ, εἰς τὸ ἐξαποστεῖλαι ἄρχοντας τῆς ἐκκλησίας αὐτοῦ καὶ ἀπελθεῖν μετὰ τοῦ εἰρημένου Κριτοπούλου καὶ ἐφευρεῖν μετὰ πάσης ἀληθείας καὶ ἐξετάσεως τὴν ἀλήθειαν, καὶ δὴ ἀποστείλας τόν τε μέγαν σακελλάριον τὸν Σταφηδάκη καὶ τὸν σακελλίου τὸν Λαπαρδᾶν παρεγένοντο μετὰ τῶν μοναχῶν εἰς τὸν τόπον, ἔνθα καὶ ἡ διένεξις ἦν. ὑπῆρχον δὲ ἐκεῖσε καὶ ὅσοι ἀπὸ τοῦ χωρίου τοῦ Παναρέτου Μανταίας χρήσιμοι γέροντες οἱ καὶ πρὸς πίστωσιν μαρτυρίας εὐπρόσδεκτοι καὶ ἔχοντες τὰς εἰδήσεις καὶ τὰ γνωρίσματα τοῦ τόπου, ὅ τε Θεόδωρος ὁ Μαρτῖνος, Νικόλαος ὁ Καχαβᾶς, Λέων ὁ Ἀρμένης, Θεόδωρος ὁ Βαρίτης, ὁ νομικὸς Γεώργιος, Γεώργιος ὁ Παλαμάρης, Μιχαὴλ ὁ Ἐξάκουστος, Ἰωάννης ὁ Παρδολέων, ὁ Λογγίβαρδος Μιχαήλ, Ἰωάννης ὁ Ῥοδινός, Νικόλαος ὁ Παρδοπεφαγωμένος, Μιχαὴλ ὁ Βαρίτης,

ἱερεὺς ὁ Γεώργιος καὶ ἕτεροι, καὶ ἀναγινώσκοντες τὸν περίορον τῆς γῆς τῆς δηλωθείσης σεβασμίας μονῆς, ἀλλὰ δὴ καὶ τὸ προσὸν αὐτῇ χρυσόβουλλον, τὰς κατὰ τόπους ὁροθεσίας, ἐφ' αἷς οἱ Παναρετῖται ἠρωτῶντο μετ' ἐπιτιμίου, ἀληθεύειν τὸν περίορον διωμνύμενοι ἔφασκον καὶ ἐκεῖ τὰς στήλας πηγνύντες, ἔνθα οἱ αὐτοὶ μετὰ τοῦ περιόρου ἐδείκνυον τοὺς ἀπὸ τοῦ μέρους τοῦ Δούκα κενοὺς καὶ ἀπράκτους, ὡς μὴ ἔχοντας δίκαιον, ἐφ' οἷς ἠδίκουν δεικνύοντας, ἀδυνατοῦντες λέγειν τι ὡς κατὰ πρόσωπον αὐτῶν τὸ δίκαιον ἀπαντῶν. ὡς δ' ὡρίσθη δι' ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὁ δηλωθεὶς γαμβρός μου ὁ Κριτόπουλος ἀπελθεῖν εἰς τὴν δουκικὴν ἐνέργειαν τῆς νήσου Χίου, οὐκ ἔφθασε τηρῆσαι καὶ τὴν τῶν Νεοχωριτῶν ὑπόθεσιν, ἀλλὰ κατέλειψε ταύτην ἀτήρητον. καὶ πάλιν οἱ μοναχοὶ τῆς δηλωθείσης σεβασμίας μονῆς πρός με ἀφίκοντο, ἵνα καὶ τὴν τούτων ὑπόθεσιν διορθώσωνται, καὶ ἀποστείλας τὸν μεγαλοδοξότατον καὶ ἠγαπημένον μοι σύντροφον, τὸν βασιλικὸν βεστιαρίτην, κῦρ Λέοντα τὸν Μοναστηριώτην, καὶ ἀπελθὼν ἐν τῷ τόπῳ, ἔνθα καὶ ἡ τῶν Νεοχωριτῶν ὑπόθεσις ἦν, συναθροίσας καὶ ἀπὸ τῶν πέλας χωρίων, τῆς τε Μανταίας, στρατιώτην τὸν Πετρίτζην, τὸν γαμβρὸν τοῦ Θρακήση, καὶ ἀπὸ τῶν Χειλῶν ἱερέα Νικόλαον τὸν Λιβαδιώτην, Καλλονᾶν τὸν Δαμάλιον καὶ τὸν Ῥαψομμάτην Μανουήλ, καὶ τοῦ περιόρου τῆς μονῆς ἀναγινωσκομένου εἰς ἐπήκοον πάντων, καὶ πάντες οἰκοδεσπόται καὶ τοπικοὶ γέροντες ἐν ἐπιτιμίῳ τ' ἀληθῆ λέγειν τὸν περίορον, παρίστων καὶ τὰς στήλας δεικνύντες ἐν οἷς τόποις μετὰ τοῦ περιόρου ἐπήγνυον, καὶ ἀνενοχλήτους τοῦ λοιποῦ τοὺς μοναχοὺς κατέστησα, τοὺς δὲ Νεοχωρίτας μηκέτι κατεπεμβαίνειν τῶν ὁροθεσίων τῆς μονῆς πεποίηκα, μηδὲ πειρᾶσθαι, ἐφ' οἷς μὴ ἔχειν δίκαιον δικαιοῦσθαι τῷ λόγῳ τῆς δυναστείας, ἀλλὰ μένειν ἀμφότερα τὰ μέρη ἐν ὅροις τοῖς ἰδίοις καὶ τῆς ἀδικίας ἀπέχεσθαι. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ τῶν Λέμβων δι' ἀσφάλειαν καὶ ἀνενοχλησίαν αὐτῆς. μηνὶ μαΐῳ ἰνδ. ἕκτης †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μανουὴλ σεβαστὸς Σγουρόπουλος, ὁ δομέστικος τῶν ἀνατολικῶν θεμάτων †.

CXLV. 6802—1293, mense novembri, ind. VII.

Incolae Neochorii promittunt se non moturos esse litem de finibus monasterii.

† Γράμμα ὑποσχετικὸν τῶν ἐποίκων τοῦ Νεοχωρίου, ἵνα μηδόλως τολμήσωσι πώποτε κινῆσαι λόγον κατὰ τοῦ πλησιάζοντος αὐτῶν περιόρου τῆς μονῆς †.

† Ἡμεῖς οἱ ἔποικοι τοῦ Νεοχωρίου, ὅ τε Θεόδωρος ὁ Πολίτης, Θεόδωρος ὁ Ζουλουχίνης, Νικήτας ὁ Λεμβάτης, Μιχαὴλ ὁ Μαυροπόδης, Ἰωάννης ὁ Βουλγησαῖος, Γεώργιος ὁ Βουλγησαῖος, Νικόλαος ὁ Ζουλουχίνης, Κωνσταντῖνος ὁ Ἀμπελᾶς, Μιχαὴλ ὁ Εὐμενός, Μανουὴλ ὁ Μαννός, Ἰωάννης ὁ Πολίτης, ὁ ἕτερος Πολίτης Νικόλαος, Ἰωάννης ὁ Συριγμὴς καὶ οἱ ἕτεροι ὑπισχνούμεθα διὰ τῆς παρούσης ἡμῶν γραφῆς, ὅτι εἴπερ ὀψέ ποτε βουληθῶμεν δι' ὄχλου καθυποβαλεῖν τὴν σεβασμίαν βασιλικὴν μονὴν τῶν Λέμβων ἐπὶ τῷ προσόντι εἰς ταύτην παλαιγενεῖ περιόρῳ τῷ πλησιάζοντι τῷ δηλωθέντι χωρίῳ ἡμῶν, δι' οὗπερ πλησιασμοῦ ἐπειρώμεθα ἀνάρχως καὶ παρὰ πάντα δίκαιον λόγον καὶ εἰσερχόμεθα καὶ κατεκάμνομεν τὰ ἐντὸς τοῦ εἰρημένου περιόρου περιοριζόμενα χωράφια, καὶ ἐντεῦθεν ἀνήνεγκον τὰ περὶ τούτου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ οἱ ἐν τῇ προαναπεφωνημένῃ μονῇ ἀσκούμενοι μοναχοί, καὶ ἀπελύθη θεῖον καὶ προσκυνητὸν πρόσταγμα πρὸς τὸν πανσέβαστον, σεβαστὸν οἰκεῖον τῇ κραταιᾷ καὶ ἁγίᾳ αὐτοῦ βασιλείᾳ καὶ κύριον ἡμῶν, τὸν δομέστικον τῶν ἀνατολικῶν θεμάτων, ὅπως ἂν πέμψειε καὶ τηρήσαιεν τὰ τοῦ προδηλωθέντος περιόρου, ὃ δὴ καὶ πεποίηκεν καὶ ἐξαπέστειλε δικαίῳ αὐτοῦ τὸν ἀπὸ τῶν βασιλικῶν βεστιαριτῶν μεγαλοδοξότατον κῦρ Λέοντα τὸν Μοναστηριώτην, καὶ ἐτήρησε τὰ τοῦ τοιούτου περιόρου, καὶ εὗρε παρὰ τὸν τοῦ δικαίου λόγον πειρωμένους ἡμᾶς καὶ κατὰ λόγον δυναστείας, ὡς ἐντὸς τοῦ προδηλωθέντος περιόρου καταγεγραμμένα εὑρισκόμενα, τὰ παρ' ἡμῶν πεπειρᾶσθαι χωράφια, ἡμεῖς δὲ μηδ' ὁπωσοῦν ἔχοντες ἢ ὑποδεικνύοντες χαρτῷον δικαίωμα, διὰ τοῦτο καὶ τὸ κῦρος καὶ στέργον καὶ ἐνεργοῦν προσῆξαν καὶ προσεκύρωσαν τῷ πολλάκις δηλωθέντι περιόρῳ, ἡμᾶς δὲ ἀπέπεμψαν ὡς παρὰ τὸν τοῦ δικαίου λόγον πειρωμένους. ἐπεὶ καὶ διὰ τοῦτο διέκριναν, ἵνα ἀποδώσομεν καὶ τὴν τῶν χωραφίων μορτήν, ὧν ἐφθάσαμεν τὸν παρελθόντα

χρόνον τῆς ἕκτης ἰνδικτιῶνος κατακαμεῖν, ἥν δῆτα μορτὴν καὶ αὖθις ἐλέῳ χρώμενοι οἱ μοναχοὶ τῆς πτωχείας ἡμῶν ἕνεκα, ἀνθυπέστρεψαν ταύτην πρὸς ἡμᾶς, καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα αἰῶνα οὐχ ἕξομεν ἐπ' ἀδείας ἀνακαλέσασθαί τι ἀπὸ τῶν εἰρημένων χωραφίων. εἰ δ' οὖν, τῇ ἐμφανείᾳ τῆς παρούσης ὑποσχετικῆς ἡμῶν γραφῆς, ἐφ' οἷς ἂν καὶ προβαλλώμεθα, οὐ μὴ εἰσακουσθησόμεθα, ἀλλὰ καὶ ὡς ἀποπεμπόμενοι ἄπρακτοι καὶ ζημίᾳ ὑποπεσοῦμεν ὑπερπύρων τριακοσίων †.

† Μηνὶ νοεμβρίῳ ἐν ,ςω δευτέρῳ ἔτει ἰνδ. ἑβδόμης †.

† Ὁ ταπεινὸς ἱερεὺς καὶ νομικὸς τοῦ αὐτοῦ χωρίου, Κωνσταντῖνος ὁ Μαννός, μαρτυρῶν ὑπέγραφα †.

† Ὁ ταπεινὸς Ἰωάννης, ἱερεὺς καὶ νομικὸς τοῦ αὐτοῦ χωρίου, ὁ Μαρμαρᾶς μαρτυρῶν ὑπέγραφα †.

CXLVI. 6761—1253, mense ianuario, ind. XI. et [6769—1261], mensibus maio et aprili, ind. IV.

Donationes factae monasterio a protovestiaritissa Irene.

I. † Τὸ δωρεαστικὸν γράμμα τῆς πανυπερσεβάστης χάριν τοῦ χωραφίου τοῦ καὶ πλησίον τῆς Πετριτζίνης τοῦ ἐν τῇ τοποθεσίᾳ ὄντος τοῦ Ἀσάνη †.

† Θείῳ καὶ βασιλικῷ προσκυνητῷ ὁρισμῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως παρεδόθησαν ἡμῖν χωράφια χαματηρὰ παρὰ τοῦ Φραγγοπούλου ἐκείνου καὶ γραμματικοῦ τῆς ἁγίας αὐτοῦ βασιλείας, καὶ ἐνέμοντο παρ' ἡμῶν. ἐπεὶ δὲ καὶ ὁ πανευγενέστατος σύγγαμβρος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κὺρ Μιχαὴλ ὁ Φωκᾶς, ὁρισμῷ προσκυνητῷ εἰσῆλθεν ἐν τῇ τοποθεσίᾳ τῇ τοῦ Ἀσάνη ἐπιλεγομένῃ τῇ πλησίον τῶν χωραφίων ἡμῶν, παραδοῦναι πρὸς τὴν βασιλικὴν μονὴν τῆς ὑπεραγίας θεοτόκου τῆς Λεμβιωτίσσης χωράφια εἰς τὸ νέμεσθαι ταῦτα τὴν ῥηθεῖσαν μονήν, ἔφθασε δὲ οὐκ οἶδ' ὅπως παραδοῦναι πρὸς τὴν αὐτὴν μονὴν καὶ ἀπὸ τῶν νεμομένων παρ' ἡμῶν χωραφίων χωράφιον ἰδιοπεριόριστον πλησίον τῆς Πετριτζήνης, ὡσεὶ μοδίων τυγχάνον τὸ τοιοῦτον χωράφιον μεγάλων τεσσαράκοντα, καὶ ἤρξατο νέμεσθαι τοῦτο ἡ μονή, οὐκ

ειάθη δὲ παρ' ἡμῶν τὸ τοιοῦτον χωράφιον παρὰ τῆς μονῆς διὰ τὸ εἶναι τοῦτο ἡμέτερον. τὴν σήμερον δὲ προσελθόντες οἱ μοναχοὶ καὶ παρακαλέσαντες ἡμᾶς καὶ μνημόσυνον ἔχειν ἐπαγγειλάμενοι ἐν τῇ αὐτῶν μονῇ διὰ τὸ πλησιάζειν τὸ τοιοῦτον χωράφιον τῶν χωραφίων τῆς τοιαύτης μονῆς, ἀποχαριζόμεθα τοῦτο πρὸς τὴν αὐτὴν βασιλικὴν μονὴν ψυχικῆς ἕνεκα σωτηρίας ἡμῶν. ἔχει δὲ ὁ περίορος τοῦ τοιούτου χωραφίου, ἕκαστον αὐτοῦ μέρος, οὕτως· τὰ χωράφια τῆς μονῆς ἀπὸ νότου καὶ ἀπὸ βορείου μέρους ἀνεστηλώθη παρὰ τοῦ ἡμετέρου ἀνθρώπου, κυροῦ Ἀνδρονίκου τοῦ Ξανθοῦ, ὡς παραδέδωκε τὸ τοιοῦτον χωράφιον· κλείει γὰρ ἡ στήλη τὸ παραδοθὲν χωράφιον κάτωθεν ἀπὸ τῆς ἀνατολῆς ἔχον τὸ χωράφιον τῆς Πετριτζήνης, τὸ δὲ μέρος τῆς μεσημβρίας κρατεῖ τόπον χερσαῖον καὶ βρουλλώδη, ἀπεδόθη γὰρ παρ' ἡμῶν τὸ τοιοῦτον χωράφιον πρὸς τὴν μονὴν τῆς ὑπεραγίας θεοτόκου τῆς Λεμβιωτίσσης, ὥστε κατέχειν αὐτὸ κυρίως, αὐθεντικῶς καὶ ἐξουσιαστικῶς καὶ ἀποκερδαίνειν ἡ μονὴ τὴν τοῦ τοιούτου χωραφίου εἴσοδον εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῇ εἰρημένῃ [μονῇ] εἰς ἀσφάλειαν. καὶ οὐδεὶς τῶν ἡμετέρων ἀπὸ τῆς σήμερον ἕξει ἄδειαν ἐπηρεάσαι ἢ τὴν τυχοῦσαν ὄχλησιν ἐπάξαι τοῖς τῆς μονῆς μοναχοῖς περὶ τοῦ τοιούτου χωραφίου, ἀλλὰ κατέχεσθαι παρὰ τῆς μονῆς ὀφείλει ἀνενοχλήτως πάντη, διὰ τὸ παρ' ἡμῶν ἀποχαρισθῆναι τοῦτο πρὸς αὐτὴν ψυχικῆς ἕνεκα σωτηρίας ἡμῶν. ἐπεὶ καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα γεγονὸς ἐπεδόθη τῇ μονῇ εἰς ἀσφάλειαν. μηνὶ ἰανουαρίῳ ἰνδ. ια' ἐν ἔτει ͵ςψξα' †.

† Εἰρήνη ἡ πρωτοβεστιαρίτισσα †.

II. † Ἕτερον γράμμα τῆς αὐτῆς πανυπερσεβάστης ὑπὲρ τῶν χωραφίων τῶν εἰς τὸν Ἀσάνην καὶ τῶν κατὰ πλησίον αὐτῶν, ὧν ἐξέδοτο ἐσύστερον †.

† Ἐπεὶ ἔφθασα ἐκδοῦναι πρὸς τὴν μονὴν τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου τῆς Λεμβιωτίσσης ποτὲ χωράφια τὰ ἐν τῇ τοποθεσίᾳ τοῦ Ἀσάνη, καὶ μᾶλλον καὶ δι' ἡμετέρας γραφῆς παρεδό-

θησαν ταῦτα, παραδηλοῦμαι ἀπὸ τῆς σήμερον τοῖς ἡμετέροις ἀνθρώποις, ὡς ἂν μὴ ὀχλήσῃ τις τὴν τοιαύτην μονὴν χάριν τῶν τοιούτων χωραφίων, κἂν οἷα καὶ ὅσα εἰσίν, ἀλλ' ἔχωσιν οἱ μοναχοὶ ταῦτα καὶ νέμωνται, καθὼς καὶ προεξεδόθησαν τῷ τότε ταύτῃ δι' ἡμετέρας ψυχικῆς σωτηρίας, καὶ οὐ μόνον ἁπλῶς εἰς ἡμέτερον πρόσωπον προσεκυρωσάμην ταῦτα τῇ μονῇ, ἀλλὰ μέχρις ἂν τὸ περίγειον συνίσταται καὶ ὁ ἥλιος τὸ πᾶν ἐφορᾷ, ἀκωλύτως καὶ ἀναποσπάστως, καὶ οὐδεὶς ἐκ τῶν ἡμετέρων ἀνθρώπων, κἂν οἷος ἄρα καὶ ἔνι, τολμῆσαι εἰπεῖν, ἔχειν δίκαιόν τι εἰς τὸ ἀνατρέψαι, ὅπερ προσεκυρωσάμην ἐγὼ εἰς τὴν ἁγίαν μονὴν ταύτην, ὀφείλουσι δὲ μᾶλλον οἱ μοναχοὶ κατέχειν καὶ νέμεσθαι αὐτά, καθὼς εἰσι καὶ ἰδιοπεριόριστα, καὶ ὡς ἅπαξ διὰ τῆς ἡμετέρας γραφῆς ἐπιφωνήσασα ὀφείλει τοὺς ἡμετέρους παροίκους τοὺς εἰς τὸ ἡμέτερον κτῆμα τῶν Μουρμούντων προσκαθημένους, ἵνα διατηρῶσι καὶ ταῦτα καὶ τοὺς μοναχοὺς ἀνενοχλήτους τῇ ἐμφανείᾳ τοῦ ἡμετέρου σιγιλλιώδους γράμματος. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν γράμμα εἰς ἀσφάλειαν. μηνὶ σεπτεμβρίῳ ἰνδ. ια' †.

† Εἰρήνη ἡ πανυπερσεβάστη †.

III. † Ἕτερον γράμμα τῆς αὐτῆς πανυπερσεβάστης χάριν τῶν αὐτῶν χωραφίων τῶν εἰς τὸν Ἀσάνην†.

† Ἐπεὶ ἔφθασα καὶ ἀπεχαρισάμην ἐν τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων γῆν χωραφιαίαν τὴν καὶ ἀπὸ τοῦ ἡμετέρου οὖσαν ζευγηλατείου τοῦ ἐν τῷ Κουκούλῳ, καὶ πάλιν διὰ περισσοτέραν ἀσφάλειαν καὶ βεβαίωσιν ἐζητήσαντο γράμμα ἡμέτερον οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοὶ εἰς ἀποτροπὴν τινῶν βουληθέντων τοῦ διασείειν καὶ ἐνοχλεῖν αὐτοὺς διὰ τὴν τοῦ εἰρημένου χωραφίου γῆν, τῆς αἰτήσεως αὐτῶν ἐπακούσασα ἐπιδίδωμι πάλιν τούτοις γράμμα ἡμέτερον εἰς ἀποτροπὴν καὶ ἀποδίωξιν τῶν πειρωμένων ἐνοχλῆσαι αὐτοὺς εἰς τὴν τοιαύτην γῆν, δι' οὗ καὶ διορίζομαι τῷ νῦν ἐνεργοῦντι τῷ ἡμετέρῳ κτήματι τὰ Μούρμουντα, ἡμετέρῳ ἀνθρώπῳ Θεοδώρῳ τῷ Λαπαρδᾷ, καὶ τῷ κρατοῦντι τῷ τοιούτῳ εἰρημένῳ ζευγηλατείῳ τῷ ἐν τῷ Κουκούλῳ

ἤγουν τῷ υἱῷ τῆς Βραναίνης, ἀλλὰ δὴ καὶ πᾶσι τοῖς κατὰ καιρὸν κρατοῦσί τε καὶ διενεργοῦσι τὸ τοιοῦτον κτῆμα ἡμῶν τοῦ ἀπέχειν ἀπὸ τῆς τοιαύτης γῆς καὶ μὴ ἐνοχλεῖν εἴτε διασείειν τοὺς ἐν τῇ σεβασμίᾳ μονῇ μοναχοὺς τῶν Λέμβων ἐν τῇ τοιαύτῃ γῇ τὸ παράπαν, ἀλλὰ μένειν ταύτην ἐπὶ τῇ τῆς τοιαύτης μονῆς ἐξουσίᾳ, ἀλλὰ δὴ καὶ τῆς κατὰ τὴν νῦν ἐνεστῶσαν τετάρτην ἰνδικτιῶνα, ἐάν τις ἔφθασεν εἴτε χωρίτης, εἴτε ἀπὸ τῶν ἡμετέρων ἀνθρώπων τῶν ἐν τῷ ζευγηλατείῳ μου τοῦ σπείρειν ἔν τινι μέρει τοῦ τῆς μονῆς χωραφιαίου τόπου, ὀφείλει τοῦ διδόναι ἐν τῇ τοιαύτῃ μονῇ τὴν εἰωθυῖαν μορτὴν ἄνευ τινὸς λόγου. διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν ἡμέτερον γεγονὸς γράμμα ἐπεδόθη τοῖς ἐν τῇ σεβασμίᾳ μονῇ τῶν Λέμβων μοναχοῖς εἰς ἀσφάλειαν. μηνὶ ἀπριλλίῳ ἰνδ. δ'.

† Εἰρήνη ἡ πανυπερσεβάστη †.

IV. † Ἕτερον γράμμα τῆς αὐτῆς πανυπερσεβάστης χάριν ὧν προεγράφαμεν χωραφίων †.

† Ἐπεὶ πρὸ χρόνων ἤδη πολλῶν ἐπιδέδωκα πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς τῶν Λέμβων χωράφιον τὸ εἰς τὸ γονικόν μου ζευγηλατεῖον τὸ εἰς τὸν Κούκουλον, ἐπιλεγόμενον τοῦ Ἀσάνη, οὗ ἡ ποσότης ὡσεὶ μοδίων ἑκατὸν ἑξήκοντα, καὶ κατείχετο παρὰ τῆς τοιαύτης μονῆς εἰς χρόνους οὐκ ὀλίγους, καὶ ἐπεὶ διά τι σκάνδαλον συνέβη καὶ ἐκρατήθη παρὰ τοῦ ἀνθρώπου μου τοῦ Ἀχεληνοῦ, μὴ ἔχουσα αὕτη τὴν τυχοῦσαν εἴδησιν. ὅτε γοῦν ἐγνώσθη μοι τοῦτο, ὡρίσθη πάλιν ὁ αὐτὸς ἄνθρωπός μου, καὶ ἀπέδοτο καὶ τὴν ἀναλογοῦσαν μορτὴν τοῦ τοιούτου χωραφίου πρὸς τὴν μονήν, ἀλλὰ δὴ καὶ τὸ χωράφιον, καθὼς καὶ προκατείχετο παρὰ ταύτης. ἵνα μὴ γοῦν πάλιν συμβῇ ἢ παρὰ ἀνθρώπου μου ἢ καὶ ἐξ ἑτέρου τινός, καθὼς καὶ πρότερον συνέβη, παρεγγυῶμαι τοῖς ἡμετέροις ἀνθρώποις καὶ τοῖς μετὰ θάνατόν μου ἐπεξουσιάζουσι τὸ τοιοῦτον ζευγηλατεῖον, ὡς ἵνα ἀναμνησθῶσι τοὺς κόπους τοῦ αὐθέντου μου, τοῦ ἀνδρός μου, τοῦ πανευσεβάστου, οὓς ἐκοπίασεν ὑπὲρ τῆς Ῥωμανίας, ὡς ἵνα διαμένῃ ἡ τοιαύτη μονὴ ἀνενόχλητος καὶ ἀτά-

ραχος τούτου ἕνεκεν· ὁ δὲ βουληθεὶς ἐπάξαι τῇ μονῇ ὄχλησίν τινα ἕνεκα τοῦ τοιούτου χωραφίου, καὶ ἐπαφίημι τούτοις τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ ἀθλίου καὶ προδότου Ἰούδα καὶ μετὰ τῶν λεγόντων· ἆρον, ἆρον, σταύρωσον τὸν τοῦ θεοῦ υἱόν, ἀλλὰ δὴ καὶ τὴν πανυπερσεβάστου κατάραν καὶ τὴν ἡμετέραν, ἕξει δὲ καὶ τὴν ὑπεραγίαν μου θεοτόκον καὶ τὸν ἀρχιστράτηγον τῶν ἄνω δυνάμεων Μιχαὴλ ἀντιδίκους ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα, καὶ ἐπεδόθη τῇ τοιαύτῃ μονῇ εἰς ἀσφάλειαν †.

† Εὐγενία μοναχή †.

V. † Ἕτερον γράμμα τῆς αὐτῆς χαριστικὸν χάριν τοῦ εἰς τὴν Βάρην προσκαθημένου παροίκου αὐτῆς Μιχαὴλ τοῦ Μουρμουντηνοῦ μετὰ τῶν παροικικῶν αὐτῆς δικαίων †.

† Ἐκδίδωμι πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν βασιλικὴν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης τὸν πάροικόν μου τὸν καὶ προσκαθήμενον εἰς τὴν Βάρην, Μιχαὴλ τὸν Μουρμαντηνόν, μετὰ πάντων τῶν διὰ πρακτικοῦ μου δικαίων, ὧν ἔχω ἀπὸ τῆς ἐλεημοσύνης τῶν κραταιῶν καὶ ἁγίων ἡμῶν αὐθεντῶν καὶ βασιλέων, ψυχικῆς ἕνεκα σωτηρίας τούτων καὶ ἡμετέρας, ὃν καὶ ἐκδίδωμι μετὰ πάντων τῶν διὰ πρακτικοῦ μου δικαίων, καὶ οὐδεὶς τῶν ἡμετέρων ἀνθρώπων τῶν κατὰ καιροὺς ἐνεργούντων τὸ τοιοῦτον κτῆμα ὀφείλει παρενοχλῆσαι τὸν δηλωθέντα πάροικον εἰς οἱανδήτινα δόσιν, ὡς ἐκδοθέντα τοῦτον παρ' ἐμοῦ εἰς τὴν ὑπέραγνόν μου θεομήτορα τὴν Λεμβιώτισσαν. μηνὶ μαΐῳ ἰνδ. τετάρτης †.

† Εὐγενία μοναχή †.

CXLVII. Sine anno, mense decembri, ind. XIII.

Michael Comnenus Branas monasterio donat campum dictum S. Helenae.

† Χαριστικὸν γράμμα Κομνηνοῦ τοῦ Βρανᾶ χάριν τοῦ χωραφίου τῆς ἁγίας Ἑλένης †.

† Ἀπεχαρισάμην κατὰ μῆνα δεκέβριον τῆς τρισκαιδεκάτης ἰνδικτιῶνος πρὸς τὴν μονὴν τῆς ἀχράντου μου θεοτόκου τῆς Λεμβιωτίσσης τὸ χωράφιον τῆς ἁγίας Ἑλένης, οἷον καὶ ὅσον ἐστὶ, καὶ ἔχω ἐξ ἀγορασίας μου· μή τις δὲ ἀπὸ τοῦ ἡμετέρου μέρους ἢ οἱ ἐπικρατοῦντες τὸ κτῆμά μου ἐνοχλήσῃ ἢ διασείσῃ ἕνεκα τούτου, ἐπεὶ δέδωκα τοῦτο εἰς τελείαν χαριστικήν. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Μιχαὴλ Κομνηνὸς ὁ Βρανᾶς †.

CXLVIII. 6770—1262, mense martio, ind. V.

Michaël Petratus monasterio vendit campum Coleli.

† Τὸ πρατήριον ἔγγραφον Μιχαὴλ τοῦ Πετράτου χάριν τοῦ εἰς τὴν ἁγίαν Ἑλένην χωραφίου τοῦ Κολελοῦ †.

Σίγνα· Μιχαὴλ τοῦ Κολελοῦ, Ἄννης, τῆς μητρὸς αὐτοῦ, Καλῆς, τῆς θυγατρὸς αὐτῆς, Μιχαὴλ τοῦ Ἀββαδοπούλου, καὶ Ἄννης, τῆς συζύγου αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. Μιχαὴλ ὁ Κολελὸς, ἡ μήτηρ μου καὶ ἡ ἀδελφή μου, ἔτι δὲ Μιχαὴλ ὁ Ἀββαδόπουλος καὶ ἡ σύμβιος αὐτοῦ Ἄννα ... μετὰ τὴν τοῦ ὅλου ὕφους ἀνάγνωσιν καὶ διάγνωσιν τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον... πρᾶσιν... τιθέμεθα καὶ ποιοῦμεν ... πρὸς τὴν σεβασμίαν καὶ ἁγίαν μονὴν τῶν Λέμβων καὶ πρὸς τὸν ἡγεμονεύοντα τὴν τοιαύτην βασιλικὴν μονὴν, ὡς τὸ ὕφος δηλώσει. καὶ γὰρ τὸ κληρονομικῶς ἡμῖν διαφέρον χωράφιον τὸ ἐν τῇ τοποθεσίᾳ ὂν καὶ διακείμενον πλησίον ἔχον πλησιαστὰς, ἀπὸ μὲν τοῦ αὐλακίου ἤγουν τοῦ βορείου μέρους Βασίλειον τὸν Κουκουβάβλην καὶ Ἰωάννην τὸν Κουκουβάβλην, ἀπὸ δὲ ἀνατολικοῦ καὶ νοτίου μέρους τοὺς Δερματάδας, ἀπὸ δὲ ἐπανωκέφαλα τὸν Μαυρόραχον, εἰς ὃ καὶ ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὰ Παλάτινα ... καὶ λόγων μέσον ἡμῶν κινηθέντων περὶ τοῦ τιμήματος, ὕστερον περιεστήσαμεν αὐτῷ ... εἰς ὑπέρπυρα ἑξάγια τέσσαρα διμ . . . ἃ δὴ ὑπέρπυρα λαβόντες . . . ὑφεξιστάμεθα ἀπὸ τῆς σήμερον τῆς τοῦ τοιούτου χωραφίου κατοχῆς καὶ νομῆς ... ὀφείλετε δὲ ἐπιτελεῖν πρὸς ἡμᾶς καθ' ἕκαστον χρόνον

νομίσματα δύο . . . . πολιτευόμενα ἀνυστερήτως καὶ ἀνεπαυξήτως. ἔχει δὲ τὸ τοιοῦτον χωράφιον στηλώματα ἀπὸ τῶν βασιλικῶν χωραφίων εἰς τὸν στροφὸν λιγρ . . . μίαν μεγάλην συμποδίζουσαν αὐτὴν καὶ ἀποδιδοῦσαν εἰς ἑτέρας μικρὰς δύο καὶ ἀπαγομένας αὐτὰς ἵσταται εἰς τὴν ἐκπλήρωσιν αὐτῶν καλαμ . . . καὶ ἀποδιδοῖ ἐν τῇ ἅλμῃ, ἐκ δὲ τοῦ αὐλακίου λιγρ . . . τρεῖς, ἡ μὲν μία ἐν τῇ ὁδῷ, αἱ δὲ δύω ἐν τῷ μέσῳ, καὶ ἀπάγουσιν ἕως τῆς ἅλμης, καὶ στροφοὶ βλέποντες πρὸς τὰ Παλάτια τρεῖς, πρὸς δὲ δυτικὸν μέρος στροφοὶ τέσσαρες. σωματικῶς οὖν παρ' ἡμῶν παρεδόθη ὑμῖν, καὶ ὀφείλετε ἔχειν αὐτὸ . . . ὅστις δὲ εὑρεθῇ ἀπὸ τοῦ μέρους ἡμῶν ἢ ἀπὸ ἀλλοτρίου εἰπεῖν περὶ τοῦ τοιούτου χωραφίου, ἵνα ζημιωθῇ πρὸς μὲν τὸν δημόσιον ὑπέρπυρα δεκαπέντε, πρὸς δὲ τὴν μονὴν εἴκοσι κ. τ. ἑ. μηνὶ μαρτίῳ ἰνδ. πέμπτης τοῦ ͵ϛφο' ἔτους.

Μάρτυρες: Μιχαὴλ ὁ Καλαρέτης, Ἰωάννης ὁ Πουγρ . . ., μοναχὸς Ξενοφῶν, μοναχὸς Ἰάκωβος ὁ Κατακαλλὸς, Ἰωάννης ὁ Καλορέστης, Κωνσταντῖνος ὁ Σιλλεώτης, Γεώργιος ὁ Χαλκεύς.

† Ὁ ταπεινὸς Ἰωάννης καὶ νομικὸς χωρίου Σίλλ . . . ὁ Πηγηνὸς καὶ αὐτὸς παρὼν ἐν τῷ παρόντι ἐγγράφῳ καὶ γράψας τὰ τοῦ ὕφους καὶ μαρτυρῶν ὑπέγραψα †.

CXLIX. Sine anno, mense augusto, ind. II.

Imperator confirmat conventionem factam inter monasterium et Basilium Planitam et Constantinum Rhentacem de possessionibus in Mantaea sitis.

† Πρόσταγμα συμβιβαστικὸν μετὰ τοῦ Πλανίτου Βασιλείου καὶ τοῦ γαμβροῦ αὐτοῦ τοῦ Ῥεντάκη χάριν τῶν εἰς τὴν Μάνταιαν διαφερόντων αὐτοῖς ἐκ γονικόθεν ὑποστατικῶν †.

† Ἐπεὶ ἐγεγόνει συμβίβασις μέσον τοῦ μέρους τῆς σεβασμίας μονῆς τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης καὶ διακόνου Βασιλείου τοῦ Πλανίτου, τοῦ γαμβροῦ αὐτοῦ Κωνσταντίνου τοῦ Ῥεντάκη καὶ παντὸς τοῦ μέρους αὐτῶν εἰς τὸ μερισθῆναι ἐπίσης τὰ γονικόθεν αὐτοῖς διαφέροντα ὑποστατικὰ τὰ ἐν τῷ χωρίῳ τῆς Μανταίας διακείμενα, ἤγουν χωράφια, ἐλαίας καὶ μυλοτόπια, ἅτινα ὁ θεῖος αὐτῶν ἐκεῖνος ἀποδημούντων αὐτῶν ἀπὸ τῆς χώρας αὐτῶν πρὸς

τὴν δηλωθεῖσαν μονὴν ἐξέδοτο, δι' ἃ καὶ ὀχλήσεις ἀναμέσον αὐτῶν συνέβη γενέσθαι, ὥστε καὶ τὴν βασιλείαν μου τὴν τοιαύτην ὑπόθεσιν παρ' αὐτῶν ἀκουτισθῆναι. καὶ ἐπέκρινεν ἡ βασιλεία μου δι' ὁρισμοῦ αὐτῆς ἐπίσης μερισθῆναι, καὶ ἐδεήθησαν καὶ ἄμφω τὰ μέρη τῆς βασιλείας μου ὁρισμοῦ καὶ αὖθις τυχεῖν εἰς ἐπιστηριγμὸν τῆς τοιαύτης αὐτῶν συμβιβάσεως. ἡ βασιλεία μου τῆς δεήσεως αὐτῶν ἐπακούσασα διορίζεται διὰ τῆς παρούσης ταύτης προστάξεως στερκτέον εἶναι τὸν παρ' ἑκατέρων τῶν μερῶν γεγονότα τούτων ἐπιμερισμὸν καὶ κεκτῆσθαι τὴν δηλωθεῖσαν μονὴν τὴν ἡμίσειαν μερίδα, τὴν δέ γε ἡμίσειαν κατέχειν εἰς μερίδα τοὺς δηλωθέντας κατὰ τὸν προαπολυθέντα αὐτοῖς ὁρισμὸν τῆς βασιλείας μου καὶ κατὰ τὴν κα ρ' ἀμφοτέρων γεγονυῖαν συμβίβασιν, ὥστε ἀταράχους καὶ ἀνενοχλήτους διατελεῖν αὐτούς. διὰ γὰρ τοῦτο ἐγεγόνει αὐτοῖς εἰς ἀσφάλειαν καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός †.

† Εἶχε τό· μηνὶ αὐγουόστῳ ἰνδ. δευτέρας, δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CL. [6737—1229], ind. II, [6740—1232], ind. V et 6742—1234, ind. VII.

Acta de vivario Gyri.

I. † Πρόσταγμα περὶ τοῦ βιβαρίου τοῦ Γύρου, διορίζον διαμένειν τὴν μονὴν ἀνενόχλητον ἀπὸ τῆς ἀπαιτήσεως τοῦ Καληγοπούλου· ἠνώχλει γὰρ αὐτὴν διὰ τὴν εἰσροὴν τοῦ ποταμοῦ †.

† Τὸ μέρος τῆς σεβασμίας μονῆς τῆς κατὰ τὴν Σμύρνην διακειμένης καὶ ἐπονομαζομένης τῶν Λέμβων ὑπέμνησε τὴν βασιλείαν μου, ὡς ὁ ποταμὸς ὁ Ἑρμῶν εἰσέρρει μετὰ τῶν ἄλλων καὶ εἰς τὸ βιβάριον αὐτῆς τὸ ἐπιλεγόμενον ὁ Γῦρος, καὶ διὰ τοῦτο τὰ ἐκεῖσε πάντα βιβάρια ἐτέλουν τῷ Καληγοπούλῳ, ὡς ἔχοντι εἰς πρόνοιαν τὰ δίκαια τοῦ ποταμοῦ. τοῦ δὲ ποταμοῦ ἀνακόψαντος ἀπὸ τῆς κοίτης αὐτοῦ καὶ ἑτέραν κοίτην διερχομένου καὶ μὴ εἰσβάλλοντος ἐν τῷ βιβαρίῳ τῆς τοιαύτης μονῆς, ἕλκονται καὶ πάλιν οἱ μοναχοὶ εἰς δόσιν νομισματικὴν παρὰ τοῦ μέρους τοῦ Καληγοπούλου χάριν τῶν δικαίων τοῦ τοιούτου ποταμοῦ. καὶ διορίζεται ἡ βασιλεία μου τῷ περιποθήτῳ

συγγάμβρῳ αὐτῆς, δουκὶ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Ἰωάννῃ Δούκᾳ τῷ Κουρτίκῃ, τηρῆσαι τὰ περὶ τούτου διμερῶς παρουσίᾳ καὶ τῶν κατὰ τόπον εἰδημόνων ἀνθρώπων, καὶ ἐὰν εὑρήσεις, ὅτι παρὰ τὸ δίκαιον ἕλκεται τὸ μέρος τῆς μονῆς εἰς τελέσματα ὑπὸ τοῦ μέρους τοῦ Καληγοπούλου, οἷα μηδὲ τοῦ ποταμοῦ ὅλως ἐμβάλλοντος εἰς τὸ βιβάριον αὐτῶν, ἵνα τῇ μὲν μονῇ περιποιήσῃ τὸ πάντη ἀνενόχλητον καὶ ἀζήμιον ἐπὶ τοῖς ζητουμένοις ἐξ αὐτῆς νομίσμασι παρὰ τοῦ μέρους τοῦ Καληγοπούλου, τὸν δὲ Καληγόπουλον ἀποτρέψῃς τοῦ μηκέτι παρενοχλεῖν αὐτῇ χάριν τούτου †.

† Εἶχε τό· μηνὶ φευρουαρίῳ ἰνδ. ζʹ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. †. Πρόσταγμα ἕτερον, διορίζον εἶναι πάντῃ ἐξκουσσάτον τὸ βιβάριον τοῦ Γύρου, ὡς ἐξ ἐξόδων καὶ κόπων τῆς μονῆς οἰκείων ἀνεγερθὲν οὐκ ὀλίγων †.

† Ἐπεὶ κατὰ τὴν τοποθεσίαν τῶν παραιγιαλείων Σμύρνης εὕρηται τόπος ἀπὸ τοῦ αὐλακίου μέχρι τῆς Λαμπιδίου τοῦ Κουρτίκη ἐπίκαιρος εἰς βιβαρίου θέσιν, δέεται δὲ πολυχειρίας καὶ μόχθων καὶ ἐξόδων οὐκ ὀλίγων, καὶ ἐδεήθησαν τῆς βασιλείας μου οἱ συνιστῶντες καθ' ὁρισμὸν τῆς βασιλείας μου τὴν ἐκ νέου καινιζομένην μονὴν τῆς ὑπεραγίας θεοτόκου τῆς Λεμβιωτίσσης, ἵνα ὁρισθῶσι παρὰ τῆς βασιλείας μου, καὶ διὰ κόπων καὶ ἐξόδων οἰκείων ἀνεγείρωσιν ἐν τῷ τοιούτῳ τόπῳ βιβάριον, ἡ βασιλεία μου, τὴν δέησιν αὐτῶν ὡς ἀβαρῆ καὶ ἀζήμιον τῷ δημοσίῳ προσηκαμένη, διορίζεται διὰ τῆς παρούσης προστάξεως ἀνεγεῖραι τοὺς μοναχοὺς τῆς ῥηθείσης μονῆς βιβάριον ἐν αὐτῇ καὶ ἔχειν τὴν τοιαύτην μονὴν εἰς τὸ ἔπειτα ἀβαρῶς πάντη καὶ χωρὶς πάκτου καὶ δόσεως οἱασδήτινος, ὡς ἐξ οἰκείων κόπων καὶ ἐξόδων οὐκ ὀλίγων μέλλουσαν ἀναστῆσαι αὐτό, τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τῇ βασιλείᾳ μου, τοῦ παρακοιμωμένου κῦρ Ἀλεξίου τοῦ Καρτεροῦ, ὀφείλοντος ἀντιλαβέσθαι τοῦ μέρους τῆς μονῆς, εἴ γε ἴσως ἐπιχειρήσει τις κωλύμην ἐπενεγκεῖν τοῖς ἐν τῷ ἀνεγείρειν καὶ συνιστᾶν τὸ τοιοῦτον βιβάριον †.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδ. ε' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός, εἶχε δὲ καὶ κάτωθεν κηρίνην βοῦλλαν τοῦ βασιλικοῦ δακτυλίου καὶ τό· διὰ τοῦ Τορνίκη Δημητρίου, ὡς ἔθος τοῖς μεσάζουσιν †.

III. †. Πρόσταγμα ἕτερον χάριν τοῦ τοιούτου βιβαρίου †.

† Ἐπεὶ ὡς ἀνηνέχθη τῇ βασιλείᾳ μου παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τῆς τῶν Λέμβων, δι' ὁρισμοῦ τοῦ ἀοιδίμου βασιλέως ἐκείνου καὶ θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἐδωρήθη τῇ τοιαύτῃ μονῇ τόπιόν τι πλησίον τῆς θαλάσσης τὸ ἐπικεκλημένον Γῦρος τὸ καὶ ἐν τῷ χρυσοβούλλῳ ταύτης ἐμπεριειλημμένον, ἤτοι ἡ παλαιὰ νομὴ τοῦ Ἕρμωνος ποταμοῦ, ἀλλὰ καὶ ἡ Καρπαθία ὀνομαζομένη, εἰς ὃν δὴ τόπον καὶ βιβάριον ἀνήγειραν οἱ μοναχοί, ὡς δὲ καὶ τῷ στρατιώτῃ Μιχαὴλ τῷ Ἀγγέᾳ ἐδωρήθη πρὸς οἰκονομίαν αὐτοῦ τὸ καταρρέον ὕδωρ τῆς νῦν νομῆς τοῦ τοιούτου Ἕρμωνος ἄνευ τῆς παλαιᾶς νομῆς καὶ τῶν αὐλακίων τούτου τῶν καὶ πρὸ χρόνων ἤδη πολλῶν προκατεχομένων παρὰ τοῦ μέρους τῆς δηλωθείσης μονῆς, οἱ πακτωτικῶς ἐξωνούμενοι τὸ τοῦ στρατιώτου βιβάριον οὐκ ἀρκοῦνται εἰς τὴν νομὴν ἐκείνου, ἀλλὰ δυναστικῷ τρόπῳ κατεπεμβαίνουσι καὶ ἁρπάζουσι τῶν τῆς εἰρημένης μονῆς τόπων, τῶν ἀπὸ τῆς Καρπάθου δικαίων, καὶ κτῶνται τοῦτο πρὸς ἴδιον κέρδος, διορίζεται ἡ βασιλεία μου, ὅτι ἐπεὶ οὕτως ἔχουσι τὰ τῆς ὑποθέσεως, κατέχειν μὲν τὴν ῥηθεῖσαν μονὴν καὶ νέμεσθαι πάντη ἀνενοχλήτως καὶ ἀπερικόπως τὰ δίκαια τῆς παλαιᾶς νομῆς τοῦ ποταμοῦ σὺν τῇ Καρπαθίᾳ, καθὼς ἐν τῷ χρυσοβούλλῳ ταύτης περιείληπται, καὶ τὸ μέρος τοῦ Καληγοπούλου τὴν καὶ νέαν νομὴν τοῦ Ἕρμωνος, τὴν καὶ δωρηθεῖσαν αὐτῷ, καὶ ἀρκεῖσθαι ἕκαστον τῶν μερῶν εἰς τὸ κατὰ δίκαιον λόγον ἀνῆκον αὐτῷ. πρὸς γὰρ ἀσφάλειαν τοῦ μέρους τῆς τοιαύτης μονῆς ἐγεγόνει καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμὸς †.

† Εἶχε τό. μηνὶ φευρουαρίῳ ἰνδ. δευ έρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

IV. †. Ἔγγραφον γράμμα τοῦ Καληγοπούλου στρατιώτου καὶ τοῦ υἱοῦ αὐτοῦ χάριν τῶν αὐλακίων τῶν εἰς τὸ βιβάριον τὸν Γῦρον αὐτῶν εἰσερχομένων ἀπὸ τοῦ Ἕρμωνος καὶ τῶν ἀπὸ τοῦ ἐξ ἀνέμου ὡς ἀδίκως διενοχλούντων τῇ μονῇ χάριν αὐτῶν †.

Σίγνον βεστιαρίτου Κωνσταντίνου τοῦ Καληγοπούλου καὶ Γεωργίου, τοῦ υἱοῦ αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἐγὼ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ ὁ γνήσιος υἱὸς αὐτοῦ Γεώργιος ... τὴν παροῦσαν συμβίβασίν τε καὶ ἀσφάλειαν τιθέμεθα καὶ ποιοῦμεν ... πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς σεβασμίας αὐτοδεσπότου βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεομήτορος τῶν Λέμβων, ἱερομόναχον κῦρ Παῦλον ... ἐπὶ ὑποθέσει τοιᾷδε, καθὼς δηλωθήσεται· καὶ γὰρ ἐπεὶ ἐδωρήθη μοι κατὰ λόγον προνοίας διὰ θείου καὶ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ τὸ κατὰ τὸν κόλπον τῆς Σμύρνης βιβάριον τοῦ ποταμοῦ τοῦ Ἕρμωνος μετὰ τῶν ἀνέκαθεν ἀπονεμομένων τοῦ τοιούτου βιβαρίου δικαίων καὶ προνομίων, ἐδωρήθη ὡσαύτως διὰ προσκυνητοῦ ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ χρυσοβούλλου λόγου καὶ τῇ διαληφθείσῃ μονῇ τῶν Λέμβων, ὡς παρὰ τῆς ἁγίας αὐτοῦ βασιλείας ἀνακαινισθείσης σχεδὸν ἐκ βάθρων τῆς αὐτῆς μονῆς, καὶ τὸ κατὰ τὸν αὐτὸν κόλπον τῆς Σμύρνης βιβάριον τὸ ἐπιλεγόμενον ὁ Γῦρος μετὰ τῶν προσαρμοζόντων τῷ τοιούτῳ βιβαρίῳ δικαίων, περιωρίσθησαν δὲ ἐντὸς τοῦ τοιούτου βιβαρίου τῆς μονῆς τὰ ἐξ ἀνέμου σὺν τοῖς αὐλακίοις, καὶ νέμεται τὰ τοιαῦτα ἡ ῥηθεῖσα μονὴ εἰς τὸ διαφέρον αὐτῆς βιβάριον τὸν Γῦρον, ἐσύστερον δὲ μετὰ καιρόν τινα ἀνεφύησαν διενέξεις καὶ φιλονεικίαι μέσον ἐμοῦ τε καὶ τῆς μονῆς χάριν τῶν ἐξ ἀνέμου καὶ τῶν αὐλακίων,

ἀνακαλούμενοι ἡμεῖς ταῦτα ὡς δίκαια τοῦ ὑπ' ἐμὲ βιβαρίου τοῦ ποταμοῦ τοῦ Ἕρμωνος ὄντα καὶ ἡ μονὴ ὡς ὑπὸ τὸ αὐτῆς βιβάριον τὸν Γῦρον ὄντα, καὶ ἦν μέσον ἐμοῦ τε καὶ τοῦ μέρους τῆς μονῆς διαμάχαι χάριν τῶν ἐξ ἀνέμου καὶ τῶν αὐλακίων. κατεβάλλετο δὲ τὸ μέρος τῆς μονῆς πρὸς τοὺς πακτικῶς ἔχοντας τὸ τοιοῦτον βιβάριον τοῦ ποταμοῦ κατ' ἔτος χάριν τῶν ἐξ ἀνέμου μέρος τι πάνυ ὀλίγον, νῦν δὲ ὑπεμνήσθη ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς παρὰ τοῦ εἰρημένου πανοσιωτάτου καθηγουμένου, κυροῦ Παύλου, ὡς ὅτι παρὰ πάντα δίκαιον λόγον ἀδικεῖται τὸ μέρος τῆς μονῆς τῶν Λέμβων παρ' ἡμῶν, καὶ ὅτι μὴ ὁδὸς εἶναι καὶ ἄλλως πως εἶναι ὁ Γῦρος βιβάριον, εἰ μὴ ἔχει καὶ σὺν τοῖς ἐξ ἀνέμου αὐλακίοις ἐντὸς τοῦ τοιούτου βιβαρίου τοῦ Γύρου, καὶ ἐπεβραβεύθη τῇ ῥηθείσῃ ἁγίᾳ μονῇ καὶ βασιλικὸς προσκυνητὸς ὁρισμὸς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, διοριζόμενος τῷ περιποθήτῳ συγγάμβρῳ τῆς αὐτοῦ βασιλείας, δουκὶ τοῦ Θρακησίων, Δούκᾳ κυρῷ Ἰωάννῃ τῷ Κουρτίκῃ, ἵνα τηρήσῃ τὴν τοιαύτην ὑπόθεσιν διμερῶς. συνοῖδα γὰρ ἐγὼ ὁ Καληγόπουλος καθ' ἑαυτὸν ὡς χριστιανόν, ὡς οὐ κατά τι ζημιοῦμαι ἢ παραβλάπτομαι εἰς τὸ ὑπ' ἐμὲ βιβάριον τοῦ ποταμοῦ τοῦ Ἕρμωνος, ἐὰν τὰ ἐξ ἀνέμου καὶ τὰ αὐλάκια ὦσιν ὑπὸ τὸ βιβάριον τῆς μονῆς, τὸν Γῦρον, καὶ νέμωνται παρ' αὐτῆς, καὶ διὰ τοῦτο κατέλειψα καὶ τὸ μάχεσθαί με μετὰ τῆς μονῆς καὶ κρίνεσθαι, καὶ τὸ δίκαιον ἀπιδὼν ἐχωρήθην εἰς εἰρηνικὰς συμβιβάσεις, καὶ ἰδοὺ διὰ τοῦ παρόντος μου ἐγγράφου τοῦ καὶ τάξιν ἀσφαλείας ἐπέχοντος συμφωνῶ καὶ ἀσφαλίζομαι πρὸς σέ, τὸν πανοσιώτατον καθηγούμενον τῆς αὐτῆς μονῆς, κῦρ Παῦλον, καὶ διὰ σοῦ πρὸς τοὺς ὑπὸ σὲ μοναχοὺς τοῦ μὴ ὅλως εὑρεθῆναί με ἢ τὸν υἱόν μου ποτὲ τῶν καιρῶν ἀνακαλέσασθαι τῶν ἐξ ἀνέμου μετὰ τῶν αὐλακίων, ὡς δῆθεν ὄντων ἀπὸ τῶν δικαίων τοῦ ὑπ' ἐμὲ βιβαρίου τοῦ Ἕρμωνος, ἢ πειραθῶ τούτου χάριν ἐπιζητῆσαι ἀπὸ τῆς μονῆς τι ἢ τοῦ μέρους αὐτῆς, ἀλλ' οὐδὲ οἱ κατὰ καιροὺς πακτωτικῶς ἔχοντες τὸ ὑπ' ἐμὲ βιβάριον τοῦ ποταμοῦ ὄχλησιν τῇ μονῇ τὴν τυχοῦσαν ἐπενεγκεῖν χάριν αὐτῶν, ἀλλ' ἔσονται ἀμέτοχοι καὶ αὐτοὶ ἀπό τε τῶν ἐξ ἀνέμου καὶ τῶν αὐλακίων, ἀρκούμενοι ἐπὶ τῷ βιβαρίῳ τοῦ ποταμοῦ καὶ μόνῳ. τὸ δὲ βιβάριον τῆς μονῆς ὁ Γῦρος καθέξει ἀπροσκόπως καὶ ἀκωλύτως τῶν ἐξ ἀνέμου καὶ τῶν αὐλακίων, ὡς καὶ διὰ θείου καὶ βασιλικοῦ προσκυνητοῦ

ὁρισμοῦ ἀπεσπάσθησαν ὡς ὁμολογουμένως ἀνέκαθεν αὐτῷ διαφέροντα, καὶ οὕτως ἡ μονὴ ἔσται κατέχουσα καὶ νεμομένη τὸ ὑπ' αὐτῆς βιβάριον τὸν Γῦρον μετὰ τῶν ἐξ ἀνέμου καὶ τῶν αὐλακίων δεσποτικῶς δικαίῳ ἀπερικόπως πάντῃ καὶ ἀκωλύτως, μέχρις ἂν τὸ περίγειον συνίσταται καὶ ὁ ἥλιος τὸ πᾶν ἐφορᾷ. εἰ δ' ἴσως ποτὲ τῶν καιρῶν πειραθήσομαι ἢ ὅλως βουληθήσομαι ἢ ὁ υἱός μου ἀνακαλέσασθαι ἡμᾶς ἢ χάριν αὐτῶν ὑπόμνησιν ἢ ἀναφορὰν τὴν τυχοῦσαν ποιησόμεθα, ἀπεντεῦθεν ἵνα ἀσυμπαθῶς χάριν προστίμου ὑποπεσοῦμεν ζημίαν ἐκ θελήσεως καὶ ἀρεσκείας ἡμῶν ὑπέρπυρα λίτρας δύο, εἶτα καὶ τὰς ἀρὰς ἐπισπασώμεθα τῶν τριακοσίων δεκαοκτὼ ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ εὕρω καὶ τὴν μητέρα τοῦ ἀληθινοῦ θεοῦ ἀντίδικον εἰς τὴν ψυχήν μου ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, ὡς ἀθετῶν τὰς πρὸς αὐτὴν ἐκ θελήσεώς μου ὑποσχέσεις. μηνὶ ἀπριλλίῳ ἰνδ. ζ' τοῦ ςφμβ' ἔτους †.

Μάρτυρες· Ἰωάννης ὁ Κλαπατᾶς, ναυκλῆρος ὁ Ἰγνάτιος Κωνσταντῖνος, Νικήτας ὁ Ἁλμοζωμᾶς.

† Ὁ εὐτελὴς ἱερεύς, νομικὸς καὶ ἐπὶ τῶν δεήσεων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Νικόλαος ὁ Συρόπουλος, μαρτυρῶν καὶ γράψας ὑπέγραψα †.

CLI. Sine anno, mense augusto, ind. XII.

Promissio Annae, uxoris Angeli Michaëlis, et filiorum de vivario Carpathiae.

† Ἡ ἔγγραφος ὁμολογία τῆς γυναικὸς τοῦ Ἀγγέλου ἐκείνου κυροῦ Μιχαήλ, τῶν δύο υἱῶν καὶ τῆς θυγατρὸς χάριν τοῦ τῆς Καρπαθίας λαμπιδίου †.

Σίγνα Ἄννης, τῆς συμβίου Μιχαὴλ τοῦ Ἀγγέλου, Ἰωάννου Ἀγγέλου, τοῦ υἱοῦ αὐτῶν, Καλῆς Ἀγγελίνης, τῆς θυγατρὸς αὐτῶν, Μιχαὴλ τοῦ Καλοδιοίκτου, τοῦ υἱοῦ αὐτῶν.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἐγὼ Ἄννα ἡ Ἀγγελίνα συνάμα τοῖς γνησίοις μου παισὶν . . . τὴν παρ' ἡμῶν ἔγγραφον ἀσφαλιστικὴν γραφὴν τήν, ὡς ὁ λόγος κάτωθεν δηλώσειεν, τὸ ἀληθὲς καὶ βέβαιον ἔχουσαν ταῦτα προσφωνοῦμαι, ἅπερ γεγόνασι καὶ ἐπράχθησαν πρὸ χρόνων ἱκανῶν, ἔτι ζῶντος καὶ τοῦ ἀνδρός μου ἐκείνου. ἐπεὶ εἴχομεν

διενέξεις εἰς τὸ λαμπίδιον τὸ οὕτωσὶ προσαγορευόμενον ἡ Καρπαθία μετὰ τῶν μοναχῶν τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῶν Λέμβων. παρέδραμον καιροί τινες διαμαχομένων, ἡμῶν ἐλθόντος δὲ τοῦ πανσεβάστου Βρουλλᾶ κυροῦ Δαβὶδ καὶ ποιουμένου τὴν ἀπογραφήν, εὗρεν ἡμᾶς καὶ τοὺς μοναχοὺς διαμαχομένους ἐπὶ τούτῳ, καθὼς ἀνωτέρω εἰρήκαμεν. καὶ παραγενόμενος τοίνυν κατὰ τὸν τόπον ὁ τοιοῦτος καὶ ἰδὼν αὐτοφὶ μετὰ καὶ ἑτέρων ἀνθρώπων τῶν καὶ εἴδησιν ἐχόντων ἐπὶ τῇ τοιαύτῃ διενέξει, καθὼς διέγνω, πεποίηκε. καὶ γὰρ ἀπέσπασε τὴν τοιαύτην ἀπὸ τοῦ πρακτικοῦ ἡμῶν λάμπην, καὶ παρέδωκε ταύτην τοῖς δυσὶ βιβαρίοις, τὴν μὲν ἡμίσειαν τῷ βιβαρίῳ τῆς μονῆς τῶν Λέμβων, τὴν δὲ ἡμίσειαν τῇ μονῇ τοῦ Σωτῆρος τῇ λεγομένῃ τοῦ κυροῦ Κοσμᾶ. μὴ ἐξαρκούσης δὲ τῆς τοῦ Σωτῆρος μονῆς μερίδος, κἂν τὴν ἔξοδον ταύτης ἐπανασώσασθαι τῇ μονῇ, ἐπεδόθη καὶ πάλιν παρὰ τῶν μοναχῶν τῆς τοῦ Σωτῆρος μονῆς πρὸς τὴν μονὴν τῶν Λέμβων, καθὼς καὶ τὸ πρότερον, καὶ ὅτι γε οὐδὲ μετοχήν τινα εὗρεν ἐπ' αὐτῇ τοῦ ποταμοῦ παρὰ τῶν τυχόντων ἐκεῖσε τῷ τότε γνωρίσας, ἤγουν τοῦ πρωτοπαπᾶ τοῦ Κουκούλου, κυροῦ Θεοδώρου τοῦ Μοσχηνοῦ, τοῦ Κουλλούρη Νικολάου, τοῦ αὐταδέλφου αὐτοῦ Γεωργίου, τοῦ υἱοῦ τοῦ Φωκᾶ καὶ ἑτέρων, ἡμᾶς δὲ καὶ πάλιν ἱκάνωσε τὸ διὰ πρακτικοῦ εἰς τὸν αὐτὸν ποταμόν, τὸν καὶ πόρρω ἀπέχοντα τῆς τοιαύτης λάμπης, προσεκόμισάν τε ἡμῖν καὶ θεῖον προσκυνητὸν ὁρισμὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ὑπὲρ τῆς τοιαύτης λάμπης, ὅπως καὶ πάλιν κατέχηται παρὰ τῆς μονῆς καὶ ἀπέχειν ἕκαστον τῶν τῷ βιβαρίῳ κτωμένων τοῦ ποταμοῦ ἐκ ταύτης, οὗ ἕνεκα ἀποσοβηθέντων ἡμῶν οὐκ ἔχομεν ἔκτοτε καὶ μέχρι τῆς σήμερον μετὰ τῶν ῥηθέντων μοναχῶν ὄχλησιν τὴν οἱανδήτινα. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει παρ' ἡμῶν ἡ τῆς ἀληθείας ὁμολογία εἰς βεβαίωσιν τοῖς ῥηθεῖσι μοναχοῖς. μηνὶ αὐγούστῳ ἰνδ. ιβ' †.

† Ἡ παροῦσα ἀσφάλεια καὶ ὁμολογία ὑπεγράφη καὶ παρ' ἐμοῦ, ὡς συμπαρὼν τῷ τότε μετὰ τοῦ Βρουλλᾶ καὶ προσκληθεὶς ὑπ' αὐτοῦ μετὰ τῶν ἄλλων εἰς τὴν τήρησιν καὶ ἀποκατάστασιν καὶ ἀνενοχλησίαν τῆς ῥηθείσης μονῆς τῆς ὑπεράγνου θεοτόκου τῶν Λέμβων, παρόντων καὶ τῶν ἄνωθεν δηλουμένων μαρτύρων †.

† Ὁ πρωτοπαπᾶς Κουκούλου καὶ Λεύκης, Θεόδωρος ὁ Μοσχηνός †.

CLII. Sine anno, mense maio, ind. VII.

David Brullas monasterio adiudicat liberam possessionem vivariorum Gyri et Carpathiae.

† Τὸ κρισιμόγραφον γράμμα τοῦ Βρουλλᾶ, ἀποκαθιστῶντος τὴν μονὴν ἔχειν ἀνενοχλήτως τὴν λάμπην τῆς Καρπαθίας καὶ ἀποπέμποντος τῷ μέρει τοῦ στρατιώτου †.

† Ὁ τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεοτόκου τῶν Λέμβων τιμιώτατος καθηγούμενος, ἱερομόναχος κῦρις Γεράσιμος, καὶ οἱ μοναχοὶ τῆς τοιαύτης μονῆς, ἀδικούμενοι ἐν τῷ κτήματι αὐτῶν τῷ εἰς τὸν κόλπον τῆς Σμύρνης βιβαρίῳ τῷ ἐπιλεγομένῳ ὁ Γῦρος ἀπὸ τῶν γειτνιαζόντων αὐτοὺς καὶ μὴ φέροντες τὴν τοσαύτην καὶ τηλικαύτην ἀδικίαν καὶ ζημίαν, ἀνέδραμον πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα, καὶ ἀνέφερον τὰ περὶ τούτου τῇ κραταιᾷ καὶ ἁγίᾳ αὐτοῦ βασιλείᾳ, καὶ θεῖον καὶ προσκυνητὸν ἐκεῖθεν ἐπορίσαντο ὁρισμὸν ἐπὶ τῷ μὴ ἀδικεῖσθαι τούτους ἐφ' οἷς ἀδικοῦνται, ἀλλὰ ἀπεντεῦθεν κατέχειν τὸ βιβάριον αὐτῶν μετὰ τῆς εἰσοδοεξόδου αὐτοῦ τῶν πλησιολαμπῶν ἐγχωρίως λεγομένων τῆς Καρπαθίας, ὅντινα θεῖον καὶ προσκυνητὸν ὁρισμὸν οἱ μοναχοὶ ἐμφανίσαντες πρὸς μὲ μετὰ καί τινων τῶν ἀπὸ τοῦ Κουκούλου καὶ ἑτέρων τῶν πλησιοχώρων παρεπομένων μοι, καὶ αὐτὸς ἐν τῷ διαστίκτῳ τόπῳ παραγέγονα καὶ ἐγνώρισα μὲν καὶ ἀφ' ὧν ἤκουσα ἀπὸ τῶν συνόντων μετ' ἐμοῦ, ὅτι τὸ τοιοῦτον θαλαττιαῖον τόπιον τὸ καὶ Καρπαθία οὑτωσὶ λεγόμενον τῇ μονῇ τῶν Λέμβων διαφέρει, καὶ ἡ τοιαύτη ἔχει τὸ δίκαιον. εἶδον δὲ αὐτοφὶ καὶ ἐγὼ τοῦτο καὶ διέκρινα, ὅτι οὐδόλως διαφέρει ἄλλῳ τινὶ, οὔτε τῷ κατέχοντι τῷ ποταμῷ, οὔτε ἄλλοις τισίν· ὁ γὰρ ποταμὸς ἰδιάζων ὑπάρχει καὶ πόρρω τούτου. ταῦτα οὕτως εἰδότες καὶ γνωρίσαντες τὴν παροῦσαν κρισίμην γραφὴν, ὡς ἀποκαταστατικὴν δι' ἑδραίωσιν τῆς διαληφθείσης μονῆς, τεκμηράμενοι ἐπιδεδώκαμεν, καθὼς καὶ ὁ κραταιὸς καὶ ἅγιος αὐθέντης καὶ βασιλεὺς διορίζεται. ὀφείλει δὲ τεθῆναι καὶ καταγραφῆναι καὶ ἐν τῷ πρακτικῷ τῆς μονῆς. διὰ γὰρ τοῦτο ἐγεγόνει αὐτῇ καὶ τὸ παρόν μου γράμμα εἰς ἀσφάλειαν. μηνὶ μαΐῳ ἰνδ. ἑβδόμης †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως σεβαστὸς Δαβὶδ ὁ Βρουλλᾶς †.

CLIII. Sine anno, mense aprili, ind. II.

Imperator tributis eximit scaphas piscatorias monasterii.

† Πρόσταγμα ἐξκουσσεῦον τὰ ἁλιευτικὰ σανδάλια τῆς μονῆς, ἀπολογιάζον τῷ στρατιώτῃ τῷ Καδιανῷ †.

† Γραμματικὲ τῆς βασιλείας μου ὁ ἐνεργῶν εἰς τὴν Σμύρνην, Ἰωάννη Κωνστομάρη. τὸ μέρος τῆς σεβασμίας μονῆς τῶν Λέμβων ὑπέμνησε τὴν βασιλείαν μου, ὡς ὁ Καδιανὸς ἀπέρχεται εἰς τὸ προσὸν τῇ μονῇ ἐν τῇ Σμύρνῃ ἁλιευτικὸν σανδάλιον, καὶ οὐκ ὀλίγα ὀχλεῖ τοὺς ἐν αὐτῷ, ἀφαιρεῖται δὲ ἐξ αὐτοῦ καὶ εἴ τι βούλεται, ἀφείλετο δὲ ἐξ αὐτοῦ καὶ ἁμάχιον, ζητῶν τέλος τῇ προφάσει τοῦ ἔχειν τὴν ἐκεῖσε ἁλεῖαν. διορίζεταί σοι οὖν ἡ βασιλεία μου, ὡς ἂν ἐπὶ τῆς κατὰ τόπους καὶ πρῶτον μὲν ἐπάρῃς ἀπὸ τοῦ δηλωθέντος, εἴ τι ἀνελάβετο ἀπὸ τοῦ τοιούτου σανδαλίου, καὶ ἐπιδώσεις τῷ μέρει τῆς μονῆς, εἶτα ἐπιφωνήσῃ τούτῳ ἀπέχειν ἀπὸ τοῦ τοιούτου σανδαλίου. τὸ γὰρ δίκαιον αὐτοῦ ὀφείλει ἐπαίρειν ἀπὸ τῶν ἑτέρων τῶν ἁλιευόντων ἐκεῖσε, οὐχὶ δὲ ἀπὸ τοῦ τοιούτου σανδαλίου. καὶ ἄλλοτε περὶ τούτου μὴ ὀχληθῇ ἡ βασιλεία μου †.

†. Εἶχε τό· μηνὶ ἀπριλλίῳ ἰνδ. β΄. δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLIV. Sine anno, mense maio, ind. XIV.

Imperator tuetur iura, que monasterium habet in loco Barae.

† Πρόσταγμα ἕτερον, ἀπολογιάζον τοὺς Μαντειανοὺς καὶ τοὺς προσγενεῖς αὐτῶν ἀπὸ τῶν δικαίων τῆς Βάρης †.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, Γεώργιε Μακρηνέ. οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῶν Λέμβων ἀνέφερον τῇ βασιλείᾳ μου, ὡς εἰς τὴν ὑπόθεσιν, ἣν εἶχον ὁ Πόθος ὁ Μαντειανός, τὸ μέρος τοῦ Κωνστομάρη καὶ τῶν προσγενῶν αὐτοῦ περὶ χωραφίων, ἥτις δὴ ὑπόθεσις πολλάκις ἐτηρήθη

ὁρισμῷ τοῦ μακαρίτου πατρὸς τῆς βασιλείας μου, καὶ ἐτέθη καὶ πρόστιμον, ζημιωθῆναι τούτους τὸν Πόθον καὶ τοὺς σὺν αὐτῷ ἐσώτερον ὑπέρπυρα χίλια, εἰ μὴ ἀποστῶσι δυναστεύειν τοὺς μοναχούς, πάλιν δὲ δυναστεύονται παρ' αὐτῶν καὶ ἀπειλοῦνται οἱ τοιοῦτοι τοῖς μοναχοῖς, ὡς ἂν εὕρωσί τινα ἐξ αὐτῶν ἢ εἰς τὴν γῆν ἢ εἰς τὰ ἀμπέλια, ἅπερ εἶχον πρῶτον ἀμφιβολίαν, ἵνα φονεύσωσιν αὐτόν. ἀλλὰ τινὲς τοπικοὶ ἐπανέστησαν αὐτοῖς, καὶ πειρῶνται ἁρπάζειν ἀπὸ τῶν ὑποστατικῶν αὐτῶν, καὶ ἐδεήθησαν περὶ τούτου τῆς βασιλείας μου. ἐπεὶ γοῦν τὰ προστάγματα καὶ τὰ λοιπὰ δικαιώματα, ἅπερ ἔχουσιν οἱ τοιοῦτοι μοναχοί, ἀναντίρρητά εἰσι, καὶ πολλάκις ἐπιφωνηθέντες ὁ Πόθος καὶ οἱ σὺν αὐτῷ ἀπέχειν τῆς εἰς αὐτοὺς δυναστείας, καὶ οὐ πείθονται, ἀλλὰ πάλιν ἤρξαντο τὸ δυναστεύειν καὶ ἀπειλεῖσθαι αὐτούς, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν ἐπιφωνήσῃς καὶ σὺ αὐτοὺς ἀπέχειν ἐξ αὐτῶν καὶ ἀπὸ τῆς γῆς καὶ τῶν ἀμπελίων αὐτῶν, εἰς ἃ πολλάκις μετ' αὐτῶν ἐκρίθησαν, εἰ δὲ ἔτι προσμένουσι τῇ δυναστείᾳ, παιδεύσῃς αὐτοὺς καὶ προσηκόντως, ὥστε καὶ μὴ βουλομένους παῦσαι τῆς δυναστείας, καὶ δεφενδεύσῃς παντοίως τοὺς μοναχοὺς εἰς τὸ μὴ εὑρεῖν ἐξ αὐτῶν τὴν τυχοῦσαν δυναστείαν ἢ ὄχλησιν, ἀποσοβήσῃς δὲ καὶ τοὺς τοπικοὺς τοὺς πειρωμένους ἁρπάζειν, ἀφ' ὧν ἔχουσιν, ἀλλὰ μηδὲ τὸ μέρος σου ἀδικεῖ αὐτούς, εἰς ἅπερ οὐκ ἦν συνήθεια ἐνοχλεῖσθαι αὐτοῖς. θέλημα γὰρ ἔχει ἡ βασιλεία μου στέργειν τὰ προσόντα τῇ μονῇ αὐτῶν χρυσόβουλλα καὶ λοιπὰ δικαιώματα κατὰ πάσας τὰς περιλήψεις αὐτῶν. καὶ ποίησον οὕτω καὶ ἀντίστρεψον τῷ μέρει τῆς τοιαύτης μονῆς καὶ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου εἰς ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδ. ιδ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLV. Sine anno, mense iunio, ind. XV.

Imperator permittit monasterio, ut introducat in possessiones suas inquilinos tributis exemptos.

† Ἕτερον πρόσταγμα ἐπικυρωτικὸν εἰς τὸ προσκαθίσασθαι ξένους καὶ ἀνεπιγνώστους εἰς τὴν Βάρην καὶ εἰς τὸν Πάσπαρον †.

† Ἐπεὶ ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς ὑπεράγνου θεοτόκου τῆς Λεμβιωτίσσης, ὁ μοναχὸς Γεράσιμος, ἐδεήθη τῆς βασι-

λείας μου τυχεῖν ὁρισμοῦ τῆς βασιλείας μου, δι' οὗ ἵνα προσκαθίσῃ εἰς τὰ διαφέροντα τῇ κατ' αὐτὸν μονῇ τόπια, ἀλλὰ δὴ καὶ τῷ ἐπιλεγομένῳ Πασκάρῳ καὶ τῇ Βάρῃ ξένους καὶ ἀνεπιγνώστους τῷ δημοσίῳ, ὅσους δυνηθῇ καὶ ἐξκουσσεύῃ τούτους ἀπὸ παντὸς οἱουδήτινος ζητήματος, ἡ βασιλεία μου τὴν δέησιν αὐτοῦ προσηκαμένη εὐδοκεῖ διὰ τῆς παρούσης προστάξεως, προσκαθίσαι αὐτὸν ἐν τοῖς τοιούτοις τοπίοις ξένους καὶ τῷ δημοσίῳ ἀνεπιγνώστους καὶ ἐξκουσσεύειν αὐτοὺς ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας, ἤγουν ἀγγαρείας, παραγγαρείας, ζημίας, φωμοζημίας, καστροκτισίας, κατεργοκτισίας, ἐξελάσεως πλωΐμων καὶ κονταράτων καὶ ἀπ' αὐτῶν δὴ τῶν δύο κεφαλαίων τῆς ἀγάπης καὶ τῆς σιταρκίας, ὥστε ἔχειν αὐτοὺς τοῦτον εἰς συγκρότησιν τῶν τῆς μονῆς δουλειῶν. διὰ γὰρ τοῦτο καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμὸς ἐγεγόνει αὐτῷ εἰς ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ ἰουνίῳ ἰνδ. ιε' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός, εἶχε δὲ καὶ κηρίνην βούλλαν διὰ τοῦ βασιλικοῦ δακτυλίου καὶ κάτωθεν· διὰ τοῦ Τορνίκη Δημητρίου, ὡς ἔθος τοῖς μεσάζουσιν †.

CLVI. Sine anno, mense maio, ind. XIII.

Imperator locum Melorum eximit tributis navalibus.

† Ἕτερον πρόσταγμα ἐπικυρωτικὸν περὶ τῶν πλωΐμων τοῦ Κεφαλᾶ τῶν Μήλων ἐξκουσσεῦον αὐτόν †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Μανουὴλ Κοντοφρέ. τὸ μέρος τῆς σεβασμίας μονῆς τῶν Λέμβων ἀνέφερε τῇ βασιλείᾳ μου, ὅτι καὶ ἔτι ζητεῖς τὰ νομίσματα τῶν πλωΐμων ἀπὸ τοῦ ὑπ' αὐτὴν χωρίου τῶν Μήλων, καὶ οὐκ ἐᾷς αὐτὸ ἀδιάσειστον κατὰ τὸν πρὸ ὀλίγου ἀποσταλέντα σοι ὁρισμὸν τῆς βασιλείας μου, καὶ θαυμάζει ἡ βασιλεία μου, πῶς ποιεῖς τοῦτο καὶ παραθεωρεῖς τὰ παρὰ τῆς βασιλείας μου ὁριζόμενά σοι. ἐπιφωνηματικῶς γοῦν σοι διορίζεται ἡ βασιλεία μου, ὡς ἂν μηδόλως ἑλκύσῃς τὸ τοιοῦτον χωρίον εἰς τὴν τῶν πλωΐμων δόσιν, ἀλλὰ ἔασον τοῦτο ἀνώτερον τῆς τοιαύτης δόσεως. ἀνέμαθε δὲ ἡ βασιλεία μου,

ὅτι καὶ τὰ πρόβατα τῆς μονῆς τῆς δηλωθείσης καὶ τοῦ χωρίου τοῦ ῥηθέντος ἐμέτρησας καὶ ζητεῖς ἐννόμιον. διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν μηδόλως ἑλκύσῃς τὸ μέρος τῆς μονῆς ἢ τὸ χωρίον εἰς δόσιν ἐννομίου. τὸ γὰρ τῆς μονῆς μέρος χρυσόβουλλον τῆς βασιλείας μου κέκτηται ἐπὶ ἐξκουσσείᾳ τῶν τοιούτων πάντων, καὶ μὴ εἰς μάτην ὀχλῇς αὐτό. ἀντίστρεφον δὲ τῷ μέρει τῆς μονῆς καὶ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου ἐπὶ τῷ προσεῖναι αὐτῇ καὶ εἰς τὸ ἑξῆς εἰς ἀσφάλειαν †.

† Εἶχε τό. μηνὶ μαΐῳ ἰνδ. ιγ΄ δι᾽ ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός, εἶχε δὲ καὶ κηρίνην βούλλαν διὰ τοῦ βασιλικοῦ δακτυλίου καὶ τὸ· διὰ τοῦ Τορνίκη Δημητρίου †.

CLVII. Sine anno, mense aprili, ind. X.

Imperator inquilinos Melorum eximit tributis navalibus.

† Ἕτερον πρόσταγμα δωρεαστικὸν χάριν τῶν εἰς τὰ Μῆλα ἑνὸς ἡμίσεος πλωΐμων †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος των Θρακησίων, κῦρ Μανουὴλ Κοντοφρέ· ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῶν Λέμβων, αναδραμὼν εἰς τὴν βασιλείαν μου, ὑπέδειξεν αὐτῇ τὰ προσόντα τῇ κατ᾽ αὐτὸν μονῇ χρυσόβουλλα τῆς βασιλείας μου, ἃ καὶ διαλαμβάνουσιν, ἀνωτέρους διατηρεῖσθαι καὶ τοὺς ἐν τῷ χωρίῳ τὰ Μῆλα προσκαθημένους παροίκους αὐτῆς ἀπὸ τῆς τῶν πλωΐμων δόσεως. ἐπετέθη γοῦν τοῦτο ἀρτίως ἐπὶ τοῖς ἑκατὸν πεντήκοντα πλωΐμοις, πλώϊμος εἷς πρὸς τῷ ἡμίσει. καὶ διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν ἐάσῃς τοὺς τοιούτους παροίκους ἀνενοχλήτους ἀπὸ τῆς τοιαύτης τῶν πλωΐμων δόσεως, καὶ ἵνα σοι δεχθῇ ὁ τοιοῦτος εἷς πρὸς τῷ ἡμίσει πλώϊμος, δι᾽ ἐμφανείας ἀρχιερατικοῦ σημειώματος, προβησομένου ἐξ ὁμολογίας τοῦ μέρους τῆς τοιαύτης μονῆς. τὸν μέντοι παρόντα τῆς βασιλείας μου ὁρισμὸν ἀντίστρεφον τῷ μέρει τῆς τοιαύτης μονῆς, ἵνα ἐμφανίζῃ τοῦτον καὶ τοῖς κατὰ καιροὺς ποιουμένοις τὴν τῶν πλωΐμων ἐξέλασιν, καὶ ποιῶσι καὶ οὗτοι κατὰ τὴν τούτου περίληψιν †.

† Εἶχε τό· μηνὶ ἀπριλλίῳ ἰνδ. δεκάτης δι᾽ ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLVIII. Sine anno et mense.

Imperator possessiones monasterii eximit tributis.

I. † Ἕτερον πρόσταγμα, ἐξκουσσεῦον τὰ κτήματα τῆς μονῆς ἀπὸ τῆς ἐκβολῆς τῶν κονταράτων καὶ λοιπῶν δόσεων †.

† Βεστιαρῖτα τῆς βασιλείας μου, Στρογγύλε Στυππειῶτα. τὸ μέρος τῆς κατὰ τὸ ὄρος τοῦ Λέμβου σεβασμίας μονῆς τῆς βασιλείας μου ἀνήνεγκε τῇ βασιλείᾳ μου, ὡς ζητεῖς ἀπὸ τῶν κτημάτων αὐτῆς κονταράτους καὶ ζευγοαμάξια, ἐπίσης τῇ λοιπῇ χώρᾳ τῆς βασιλείας μου. καὶ ἡ βασιλεία μου οὐχ ὥρισέ σοι, ἵνα ἀπαιτήσῃς ἀπὸ τῶν κτημάτων τῆς τοιαύτης μονῆς κονταράτους. ἅπαξ γὰρ ἀπέκοψε ταύτην ἡ βασιλεία μου καὶ τὰ κατ' αὐτὴν κτήματα ἀπὸ τῆς χώρας, καὶ οὐκ ἔχει τινὰ μετόχια εἰς τὸ συμπλημμελεῖν μετὰ τῆς χώρας. καὶ διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν μηδόλως ἐξελάσῃς ἀπὸ τῶν κτημάτων τῆς τοιαύτης μονῆς κονταράτους ἢ ζευγαμάξια ἢ ἄλλο τι τὸ τυχόν, καθὼς ποιεῖς ἐπὶ τῇ λοιπῇ χώρᾳ, ἀφ' ἧς ὡρίσθης ἐξελάσαι κονταράτους, ἀλλ' ἀπέχῃς τέλεον ἐξ αὐτῆς καὶ τῶν ταύτης κτημάτων. ηὐδόκησε γὰρ οὕτω τὰ περὶ τούτου ἡ βασιλεία μου. ἀλλὰ ποίησον ἀπροφασίστως κατὰ τὸν παρόντα τῆς βασιλείας μου ὁρισμόν, ὃν καὶ ἀντίστρεφον τῷ μέρει τῆς δηλωθείσης μονῆς εἰς ἀσφάλειαν †.

II. † Εἶχε τό· μηνὶ νοεμβρίῳ ἰνδ. ια' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. † Ἕτερον πρόσταγμα, ἐξκουσσεῦον τοὺς πλωΐμους τῶν κτημάτων τῆς μονῆς, ὡς καὶ πρότερον †.

† Πανσέβαστε, σεβαστὲ κῦρ Ἰσαάκιε Λεβούνη καὶ ὑμεῖς οἱ ποιοῦντες τὴν ἐξέλασιν τῶν πλωΐμων ἐν τῷ κατεπανικίῳ τῆς Σμύρνης. ἀνέμαθεν ἡ βασιλεία μου, ὅτι ἐθήκατε εἰς τὸ χωρίον τὰ Μῆλα τὸ ὑπὸ τὴν σεβασμίαν μονὴν τῆς βασιλείας μου τῶν Λέμβων πλώϊμον ἕνα ἥμισυ, καὶ ἐὰν οὕτως ἔχῃ, οὐκ ἐποιήσατε τοῦτο καλόν, τὸ γὰρ τοιοῦτον χωρίον πρὸ χρόνων ἐδωρήσατο τῇ μονῇ, καὶ ἔκτοτε μέχρι

τοῦ νῦν οὐδ' ἔδωκε εἰς τὴν τῶν πλωΐμων δόσιν ἢ εἰς ἑτέραν ζημίαν κατὰ χώραν ἐπελθοῦσαν. νῦν οὖν πῶς τεθείκατε αὐτῷ ὑμεῖς εἰς τὴν τοιαύτην δόσιν τῶν πλωΐμων; διορίζεται οὖν ὑμῖν ἡ βασιλεία μου, ὡς ἂν τὸ μὲν τοιοῦτον χωρίον ἐάσητε ἀκαταζήτητον ἀπὸ τῆς τῶν πλωΐμων δόσεως, τὸν δὲ τοιοῦτον ἕνα ἥμισυ πλώϊμον ἵνα ἀναλάβητε ἀπὸ τοῦ ὑσπητίου τοῦ τὰς καταθέσεις ποιοῦντος Φαγομοῦ . . . καὶ οὕτως ἵνα ἀπομάθῃ τὸ τιθέναι εἰς τὰς ζημίας τὰς κατὰ χώραν ἐπερχομένας τὸ χωρίον τῆς μονῆς τῆς βασιλείας μου, ὃν μετὰ τὸ ἐμφανισθῆναι ὑμῖν ἀντιστρέψατε τῇ μονῇ ἐπὶ τῷ προσεῖναι αὐτῇ εἰς ἀσφάλειαν. Εἶχε τό· μηνὶ μαΐῳ ἰνδικτιῶνος ὀγδόης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

III. † Ἕτερον πρόσταγμα, διορίζον καὶ τὸ τοιοῦτον διὰ τῶν πλωΐμων, ὡς ἐξκουσσεῦον τὰ τῆς μονῆς †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Μανουὴλ Κοντοφρέ. ἐπεὶ οὐδέποτε ἐδόθησαν ἀπὸ τῆς σεβασμίας μονῆς τῶν Λέμβων πλώϊμοι χάριν τῶν προσόντων αὐτῇ παροίκων, ἐξότου ἐπεχορηγήθη ταύτῃ τὸ τῆς βασιλείας μου χρυσόβουλλον, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν μηδόλως ἐνοχλήσῃς αὐτῇ χάριν τῆς τῶν πλωΐμων δόσεως, ἀλλὰ ἐάσῃς αὐτὴν ἀνενόχλητον πάντη καὶ ἀδιάσειστον κατὰ τὴν περίληψιν τοῦ προσόντος αὐτῇ χρυσοβούλλου τῆς βασιλείας μου. μᾶλλον μὲν οὖν ἐπίβλεπε καὶ τὴν τοιαύτην μονήν, καὶ δεφένδευε αὐτὴν ἀπὸ τοῦ πειραθησομένου ὁτεδήποτε ἀδικῆσαι αὐτὴν ἐφ' οἷς ἔχει †.

IV. † Εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. ιγ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

IV. † Ἕτερον πρόσταγμα, διορίζον καὶ τοῦτο ἐπὶ τῶν πλωΐμων †.

† Ὁ ποιούμενος τὴν ἐξέτασιν τῶν πλωΐμων, βεστιαρῖτα τῆς βασιλείας μου, . . . βατᾶ. τὸ μέρος τῆς σεβασμίας μονῆς τῶν Λέμβων

ἀνήνεγκε τῇ βασιλείᾳ μου, ὅτι ζητεῖς ἐξ αὐτοῦ πλώϊμον ἕνα πρὸς τῷ ἡμίσει, καὶ οὐκ εἶχε συνήθειάν ποτε ἡ τοιαύτη μονὴ διδόναι τι χάριν τοῦ τοιούτου κεφαλαίου τῶν πλωΐμων, κατεκράτησαν δὲ διὰ τοῦτο τὰ ζῷα τῆς τοιαύτης μονῆς. καὶ πῶς τοῦτο ποιεῖς καὶ ζητεῖς παρὰ τὴν συνήθειαν ἐξ αὐτῆς πλωΐμους; ὅθεν γοῦν ἐδίδοντο κατέτος, ἐκεῖθεν πάλιν ὀφείλεις σὺ ἐπαρεῖν τοὺς πλωΐμους. διορίζεται γοῦν σοι ἡ βασιλεία μου ἐπιφωνηματικῶς, ὡς ἂν μηδόλως ἑλκύσῃς τὴν τοιαύτην μονὴν εἰς δόσιν πλωΐμων, ἀλλ' ἐάσῃς τὸ καθόλου ἀδιάσειστον, ἐπεὶ οὐδέποτε δέδωκε τὸ τυχὸν χάριν τοῦ κεφαλαίου τῶν πλωΐμων. ἀπολύσῃς δὲ πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς καὶ τὰ ζῷα, ἅπερ ἀφεῖλου ἐξ αὐτῆς καὶ κρατεῖς. ποίησον οὖν ἀπροφασίστως κατὰ τὸν παρόντα τῆς βασιλείας μου ὁρισμόν, καὶ μὴ θελήσῃς ἄλλοτε ὀχληθῆναι περὶ τούτου τὴν βασιλείαν μου. τινὰ γοῦν πρόφασιν μὴ εὑρήσεις διὰ τοῦτο καὶ λείψῃ τις ἀπὸ τῶν πλωΐμων· ἡ γὰρ τοιαύτη μονὴ ποτὲ οὐκ ἐδίδου πλώϊμον, καὶ ἡ χώρα ἐδίδου κατ' ἔτος τοὺς πλωΐμους ἐξ ἀκεραίου †.

† Εἶχε τό· μηνὶ ἰουνίῳ ἰνδ. ἑβδόμης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

V. † Ἕτερον πρόσταγμα περὶ τοῦ ἐννομίου τῶν ζῴων τῆς μονῆς καὶ τῶν παροίκων αὐτῆς †.

† Ὁ ποιῶν τὴν δουλείαν τῆς ἀπογραφῆς ἐν τῷ κατεπανικίῳ Σμύρνης, Ἰωάννη Κωνστομάρη· ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Λέμβων ἀνήνεγκε τῇ βασιλείᾳ μου, ὅτι εἰσῆλθες καὶ ἐμέτρησας τὰ πρόβατα τῆς μονῆς καὶ τῶν παροίκων αὐτῆς καὶ τῶν μετοχίων, καὶ ζητεῖς ἐννόμιον, καὶ ἐπεὶ διὰ χρυσοβούλλου τῆς βασιλείας μου ἐξκουσσεύει ἡ μονὴ μετὰ τῶν ἄλλων καὶ τὸ ἐννόμιον τῶν προβάτων αὐτῆς ὡς ῥητῶς ἀναταττόμενον ἐν αὐτῷ, διατηρήσῃς τὴν μονὴν ἀνενόχλητον καὶ ἀκαταζήτητον ἀπὸ τῆς τοῦ ἐννομίου δόσεως κατὰ τὴν περίληψιν τῶν χρυσοβούλλων. ἀντίστρεψον δὲ τῇ μονῇ καὶ τὸν παρόντα τῆς βασιλείας μου ὁρισμὸν μετὰ τὸ ἐμφανισθῆναί σοι †.

† Εἶχε τό· μηνὶ μαρτίῳ ἰνδ. ια' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLIX. Sine anno, mense iulio, ind. IV.

Imperator monasterio donat quindecim hyperpyra.

† Ἕτερον πρόσταγμα διὰ τῶν δεκαπέντε ὑπερπύρων τῶν ἀπὸ τῆς περισσείας τῶν τῆς μονῆς κτημάτων καὶ παραδοθέντων πάλαι †.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, Ἰωάννη Συρόπουλε. ἡ βασιλεία μου διορίζεταί σοι, ὡς ἂν ἀπὸ τῆς περισσείας τῶν ὑπερπύρων τῆς εὑρεθείσης ἀπὸ τῆς ἀπογραφῆς σου εἰς τὰ κτήματα τῆς σεβασμίας μονῆς τῶν Λέμβων παραδώσεις πρὸς τὴν αὐτὴν μονὴν τὰ δεκαπέντε ὑπέρπυρα, τὰ δὲ ἐπίλοιπα οἰκονομήσῃς τελεῖσθαι παρὰ τῆς διαληφθείσης μονῆς εἰς τὸ τῆς βασιλείας μου βεστιάριον. ποίησον οὖν, καθώς σοι ἡ βασιλεία μου διορίζεται, ἀντίστρεψον δὲ καὶ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου τῇ ἀναγεγραμμένῃ μονῇ τῆς βασιλείας μου δι' ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ ἰουλίῳ ἰνδ. δ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLX. Sine anno, mense iunio, ind. XIV.

Imperator tuetur iura monasterii.

† Ἕτερον πρόσταγμα διὰ τὰς ἀδικίας καὶ δυναστείας, ἃς εἶχεν ἡ μονὴ ἀπὸ τῶν κτημάτων τοῦ μεγάλου δρουγγαρίου τοῦ Γαβαλᾶ καὶ τῶν Ταρχανειωτῶν †.

† Οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Γεώργιε Καμμυτζοβούκη· τὸ μέρος τῆς κατὰ τὸ Νύμφαιον διακειμένης σεβασμίας μονῆς τῆς βασιλείας μου τῶν Λέμβων ἐπικεκλημένης ἀνέφερε τῇ βασιλείᾳ μου, ὡς διό εἰσι τὰ κτήματα τῆς μονῆς πλησίον τῶν κτημάτων τοῦ πανσεβάστου μεγάλου δρουγγαρίου τοῦ θεοσώστου στόλου τῆς βασιλείας μου, τοῦ Γαβαλᾶ, καὶ τῶν Ταρχανειωτῶν, εὑρίσκουσιν οὐκ ὀλίγην ἀδικίαν ἐξ αὐτῶν. εἰσέρχονται γὰρ ἀμετόχως καὶ ἄνευ εἰδήσεως τῶν μοναχῶν, καὶ κατασπέρουσι τὰ τούτων χωράφια εἰς τὸ διδόναι δῆθεν πρὸς τοὺς μοναχοὺς μορτήν, καὶ ἁρπάζουσι τὰ ἅπερ ἔχουσιν οὗτοι διά τε χρυσοβούλλου τῆς βασιλείας μου καὶ ἀπογραφικῶν ἀποκαταστάσεων. καὶ ἐδεήθη περὶ

τούτου τῆς βασιλείας μου, ὅθεν καὶ διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν τηρήσῃς τὸ πρακτικὸν τῆς μονῆς, ἀλλὰ δὴ καὶ τὸ χρυσόβουλλον, καὶ οἰκονομήσῃς, ἵνα μὴ εὑρίσκῃ ἀδικίαν ἢ δυναστείαν ἢ ὄχλησιν παρά τινος εἰς ταῦτα, ἀλλὰ κατέχειν αὐτὰ ἀνενοχλήτως, τὸ δὲ μέρος τοῦ πανσεβάστου μεγάλου δρουγγαρίου τοῦ θεοσώστου στόλου τῆς βασιλείας μου, ἀλλὰ δὴ καὶ τῶν Ταρχανειωτῶν ἐπιφωνήσῃ ἀπέχειν τέλεον τοῦ ἀδικεῖν καὶ πλεονεκτεῖν τὴν μονὴν εἰς τὰ κτήματα αὐτῆς ἢ κατακάμνειν χωράφια ταύτης, μὴ βουλομένων τῶν μοναχῶν. ποίησον οὖν κατὰ τὸν παρόντα τῆς βασιλείας μου ὁρισμόν, καὶ δεφένδευε τοὺς μοναχοὺς εἰς τὸ μὴ εὑρίσκειν ἀδικίαν ἢ ἁρπαγὴν ἢ πλεονεξίαν εἰς τὰ κτήματα αὐτῶν, ὅπως ποιῶσι τοῦτο καὶ οἱ μετὰ σὲ διενεργήσοντες, τῇ ἐμφανείᾳ τοῦ παρόντος ὁρισμοῦ τῆς βασιλείας μου †.

† Εἶχε τό· μηνὶ ἰουνίῳ ἰνδ. ιδ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLXI. Sine anno, mense februário, ind. II.

Imperator iubet incolas Barae subiectos et tributarios esse monasterio.

† Πρόσταγμα διὰ τοὺς ἐποίκους τῆς Βάρης ὡς ἀπειθῶν ὄντων ἵνα ζημιωθῶσι †.

† Ἐπεὶ ὑπεμνήσθη τῇ βασιλείᾳ μου παρὰ τῶν μοναχῶν τῶν ἐν τῇ μονῇ τοῦ Λέμβου ἀσκουμένων, ὡς οἱ ἔποικοι τοῦ χωρίου Βάρης, ὅπερ ἔχουσι διὰ χρυσοβούλλων τοῦ τε ἀοιδίμου βασιλέως καὶ θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, καὶ διὰ χρυσοβούλλου τῆς βασιλείας μου, ἔτι δὲ καὶ δι' ὁρισμῶν διαφόρων καὶ πρακτικῶν, ὧν ἐποίησε τούτοις ὁ Ἀϊτάνης καὶ ὁ Σβάδεος, οὐ πείθονται τοῖς τοιούτοις μοναχοῖς, καὶ τὸ ἀνῆκον τέλους χάριν καταβάλλειν οὐ θέλουσιν. ἔτι δὲ πρὸς τῷ μὴ τοῦτο διδόναι τοὺς τοιούτους κωλύουσι καὶ τοὺς ἀπὸ ξένης ἐλθόντας καὶ ἐκεῖσε προσκαθίσαντας εὐγνωμόνως διδόναι τὸ ἀνῆκον αὐτῇ, οὔτε δὲ τῇ συνήθει ἀγγαρείᾳ ὑποκεῖσθαι θέλουσιν, οὔτ' ἄλλο τι ποιεῖν ἐθέλουσι τῶν ὅσα ὑπὸ παροικίαν τελούντων ποιοῦσιν, ἡ βασιλεία μου τῶν μοναχῶν ἀκροασαμένη καὶ ὡς εὔλογον τὴν τούτων αἴτησιν προσηκαμένη, διορίζεται διὰ τῆς παρούσης προστάξεως, ὑποκεῖσθαι τοὺς τοιούτους χωρίου Βάρης ἐποίκους τῇ μονῇ τῶν Λέμβων καὶ διδόναι πρὸς αὐτοὺς τὸ ἀνῆκον τέλος, τὴν

συνήθη ἀγγαρείαν, καθὰ καὶ πρότερον, καὶ ἄλλο εἴ τι ἀνήκει τῇ τοιαύτῃ μονῇ, εὐγνωμόνως καὶ ὁλοπροθύμως. εἰ δ' οὖν, ὀφείλει ὁ ἐνεργῶν τὸ θέμα τῶν Θρακησίων δικαίῳ τοῦ δημοσίου ποιεῖν εἰς τοὺς τοιούτους χωρίτας ἀξίαν παίδευσιν καὶ ἀναγκάζειν εἰς τὸ καὶ ἄκοντας ὑποκεῖσθαι τοῖς μοναχοῖς καὶ τὸ ἀνῆκον διδόναι αὐτοῖς. ἐπεὶ δὲ στρατείας γινομένης πρὸ καιροῦ ἔφθασαν οἱ τοιοῦτοι ἔποικοι Βάρης δανείσασθαι ἀπὸ τοῦ μέρους τῶν τοιούτων μοναχῶν ὑπέρπυρα ἐξάγια πεντηκονταπέντε, καὶ τῆς τούτων ἀποδόσεως οὐδόλως μνείαν πεποίηνται, διορίζεται ἡ βασιλεία μου διὰ τῆς παρούσης προστάξεως, ὡς ἂν ἀποδώσουσι καὶ ταῦτα τῷ μέρει τῆς μονῆς κατὰ τὸ ἀπαράλειπτόν τε καὶ ἀκολόβωτον, εἰ μὴ βούλονται πρὸς τῷ καὶ ἀφαίρεσιν ὑποστῆναι τῶν τοιούτων νομισμάτων καὶ ζημίαν πλείονα παθεῖν. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμὸς τῷ μέρει τῆς τοιαύτης μονῆς εἰς ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ φευρουαρίῳ ἰνδ. δευτέρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLXII. Sine anno, mense martio, ind. V.

Imperator iura et possessiones monasterii tuetur.

† Πρόσταγμα, ἀποτρέπον πάντας τοὺς ὡς πλησιαστὰς τῶν τῆς μονῆς κτημάτων καὶ ἀδικοῦντας ταῦτα †.

† Οἰκεῖε γραμματικὲ τῆς βασιλείας μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, Φωκᾶ Αὐτωρειανέ. οἱ μοναχοὶ τῆς κατὰ τὴν Σμύρνην σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τοῦ Λέμβου ἀνέφερον, ὅτι τινὰ κτήματα προσωπικὰ καὶ ἀρχοντικὰ πλησιάζουσι τοῖς μετοχίοις αὐτῶν, περιφρονοῦντες δὲ οἱ κατέχοντες τὰ τοιαῦτα κτήματα καταπλεονεκτοῦσι καὶ ἀδικοῦσι τὰ τοιαῦτα μετόχια τῆς κατ' αὐτοὺς τοιαύτης σεβασμίας μονῆς, καὶ ἐπάγουσιν αὐτῇ οὐκ ὀλίγην ἐπίθεσιν καὶ ζημίαν, ἁρπάζοντες καὶ ἰδιοποιούμενοι εἴ τι βούλονται ἀπὸ τῶν ἀνηκόντων αὐτοῖς δικαίων, ὑπὲρ οὗ καὶ παρεκλήτευσαν τὴν βασιλείαν μου, ἥτις καὶ διορίζεταί σοι, ὡς ἄν, εἴπερ ἔνι τοι-

οὗτον, ἀναδέξῃ τοὺς τοιούτους μοναχοὺς καὶ οἰκονομήσῃς, ἵνα μὴ εὑρίσκωσι παρά τινος τῶν τοιούτων καταδυναστείαν τινὰ καὶ ἐπίθεσιν ἐπὶ τοῖς διαφέρουσιν αὐτοῖς δικαίοις, ἀλλὰ διατηρῶνται χάριν τούτου ἀνενόχλητοι καὶ ἀδιάσειστοι, μὴ παραχωρῶν καταπλεονεκτεῖσθαι παρά τινος καὶ ὑφίστασθαι ἁρπαγήν τινα καὶ καινοτομίαν εἰς τὰ προσόντα τούτοις, ἀλλὰ διεφενδεύων καὶ περιέπων αὐτοὺς καὶ ἀποσοβῶν ἐκεῖθεν τὸν βουλόμενον περιφρονεῖν καὶ διασείειν αὐτούς. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεφον πρὸς αὐτοὺς δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ νοεβρίῳ ἰνδ. τετάρτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLXIII. Sine anno, mense martio, ind. V.

Imperator monachos tuetur contra iniurias inquilinorum Neostongi.

† Ἕτερον πρόσταγμα διοριζόμενον περὶ τῶν ἀδικιῶν καὶ ἁρπαγῶν καὶ κακώσεων τῶν παροίκων τοῦ Παρακοιμωμένου †.

† Οἰκεῖε γραμματικὲ τῆς βασιλείας μου, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, Φωκᾶ Αὐτωρειανέ. οἱ ἐν τῇ σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τοῦ Λέμβου ἀσκούμενοι μοναχοὶ ἀνέφερον, ὡς διὸ εὑρίσκεται τὸ κτῆμα τῆς ὑπ' αὐτοὺς τοιαύτης σεβασμίας μονῆς τὸ λεγόμενον ἡ Βάρη ἔχον πλησιασμὸν μετὰ τοῦ χωρίου τοῦ θείου τῆς βασιλείας μου τοῦ παρακοιμωμένου τῆς μεγάλης σφενδόνης, κυροῦ Ἰωάννου Δούκα τοῦ Νεοστόγγου, τοῦ ἐπιλεγομένου Πρινοβάρεος, οὐκ ὀλίγας ὑφίστανται τὰς ἀδικίας καὶ κακώσεις παρὰ τῶν ἐν αὐτῷ προσκαθημένων παροίκων αὐτοῦ. πρὸ χρόνων ἀπῆλθόν τινες ἀπὸ τούτων εἰς τὴν μάνδραν τῶν ζῴων τῆς τοιαύτης μονῆς, καὶ ἀπῄτουν ἀπὸ τοῦ εὑρισκομένου ἐκεῖσε μοναχοῦ τυρία, καὶ διὸ οὐ δέδωκέ τι πρὸς αὐτούς, ἔκρουσαν αὐτῷ ῥάβδῳ κατὰ κεφαλῆς, καὶ παραυτίκα ἐτελεύτησε. μεθ' ἡμέρας δὲ πάλιν τινὰς ἐποίησαν οἱ τοιοῦτοι πάροικοι ὁδὸν μέσον τοῦ ἀμπελῶνος τῆς αὐτῆς μονῆς, ὅθεν καὶ ἀπῆλθεν ὁ τότε ἡγουμενεύων μετὰ τῶν μοναχῶν, καὶ διὸ ἐλάλησεν, ἔδωκαν αὐτῷ μετὰ λαντζονίου. εἶτα ἔδηραν τὸν ἱερομόναχον Γρηγόριον, ὡσαύ-

τως τὸν οἰκονόμον τῆς τοιαύτης μονῆς, ὥστε ἐτραυμάτισαν καὶ τὴν χεῖρα αὐτοῦ, καὶ εὑρίσκεται εἷς τῶν δακτύλων αὐτοῦ ἀργῶν. ἤδη δὲ πάλιν πρὸ ὀλίγου εἰσῆξαν νυκτὸς τὰ ζῷα αὐτῶν εἰς νομὴν τῶν χωραφίων τῆς μονῆς, καὶ διὸ ἐλάλησαν οἱ μοναχοί, ἐποίησαν ἔνεδραν καὶ ἐκράτησαν καὶ ἔτυψαν σφοδρῶς ἕνα ἐξ αὐτῶν. καὶ ἐδεήθησαν τούτου χάριν τῆς βασιλείας μου, ἥτις καὶ ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς ἂν ἀπέλθῃς καὶ ἐπιστῇς τῷ τόπῳ καὶ τηρήσῃς τὰ περὶ τούτου. καὶ ἐὰν εὕρῃς ἀφ' ὧν ἀνέφερον οἱ τοιοῦτοι μοναχοὶ τρεῖς ἢ καὶ τέσσαρας ὑποθέσεις ἀληθεῖς, κρατήσῃς τοὺς τοιούτους παροίκους τοῦ εἰρημένου θείου τῆς βασιλείας μου, τοῦ παρακοιμωμένου τῆς μεγάλης σφενδόνης, καὶ ἀφέλῃ ἀπὸ τούτων ζημίαν ἀξίαν καὶ εἰσκομίσῃς τὸ ἀπὸ τούτου εἰς τὸ θεοφρούρητον βεστίαριον, ὅπως παιδευθῶσι τιμᾶν τὸ μοναχικὸν τάγμα καὶ φυλάσσειν ἀνενοχλήτους τοὺς γειτονοῦντας αὐτοῖς. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου †.

† Εἶχε τὸ· μηνὶ μαρτίῳ ἰνδ. πέμπτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός†.

CLXIV. Sine anno, mense martio, ind. V.

Clerici metropolis Smyrnae controversiam inter monasterium et Neostongum examinant.

† Σημείωμα ἐκκλησιαστικὸν κατὰ τῶν ἀδικημάτων καὶ κακουργημάτων τῶν παροίκων τοῦ παρακοιμωμένου τοῦ Νεοστόγγου, παριστῶν γενέσθαι τὰ πάντα εἰς ἀλήθειαν ὑπ' αὐτῶν †.

† Μηνὶ ἀπριλλίῳ ἰνδ. πέμπτης. † Ὁ οἰκεῖος τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, δοὺξ τοῦ θέματος τῶν Θρακησίων, κῦρ Φωκᾶς ὁ Αὐτωρειανός, γραφὴν προκεκόμικε τοῖς τιμιωτάτοις κληρικοῖς καὶ ἄρχουσι τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, τοῦ πανυπερτίμου μητροπολίτου Σμύρνης, παραδηλοῦσαν ἡμῖν συναφικέσθαι αὐτῷ ἀναμφιβόλως, ἔνθα ὡρίσθη διὰ θείου καὶ βασιλικοῦ προσκυνητοῦ προστάγματος ἐν τῷ χωρίῳ τῆς Πρινοβάρεος καὶ τηρῆσαι τὴν μέσον ὑπόθεσιν τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῶν Λέμβων καὶ τοῦ πανευγενεστάτου δούκα καὶ παρακοιμωμένου τῆς μεγάλης σφενδόνης τοῦ Νεοστόγγου, καὶ

μετὰ τὴν ἐξέτασιν τῆς ἐνούσης αὐτῶν ὑποθέσεως τὰ εἰς ἀλήθειαν μαρτυρηθέντα καὶ ἀποφανθέντα ἐνώπιον τῶν μερῶν ἀμφοτέρων ποιήσωσι διὰ σημειώματος καὶ παραδώσωσι τὸ ἀδικούμενον μέρος. ὅθεν καὶ κατὰ τὴν δεσποτικὴν ἡμῶν καὶ σεβασμίαν γραφὴν συναπήλθομεν τῷ τοιούτῳ εὐγενεστάτῳ δουκί, ὅ τε μέγας σακελλάριος, ὁ σκευοφύλαξ, ὁ σακελλίου, ὁ πρωτέκδικος, ὁ πρωτονοτάριος καὶ ὁ πρωτοπαπᾶς, καὶ ἄμφω συνεδριασθέντες ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ τῆς ἐπ' ὀνόματι ἱδρυμένῃ τοῦ τιμίου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου· παρῆσαν καὶ οἱ εὐλαβέστατοι μοναχοὶ τῆς δηλωθείσης μονῆς, ὁ τὰ δίκαια ἐπέχων τοῦ καθηγουμένου, κὺρ Γερμανός, ὁ ἐκκλησιάρχης, ὁ οἰκονόμος τῆς αὐτῆς μονῆς καὶ οἱ ἕτεροι, καὶ ἀπὸ τοῦ μέρους τοῦ παρακοιμωμένου ὁ ἱερεὺς αὐτοῦ, ὁ ἐνεργῶν δικαίῳ πράκτωρ ὁ Θελολίτης Ἰωάννης, ὁ υἱὸς τοῦ παπᾶ Μιχαήλ, Γεώργιος ὁ τοῦ Μάγκιπος καὶ ἕτεροι, ἀλλὰ καὶ ἀπὸ τοῦ μέρους τοῦ πανευγενεστάτου Κομνηνοῦ τοῦ Ῥαοὺλ κρείττονες οὗτοι· ὅ τε Δαλεορηνὸς Ταλέας, ὁ Καλοειδᾶς καὶ ἐγχώριοι οὐκ ὀλίγοι. καὶ πρῶτα μὲν ὑπανεγνώσθη τὸ θεῖον καὶ βασιλικὸν πρόσταγμα, ὃ οἱ μοναχοὶ ἐξ ἀναφορᾶς ἐπορίσαντο, εἰς ὃ δὴ καὶ ἀριδηλοτέρως αἱ ὑποθέσεις διελάμβανον, ἃς καὶ εἰς μέσον προτείναντες εἰς ἐξέτασιν πεποιήκαμεν ταύτας. καὶ οἱ μὲν μοναχοὶ εἰς βεβαίωσιν τούτων σαφῶς ὑπεμίμνησκον τόν τε καιρὸν καὶ αὐτὴν τὴν ἡμέραν, παριστῶντες καὶ μάρτυρας, καὶ οὐ μόνον τὰς ἐν τῷ βασιλικῷ προσκυνητῷ ὁρισμῷ διαλαμβανομένας ὑποθέσεις ὑπέδειξαν εἶναι ἀληθεῖς, ἀλλὰ καὶ ἑτέρας πλείονας, δι' ἃς ὑπέστησαν καὶ κακώσεις καὶ ζημίας οὐ φορητάς, ἐξ ὧν καὶ ὀλίγας ἀπομνημονεύσωμεν. Μιχαὴλ ὁ Καλόφας καὶ Θεόδωρος ὁ Ἀρμένης ἐντὸς τοῦ ἀμπελίου τῆς μονῆς ἔδωκαν τῷ ἡγουμένῳ μετὰ λαντζονίου, εἶτα ἔδηραν τὸν μεγαλόσχημον Ἰάκωβον, τὸν καὶ οἰκονόμον, τὸν μεγαλόσχημον καὶ ἱερομόναχον Γρηγόριον, τὸν καὶ ἐκκλησιάρχην, ὡσαύτως καὶ τὸν μακάριον οἰκονόμον τὸν Κρουλληνόν. Βασίλειος ὁ Πονηρὸς ἐτόξευσεν ἄλογον Νικολάου τοῦ Πιλάτου, καὶ παραυτίκα ἐφόφησε, τιμῆς ὃν ὑπερπύρων δεκαοκτώ. ἐτρύπησαν τὴν ἀποθήκην τοῦ μοναστηρίου καὶ ἔκλεψαν ἔλαιον, ἐλαίας καὶ σῖτον, καὶ εὑρόντες τοὺς κλέπτας ἔφερον αὐτοὺς εἰς τὸν ἔνοχον αὐτῶν, καὶ οὐ μόνον ὅτι οὐκ ἐπαίδευσεν αὐτούς, ἀλλὰ καὶ ἐδεφένδευσε, καὶ τοὺς μοναχοὺς ὑβρίσας ἐδίωξε. κατερχόμενος Νικόλαος ὁ Μαγκούφης ἀπὸ τῆς μονῆς ἐκράτει ἔλαιον λίτρας τριά-

κοντα, καὶ εὑρὼν αὐτὸν Βαλσαμὼν ὁ Ξολέας ἔκρουσε τὸ ἀγγεῖον καὶ ἀπώλετο τὸ ἔλαιον. περὶ οὗ καὶ ἀναφέροντες τῷ παρακοιμωμένῳ εἰς οὐδὲν ἐλογίσατο. κατὰ τὸν αὔγουστον μῆνα κατέκαυσαν τὰ τῆς μονῆς ἀμπέλια, καὶ προσκαλεσάμενοι οἱ μοναχοὶ τοὺς οἰκοδεσπότας τὴν μὲν ζημίαν εἶδον οἰκείοις ὀφθαλμοῖς, οὐκ ἔδωκαν δέ τι, μεθ' οὗ Νικόλαος ὁ τοῦ Πέτρου κατέλυσε καὶ αὐτὸς τὸ ἀμπέλιον, καὶ εἶπον αὐτῷ, ὡς ὥρμησεν ἐπάνω τῶν μοναχῶν μετὰ μαχαίρας. ταῦτα οὖν ἀναλεξάμενοι οἱ μοναχοὶ ὑποσημαίνοντες ἑκάστης ὑποθέσεως τὸν καιρὸν, οἱ τοῦ παρακοιμωμένου δηλούμενοι ἄνωθεν ὑπέκοπτον καὶ μὴ βουλόμενοι καὶ ἐπύθοντο τοῖς ῥήμασι τῶν μοναχῶν ἀληθευόντων. οὕτως οὖν ἐξετασθεισῶν τῶν ὑποθέσεων καὶ παρὰ τῶν μαρτύρων ὁμολογηθέντων τὸ ἀληθὲς ἔχειν ὁ εὐγενέστατος δοὺξ κατὰ τὴν δεσποτικὴν ἡμῶν γραφὴν τοῦ ἁγιωτάτου δεσπότου ἡμῶν τοῦ μητροπολίτου καὶ ὑπερτίμου τὴν σημείωσιν γενέσθαι ἠθέλησε κατὰ τὴν τῆς ἀληθείας διάγνωσιν, ἥτις καὶ γεγονυῖα κατὰ θέλησιν τῶν ἐντὸς δηλουμένων ἐπεδόθη μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις ὑπογραφεῖσα παρ' ἐμοῦ †.

† Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Γεώργιος ὁ Χρυσοβέργης †.

CLXV. Sine anno, mense novembri, ind. VI.

Imperator iura monasterii tuetur.

† Πρόσταγμα δεσποινικὸν εἰς ἐφορείαν πάντων τῆς μονῆς πραγμάτων καὶ κτημάτων καὶ ἀποτροπὴν τῶν βουλομένων διενοχλεῖν αὐτοῖς †.

† Ἐπεὶ ὁ τιμιώτατος καθηγούμενος τῆς κατὰ τὴν Σμύρνην σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς ἐπιλεγομένης τῶν Λέμβων, ἱερομόναχος κῦρ Γεράσιμος, ἐδεήθη τῆς βασιλείας μου ἔφορον εἶναι ταύτης τῆς δηλωθείσης μονῆς, ἡ βασιλεία μου, τοῦτο μὲν, ὡς γονικόθεν διαφερούσης τῇ βασιλείᾳ μου τῆς τοιαύτης μονῆς, ἅτε δὴ τὴν ἀναδόμησιν ἐσχηκυίας παρὰ τοῦ ἀοιδίμου βασιλέως, αὐθέντου καὶ θείου τῆς βασιλείας μου, τοῦτο δὲ καὶ διὰ τὴν ἀξίωσιν καὶ παράκλησιν τοῦ δηλωθέντος καθηγουμένου τῆς τοιαύτης μονῆς, ἀνδρὸς καὶ λόγῳ καὶ ἀρετῇ καὶ γήρᾳ καὶ ἱερωσύνης ἀξιώματι διαπρέποντος,

τὰ τῆς αἰτήσεως ἐκπληροῖ καὶ δέχεται μὲν ἤδη τὴν τῆς τοιαύτης μονῆς ἐφορείαν· εὐδοκεῖ δὲ καὶ διὰ τοῦ παρόντος ὁρισμοῦ διαμένειν ταύτην ἀνενόχλητον πάντη καὶ ἀδιάσειστον ἀπό τε τῶν ἐνεργούντων τὰς δημοσιακὰς δουλείας, κεφαλῶν δηλαδή, δουκῶν, πρακτόρων, ἀπαιτητῶν καὶ τῶν ἄλλως ἀποστελλομένων παρὰ τοῦ αὐθέντου μου τοῦ βασιλέως τοῦ περιποθήτου μου αὐτοκράτορος ἐν τοῖς ἐκεῖσε μέρεσι διά τινας δουλείας, ἐφ' ᾧ καὶ ὀφείλουσιν ἅπαντες οἱ τοιοῦτοι κἂν ὁποῖοι ἄρα καὶ εἶεν, ἐμμένειν τοῖς τε περὶ τῆς τοιαύτης μονῆς ὡρισμένοις παρὰ τοῦ αὐθέντου μου τοῦ βασιλέως διὰ χρυσοβούλλου λόγου τῆς ἁγίας αὐτοῦ βασιλείας, τοῖς τε παρ' αὐτῆς τῆς βασιλείας μου διακελευομένοις. ἴστω γοῦν, ὡς ὁ τολμήσων ὅλως διασεῖσαι τὴν τοιαύτην μονὴν ἤ τι τῶν προσόντων αὐτῇ κτημάτων ἢ χωρῶν ἢ μετοχίων ἢ τινων ἑτέρων δικαίων, κἂν ὁποῖος ἄρα καὶ εἴη, κἂν κεφαλή, κἂν δοὺξ, κἂν πράκτωρ, κἂν ἀπογραφεύς, κἂν παιδόπουλος τοῦ αὐθέντου μου τοῦ βασιλέως, κἂν ὅστις ἕτερος, ὡς ἀθετητὴς τῶν ὁρισμῶν τοῦ αὐθέντου μου τοῦ βασιλέως καὶ τῶν τῆς βασιλείας μου προσταγμάτων κριθήσεται, καὶ τὰς ἀξίας ἕνεκα τούτου δίκας ὑφέξει, ζημίᾳ καὶ ἀγανακτήσει μεγίστῃ καθυποβληθείς. ὅθεν καὶ ὀφείλουσιν ἅπαντες, οἷς ἂν ἐμφανισθῇ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα, ποιεῖν, καθὼς ἡ βασιλεία μου διακελεύεται, καὶ διατηρεῖν τὴν δηλωθεῖσαν μονὴν ὡς τῆς βασιλείας μου ἀδιάσειστον, ἀνενόχλητον, ἀτάραχον καὶ ἀζήμιον καὶ πάντα τὰ ὑπ' αὐτὴν καὶ περὶ αὐτὴν δίκαια. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ μονῇ εἰς ἀσφάλειαν καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός †.

† Εἶχε καὶ τό. μηνὶ νοεβρίῳ ἰνδ. ἕκτης καὶ κάτωθεν κηρίνην διὰ δεσποινικοῦ βουλλωτηρίου †.

CLXVI. Sine anno, mense maio, ind. II.

Imperator inquilinos fugitivos reduci iubet.

† Πρόσταγμα διοριζόμενον περὶ τῶν ἀποφευγόντων παροίκων ἀπὸ τῶν κτημάτων τῆς μονῆς καὶ ἀπερχομένων ἀλλαχόθεν, ἵνα καὶ μὴ βουλομένους αὐτοὺς πάλιν φέρωσιν εἰς τὰς οἰκίας αὐτῶν †.

† Ἐπεὶ τὸ μέρος τῆς σεβασμίας μονῆς τῶν Λέμβου ὑπέμνησε

τὴν βασιλείαν μου, ὡς ἀπὸ τῶν παραδεδομένων αὐτῇ παροίκων εἰς τὸ χωρίον τὸ Μῆλα εἰς τὰ Παλάτια, εἰς τὰ Ποταμοῦ καὶ ἀλλαχοῦ ἐξῴκησαν καὶ ἀπῆλθον οἱ μὲν εἰς τὸ Νόμφαιον, οἱ δὲ εἰς τὰ Μούρμουντα, οἱ δὲ εἰς ἑτέρους τόπους καὶ προσεκάθισαν, ὡσαύτως καὶ εἰς τὸ Κούκουλον καὶ εἰς τὸ Μαιορίον καὶ εἰς τὴν Πέτραν, καὶ ἐντεῦθεν στερεῖται τὸ μέρος τῆς μονῆς τοῦ διαφέροντος αὐτῇ ἐξ· αὐτῶν δικαίου, καὶ ἐδεήθη περὶ τούτου τῆς βασιλείας μου, ὡς ἂν ὁρισμοῦ ταύτης τυχὸν ἐπισυνάξῃ τούτους, ἀφ' ὧν προσκάθηνται τόπων, καὶ φέρῃ καὶ προσκαθίσῃ εἰς τὸν οἰκεῖον τόπον, ὅπως καὶ αὖθις ἔχῃ αὐτοὺς ὡς τὸ πρότερον, καὶ ἀναλαμβάνηται ἐξ αὐτῶν τὸ ἀνῆκον αὐτῇ, ἡ βασιλεία μου, τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν προσχοῦσα, διορίζεται διὰ τοῦ παρόντος αὐτῆς ἀπολυθῆναι τοὺς τοιούτους παροίκους τῆς δηλωθείσης μονῆς παρὰ τῶν κατὰ τόπους διενεργούντων δικαίῳ τοῦ δημοσίου, οἷς οὗτοι προσερρύησαν, πρὸς τὸ μέρος αὐτῆς ἄνευ λόγου τινὸς καὶ προφάσεως· θέλημα γὰρ ἔχει ἡ βασιλεία μου μὴ στερηθῆναι τὴν τοιαύτην μονὴν ἑνὸς τῶν τοιούτων παροίκων αὐτῆς, ἀλλ' ἀπολυθῆναι τούτους αὐτῇ παρὰ τῶν κατεχόντων τῇ ἐμφανείᾳ τοῦ παρόντος ὁρισμοῦ τῆς βασιλείας μου, ὅστις καὶ ἐγεγόνει αὐτῇ εἰς ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδ. δευτέρας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

---

† Τὰ χαρτῷα δικαιώματα τοῦ μετοχίου τῆς ὑπεράγνου ἡμῶν θεοτόκου τῆς Ἀμαναριωτίσσης ἀπὸ τῶν ὧδε λαμβάνουσι τὴν καταρχὴν †.

CLXVII. 6760—1252, mense iulio, ind. X.

Hierotheus, episcopus Menoesi, monasterium S. Mariae Amanariotissae dat fratribus Monomachis.

† Τὸ τοῦ ἐπισκόπου Μονοίκου ἐκδοτήριον πρὸς τὸν Μονομάχον Κωνσταντῖνον καὶ τὸν αὐτάδελφον αὐτοῦ τὸν μοναχὸν Χαρίτωνα †.

† Ἐπειδὴ θεοῦ εὐμενείᾳ καὶ χάριτι τὸν ἀποστολικὸν θρόνον τῆς θεοσώστου πόλεως Μονοίκου ἐμπεπίστευκέ μοι κύριος ὁ θεός, οἷς κρίμασιν οἶδεν αὐτὸς καὶ ἔννοια πᾶσα ἡττᾶται τῇ ἡμῶν ταπεινότητι, ἐπί τε τοῖς εὐαγέσι καὶ θείοις ναοῖς εἰς δοξολογίαν καὶ ὕμνον

τοῦ θεοῦ δι' εὐχῆς καὶ μνημοσύνου ἕνεκα τῶν κραταιῶν καὶ ἁγίων αὐθεντῶν καὶ βασιλέων καὶ παντὸς δὴ τοῦ χριστωνύμου πληρώματος. μετὰ γοῦν τῶν λοιπῶν θείων ναῶν ἔχοντες φροντίδα παντοίαν ἐπὶ τῇ μονῇ τῆς ὑπεράγνου, ὑπερευλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς Ἀμαναριωτίσσης εἰς τὸ ἀφιερῶσαι τῇ τοιαύτῃ μονῇ ἐπὶ ἀνακτίσει καὶ συστάσει ταύτης, πολλοῖς δὲ μοναχοῖς παραδώσασα ἡ ταπεινότης ἡμῶν τῇ δηλωθείσῃ μονῇ, οὐδεὶς ἴσχυσε περιποιήσασθαι τὰ τῆς μονῆς, ἀρτίως δὲ εὕρομεν τὸν ἐν τῇ χώρᾳ τοῦ Γενικοῦ οἰκοῦντα κῦρ Κωνσταντῖνον τὸν Μονομάχον καὶ τὸν αὐτάδελφον αὐτοῦ Χαρίτωνα μοναχόν, καὶ σφραγίδα τῆς ἡγουμενείας δεξάμενον παρ' ἡμῶν αἰτεῖ πολλαχῶς καὶ τὴν διαληφθεῖσαν μονὴν δεξιῶς καὶ ἐντρεχῶς ἐπὶ συστάσει παντοίᾳ καὶ καλλωπισμῷ τῆς ὡς εἴρηται δηλωθείσης μονῆς, καὶ τὸ παρὸν ἐκδοτήριον γράμμα ποιούμεθα πρὸς τοὺς τοιούτου αὐταδέλφους, ὥστε κατέχειν τὴν τοιαύτην μονὴν καὶ ποιεῖν, ὅσα ἂν δεῖται ἡ παροῦσα μονή, καὶ δεσπόζῃ πάντα, ὅσα εὑρίσκονται ἤγουν τῶν ἐντὸς καὶ ἐκτὸς τῆς μονῆς, ἐφ' ᾧ καὶ οὐδεὶς τῶν ἁπάντων ἢ τῶν οἰκητόρων τοῦ χωρίου Γενικοῦ ἢ ἄλλου τινὸς προσώπου ἐνοχλήσῃ αὐτοῖς τὸ σύνολον ἢ καὶ ἐμποδίσῃ, ἀλλὰ ἥ τι ἂν καὶ βουληθήσονται, ἐκεῖνο καὶ ποιῶσιν οἱ αὐτάδελφοι ἐπὶ τῇ εἰρημένῃ μονῇ. οἷος δὲ βουληθῇ παρεμποδίσαι αὐτοῖς τὸ οἱονοῦν, ὁποῖος ἄρα καὶ εἴη, ἕνεκα τῆς μονῆς, τῷ ἐνδίκῳ ἀφορισμῷ ὑποπεσεῖται τῆς ἡμῶν ταπεινότητος, ἐχούσης συνήθως ἐπὶ τῇ τοιαύτῃ μονῇ καὶ τῶν ὑπ' αὐτὴν μοναχῶν τὴν κανονικὴν διοίκησιν καὶ ἀνάκρισιν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει παρ' ἡμῶν τὸ παρὸν ἐκδοτήριον γράμμα, καὶ ἐπεδόθη τοῖς διαληφθεῖσιν δυσὶν ἀδελφοῖς, τῷ τε κυρῷ Κωνσταντίῳ τῷ Μονομάχῳ καὶ τῷ καθηγουμένῳ Χαρίτωνι μοναχῷ εἰς ἀσφάλειαν καὶ ἀνενοχλησίαν αὐτῶν. μηνὶ ἰουλίῳ ἰνδ. δεκάτης τῷ ςφξ' ἔτει †.

† Ὁ ταπεινὸς ἐπίσκοπος Μονοίκου Ἱερόθεος †.

CLXVIII. Sine anno, mense octobri, ind. XI.

Constantinus, episcopus Menoeci, Georgio Cappari dat monasterium S. Marinae.

† Τὸ ἐκδοτήριον τῆς ἁγίας μεγαλομάρτυρος Μαρίνης τὸ παρὰ τοῦ ἐπισκόπου γεγονὸς καὶ τῶν ὑπ' αὐτὴν πραγμάτων †.

† Ἐπ' ἀγαθῷ ζῆλος ἐπαινετὸς, ὁ δ' εἰς τοὐναντίον ἀπεοκταῖός τε καὶ μισητικώτατος, ἐπεὶ καὶ τὸ ζηλοῦσθαι ἐν καλῷ καλὸν κατὰ τὴν τοῦ θεοκήρυκος Παύλου φωνήν· τὸ μὲν γὰρ παραζηλοῦν ἐπὶ πονηρευομένοις κάκιστον· εἰ δ' εἰς ἀγαθὸν ὁ ζῆλος, ἐπαίνου πρόξενος. ἔπαινος δὲ μακαριότης, εἰ δὲ ἐφετῶν τὸ ἀκρότατον καὶ πρόσω τείνει πᾶσα σπουδαίου βουλή τε καὶ κίνησις. ἀλλὰ πρὸς τί ταῦτα πεπροοιμίασται; ὁ λόγος ἐπιτροχάζων ἔρχεται. μονὴ καθωραΐζετό ποτε ἐν τῇ καθ' ἡμᾶς ἐνορίᾳ, ἐν τῇ τοῦ Γενικοῦ χώρᾳ καὶ πλησίον τοῦ Λιβαδίου, ἥτις ἐτιμᾶτο ἐπ' ὀνόματι τῆς ἁγίας μεγαλομάρτυρος Μαρίνης, ἥτις μονὴ ἀπημαύρωται ἐξ ἱκανῶν τῶν χρόνων καὶ παρειμένη ἐξ ἀναιδείας τῶν κατεπεμβαινόντων ἐπ' αὐτῇ, καὶ σαφῶς ὁ τόπος ἔρημος καὶ ἀνεπιτήδειος δείκνυται. καὶ ἡ τοῦ ναοῦ πῆξις καὶ ἀναστήλωσις σὺν ταῖς ἁπάσαις οἰκοδομαῖς κατερρύησαν καὶ συμπεπτώκασιν ἀθρόως, καὶ ἡ ἐπιείκεια τῆς μονῆς κατέδυ καὶ ἀπημαύρωται, καὶ αἱ χῶραι πλησιάζουσαι τὴν κτηματικὴν αὐτῆς γῆν καθηρπάσαντο· τῶν χρόνων δὲ παραρρυέντων καὶ οἱ τότε ὄντες τεθνήκασι, καὶ ἡ τῆς μονῆς ἅπασα διακράτησις ἀδήλως ἐπὶ πᾶσι καθέστηκε. τοῦ θεοῦ δὲ εὐδοκοῦντος μᾶλλον καὶ συνεργοῦντος ἀνήρ τις, αὐτόχθων ἀπὸ τοῦ Γενικοῦ, ὃς ἐπικέκληται Κάππαρις Γεώργιος, βουλὴν ἀγαθὴν ἐσχήκει, καὶ τῇ ἐμῇ ταπεινότητι ἐξῃτήσατο ταύτην πρὸς βελτίωσιν καὶ ἀνακαινισμὸν τῆς ῥηθείσης μονῆς. ἡ γοῦν ταπεινότης ἡμῶν, ἀγαμένη τὴν ἀγαθὴν τούτου βουλὴν καὶ προαίρεσιν, καὶ διαγνοῦσα, μὴ αἴσιον εἶναι τὴν ταύτης ἀφάντωσιν, καὶ ἐπειδὴ αἱ ἐκεῖσε γινόμεναι ὑπὲρ τῶν ἁγίων αὐτοκρατόρων, βασιλέων ἡμῶν, μνῆμαί τε τε καὶ εὐχαὶ τῇ ἀπωλείᾳ τῆς μονῆς παρεσιωπήθησαν, δεῖν ἔγνω τὰ κατὰ δύναμιν, καὶ πρὸς αὐτὸν ἐξεδόμην τὴν τοιαύτην μονὴν ἐν κατοχῇ γενέσθαι, κατέχειν ταύτην ἀδιασείστως πάντῃ καὶ ἀνενοχλήτως πρὸς μνημόσυνον τῶν φιλοχρίστων καὶ ἁγίων βασιλέων ἡμῶν καὶ τῶν μεθ' ἡμᾶς ἀρχιερατευσομένων, ὡς ὀφειλόντων καὶ αὐτῶν στέργειν τὴν τοιαύτην ἀγαθὴν καὶ θεάρεστον πρᾶξιν ἡμῶν, καὶ οὐ μέχρι τούτων τὴν τῶν ἀγαθῶν ἐνθυμίων ἐν καταλείμματι στῆσαι προῃρημένος, ἀλλὰ καὶ διὰ πάσης αὐτοῦ τῆς ζωῆς ὑπισχνούμενος τῇ μονῇ εὖ ποιεῖν, ὡς τὸ παρ' αὐτοῦ ἐκτεθὲν καὶ ἀποτεθὲν βρέβιον παριστᾷ. ἀλλὰ αὐτοῦ μὲν ὁ μισθὸς τῆς μεγάλης μαρτυρίας κείσεται ἀξιόχρεως οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, ἀλλὰ πολλῷ πλέον εἰς τὴν

ἐκεῖθεν ἀποκατάστασιν, ἐν ᾗ τῶν ἀγαθῶν ἔργων οἱ καρποὶ φαίνονται εὐκλεεῖς· ἐπεὶ δὲ καὶ τὴν ἡμῶν ταπεινότητα ᾐτήσατο διὰ γράμματος αὐτῆς τὴν τῶν ἀγαθῶν ἔργων ἐπίδοσιν, τοῦτο καὶ πεποίηκεν, εἰ μὴ βούλεται ὁ ταύτην ἀνατρέψαι βουληθησόμενος τὴν τῆς ἐνδόξου μεγαλομάρτυρος ἀγανάκτησιν εἰς ἑαυτὸν ἐπισπάσασθαι, εἴπερ εἴη τῷ ἀρχιερατικῷ ἀξιώματι, εἰ δέ τις τῶν κατὰ κόσμον, σὺν τούτῳ καὶ τὸν ἀπὸ τῆς ἡμῶν ταπεινότητος ἐν ἁγίῳ πνεύματι ἀφορισμόν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα τῷ διαληφθέντι Γεωργίῳ τῷ Κάπκαρι εἰς ἀσφάλειαν. μηνὶ ὀκτωβρίῳ ἰνδ. ια' †.

† Ὁ ταπεινὸς ἐπίσκοπος Μονοίκου Κωνσταντῖνος †.

CLXIX. Sine anno, mense octobri, ind. XII.

Incolae Genici monasterio Lembo donant monasteriola S. Mariae et S. Marinae.

† Τὸ γεγονὸς ἐκδοτήριον γράμμα παρὰ τῶν ὅλων ἐποίκων τοῦ χωρίου Γενικοῦ χάριν τοῦ μετοχίου τῆς Ἀμαναριωτίσσης †.

Σίγνα Θεοδώρου τοῦ Χουμελὲ, Γεωργίου τοῦ Καππάρη, Κωνσταντίνου τοῦ Ἀγάλλωνος, Ἰωάννου τοῦ Φράγγουτος, Γεωργίου τοῦ Λαυρέντου, Θεοδώρου τοῦ Ἀφρατᾶ, Μιχαὴλ τοῦ Διαλεκτοῦ, Γεωργίου τοῦ Διαλεκτοῦ, Κωνσταντίνου τοῦ Ξανθοπούλου, Κωνσταντίνου τοῦ Πλυτοῦ, Βάρδα τοῦ Μαύρου, Γεωργίου τοῦ Πιλάτου, Γεωργίου τοῦ Εὐόκτου, Μιχαὴλ τοῦ Λαγινᾶ, Κωνσταντίνου τοῦ Πλατῆ.

† Ἡμεῖς οἱ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ἐγχαράξαντες, οἱ ἀπὸ τῆς χώρας τοῦ Γενικοῦ ὁρμώμενοι καὶ ὀνομαστὶ σιγνογραφήσαντες ἐκδιδοῦμεν καὶ ἡμεῖς, πατρικῶς ἑπόμενοι τῇ θελήσει τοῦ ἀρχιερέως ἡμῶν καὶ πειθόμενοι, τὴν ἐν τῇ χώρᾳ ἡμῶν διακειμένην καὶ ἠπορημένην μονὴν τῆς ὑπεραγίας θεοτόκου τῆς Ἀμαναριωτίσσης τοῦ εἶναι ταύτην εἰς μετόχιον τῆς σεβασμίας καὶ ἁγίας βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης, σὺν αὐτῇ καὶ τῷ προκατεχομένῳ ὑπ' αὐτῆς εἰς μετόχιον τῆς δηλουμένης μονῆς τῆς Ἀμαναριωτίσσης εὐτελεῖ μονυδρίῳ τῷ εἰς ὄνομα τιμωμένῳ τῆς ἁγίας μεγαλομάρτυρος Μαρίνης σὺν πάσῃ τῇ περιοχῇ καὶ διακρατήσει αὐτοῦ. καὶ ὀφείλει ὁ

νῦν ἡγουμενεύων ἐν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας Θεοτόκου τῶν Λέμβων, τιμιώτατος ἐν ἱερομονάχοις κῦρ Κάλλιστος, καὶ [οἱ] σὺν αὐτῷ ἀσκούμενοι μοναχοὶ κατέχειν τὰ τοιαῦτα ἀνενοχλήτως πάντη ἐξ ἡμῶν καὶ ἀδιασείστως, μὴ παρά τινος εὑρίσκοντες ὄχλησιν ἢ διασεισμὸν εἰς ταῦτα, καθὼς καὶ ὁ θεῖος καὶ προσκυνητὸς ὁρισμὸς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως διορίζεται, κατέχειν ταῦτα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, ὡς ὀφειλόντων καὶ ἡμῶν τῶν μοναχῶν φροντίζειν πάντοτε τὰ ἐπὶ συστάσει καὶ ἀνακτίσει τῶν τοιούτων. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἐκδοτήριον ἔγγραφον ἡμῶν καὶ ἐπεδόθη τῷ ἄνωθεν δηλωθέντι καθηγουμένῳ καὶ τῇ ὑπ' αὐτὸν μονῇ εἰς ἀσφάλειαν καὶ ἀνενοχλησίαν παντοίαν. μηνὶ ὀκτωβρίῳ ἰνδ. ιβ' †.

† Τὸ παρὸν ἐκδοτήριον ἔγγραφον τῶν ἄνωθεν δηλωθέντων ἐγράφη καὶ ὑπεγράφη παρ' ἐμοῦ τοῦ νομικοῦ χωρίου Γενικοῦ καὶ Νεοχωρίου, Κωνσταντίνου τοῦ Ἀσκουνῆ, βεβαιώσεως ἕνεκα †.

CLXX. Sine anno, mense octobri, ind. XIII.

Georgius Tzausius monasterio Lembo donat possessiones.

† Τὸ ἐκδοτήριον γράμμα Γεωργίου Τζαουσίου τοῦ Μελισσηνοῦ χάριν ὧν περιέχει πραγμάτων ἐντός †.

† Γεώργιος Τζαούσιος ὁ Μελισσηνὸς οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἐγὼ Γεώργιος ὁ Μελισσηνός . . . ἐκδίδωμι πρὸς τὴν σεβασμίαν βασιλικωτάτην μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης ψυχικῆς μου ἕνεκα σωτηρίας τὴν γονικὴν ἡμῶν κλήραν, ἥνπερ ὁ θεὸς ἡμῖν ἐδωρήσατο καὶ ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς ὁ ἅγιος. ἥτις καὶ ἔχει οὕτως· αὐλὴν περιοριζομένην μετὰ πόρτης ἔχουσαν καὶ ὀσπήτια δέκα, τὰ μὲν ἑπτὰ κεραμόστεγα, τὰ δὲ τρία χόρτινα, στρώματα δύο, τὸ μὲν ἓν βαββακόγομον μετὰ ἐπευχίου, τὸ δὲ ἕτερον μαλιτικόν, καὶ αὐτὸ μετὰ ἐπευχίου. ἐφαπλώματα καθεξαμίτ . . . δύο, σάβανον ἕν, σινδόνας, ζυγὴν μίαν, χαλκοστάμνιν, χαλοτζύκια δύο, χειρνιβόξεστον, μαστραπᾶν, πινακοσκούτλαν, συμβαλτρίαν, κομμάτια ἕξ, χάλκωμα τῶν προβάτων κου-

κούμια δύο, ἀμπέλιον μοδίων δώδεκα, πίθους τέσσαρας, γῆν μοδίων τριακοσίων, ζευγάρια δύο, τὸ μὲν ἓν βουβαλλικὸν, ἁμάξιν μετὰ τοῦ κοιλικώματος, λίσκρας δύο, ἀξινάρια δύο, ὑννία δύο, τὸ ἐκλείωμα, τὸ κηπωρίον, τὸ καὶ πλησίον τοῦ χωρίου, τὴν λίμνην, ἄλογα δύο σελλοχαλινωμένα, πρόβατα κεφαλὰς ἑκατὸν, τὰ ὀσπήτια τὰ ὄντα εἰς τὴν Μαγνησίαν, ἅπερ μοι ἐδωρήσατο ὁ αὐθέντης μου ὁ βασιλεὺς ὁ ἅγιος ὡς γονικά μου ἀντὶ τῶν ὀσπητίων, ὧν μοι ἀπῆρε, καὶ ἤδη ἀφιέρωσα τὰ τοιαῦτα πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης οἰκειοθελῶς, αὐτοπροαιρέτως, μὴ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ δόλου ἢ ἀλλοίου δή τινος τρόπου, ἀλλὰ μετὰ σκέψεως χρονίας καὶ μετὰ μεμεριμνημένου σκοποῦ τοῦτο ἐποίησα, καὶ οὐχ ἕξει τις ἄδειαν ἀφ' ἡμῶν ἀνατρέψαι τὴν ἡμετέραν ἐκδοτηριακὴν πρᾶξιν, ἥνπερ τῷ θεῷ ἀφιέρωσα. εἰ δέ τις βουληθῇ ἀπὸ τοῦ μέρους ἡμῶν, εἴτε προσγενὴς, εἴτε γειτνιάζων ἢ αὐτὸς ἐγὼ, ὅπερ μὴ γένοιτο, οὐ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλ' ἵνα ἐπισπᾶται καὶ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τῶν σταυρωτῶν τοῦ κυρίου, καὶ ὡς ἀθετητὴς καὶ παραβάτης τῶν θείων ἐντολῶν κριθήσεται. διὰ γὰρ τοῦτο ἐγεγόνει ἡ ἡμετέρα ἐκδοτηριακὴ πρᾶξις καὶ ἐπεδόθη πρὸς τὸν πανοσιώτατον καθηγούμενον τῆς τοιαύτης μονῆς καὶ πρὸς τοὺς σὺν αὐτῷ ἀσκουμένους ἅπαντας μοναχοὺς δι' ἀσφάλειαν. μηνὶ νοεμβρίῳ ἰνδ. ιγ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ὁ καὶ ἄνωθεν προτάξας καὶ κάτωθεν ὑποτάξας Γεώργιος Τζαούσιος ὁ Μελισσηνὸς ὑπέγραψα †.

CLXXI. Sine anno, mense decembri, ind. XIII.

Manuel Calampaces possessiones Georgii Tzausii tradit monasterio Lembo.

† Τὸ παραδοτικὸν γράμμα τοῦ Καλαμπάκη χάριν ὧν ἐπαφῆκεν ἐνδιαθήκως πραγμάτων εἰς τὴν μονὴν Τζαούσιος ὁ Μελισσηνός †.

† Ἐπεὶ εὕρομεν Τζαούσιον τὸν Μελισσηνὸν ἐκεῖνον Γεώργιον, ὅτι τῷ τέλει τοῦ βίου ἐχρήσατο καὶ ἐνδιαθήκως ἅπαντα τὰ κατ' αὐτὸν διετυπώσατο παρά τε τοῦ ἀρχιερέως καὶ τῶν τυχόντων μαρτύ-

ρων, ὅστις καὶ ἐν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης ἐπαφῆκεν ὀσπήτια, ἀμπέλια, χωράφια καὶ ἕτερα, καθὼς ἐγγράφως καὶ ἐνδιοθήκως διέθετο, ὅθεν καὶ κατὰ τὴν ἐκείνου πρόθεσιν παραδεδώκαμεν καὶ ἡμεῖς ταῦτα πρὸς τὴν ῥηθεῖσαν μονὴν τοῦ κατέχειν ταῦτα καὶ νέμεσθαι εἰς τὸ ἑξῆς, μὴ παρά τινος κωλυομένην. διὰ γὰρ τοῦτο ἐγεγόνει τὸ παρὸν ἡμέτερον παραδοτικὸν γράμμα καὶ ἐπεδόθη τῇ ῥηθείσῃ μονῇ εἰς ἀσφάλειαν. μηνὶ δεκεβρίῳ ἰνδ. ιγ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δοὺξ καὶ ἀπογραφεὺς τῶν Νεοκάστρων, Μανουὴλ ὁ Καλαμπάκης †.

CLXXII. Sine anno, mense ianuario, ind. XIII.

Manuel Calampaces monasterio tradit possessiones Georgii Tzausii.

† Ἕτερον παραδοτικὸν γράμμα τοῦ αὐτοῦ Καλαμπάκη, εἰς ἅπερ κατ' εἶδος ἐπαφῆκεν εἰς τὴν μονὴν ὁ διαληφθεὶς Μελισσηνὸς †.

† Παραδεδώκαμεν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραγιας θεοτόκου τῆς Λεμβιωτίσσης τὴν γῆν, ἣν Τζαούσιος ὁ Μελισσηνὸς ἐνδιαθήκως ἐπαφῆκεν, ἥτις καὶ ἔχει οὕτως· χωράφιον εἰς τὸν Ποταμὸν ἀπὸ τῆς γονικῆς αὐτοῦ στάσεως πλησίον Μιχαὴλ τοῦ Μελισσηνοῦ καὶ τῆς ὁδοῦ, μοδίων τριάκοντα. ἀπὸ τούτου μοδίων εἴκοσιν ὡς τῷ ἑτέρῳ ἐδόθη τῷ Σπαρτηνῷ, ἕτερον εἰς τὴν Ἁγίαν Μαρίνην πλησίον τῆς Ἁγίας τῆς Ὁδοῦ καὶ τοῦ Λιβαδίου, μοδίων τριάκοντα καὶ ἕξ. ἕτερον εἰς τὴν Βαλανίδα πλησίον τοῦ Κασταμονίτου, τοῦ Βοΐδα καὶ τῆς ὁδοῦ, μοδίων εἴκοσιν. ἕτερον εἰς τὸν αὐτὸν πλησίον τοῦ Σπαρτηνοῦ τοῦ Βοΐδα καὶ τοῦ Ἀσηκρήτου ἐν δυσί, μοδίων δεκατριῶν. ἕτερον εἰς τὸν αὐτὸν πλησίον τοῦ Παύλου τοῦ Μαγγᾶ καὶ τ ο ῦ Βαϊνᾶ, μοδίων τριῶν. ἕτερον εἰς τὸν Μεσόδρομον, ὅπερ κατείχετο παρὰ τοῦ Σπαρτηνοῦ πλησίον τῆς ὁδοῦ τοῦ Βοΐδα καὶ τοῦ Χρυσοβέργου, μοδίων εἴκοσιν, ὡς τῷ ἑτέρῳ ἐδόθη τῷ Σπαρτηνῷ. ἐσσωκήπιον πλησίον τοῦ χωρίου καὶ τῆς Ῥεούσης, μοδίου ἑνὸς . . . μοδίων ἑκατὸν δύο, καὶ ἀμπέλιον, μοδίων πέντε. καὶ ὀφείλει κατέχειν ταῦτα καὶ νέμεσθαι, καὶ τὴν ἐξ αὐτῶν πᾶσαν καὶ παντοίαν ἀποφέρηται πρόσοδον, μὴ παρά

τινος κωλυομένη. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον παραδοτικὸν καὶ ἐδόθη τῇ διαληφθείσῃ μονῇ δι' ἀσφάλειαν. μηνὶ ἰαννουαρίῳ ἰνδ. ιγ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἀπογραφεὺς τῶν Νεοκάστρων, Μανουὴλ ὁ Καλαμπάκης †.

CLXXIII. 6791—1283, mense ianuario, ind. XI.

Michaël Ceramonites et familia monasterio S. Mariae vendunt campum.

† Τὸ πρατήριον Μιχαὴλ τοῦ Κεραμωνίτου, τῆς γυναικὸς καὶ τῶν παίδων αὐτοῦ χάριν τοῦ χωραφίου τοῦ ἐν τῇ θέσει τῆς αὐτῆς μονῆς ὄντος †.

Σίγνα Μιχαὴλ τοῦ Κεραμωνίτου, Ξανθῆς, τῆς συμβίου αὐτοῦ, Μαρίας, τῆς θυγατρὸς αὐτοῦ, Θεοδώρου τοῦ Κεραμωνίτου.

† Ἐν ὀνόματι κ. τ. λ. ἡμεῖς οἱ ἄνωθεν . . . τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον καθαρὰν, φανερὰν πρᾶσιν τιθέμεθα καὶ ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου καὶ παναμώμου δεσποίνης ἡμῶν θεοτόκου τῆς Ἀμαναριωτίσσης, τῆς ὑποκειμένης ὡς μετόχιον ἐν τῇ σεβασμίᾳ βασιλικῇ μονῇ τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης, καθὼς δηλωθήσεται. πιπράσκομεν καὶ γὰρ πρὸς τὴν ἄνωθεν ῥηθεῖσαν σεβασμίαν μονὴν τὸ γονικὸν ἡμῶν χωράφιον τὸ ἐν τῇ τοποθεσίᾳ τῆς ῥηθείσης μονῆς τὸ καὶ πλησιάζον ἀπὸ μὲν ἀνατολῆς τὸ χωράφιον τῆς μονῆς, ὅπερ ἔχει ἀπὸ Μιχαὴλ τοῦ Διαλεκτᾶ, ἀπὸ δὲ δύσεως τὴν ὁδὸν, ἀπὸ βορέου τὴν λίμνην, ἀπὸ δὲ νότου τὸ ἕτερον χωράφιον τῆς μονῆς, ὡσεὶ μοδίων ἓξ ἢ πλέον ἢ ἔλασσον εἰς τίμημα, ὅπερ ἀμφότεροι ἠρέσθημεν καὶ συνεφωνήσαμεν ὑπέρπυρα τρία. καὶ λαβόντες ταῦτα ἀπὸ τῆς ἄνωθεν ῥηθείσης μονῆς καὶ διὰ χειρὸς τοῦ νομικοῦ εἰς τὰς ἡμετέρας χεῖρας ἐποιήσαμεν πρὸς τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν τὴν παροῦσαν πρᾶσιν, δι' ἧς ὀφείλει ἔχειν τὸ εἰρημένον χωράφιον καὶ κατέχειν κληρονομικῶς εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους κ. τ. ἑ. εἰ δ' αὐτοὶ ἡμεῖς . . . πρὸς ἀναλογίαν χωρηθῶμεν τοῦ παρόντος πρατηρίου ἡμῶν ἐγγράφου . . . δόσει προστίμου ὑποκεισόμεθα πρὸς τὴν ῥηθεῖσαν μονὴν ὑπέρπυρα τριάκοντα καὶ ἕξ, πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τοσ-

των τρίτον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφυγόντες, σὺν τῷ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν πρατήριον ἔγγραφον τὸ καὶ γραφὲν προτροπῇ ἡμετέρᾳ διὰ Λέοντος, ἀναγνώστου καὶ νομικοῦ χώρας Γενικοῦ, τοῦ Καπάτου, ἐνώπιον καὶ τῶν μαρτυρησομένων. μηνὶ ἰαννουαρίῳ ἰνδ. ια' τοῦ ͵ςφϥα' ἔτους †.

Μάρτυρες· Γεώργιος ὁ Ἀργυρὸς, Μιχαὴλ ὁ Διαλεκτὸς, Ἰωάννης ὁ Βαλάμης, Μαγκλαβίτης ὁ Καλονερίτης.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ πρωτοπαπᾶς χώρας Γενικοῦ, Κωνσταντῖνος ὁ Μακρὸς, ὑπέγραφα †.

† Ξένος ἱερεὺς ὁ Σγουρίτζης ὑπέγραφα †.

† Ὁ εὐτελὴς ἀναγνώστης καὶ νομικὸς χώρας Γενικοῦ, Λέων ὁ Κάπατος, τὰ τοῦ ὕφους γράφας ὑπέγραφα †.

CLXXIV. 6791—1283, mense martio, ind. XI.

Michaël Cechrysomenus monasterio S. Mariae campum vendit.

† Τὸ πρατήριον τοῦ Κεχρυσωμένου, τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων αὐτοῦ χάριν τοῦ χωραφίου τοῦ ἐν τῇ θέσει τῆς αὐτῆς μονῆς †.

Σίγνα Μανουὴλ τοῦ Κεχρυσωμένου, Ἄννης, τῆς συμβίου αὐτοῦ, Κωνσταντίνου καὶ Γεωργίου, τῶν υἱῶν αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν . . . τὴν παροῦσαν . . . πρᾶσιν τιθέμεθα καὶ ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς διακειμένης ἐν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραμώμου θεομήτορος τῆς Λεμβιωτίσσης ὡς μετόχιον, καθὼς δηλωθήσεται. πιπράσκομεν γὰρ πρὸς τὴν ἄνωθεν ῥηθεῖσαν μονὴν τὸ γονικὸν ἡμῶν χωράφιον τὸ ἐν τῇ τοποθεσίᾳ τῆς ῥηθείσης μονῆς τὸ πλησιάζον ἀπὸ μὲν ἀνατολῆς τὸ χωράφιον τοῦ Βρακοκωδώνη καὶ τοῦ Βλαστάρη, ἀπὸ δὲ δύσεως τοῦ Καππαδόκη, ἀπὸ βορρᾶ τοῦ Ζερβοῦ, ἀπὸ δὲ νότου τοῦ Ἑξαδακτύλου, ὡσεὶ μοδίων ὂν δέκα, εἰς ὑπέρπυρα τέσσαρα, καὶ λαβόντες ταῦτα . . . ἐποιήσαμεν τὴν παροῦσαν πρᾶσιν κ. τ. ἑ. εἰ δ' αὐτοὶ ἡμεῖς . . . πρὸς ἀναλογίαν χωρηθῶμεν τοῦ παρόντος πρατηρίου ἡμῶν ἐγγράφου . . . δόσει προστίμου ὑποκεισόμεθα ὑπέρπυρα εἴκοσι τέσσαρα πρὸς τὴν μονήν, πρὸς

δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τρίτον τούτων, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφυγόντες, σὺν τῷ καὶ οὕτω ἐρρῶσθαι τὸ παρὸν πρατήριον τὸ καὶ γραφὲν διὰ Λέοντος, ἀναγνώστου καὶ νομικοῦ χώρας Γενικοῦ, τοῦ Καπάτου. μηνὶ μαρτίῳ ἰνδ. ια΄ τοῦ ϛϕϞ΄ ἔτους †.

Μάρτυρες· Ἰωάννης ὁ Φράγγος, Κωνσταντῖνος ὁ Γλαβᾶς.

Reliqua desunt, foliis duobus excissis.

CLXXV. Sine anno et mense.

Synodus controversiam ortam de possessionibus Georgii Tzausii diiudicat.

Initium deest.

. . . .

εἴ τις ἐπίσκοπος εὑρεθείη ἢ ἡγούμενος ἐκ τῶν αὐτουργίων τοῦ μοναστηρίου ἢ τοῦ ἐπισκοπείου ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα ἢ ἑτέρῳ προσώπῳ ἐκδιδούς, ἄκυρον εἶναι τὴν ἔκδοσιν. καὶ μεθ' ἕτερα· ἐπίσκοπος ἢ ἡγούμενος τοῦτο ποιῶν, ἐκδιωκέσθω ὁ μὲν ἐπίσκοπος τοῦ ἐπισκοπείου, ὁ δὲ ἡγούμενος τοῦ μοναστηρίου, ὡς διασκορπίζοντες κακῶς, ἃ οὐ συνήγαγον. νῦν δὲ οἱ μοναχοὶ πρὸς τὴν καθ' ἡμᾶς θείαν ἀναδραμόντες σύνοδον καὶ τὰ τοῦ πράγματος ἀπαγγείλαντες ἔπεισαν τὰ τοῖς κανόσι διοριζόμενα καὶ ἐπ' αὐτοῖς τελέσαι, τήν τε ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν ἱερὰν τῶν ἀρχιερέων ὁμήγυριν, καὶ δὴ διέγνωμεν κατά γε τὴν κανονικὴν ὑποτύπωσιν, ἀποδοῦναι αὐτούς, ὅσαπερ κακῶς πρότερον πρὸς τοῦ μαγίστρου εἰλήφεισαν, νομίσματα χρύσεα, εἴτουν τεσσαράκοντα καὶ τὰ τῇ κατ' αὐτοὺς μονῇ διαφέροντα, ὡς παρὰ τοῦ Μελισσηνοῦ ἐκείνου καταλειφθέντα λαβόντας ταύτῃ πάντα ἐπανασώσασθαι μηδαμῶς τοῦ λοιποῦ ἤ τινος τῶν ἀπὸ τοῦ τοιούτου μέρους τοῦ εἰρημένου μαγίστρου ἢ ἑτέρου παντὸς ὁποιανοῦν τινα προστρίψαι αὐτοῖς ἐπήρειαν τοῦ τοιούτου χάριν ὀφείλοντος. ἃ γὰρ τοῖς ἱεροῖς τε κανόσι καὶ θείοις νόμοις διώρισται, τὸ στέργον ἔχειν καὶ ἐνεργὸν ἐν πᾶσιν ὀφείλεται. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας ἐνσημανθέντα τε καὶ βεβαιωθέντα δι' ἀσφάλειαν ἀπελύθη. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, Νικήτας ὁ Κυπριανός †.

Εἶχε δὲ καὶ κάτωθεν ἀπῃωρημένην μολιβδίνην βούλλαν, ὡς ἡ συνήθεια τῶν χαρτοφυλάκων ἐγκεκολαμμένα ἔχουσαν γράμματα διὰ στίχων τουτωνί· Νικήτας γραφὰς χαρτοφύλακος δίδου Κυπριανοῦ τὸ κῦρος αἴσιον κύρη.

CLXXVI. Sine anno, mense maio, ind. VI.

Imperator praedium S. Mariae monasterio Lembo restitui iubet.

† Πρόσταγμα διοριζόμενον ἐπανασωθῆναι τῇ μονῇ τὸ εἰς τὴν χώραν τοῦ Γενικοῦ μετόχιον τῆς Ἀμαναριωτίσσης σὺν τῷ εὐκτηρίῳ τῆς ἁγίας Μαρίνης †.

† Πανσέβαστε, σεβαστέ, οἰκεῖε τῇ βασιλείᾳ μου, κριτὰ τοῦ θεοφρουρήτου φοσσάτου, κῦρ Κωνσταντῖνε Χειλᾶ. οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς τοῦ Λέμβου ἐπικεκλημένης ἀνέφερον, ὡς περὶ τὴν χώραν τοῦ Γενικοῦ κέκτηνται μετόχιον τὸ τῆς Ἀμαναριωτίσσης καλούμενον σὺν τῷ εὐκτηρίῳ τῆς ἁγίας Μαρίνης, ἅπερ καταγράφονται καὶ ἐν τῷ προσόντι αὐτοῖς χρυσοβούλλῳ τῆς βασιλείας μου. πρὸ καιροῦ δὲ κατεκρατήθη τὸ τοιοῦτον μετόχιον παρὰ τοῦ μέρους τοῦ Πορφυρογεννήτου, καὶ ὑπετέθη τῇ σεβασμίᾳ μονῇ τοῦ Στουδίου. κἀντεῦθεν ἐδεήθησαν ἐπανασωθῆναι τῇ κατ' αὐτοὺς τοιαύτῃ σεβασμίᾳ μονῇ. τῆς γοῦν δεήσεως αὐτῶν ἐπακούσασα ἡ βασιλεία μου διορίζεται, ὡς ἂν ἀναδέξῃ τοὺς τοιούτους μοναχοὺς καὶ οἰκονομήσῃς ἐπιλαβέσθαι καὶ κατέχειν τὸ εἰρημένον μετόχιον αὐτῶν, ὡς τὸ πρότερον κατὰ τὴν περίληψιν τοῦ προσόντος αὐτοῖς, ὡς εἴρηται, χρυσοβούλλου καὶ μὴ εὑρίσκειν παρά τινος καταδυναστείαν καὶ διενόχλησιν τῆς τούτου κατοχῆς καὶ νομῆς ἕνεκεν. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδ. ἕκτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς καὶ κάτωθεν, ὡς ἔθος τοῖς μεσάζουσι· διὰ τοῦ πρωτο-

σεβαστοῦ καὶ πρωτοβεστιαρίου καὶ μεγάλου λογοθέτου Θεοδώρου τοῦ Μουζάλωνος †.

CLXXVII. Sine anno, mense maio, ind. VI.

Monasterio Lembo possessio quaedam traditur.

† Τὸ παραδοτικὸν γράμμα τοῦ κριτοῦ τοῦ φοσσάτου †.

Parte folii abscissa initium deest.

† Καθὼς ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς διορίζεται· ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ ἡμέτερον παραδοτικὸν γράμμα, καὶ ἐπεδόθη τοῖς εἰρημένοις μοναχοῖς τῆς σεβασμίας μονῆς τῶν Λέμβων εἰς ἀσφάλειαν. μηνὶ μαίῳ ἰνδ. ἕκτης †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κριτὴς τοῦ θεοφρουρήτου φοσσάτου, Κωνσταντῖνος ὁ Χειλᾶς †.

CLXXVIII. 6794—1386, mense iunio, ind. XIV. 6796—1387, mense octobri, ind. I.

Acta in controversia inter monasterium et Michaëlem Comnenun Branam.

I. † Πρόσταγμα πρὸς τὸν δομέστικον τῶν ἀνατολικῶν θεμάτων περὶ τῶν καταδυναστειῶν Κομνηνοῦ τοῦ Βρανᾶ τῶν εἰς τὸν κάμπον τοῦ Μεμανιωμένου καὶ τῆς Βάρης, ὧν ποιεῖ κατὰ τῆς μονῆς †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, κῦρ Μανουὴλ Σγουρόπουλε. οἱ ἀπὸ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ οὕτω πως ἐπικεκλημένης τῶν Λέμβων μοναχοὶ ἀνέφερον, ὅτι εὑρίσκουσιν ἐπίθεσιν καὶ καταδυναστείαν παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, Κομνηνοῦ κυροῦ Μιχαὴλ τοῦ Βρανᾶ, ἐπὶ τοῖς διὰ χρυσοβούλλων καὶ ἑτέρων δικαιωμάτων προσοῦσιν αὐτοῖς τοπίοις ὑπέργοις καὶ νομαδιαίοις τοῖς καὶ διακειμένοις εἰς τὴν τοποθεσίαν τοῦ κάμπου τοῦ Μεμανιωμένου ἐν τῇ τῶν Παλατίων περιοχῇ καὶ ἐν τῇ Βάρῃ, καὶ προσέταξεν ἡ βασιλεία μου, καὶ ἀπῆλθεν ἐν τῷ σεκρέτῳ αὐτῆς, καὶ ἀντεκρίθησαν τῷ δηλωθέντι Βρανᾷ, καὶ γέγονεν αὐτοῖς σεκρετικὴ δικαίωσις ἔγγραφος καὶ ἐπ' αὐτῇ ἐπικυρωτικὸς ὁρισμὸς τῆς βασιλείας

μου, ἐπικυρῶν μὲν καὶ τὰ παλαιγενῆ χρυσόβουλλα καὶ ἀλλοῖα δικαιώματα τῆς μονῆς, ἐπιβεβαιῶν δὲ καὶ τὴν σεκρετικὴν διάγνωσιν, ἣν ἐπορίσαντο οἱ μοναχοί. ἐπεὶ δὲ ἔδει καὶ τοπικῶς ἀποκατασταῆναι τοὺς μοναχοὺς εἰς ὅπερ ἔχουσι δίκαιον, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν ἀπέλθῃς σὺ ἐκεῖσε καὶ ἐξετάσῃς τὰ τῆς τοιαύτης ὑποθέσεως ἀκριβῶς καὶ μετὰ ἀληθείας. ζητήσας μὲν τὰ χρυσόβουλλα τῆς τοιαύτης μονῆς, ζητήσας δὲ καὶ τὰ ἕτερα αὐτῆς δικαιώματα καὶ γνωρίσῃς τὰς τούτων περιλήψεις, μάθῃς δὲ παρὰ τοπικῶν ἀνθρώπων χρησίμων καὶ τὰ ὅρια τῶν εἰρημένων τοπίων τῶν ἐν τοῖς τοιούτοις περιειλημμένων δικαιώμασι, καὶ ἔκτοτε τάξῃς καὶ ἀποκαταστήσῃς κατὰ τὸν τοῦ δικαίου καὶ τῆς ἀληθείας λόγον τοὺς τοιούτους μοναχούς, ὅπως κατέχωσιν ἀνενοχλήτως τὰ διαληφθέντα τόπια κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτοῖς χρυσοβούλλων καὶ ἑτέρων δικαιωμάτων καὶ μὴ εὑρίσκωσιν εἰς τὸ ἑξῆς τὴν τυχοῦσαν διενόχλησιν χάριν τούτων παρὰ τοῦ δηλωθέντος Βρανᾶ καὶ τοῦ μέρους αὐτοῦ. ὡσαύτως καὶ τὸν Βρανᾶν ἀποκαταστήσῃς καὶ αὐτὸν εἰς τὸ οἰκεῖον αὐτοῦ δίκαιον, εἰς ὅσον καὶ τὰ δικαιώματα τούτου διαλαμβάνουσιν, ἐπὶ τῷ μηδὲ τοῦτον εὑρίσκειν τὸ ἀπὸ τοῦδε ἀπὸ τῶν μοναχῶν οἱανδήτινα ἐπίθεσιν καὶ ἀδικίαν ἐπὶ τοῖς οἰκείοις. ἐπεὶ δὲ λέγει ὁ Βρανᾶς, ὅτι εἰσέρχονται οἱ μοναχοὶ εἰς τὸ ὄρος, ὅπερ περιείληπται ἐν τῷ αὐτοῦ πρακτικῷ χάριν ξυλεύσεως καὶ νομῆς, καὶ οὐ διδόασι τὸ ἀνῆκον αὐτοῖς, ὅπερ εἶχον συνήθειαν καὶ ἐδίδουν πρότερον πρός τε τὸν αὐτοῦ πενθερὸν, τὸν μέγαν ἐκεῖνον δρουγγάριον, καὶ πρὸς αὐτὸν, διὰ τοῦτο καὶ ἀφείλετο ἐκ τῶν μοναχῶν ὁ Βρανᾶς ὡς ἀμάχιον τὰ τῆς μονῆς πρόβατα καὶ ἄλλα τινὰ, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν τηρήσῃς ἀκριβῶς καὶ τὰ περὶ τούτου, καὶ ἐὰν εὕρῃς, ὅτι προεδίδουν οἱ μοναχοὶ ὑπὲρ τῆς τοιαύτης νομῆς πρὸς τὸν δηλωθέντα πενθερὸν τοῦ Βρανᾶ, εἶτα καὶ πρὸς αὐτὸν, ἀρτίως δὲ οὐ πείθονται, κατὰ τὴν αὐτῶν συνήθειαν διδόναι τὸ ἀνῆκον αὐτοῖς, οἰκονομήσῃς ἀποδιδόναι αὖθις τοὺς μοναχοὺς τὸ τεταγμένον αὐτοῖς. εἰ δὲ φανῇ μετὰ ἀληθοῦς ἐξετάσεως, ὅτι οὐδέποτε εἶχον συνήθειαν οἱ τοιοῦτοι μοναχοί, ἵνα διδῶσί τι ἕνεκεν τῆς νομῆς τοῦ ὄρους, δεφενδεύσῃς καὶ ἐπὶ τούτῳ αὐτοὺς, ἵνα διαμένωσι τὸ ἀπὸ τοῦδε ἀνενόχλητοι ἐξ αὐτοῦ, οἰκονομήσῃς ἀντιστραφῆναι παρὰ τούτου πρὸς αὐτοὺς καὶ τὰ πρόβατα καὶ ἄλλο

εἴ τι ἀφείλετο ἐξ αὐτῶν. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεφον πρὸς αὐτοὺς δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ ἰουνίῳ ἰνδ. ιδ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. † Ἕτερον πρόσταγμα, ἐπικυροῦν τὴν γεγονυῖαν σεκρετικὴν δικαίωσιν, ἥτις ἀπελύθη χάριν ὧν ἠδίκει καὶ κατεδυνάστευεν ὁ Βρανᾶς τῇ μονῇ †.

† Ἐπεὶ οἱ κατὰ τὴν σεβασμίαν μονὴν τῆς βασιλείας μου τὴν εἰς ὄνομα τιμωμένην τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ οὕτω πως ἐπικεκλημένης τῶν Λέμβων ἐνασκούμενοι μοναχοί, ἀναδραμόντες εἰς τὴν βασιλείαν μου, ἀνέφερον, ὅτι καταδυναστεύονται παρὰ τοῦ οἰκείου αὐτῇ, Κομνηνοῦ κυροῦ Μιχαὴλ τοῦ Βρανᾶ, ἐπί τισι τοπίοις ὑπέργοις τε καὶ νομαδιαίοις τοῖς καὶ διακειμένοις ἐν τῇ τοποθεσίᾳ τοῦ κάμπου τοῦ Μεμανιωμένου ἐν τῇ τῶν Παλατίων περιοχῇ καὶ ἐπὶ ἑτέρῳ κτήματι τῶν ἐν τῇ Βάρῃ, ἃ δὴ περιῆλθον αὐτοῖς διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως ἐκείνου καὶ θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἐφ' ᾧ καὶ ἐπικυρωτικὸν χρυσόβουλλον τῆς βασιλείας μου γέγονε τῇ μονῇ. παραπεμφθέντες δὲ οὗτοι ὁρισμῷ τῆς βασιλείας μου εἰς τὸ σέκρετον αὐτῆς ἀντεκρίθησαν τῷ εἰρημένῳ Βρανᾷ καὶ ἐδικαιώθησαν οὗτοι [οἱ] μοναχοί, καὶ ἐγένετο αὐτοῖς καὶ γράμμα σεκρετικὸν δικαιοῦν αὐτούς, ἐδεήθησαν δὲ τῆς βασιλείας μου γενέσθαι αὐτοῖς ἐπὶ τούτῳ καὶ πρόσταγμα εἰς πλείονα τούτων ἀσφάλειαν, ἡ βασιλεία μου, τῆς δεήσεως αὐτῶν ἐπακούσασα, τὸν παρόντα ὁρισμὸν ἐπορέγει αὐτοῖς, δι' οὗ καὶ διορίζεται, ὡς ἂν κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτοῖς χρυσοβούλλων καὶ ἑτέρων δικαιωμάτων, ἔτι δὲ καὶ κατὰ τὴν περίληψιν τῆς γεγονυίας αὐτοῖς σεκρετικῆς διαγνώσεως κατέχωσιν ἀνενοχλήτως οἱ τοιοῦτοι μοναχοὶ τὰ εἰρημένα ὑπεργά τε καὶ νομαδιαῖα τόπια, καὶ μὴ εὑρίσκωσι παρά τινος τὴν οἱανδήτινα διενόχλησιν καὶ διασεισμὸν ἐπὶ τούτοις, οὔτε παρὰ τοῦ δηλωθέντος Βρανᾶ καὶ τοῦ μέρους αὐτοῦ, οὔτε παρ' ἑτέρου. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει αὐτοῖς εἰς ἀσφάλειαν καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου †.

† Εἶχε τό· μηνὶ ἰουνίῳ ἰνδ. ιδ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

νῦν ἡγουμενεύων ἐν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας Θεοτόκου τῶν Λέμβων, τιμιώτατος ἐν ἱερομονάχοις κῦρ Κάλλιστος, καὶ [οἱ] σὺν αὐτῷ ἀσκούμενοι μοναχοὶ κατέχειν τὰ τοιαῦτα ἀνενοχλήτως πάντη ἐξ ἡμῶν καὶ ἀδιασείστως, μὴ παρά τινος εὑρίσκοντες ὄχλησιν ἢ διασεισμὸν εἰς ταῦτα, καθὼς καὶ ὁ θεῖος καὶ προσκυνητὸς ὁρισμὸς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως διορίζεται, κατέχειν ταῦτα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, ὡς ὀφειλόντων καὶ ἡμῶν τῶν μοναχῶν φροντίζειν πάντοτε τὰ ἐπὶ συστάσει καὶ ἀνακτίσει τῶν τοιούτων. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἐκδοτήριον ἔγγραφον ἡμῶν καὶ ἐπεδόθη τῷ ἄνωθεν δηλωθέντι καθηγουμένῳ καὶ τῇ ὑπ' αὐτὸν μονῇ εἰς ἀσφάλειαν καὶ ἀνενοχλησίαν παντοίαν. μηνὶ ὀκτωβρίῳ ἰνδ. ιβ' †.

† Τὸ παρὸν ἐκδοτήριον ἔγγραφον τῶν ἄνωθεν δηλωθέντων ἐγράφη καὶ ὑπεγράφη παρ' ἐμοῦ τοῦ νομικοῦ χωρίου Γενικοῦ καὶ Νεοχωρίου, Κωνσταντίνου τοῦ Ἀσκουνῆ, βεβαιώσεως ἕνεκα †.

CLXX. Sine anno, mense octobri, ind. XIII.

Georgius Tzausius monasterio Lembo donat possessiones.

† Τὸ ἐκδοτήριον γράμμα Γεωργίου Τζαουσίου τοῦ Μελισσηνοῦ χάριν ὧν περιέχει πραγμάτων ἐντός †.

† Γεώργιος Τζαούσιος ὁ Μελισσηνὸς οἰκείᾳ χειρὶ προέταξα †.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἐγὼ Γεώργιος ὁ Μελισσηνὸς . . . ἐκδίδωμι πρὸς τὴν σεβασμίαν βασιλικωτάτην μονὴν τῆς ὑπεράγνου μου Θεομήτορος τῆς Λεμβιωτίσσης ψυχικῆς μου ἕνεκα σωτηρίας τὴν γονικὴν ἡμῶν κλήραν, ἥνπερ ὁ θεὸς ἡμῖν ἐδωρήσατο καὶ ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς ὁ ἅγιος. ἥτις καὶ ἔχει οὕτως· αὐλὴν περιοριζομένην μετὰ πόρτης ἔχουσαν καὶ ὀσπήτια δέκα, τὰ μὲν ἑπτὰ κεραμόστεγα, τὰ δὲ τρία χόρτινα, στρώματα δύο, τὸ μὲν ἓν βαββακόγομον μετὰ ἐπευχίου, τὸ δὲ ἕτερον μαλιτικὸν, καὶ αὐτὸ μετὰ ἐπευχίου. ἐφαπλώματα καθεξαμίτ . . . δύο, σάβανον ἕν, σινδόνας, ζογὴν μίαν, χαλκοστάμνιν, χαλοτζόκια δύο, χειρνιβόξεστον, μαστραπᾶν, πινακοσκούτλαν, συμβαλτρίαν, κομμάτια ἕξ, χάλκωμα τῶν προβάτων κου-

κούμια δύο, ἀμπέλιον μοδίων δώδεκα, πίθους τέσσαρας, γῆν μοδίων τριακοσίων, ζευγάρια δύο, τὸ μὲν ἓν βουβαλλικὸν, ἁμάξιν μετὰ τοῦ κοιλικώματος, λίσκρας δύο, ἀξινάρια δύο, ὑννία δύο, τὸ ἐκλείωμα, τὸ κηπωρίον, τὸ καὶ πλησίον τοῦ χωρίου, τὴν λίμνην, ἄλογα δύο σελλοχαλινωμένα, πρόβατα κεφαλὰς ἑκατὸν, τὰ ὀσπήτια τὰ ὄντα εἰς τὴν Μαγνησίαν, ἅπερ μοι ἐδωρήσατο ὁ αὐθέντης μου ὁ βασιλεὺς ὁ ἅγιος ὡς γονικά μου ἀντὶ τῶν ὀσπητίων, ὧν μοι ἀπῆρε, καὶ ἤδη ἀφιέρωσα τὰ τοιαῦτα πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Λεμβιωτίσσης οἰκειοθελῶς, αὐτοπροαιρέτως, μὴ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ δόλου ἢ ἀλλοίου δή τινος τρόπου, ἀλλὰ μετὰ σκέψεως χρονίας καὶ μετὰ μεμεριμνημένου σκοποῦ τοῦτο ἐποίησα, καὶ οὐχ ἕξει τις ἄδειαν ἀφ' ἡμῶν ἀνατρέψαι τὴν ἡμετέραν ἐκδοτηριακὴν πρᾶξιν, ἥνπερ τῷ θεῷ ἀφιέρωσα. εἰ δέ τις βουληθῇ ἀπὸ τοῦ μέρους ἡμῶν, εἴτε προσγενὴς, εἴτε γειτνιάζων ἢ αὐτὸς ἐγὼ, ὅπερ μὴ γένοιτο, οὐ μόνον οὐ μὴ εἰσακουόμεθα, ἀλλ' ἵνα ἐπισπᾶται καὶ τὰς ἀρὰς τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τῶν σταυρωτῶν τοῦ κυρίου, καὶ ὡς ἀθετητὴς καὶ παραβάτης τῶν θείων ἐντολῶν κριθήσεται. διὰ γὰρ τοῦτο ἐγεγόνει ἡ ἡμετέρα ἐκδοτηριακὴ πρᾶξις καὶ ἐπεδόθη πρὸς τὸν πανοσιώτατον καθηγούμενον τῆς τοιαύτης μονῆς καὶ πρὸς τοὺς σὺν αὐτῷ ἀσκουμένους ἅπαντας μοναχοὺς δι' ἀσφάλειαν. μηνὶ νοεμβρίῳ ἰνδ. ιγ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ὁ καὶ ἄνωθεν προτάξας καὶ κάτωθεν ὑποτάξας Γεώργιος Τζαούσιος ὁ Μελισσηνὸς ὑπέγραψα †.

CLXXI. Sine anno, mense decembri, ind. XIII.

Manuel Calampaces possessiones Georgii Tzausii tradit monasterio Lembo.

† Τὸ παραδοτικὸν γράμμα τοῦ Καλαμπάκη χάριν ὧν ἐπαφῆκεν ἐνδιαθήκως πραγμάτων εἰς τὴν μονὴν Τζαούσιος ὁ Μελισσηνός †.

† Ἐπεὶ εὕρομεν Τζαούσιον τὸν Μελισσηνὸν ἐκεῖνον Γεώργιον, ὅτι τῷ τέλει τοῦ βίου ἐχρήσατο καὶ ἐνδιαθήκως ἅπαντα τὰ κατ' αὐτὸν διετυπώσατο παρά τε τοῦ ἀρχιερέως καὶ τῶν τυχόντων μαρτύ-

ρων, ὅστις καὶ ἐν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης ἐπαφῆκεν ὀσπήτια, ἀμπέλια, χωράφια καὶ ἕτερα, καθὼς ἐγγράφως καὶ ἐνδιοθήκως διέθετο, ὅθεν καὶ κατὰ τὴν ἐκείνου πρόθεσιν παραδεδώκαμεν καὶ ἡμεῖς ταῦτα πρὸς τὴν ῥηθεῖσαν μονὴν τοῦ κατέχειν ταῦτα καὶ νέμεσθαι εἰς τὸ ἑξῆς, μὴ παρά τινος κωλυομένην. διὰ γὰρ τοῦτο ἐγεγόνει τὸ παρὸν ἡμέτερον παραδοτικὸν γράμμα καὶ ἐπεδόθη τῇ ῥηθείσῃ μονῇ εἰς ἀσφάλειαν. μηνὶ δεκεβρίῳ ἰνδ. ιγ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δοὺξ καὶ ἀπογραφεὺς τῶν Νεοκάστρων, Μανουὴλ ὁ Καλαμπάκης †.

CLXXII. Sine anno, mense ianuario, ind. XIII.

Manuel Calampaces monasterio tradit possessiones Georgii Tzausii.

† Ἕτερον παραδοτικὸν γράμμα τοῦ αὐτοῦ Καλαμπάκη, εἰς ἅπερ κατ' εἶδος ἐπαφῆκεν εἰς τὴν μονὴν ὁ διαληφθεὶς Μελισσηνὸς †.

† Παραδεδώκαμεν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραγιας θεοτόκου τῆς Λεμβιωτίσσης τὴν γῆν, ἣν Τζαούσιος ὁ Μελισσηνὸς ἐνδιαθήκως ἐπαφῆκεν, ἥτις καὶ ἔχει οὕτως· χωράφιον εἰς τὸν Ποταμὸν ἀπὸ τῆς γονικῆς αὐτοῦ στάσεως πλησίον Μιχαὴλ τοῦ Μελισσηνοῦ καὶ τῆς ὁδοῦ, μοδίων τριάκοντα. ἀπὸ τούτου μοδίων εἴκοσιν ὡς τῷ ἑτέρῳ ἐδόθη τῷ Σπαρτηνῷ, ἕτερον εἰς τὴν Ἁγίαν Μαρίνην πλησίον τῆς Ἁγίας τῆς Ὁδοῦ καὶ τοῦ Λιβαδίου, μοδίων τριάκοντα καὶ ἕξ. ἕτερον εἰς τὴν Βαλανίδα πλησίον τοῦ Κασταμονίτου, τοῦ Βοϊδᾶ καὶ τῆς ὁδοῦ, μοδίων εἴκοσιν. ἕτερον εἰς τὸν αὐτὸν πλησίον τοῦ Σπαρτηνοῦ τοῦ Βοϊδᾶ καὶ τοῦ Ἀσηκρήτου ἐν δυσί, μοδίων δεκατριῶν. ἕτερον εἰς τὸν αὐτὸν πλησίον τοῦ Παύλου τοῦ Μαγγᾶ καὶ τ ῦ Βαϊνᾶ, μοδίων τριῶν. ἕτερον εἰς τὸν Μεσόδρομον, ὅπερ κατείχετο παρὰ τοῦ Σπαρτηνοῦ πλησίον τῆς ὁδοῦ τοῦ Βοϊδᾶ καὶ τοῦ Χρυσοβέργου, μοδίων εἴκοσιν, ὡς τῷ ἑτέρῳ ἐδόθη τῷ Σπαρτηνῷ. ἐσωκήπιον πλησίον τοῦ χωρίου καὶ τῆς Ῥεούσης, μοδίου ἑνὸς . . . μοδίων ἑκατὸν δύο, καὶ ἀμπέλιον, μοδίων πέντε. καὶ ὀφείλει κατέχειν ταῦτα καὶ νέμεσθαι, καὶ τὴν ἐξ αὐτῶν πᾶσαν καὶ παντοίαν ἀποφέρηται πρόσοδον, μὴ παρά

τινος κωλυομένη. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον παραδοτικὸν καὶ ἐδόθη τῇ διαληφθείσῃ μονῇ δι' ἀσφάλειαν. 'μηνὶ ἰαννουαρίῳ ἰνδ. ιγ' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἀπογραφεὺς τῶν Νεοκάστρων, Μανουὴλ ὁ Καλαμπάκης †.

CLXXIII. 6791—1283, mense ianuario, ind. XI.

Michaël Ceramonites et familia monasterio S. Mariae vendunt campum.

† Τὸ πρατήριον Μιχαὴλ τοῦ Κεραμωνίτου, τῆς γυναικὸς καὶ τῶν παίδων αὐτοῦ χάριν τοῦ χωραφίου τοῦ ἐν τῇ θέσει τῆς αὐτῆς μονῆς ὄντος †.

Σίγνα Μιχαὴλ τοῦ Κεραμωνίτου, Ξανθῆς, τῆς συμβίου αὐτοῦ, Μαρίας, τῆς θυγατρὸς αὐτοῦ, Θεοδώρου τοῦ Κεραμωνίτου.

† Ἐν ὀνόματι κ. τ. λ. ἡμεῖς οἱ ἄνωθεν . . . τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον καθαράν, φανερὰν πρᾶσιν τιθέμεθα καὶ ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου καὶ πανταμώμου δεσποίνης ἡμῶν θεοτόκου τῆς Ἀμαναριωτίσσης, τῆς ὑποκειμένης ὡς μετόχιον ἐν τῇ σεβασμίᾳ βασιλικῇ μονῇ τῆς ὑπεράγνου θεομήτορος τῆς Λεμβιωτίσσης, καθὼς δηλωθήσεται. πιπράσκομεν καὶ γὰρ πρὸς τὴν ἄνωθεν ῥηθεῖσαν σεβασμίαν μονὴν τὸ γονικὸν ἡμῶν χωράφιον τὸ ἐν τῇ τοποθεσίᾳ τῆς ῥηθείσης μονῆς τὸ καὶ πλησιάζον ἀπὸ μὲν ἀνατολῆς τὸ χωράφιον τῆς μονῆς, ὅπερ ἔχει ἀπὸ Μιχαὴλ τοῦ Διαλεκτᾶ, ἀπὸ δὲ δύσεως τὴν ὁδόν, ἀπὸ βορέου τὴν λίμνην, ἀπὸ δὲ νότου τὸ ἕτερον χωράφιον τῆς μονῆς, ὡσεὶ μοδίων ἓξ ἢ πλέον ἢ ἔλασσον εἰς τίμημα, ὅπερ ἀμφότεροι ἠρέσθημεν καὶ συνεφωνήσαμεν ὑπέρπυρα τρία. καὶ λαβόντες ταῦτα ἀπὸ τῆς ἄνωθεν ῥηθείσης μονῆς καὶ διὰ χειρὸς τοῦ νομικοῦ εἰς τὰς ἡμετέρας χεῖρας ἐποιήσαμεν πρὸς τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν τὴν παροῦσαν πρᾶσιν, δι' ἧς ὀφείλει ἔχειν τὸ εἰρημένον χωράφιον καὶ κατέχειν κληρονομικῶς εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους κ. τ. ἑ. εἰ δ' αὐτοὶ ἡμεῖς . . . πρὸς ἀναλογίαν χωρηθῶμεν τοῦ παρόντος πρατηρίου ἡμῶν ἐγγράφου . . . δώσει προστίμου ὑποκεισόμεθα πρὸς τὴν ῥηθεῖσαν μονὴν ὑπέρπυρα τριάκοντα καὶ ἕξ, πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ του-

των τρίτον, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφυγόντες, σὺν τῷ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν πρατήριον ἔγγραφον τὸ καὶ γραφὲν προτροπῇ ἡμετέρᾳ διὰ Λέοντος, ἀναγνώστου καὶ νομικοῦ χώρας Γενικοῦ, τοῦ Καπάτου, ἐνώπιον καὶ τῶν μαρτυρησομένων. μηνὶ ἰαννουαρίῳ ἰνδ. ια' τοῦ ,ςφϟα' ἔτους †.

Μάρτυρες· Γεώργιος ὁ Ἀργυρός, Μιχαὴλ ὁ Διαλεκτός, Ἰωάννης ὁ Βαλάμης, Μαγκλαβίτης ὁ Καλονερίτης.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ πρωτοπαπᾶς χώρας Γενικοῦ, Κωνσταντῖνος ὁ Μακρός, ὑπέγραφα †.

† Ξένος ἱερεὺς ὁ Σγουρίτζης ὑπέγραφα †.

† Ὁ εὐτελὴς ἀναγνώστης καὶ νομικὸς χώρας Γενικοῦ, Λέων ὁ Κάπατος, τὰ τοῦ ὕφους γράφας ὑπέγραφα †.

CLXXIV. 6791—1283, mense martio, ind. XI.

Michaël Cechrysomenus monasterio S. Mariae campum vendit.

† Τὸ πρατήριον τοῦ Κεχρυσωμένου, τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων αὐτοῦ χάριν τοῦ χωραφίου τοῦ ἐν τῇ θέσει τῆς αὐτῆς μονῆς †.

Σίγνα Μανουὴλ τοῦ Κεχρυσωμένου, Ἄννης, τῆς συμβίου αὐτοῦ, Κωνσταντίνου καὶ Γεωργίου, τῶν υἱῶν αὐτοῦ.

† Ἐν ὀνόματι κ. τ. ἑ. ἡμεῖς οἱ ἄνωθεν . . . τὴν παροῦσαν . . . πρᾶσιν τιθέμεθα καὶ ποιοῦμεν . . . πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς διακειμένης ἐν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραμώμου θεομήτορος τῆς Λεμβιωτίσσης ὡς μετόχιον, καθὼς δηλωθήσεται. πιπράσκομεν γὰρ πρὸς τὴν ἄνωθεν ῥηθεῖσαν μονὴν τὸ γονικὸν ἡμῶν χωράφιον τὸ ἐν τῇ τοποθεσίᾳ τῆς ῥηθείσης μονῆς τὸ πλησιάζον ἀπὸ μὲν ἀνατολῆς τὸ χωράφιον τοῦ Βρακοκωδώνη καὶ τοῦ Βλαστάρη, ἀπὸ δὲ δύσεως τοῦ Καππαδόκη, ἀπὸ βορρᾶ τοῦ Ζερβοῦ, ἀπὸ δὲ νότου τοῦ Ἑξαδακτύλου, ὡσεὶ μοδίων ὂν δέκα, εἰς ὑπέρπυρα τέσσαρα, καὶ λαβόντες ταῦτα . . . ἐποιήσαμεν τὴν παροῦσαν πρᾶσιν κ. τ. ἑ. εἰ δ' αὐτοὶ ἡμεῖς . . . πρὸς ἀναλογίαν χωρηθῶμεν τοῦ παρόντος πρατηρίου ἡμῶν ἐγγράφου . . . δόσει προστίμου ὑποκεισόμεθα ὑπέρπυρα εἴκοσι τέσσαρα πρὸς τὴν μονήν, πρὸς

δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τρίτον τούτων, μὴ εἴς τινα νομικὴν βοήθειαν καταφυγόντες, σὺν τῷ καὶ οὕτω ἐρρῶσθαι τὸ παρὸν πρατήριον τὸ καὶ γραφὲν διὰ Λέοντος, ἀναγνώστου καὶ νομικοῦ χώρας Γενικοῦ, τοῦ Καπάτου. μηνὶ μαρτίῳ ἰνδ. ια΄ τοῦ ϛφλη΄ ἔτους †.

Μάρτυρες· Ἰωάννης ὁ Φράγγος, Κωνσταντῖνος ὁ Γλαβᾶς.

Reliqua desunt, foliis duobus excisis.

CLXXV. Sine anno et mense.

Synodus controversiam ortam de possessionibus Georgii Tzausii diiudicat.

Initium deest.

. . . .

εἴ τις ἐπίσκοπος εὑρεθείη ἢ ἡγούμενος ἐκ τῶν αὐτουργίων τοῦ μοναστηρίου ἢ τοῦ ἐπισκοπείου ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα ἢ ἑτέρῳ προσώπῳ ἐκδιδούς, ἄκυρον εἶναι τὴν ἔκδοσιν. καὶ μεθ' ἕτερα ἐπίσκοπος ἢ ἡγούμενος τοῦτο ποιῶν, ἐκδιωκέσθω ὁ μὲν ἐπίσκοπος τοῦ ἐπισκοπείου, ὁ δὲ ἡγούμενος τοῦ μοναστηρίου, ὡς διασκορπίζοντες κακῶς, ἃ οὐ συνήγαγον. νῦν δὲ οἱ μοναχοὶ πρὸς τὴν καθ' ἡμᾶς θείαν ἀναδραμόντες σύνοδον καὶ τὰ τοῦ πράγματος ἀπαγγείλαντες ἔπεισαν τὰ τοῖς κανόσι διοριζόμενα καὶ ἐπ' αὐτοῖς τελέσαι, τήν τε ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν ἱερὰν τῶν ἀρχιερέων ὁμήγυριν, καὶ δὴ διέγνωμεν κατά γε τὴν κανονικὴν ὑποτύπωσιν, ἀποδοῦναι αὐτούς, ὅσαπερ κακῶς πρότερον πρὸς τοῦ μαγίστρου εἰλήφεισαν, νομίσματα χρύσεα, εἴτουν τεσσαράκοντα καὶ τὰ τῇ κατ' αὐτοὺς μονῇ διαφέροντα, ὡς παρὰ τοῦ Μελισσηνοῦ ἐκείνου καταλειφθέντα λαβόντας ταύτῃ πάντα ἐπανασώσασθαι μηδαμῶς τοῦ λοιποῦ ἤ τινος τῶν ἀπὸ τοῦ τοιούτου μέρους τοῦ εἰρημένου μαγίστρου ἢ ἑτέρου παντὸς ὁποιανοῦν τινα προστρίψαι αὐτοῖς ἐπήρειαν τοῦ τοιούτου χάριν ὀφείλοντος. ἃ γὰρ τοῖς ἱεροῖς τε κανόσι καὶ θείοις νόμοις διώρισται, τὸ στέργον ἔχειν καὶ ἐνεργὸν ἐν πᾶσιν ὀφείλεται. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας ἐνσημανθέντα τε καὶ βεβαιωθέντα δι' ἀσφάλειαν ἀπελύθη. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, Νικήτας ὁ Κυπριανός †.

Εἶχε δὲ καὶ κάτωθεν ἀπῃωρημένην μολιβδίνην βούλλαν, ὡς ἡ συνήθεια τῶν χαρτοφυλάκων ἐγκεκολαμμένα ἔχουσαν γράμματα διὰ στίχων τουτωνί· Νικήτας γραφὰς χαρτοφύλακος δίδου Κυπριανοῦ τὸ κῦρος αἴσιον κύρη.

CLXXVI. Sine anno, mense maio, ind. VI.

Imperator praedium S. Mariae monasterio Lembo restitui iubet.

† Πρόσταγμα διοριζόμενον ἐπανασωθῆναι τῇ μονῇ τὸ εἰς τὴν χώραν τοῦ Γενικοῦ μετόχιον τῆς Ἀμαναριωτίσσης σὺν τῷ εὐκτηρίῳ τῆς ἁγίας Μαρίνης †.

† Πανσέβαστε, σεβαστέ, οἰκεῖε τῇ βασιλείᾳ μου, κριτὰ τοῦ θεοφρουρήτου φοσσάτου, κῦρ Κωνσταντῖνε Χειλᾶ. οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς τοῦ Λέμβου ἐπικεκλημένης ἀνέφερον, ὡς περὶ τὴν χώραν τοῦ Γενικοῦ κέκτηνται μετόχιον τὸ τῆς Ἀμαναριωτίσσης καλούμενον σὺν τῷ εὐκτηρίῳ τῆς ἁγίας Μαρίνης, ἅπερ καταγράφονται καὶ ἐν τῷ προσόντι αὐτοῖς χρυσοβούλλῳ τῆς βασιλείας μου. πρὸ καιροῦ δὲ κατεκρατήθη τὸ τοιοῦτον μετόχιον παρὰ τοῦ μέρους τοῦ Πορφυρογεννήτου, καὶ ὑπετέθη τῇ σεβασμίᾳ μονῇ τοῦ Στουδίου. κἀντεῦθεν ἐδεήθησαν ἐπανασωθῆναι τῇ κατ' αὐτοὺς τοιαύτῃ σεβασμίᾳ μονῇ. τῆς γοῦν δεήσεως αὐτῶν ἐπακούσασα ἡ βασιλεία μου διορίζεται, ὡς ἂν ἀναδέξῃ τοὺς τοιούτους μοναχοὺς καὶ οἰκονομήσῃς ἐπιλαβέσθαι καὶ κατέχειν τὸ εἰρημένον μετόχιον αὐτῶν, ὡς τὸ πρότερον κατὰ τὴν περίληψιν τοῦ προσόντος αὐτοῖς, ὡς εἴρηται, χρυσοβούλλου καὶ μὴ εὑρίσκειν παρά τινος καταδυναστείαν καὶ διενόχλησιν τῆς τούτου κατοχῆς καὶ νομῆς ἕνεκεν. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ μαΐῳ ἰνδ. ἕκτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς καὶ κάτωθεν, ὡς ἔθος τοῖς μεσάζουσι· διὰ τοῦ πρωτο-

σεβαστοῦ καὶ πρωτοβεστιαρίου καὶ μεγάλου λογοθέτου Θεοδώρου τοῦ Μουζάλωνος †.

CLXXVII. Sine anno, mense maio, ind. VI.

Monasterio Lembo possessio quaedam traditur.

† Τὸ παραδοτικὸν γράμμα τοῦ κριτοῦ τοῦ φοσσάτου †.

Parte folii abscissa initium deest.

† Καθὼς ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς διορίζεται· ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ ἡμέτερον παραδοτικὸν γράμμα, καὶ ἐπεδόθη τοῖς εἰρημένοις μοναχοῖς τῆς σεβασμίας μονῆς τῶν Λέμβων εἰς ἀσφάλειαν. μηνὶ μαΐῳ ἰνδ. ἕκτης †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κριτὴς τοῦ θεοφρουρήτου φοσσάτου, Κωνσταντῖνος ὁ Χειλᾶς †.

CLXXVIII. 6794—1386, mense iunio, ind. XIV. 6796—1387, mense octobri, ind. I.

Acta in controversia inter monasterium et Michaëlem Comnenum Branam.

I. † Πρόσταγμα πρὸς τὸν δομέστικον τῶν ἀνατολικῶν θεμάτων περὶ τῶν καταδυναστειῶν Κομνηνοῦ τοῦ Βρανᾶ τῶν εἰς τὸν κάμπον τοῦ Μεμανιωμένου καὶ τῆς Βάρης, ὧν ποιεῖ κατὰ τῆς μονῆς †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, κῦρ Μανουὴλ Σγουρόπουλε. οἱ ἀπὸ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ οὕτω πως ἐπικεκλημένης τῶν Λέμβων μοναχοὶ ἀνέφερον, ὅτι εὑρίσκουσιν ἐπίθεσιν καὶ καταδυναστείαν παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, Κομνηνοῦ κυροῦ Μιχαὴλ τοῦ Βρανᾶ, ἐπὶ τοῖς διὰ χρυσοβούλλων καὶ ἑτέρων δικαιωμάτων προσοῦσιν αὐτοῖς τοπίοις ὑπέργοις καὶ νομαδιαίοις τοῖς καὶ διακειμένοις εἰς τὴν τοποθεσίαν τοῦ κάμπου τοῦ Μεμανιωμένου ἐν τῇ τῶν Παλατίων περιοχῇ καὶ ἐν τῇ Βάρῃ, καὶ προσέταξεν ἡ βασιλεία μου, καὶ ἀπῆλθεν ἐν τῷ σεκρέτῳ αὐτῆς, καὶ ἀντεκρίθησαν τῷ δηλωθέντι Βρανᾷ, καὶ γέγονεν αὐτοῖς σεκρετικὴ δικαίωσις ἔγγραφος καὶ ἐπ' αὐτῇ ἐπικυρωτικὸς ὁρισμὸς τῆς βασιλείας

μου, ἐπικυρῶν μὲν καὶ τὰ παλαιγενῆ χρυσόβουλλα καὶ ἀλλοῖα δικαιώματα τῆς μονῆς, ἐπιβεβαιῶν δὲ καὶ τὴν σεκρετικὴν διάγνωσιν, ἣν ἐπορίσαντο οἱ μοναχοί. ἐπεὶ δὲ ἔδει καὶ τοπικῶς ἀποκαταστῆναι τοὺς μοναχοὺς εἰς ὅπερ ἔχουσι δίκαιον, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν ἀπέλθῃς σὺ ἐκεῖσε καὶ ἐξετάσῃς τὰ τῆς τοιαύτης ὑποθέσεως ἀκριβῶς καὶ μετὰ ἀληθείας. ζητήσας μὲν τὰ χρυσόβουλλα τῆς τοιαύτης μονῆς, ζητήσας δὲ καὶ τὰ ἕτερα αὐτῆς δικαιώματα καὶ γνωρίσῃς τὰς τούτων περιλήψεις, μάθῃς δὲ παρὰ τοπικῶν ἀνθρώπων χρησίμων καὶ τὰ ὅρια τῶν εἰρημένων τοπίων τῶν ἐν τοῖς τοιούτοις περιειλημμένων δικαιώμασι, καὶ ἔκτοτε τάξῃς καὶ ἀποκαταστήσῃς κατὰ τὸν τοῦ δικαίου καὶ τῆς ἀληθείας λόγον τοὺς τοιούτους μοναχούς, ὅπως κατέχωσιν ἀνενοχλήτως τὰ διαληφθέντα τόπια κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτοῖς χρυσοβούλλων καὶ ἑτέρων δικαιωμάτων καὶ μὴ εὑρίσκωσιν εἰς τὸ ἑξῆς τὴν τυχοῦσαν διενόχλησιν χάριν τούτων παρὰ τοῦ δηλωθέντος Βρανᾶ καὶ τοῦ μέρους αὐτοῦ. ὡσαύτως καὶ τὸν Βρανᾶν ἀποκαταστήσῃς καὶ αὐτὸν εἰς τὸ οἰκεῖον αὐτοῦ δίκαιον, εἰς ὅσον καὶ τὰ δικαιώματα τούτου διαλαμβάνουσιν, ἐπὶ τῷ μηδὲ τοῦτον εὑρίσκειν τὸ ἀπὸ τοῦδε ἀπὸ τῶν μοναχῶν οἱανδήτινα ἐπίθεσιν καὶ ἀδικίαν ἐπὶ τοῖς οἰκείοις. ἐπεὶ δὲ λέγει ὁ Βρανᾶς, ὅτι εἰσέρχονται οἱ μοναχοὶ εἰς τὸ ὄρος, ὅπερ περιείληπται ἐν τῷ αὐτοῦ πρακτικῷ χάριν ξυλεύσεως καὶ νομῆς, καὶ οὐ διδόασι τὸ ἀνῆκον αὐτοῖς, ὅπερ εἶχον συνήθειαν καὶ ἐδίδουν πρότερον πρός τε τὸν αὐτοῦ πενθερόν, τὸν μέγαν ἐκεῖνον δρουγγάριον, καὶ πρὸς αὐτόν, διὰ τοῦτο καὶ ἀφείλετο ἐκ τῶν μοναχῶν ὁ Βρανᾶς ὡς ἀμάχιον τὰ τῆς μονῆς πρόβατα καὶ ἄλλα τινά, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν τηρήσῃς ἀκριβῶς καὶ τὰ περὶ τούτου, καὶ ἐὰν εὕρῃς, ὅτι προσεδίδουν οἱ μοναχοὶ ὑπὲρ τῆς τοιαύτης νομῆς πρὸς τὸν δηλωθέντα πενθερὸν τοῦ Βρανᾶ, εἶτα καὶ πρὸς αὐτόν, ἀρτίως δὲ οὐ πείθονται, κατὰ τὴν αὐτῶν συνήθειαν διδόναι τὸ ἀνῆκον αὐτοῖς, οἰκονομήσῃς ἀποδιδόναι αὖθις τοὺς μοναχοὺς τὸ τεταγμένον αὐτοῖς. εἰ δὲ φανῇ μετὰ ἀληθοῦς ἐξετάσεως, ὅτι οὐδέποτε εἶχον συνήθειαν οἱ τοιοῦτοι μοναχοί, ἵνα διδῶσί τι ἕνεκεν τῆς νομῆς τοῦ ὄρους, διαφενδεύσῃς καὶ ἐπὶ τούτῳ αὐτούς, ἵνα διαμένωσι τὸ ἀπὸ τοῦδε ἀνενόχλητοι ἐξ αὐτοῦ, οἰκονομήσῃς ἀντιστραφῆναι παρὰ τούτου πρὸς αὐτοὺς καὶ τὰ πρόβατα καὶ ἄλλο

εἴ τι ἀφείλετο ἐξ αὐτῶν. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ Ἰουνίῳ ἰνδ. ιδ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. † Ἕτερον πρόσταγμα, ἐπικυροῦν τὴν γεγονυῖαν σεκρετικὴν δικαίωσιν, ἥτις ἀπελύθη χάριν ὧν ἠδίκει καὶ κατεδυνάστευεν ὁ Βρανᾶς τῇ μονῇ †.

† Ἐπεὶ οἱ κατὰ τὴν σεβασμίαν μονὴν τῆς βασιλείας μου τὴν εἰς ὄνομα τιμωμένην τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ οὕτω πως ἐπικεκλημένης τῶν Λέμβων ἐνασκούμενοι μοναχοί, ἀναδραμόντες εἰς τὴν βασιλείαν μου, ἀνέφερον, ὅτι καταδυναστεύονται παρὰ τοῦ οἰκείου αὐτῇ, Κομνηνοῦ κυροῦ Μιχαὴλ τοῦ Βρανᾶ, ἐπί τισι τοπίοις ὑπέργοις τε καὶ νομαδιαίοις τοῖς καὶ διακειμένοις ἐν τῇ τοποθεσίᾳ τοῦ κάμπου τοῦ Μεμανιωμένου ἐν τῇ τῶν Παλατίων περιοχῇ καὶ ἐπὶ ἑτέρῳ κτήματι τῶν ἐν τῇ Βάρῃ, ἃ δὴ περιῆλθον αὐτοῖς διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως ἐκείνου καὶ θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἐφ' ᾧ καὶ ἐπικυρωτικὸν χρυσόβουλλον τῆς βασιλείας μου γέγονε τῇ μονῇ. παραπεμφθέντες δὲ οὗτοι ὁρισμῷ τῆς βασιλείας μου εἰς τὸ σέκρετον αὐτῆς ἀντεκρίθησαν τῷ εἰρημένῳ Βρανᾷ καὶ ἐδικαιώθησαν οὗτοι [οἱ] μοναχοί, καὶ ἐγένετο αὐτοῖς καὶ γράμμα σεκρετικὸν δικαιοῦν αὐτούς, ἐδεήθησαν δὲ τῆς βασιλείας μου γενέσθαι αὐτοῖς ἐπὶ τούτῳ καὶ πρόσταγμα εἰς πλείονα τούτων ἀσφάλειαν, ἡ βασιλεία μου, τῆς δεήσεως αὐτῶν ἐπακούσασα, τὸν παρόντα ὁρισμὸν ἐπορέγει αὐτοῖς, δι' οὗ καὶ διορίζεται, ὡς ἂν κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτοῖς χρυσοβούλλων καὶ ἑτέρων δικαιωμάτων, ἔτι δὲ καὶ κατὰ τὴν περίληψιν τῆς γεγονυίας αὐτοῖς σεκρετικῆς διαγνώσεως κατέχωσιν ἀνενοχλήτως οἱ τοιοῦτοι μοναχοὶ τὰ εἰρημένα ὑπεργά τε καὶ νομαδιαῖα τόπια, καὶ μὴ εὑρίσκωσι παρά τινος τὴν οἱανδήτινα διενόχλησιν καὶ διασεισμὸν ἐπὶ τούτοις, οὔτε παρὰ τοῦ δηλωθέντος Βρανᾶ καὶ τοῦ μέρους αὐτοῦ, οὔτε παρ' ἑτέρου. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει αὐτοῖς εἰς ἀσφάλειαν καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου †.

† Εἶχε τό· μηνὶ Ἰουνίῳ ἰνδ. ιδ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

III. † Σεκρετικὴ δικαίωσις χάριν ὧν ἠδικεῖτο ἡ μονὴ καὶ κατεδυναστεύετο παρὰ τοῦ Κομνηνοῦ τοῦ Βρανᾶ †.

† Οἱ ἐν τῇ σεβασμίᾳ βασιλικῇ μονῇ τῇ οὕτω πως ἐπονομαζομένῃ τῶν Λέμβων ἐνασκούμενοι μοναχοὶ εἶχον διένεξιν οὐκ ὀλίγην καὶ διαφορὰν μετὰ τοῦ οἰκείου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, Κομνηνοῦ κυροῦ Μιχαὴλ τοῦ Βρανᾶ, ἐπί τισι τοπίοις διακειμένοις ἐν τῇ τοποθεσίᾳ τοῦ κάμπου τοῦ Μεμανιωμένου ὑπέργοις τε οὖσι καὶ νομαδιαίοις, καὶ τελοῦσιν ὑπὸ τὴν τῶν Παλατίων περιοχήν, ἃ δὴ τόπια περιῆλθον τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως ἐκείνου, κυροῦ Ἰωάννου τοῦ Δούκα, ἐφ' ᾧ καὶ ἕτερον χρυσόβουλλον ἐγένετο τῇ μονῇ παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅθεν καὶ πρὸς τὸ καθ' ἡμᾶς ἀναδραμόντες βασιλικὸν δικαστήριον τὰ περὶ τούτου ἀνήνεγκαν, ἐμφανίσαντες ἡμῖν καὶ ἅπερ εἰς δικαίωσιν αὐτῶν ἐπεφέροντο χρυσόβουλλα καὶ ἕτερα δικαιώματα. συνῆλθον δὲ ἐπὶ τούτῳ καὶ ἄρχοντες συγκλητικοί, οἵ τε οἰκεῖοι τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, ὁ ἐπὶ τῆς τραπέζης, κῦρ Μιχαὴλ Δούκας ὁ Φιλανθρωπηνός, ὁ πανσέβαστος πραίτωρ τοῦ δήμου, ὁ Ῥιμψᾶς, ὁ Κομνηνὸς κῦρ Θεόδωρος ὁ Ἄγγελος, καὶ σὺν τούτοις ἕτεροι πλείονες. τὰ τοιαῦτα τοίνυν δικαιώματα μετὰ χεῖρας λαβόντες ἡμεῖς καὶ ὑπαναγνόντες, συμπαρόντος καὶ τοῦ Βρανᾶ καὶ ἀντικρινομένου τοῖς μοναχοῖς, εὕρομεν τὸ χρυσόβουλλον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως πρὸς τοῖς ἑτέροις οἷς διελάμβανε καὶ τὸν τοῦ ἀοιδίμου βασιλέως ἐκείνου, κυροῦ Ἰωάννου τοῦ Δούκα, χρυσόβουλλον λόγον, ἐπικυροῦν καὶ τὸ στέργον ἔχειν καὶ ἀπαράγραπτον αὐτῷ χαριζόμενον, τὸν δέ γε χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως, κυροῦ Ἰωάννου τοῦ Δούκα, εὕρομεν καὶ αὐτὸν διαλαμβάνοντα μετὰ τῶν ἄλλων, ἅπερ ἀφιέρωνται τῇ μονῇ καὶ τὰ κατὰ τὴν τοῦ κάμπου τοῦ Μεμανιωμένου τοποθεσίαν ὑπὸ τὴν τῶν Παλατίων περιοχὴν μετὰ καὶ τῶν δικαίων αὐτῶν, τοπίων δηλονότι ὑπέργων καὶ νομαδιαίων, ὡς ὀφείλουσι καὶ ταῦτα παρὰ τῆς μονῆς κατέχεσθαι καὶ δεσπόζεσθαι, τὰ καὶ περιοριζόμενα κατὰ τὴν περί-

μετρον τὴν γενομένην τῇ μονῇ ὁρισμῷ τοῦ δηλωθέντος ἀοιδίμου βασιλέως, κυροῦ Ἰωάννου τοῦ Δούκα, παρὰ τοῦ στρατοπεδάρχου ἐκείνου, κυροῦ Μιχαὴλ τοῦ Φωκᾶ, ἐφ' ᾗ περιμέτρῳ τῶν Παλατίων διαλαμβάνονται καὶ ταῦτα τὰ τόπια, εἰς ἅπερ καὶ εὑρίσκουσι οἱ μοναχοὶ ἐπίθεσιν καὶ καταδυναστείαν παρὰ τοῦ δηλωθέντος Βρανᾶ, τό τε λιβάδιον τὸ ἐπιλεγόμενον τῶν Ἀββάδων καὶ ἕτερα χωραφιαῖα τόπια ὕπεργα καὶ νομαδιαῖα, πλησίον ὄντα καὶ γύρωθεν τῶν Παλατίων: ὡσαύτως ἀνήνεγκαν, ὅτι εὑρίσκουσι παρὰ τοῦ αὐτοῦ Βρανᾶ ἐπίθεσιν καὶ εἰς τὸ κτῆμα, ὅπερ κέκτηται ἡ μονὴ ἐν τῇ τοποθεσίᾳ τῆς Βάρης, τὰ Μῆλα λεγόμενον, οὗτινος κτήματος ὁ περιορισμὸς δηλοῦται διὰ τοῦ προσόντος τῇ μονῇ ἐγγράφου περιορισμοῦ τοῦ Παντοκράτορος. καὶ οὕτω μὲν τὰ τῶν μοναχῶν. ὁ δέ γε Βρανᾶς οὐδὲν ἄλλο ἀντειπεῖν εἶχε πρὸς αὐτοὺς ἢ καὶ μόνην τὴν τοῦ μακροῦ χρόνου συνήθειαν καὶ νομὴν, ἐγγράφως δὲ οὔτε ἀντιβαίνειν πρὸς τὸ τῶν μοναχῶν μέρος ἴσχυεν, οὔτε τὰ πρὸς ἑαυτοῦ βοήθειαν ἐδύνατο παριστᾶν, ἐφ' ᾧ καὶ οἱ τὰ περὶ τούτων δικάζοντες διέγνων καὶ ἀπεφήναντο, ὡς ἂν ἐπεὶ πρόσεστι τῇ τοιαύτῃ σεβασμίᾳ βασιλικῇ μονῇ θεῖα καὶ προσκυνητὰ βασιλικὰ χρυσόβουλλά τε καὶ ἕτερα παλαιγενῆ δικαιώματα ἐπὶ τοῖς ἀφιερωθεῖσιν αὐτῇ κτήμασιν, ἔτι τε καὶ ἔγγραφοι περιορισμοὶ τῶν προσηκόντων αὐτῇ, καὶ συντάττονται ἐν αὐτοῖς καὶ τὰ εἰρημένα τόπια ὑπεργά τε καὶ νομαδιαῖα, κατέχωνται παρ' αὐτοῖς ταῦτα κατὰ τὰς περιλήψεις πάντων τῶν προσόντων αὐτοῖς δικαιωμάτων, καὶ καθὼς ὁ τοῦ στρατοπεδάρχου ἐκείνου, τοῦ Φωκᾶ κυροῦ Μιχαὴλ, ἐπὶ τούτοις διαλαμβάνει περίορος. ἔτι τε δικαιοῦται ἡ μονὴ κατέχειν καὶ τὸ κατὰ τὴν Βάρην κτῆμα, ὡς διαλαμβάνεται ἐν τῷ περιορισμῷ τοῦ Παντοκράτορος, καὶ οὐδεμίαν εἰς τὸ ἑξῆς καταδυναστείαν εὑρίσκειν καὶ διενόχλησιν παρὰ τοῦ εἰρημένου Κομνηνοῦ τοῦ Βρανᾶ, οὔτε μὴν παρὰ τοῦ μέρους αὐτοῦ ἢ ἄλλου τῶν ἁπάντων τινὸς ἕνεκεν τῶν τοιούτων νομαδιαίων τε καὶ ὑπέργων τόπων, ὥσπερ δῆτα καὶ αὐτὸς ὁ Κομνηνὸς ὁ Βρανᾶς ἀνενόχλητος μενεῖ πάντως καὶ ἀδιάσειστος παρὰ τῶν τοιούτων μοναχῶν ἐπὶ τοῖς διαφέρουσιν αὐτῷ οἰκείοις κτήμασι κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῷ δικαιωμάτων, μήτε τοῦ τοιούτου Κομνηνοῦ τοῦ Βρανᾶ τῶν ῥηθέντων μοναχῶν κατατρέχοντος ἐπὶ τοῖς διαφέρουσι τούτοις, ὡς εἴρηται, ὑπέργοις τε καὶ νομαδιαίοις τοπίοις καὶ ἀλλοίοις κτήμασι τοῖς ἐμπεριειλημμένοις

ἐν τοῖς τῆς μονῆς δικαιώμασι, μήτ' αὖθις τῶν μοναχῶν κατεπεμβαινόντων καὶ παρενοχλούντων αὐτῷ ἐφ' οἷς οὐκ ἔχουσι δίκαιον, ἀλλ' ἑκατέρου εἰς τὴν οἰκείαν ἐμμένοντος τάξιν καὶ θάτερον ἐῶντος ἀνεπηρέαστον. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον σεκρετικὸν γράμμα κατὰ μῆνα ἰούνιον τῆς νῦν τρεχούσης ιδ' ἰνδ. τοῦ ͵ςψϞδ' ἔτους, καὶ ἐπεδόθη τοῖς διαληφθεῖσι μοναχοῖς τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ἐπονομαζομένης τῶν Λέμβων εἰς ἀσφάλειαν †.

† Ὁ νομοφύλαξ †.

IV. † Σημείωμα ἐμμάρτυρον γεγονὸς τοπικῶς ἐκ προτροπῆς γραφικῆς τοῦ δομεστίκου τῶν ἀνατολικῶν θεμάτων χάριν τοῦ ἀπολυθέντος πρὸς αὐτὸν προστάγματος περὶ ὧν διενέξεων εἶχεν ἡ μονὴ καὶ καταδυναστειῶν παρὰ τοῦ μέρους τοῦ Κομνηνοῦ τοῦ Βρανᾶ †.

† Μηνὶ μαΐῳ ζ' ἡμέρᾳ δ' ἰνδ. ιε' ἐνώπιον τῶν τιμιωτάτων κληρικῶν καὶ ἀρχόντων τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, τοῦ τε σακελλίου τοῦ Λαπαρδᾶ, τοῦ κανστρισίου τοῦ Μυστηρινοῦ, τοῦ βασιλικοῦ βεστιαρίτου, Φωκᾶ τοῦ Πακουρίνου, τοῦ ἀντίδουκος τῶν δεσποινικῶν κτημάτων τῆς Πέτρας, Κωνσταντίνου τοῦ Φραγγοπούλου, τοῦ Καλοειδᾶ Λέοντος, τοῦ Μοσχηνοῦ Μιχαὴλ, τῶν ὑπὸ τὸν Κομνηνὸν τὸν Βρανᾶν ἀνθρώπων, τοῦ τε Φυτειανοῦ καὶ τοῦ Σαραντηνοῦ καὶ ἀπὸ τῆς χώρας Μουρμούντων νομικοῦ τοῦ Κεραμάρη, Ἰωάννου τοῦ Φιλομμάτου, Ἰωάννου τοῦ Σπανολέοντος, Γεωργίου τοῦ Ζωωτοῦ, Μιχαὴλ τοῦ Κομίτου, Ξένου τοῦ Κοκκοβαύλου, καὶ ἀπὸ χώρας Πρινοβάρεως Κωνσταντίνου ἱερέως καὶ νομικοῦ τοῦ Κοπάδου, Μιχαὴλ ἱερέως τοῦ Μαυχῆ, Μιχαὴλ ἱερέως τοῦ Ῥοδιανοῦ, Λέοντος τοῦ Ληστοῦ, Κωνσταντίνου τοῦ Πυρράκη, Ἰωάννου τοῦ Ῥοδιανοῦ, Ἰωάννου τοῦ Μοσχολιβάνου, καὶ ἀπὸ τῆς Μανταίας Θεοδώρου τοῦ Μονομάχου, τοῦ Μαυροϊωάννου καὶ ἑτέρων †.

† Πρόσεισι μὲν καὶ τῇ κατὰ τὸ ὄρος τῶν Λέμβων διακειμένῃ σεβασμίᾳ βασιλικῇ μονῇ παλαιγενῆ δικαιώματα τοῦ ἀοιδίμου βασι-

λέως, κυροῦ Ἰωάννου τοῦ Δούκα, καὶ διὰ χρυσοβούλλου λόγου ἐπικυροῦντος τὰ τῇ τοιαύτῃ μονῇ προσόντα, ἃ καὶ ἀριδηλοτέρως ἐμφέρονται ἐν τῷ καθολικῷ παραδοτικῷ τοῦ στρατοπεδάρχου ἐκείνου καὶ δουκὸς τοῦ θέματος Θρακησίων καὶ Φιλαδελφείας, κυροῦ Μιχαὴλ τοῦ Φωκᾶ, εἰς ὃ δὴ μετὰ τῶν ἄλλων καὶ ὁ τοῦ χωρίου Μήλων ἤτοι Βάρης περιορισμὸς διερμηνεύει καὶ διὰ σημείων ἐκτυποῦται, διαχωρίζων τὰ δίκαια τῶν πέριξ χωρῶν τῆς τε Πρινοβάρεος καὶ τῶν Μουρμούντων, ἀλλ' ἡ τῆς πλεονεξίας λύσσα τοῖς ταύτην λέγω κεχραμένοις ὡς μηδέποτε κόρον ἔχουσα καὶ τούτους δὴ τοὺς ἐκ τῶν Μουρμούντων τῇ δυναστείᾳ χρωμένους ἐπίθεσιν, ὅτι πολλὴν τῶν προσόντων δικαίων τῇ μονῇ διειργάσαντο, εἰς ἑαυτοὺς ἐπηλάσαντες τὰ τῷ θεῷ ἀφιερωμένα, μηδοπωσοῦν προσφαύειν τι. κἀντεῦθεν οἱ μοναχοὶ διηνεκῶς πρὸς τὸν θεὸν ἀνατείνοντες τοὺς νοεροὺς ὀφθαλμοὺς καὶ γνῶντες τὴν πτῶσιν τοῦδε τοῦ ἀτοπήματος, τήν τε ἑαυτῶν περιφρόνησιν καὶ τὴν ἐναργῆ δυναστείαν τῶν εἰρημένων πρὸς τὸ βασιλικὸν καὶ θεῖον ὕφος ἀνέδραμον, μὴ φέροντες ὅλως τὸ ἀτόπημα· οἷ δὲ καὶ ἀντικριθέντες τῷ πανευγενεστάτῳ Κομνηνῷ τῷ Βρανᾷ ἡ τοῦ σεκρέτου δικαίωσις πρὸς αὐτοὺς ἀπελύθη δικαιώσεως ἕνεκα, ἐπικυρωθεῖσα καὶ διὰ βασιλικοῦ καὶ θείου προστάγματος, ἀλλὰ καὶ πρὸς ἐπιστασίαν τοπικὴν ἄλλος κατεπέμφθη θεῖος ὁρισμὸς τῷ πανσεβάστῳ οἰκείῳ τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, δομεστίκῳ τῶν ἀνατολικῶν θεμάτων τῷ Σγουροπούλῳ, διοριζόμενος αὐτῷ ἐκεῖσε ἀπελθεῖν πρὸς ἐξέτασιν τῆς τοιαύτης ὑποθέσεως, οὕτινος δὴ γραφὴν ἡμῖν προκεκόμικεν ὁ τῆς σεβασμίας ταύτης βασιλικῆς μονῆς ὁσιώτατος καθηγούμενος, ἱερομόναχος κῦρ Κάλλιστος, παρεγγυοῦσαν ἀφικέσθαι ἐν τοῖς τοιούτοις τόποις ἅμα τῷ ἄνωθεν δηλωθέντι βασιλικῷ βεστιαρίτῃ τῷ Πακουριάνῳ, καὶ διὰ χρησίμων ἀνδρῶν μάθωμεν τὰ ὅρια τῶν εἰρημένων τοπίων τῶν ἐν τοῖς τοιούτοις περιειλημμένων δικαιώμασι, καὶ ἀποκαταστήσωμεν κατὰ τὸν τῆς ἀληθείας λόγον ἀνενοχλήτους τοὺς μοναχοὺς κατὰ τὴν περίληψιν τοῦ προστάγματος, ἀλλὰ καὶ δευτέρα γραφὴ τοῦ αὐτοῦ δομεστίκου τῶν ἀνατολικῶν θεμάτων ἀπεστάλη μεθ' ἑτέρων δύο μοναχῶν καὶ τοῦ ἀντίδουκος τῶν δεσποινικῶν κτημάτων, Λέοντος τοῦ Καλοειδᾶ, πρὸς τοὺς ὑπὸ παροικίαν ὄντας Μουρμουντηνοὺς τῷ περιποθήτῳ γαμβρῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, μεγάλῳ δομεστίκῳ, πανευγενεστάτῳ Κομνηνῷ τῷ Ἀγ-

γέλῳ, ὅπως καὶ αὐτοὶ ἐπιδημήσωσι πρὸς ἡμᾶς, καὶ εἴπερ ἔχουσι δικαίωμά τι, ἐμφανίσωσιν αὐτό, οἳ καὶ ἐντυχόντες τῷ διενεργοῦν[τι] τὸ τοιοῦτον κτῆμα τῷ Μακρῷ ἅμα γηραιοῖς τοπικοῖς ἀνδράσιν, ὀψὲ μὲν συνέθεντο ἐπιφωσκούσης ἐλθεῖν τῆς ἡμέρας, ἐννοήσαντες δὲ καὶ τὸ πῶς ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, ἀλλὰ καὶ ὁ ἀδικῶν οὐ δύναται προσπελάσαι τῇ ἀληθείᾳ, ἐλεγχόμενος ὑπὸ τῶν οἰκείων ἔργων. διὸ καὶ δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν οἰόμενοι ὡς δυνάναι καὶ αὖθις δικαιωθῆναι τῇ χρησαμένῃ φυγοδικίᾳ. ὁ δέ γε πανευγενέστατος Κομνηνὸς ὁ Βρανᾶς, μετάκλητος γεγονώς, εἶξε τοῖς βασιλικοῖς καὶ θείοις προστάγμασι, καὶ ἅμα τοῖς κατ' ὄνομα δηλωθεῖσιν ἀνωτέρω ἀνδράσι τὰ ὅρια διήλθομεν ἀνὰ χεῖρας κρατοῦντες τῶν προσόντων τῇ σεβασμίᾳ μονῇ παλαιῶν δικαιωμάτων· στάντες οὖν ἐν τῇ τοποθεσίᾳ τῇ λεγομένῃ τὰ τῆς Μανικαραίας καλόβια, εὕρομεν λίθον μαῦρον τῇ γῇ προσερριμένον ἐγκεκολαμμένοις γράμμασιν ἔχοντα· ὅρος Μήλων. εἶτα ἐκ τῶν Μουρμούντων ὁ Ζωωτὸς μετ' ἐντολῆς ἄνωθεν ἐπὶ πολὺ ὑπέδειξεν ἡμῖν τὰ ἐν τῷ περιόρῳ δηλούμενα χωμάτσια τοῦ προστάτου καὶ τοῦ Βλαττεροῦ ἐνώπιον πάντων, ἔνθα εὑρέθη καὶ ὁ δηλωθεὶς ἐν τῷ χάρτῃ λίθος μαῦρος, οὐκ ἐπὶ πολὺ ἐπέχων πρὸς ὕψος τῇ γῇ, πλατύς, τετράγωνος, ἐπὶ μήκει ἔχων ἐν μὲν τῷ μέσῳ τυπὸν βραχὺν τοῦ τιμίου σταυροῦ καὶ ἐν ταῖς τρισὶ γωνίαις τὸ γάμμα στοιχεῖον, ἐν δὲ τῇ πρὸς δύσιν ἑτέρᾳ γωνίᾳ, ἐν ᾗ ἐντετύπωτο τὰ ἀπὸ παλαιοῦ ἐγκεκολαμμένα γράμματα κοῖλα δι' ἐγχειριδίου ἀνδρὸς εὕρομεν σεσημμένην πρὸς ἀπάλειψιν τῶν ἐν αὐτῷ γραμμάτων. αὖθις οὖν διαπεράσαντες τὸν ἐκεῖσε χείμαρρον ἀνήλθομεν εἰς τὸ τοῦ Μαζοχόρτου ὄρος. εἶτα τὴν ῥάχιν τούτου ἐπὶ πολὺ τὴν διαιροῦσαν ἔνθεν πρὸς ἄρκτον καὶ ἔνθεν πρὸς νότον τὰ ὕδατα. εἶθ' οὕτως κατελάβομεν τῆς τοῦ Ξυλοκάστρου κορυφῆς καὶ κατήλθομεν εἰς τὴν λεωφόρον ὁδόν, δυτικὸν μέρος τὴν λεγομένην παχεῖαν ψάμμον πλησίον τῆς θαλάσσης, ἐν ᾗ εὑρέθη λίθος μέγας εἰς ὄψιν τῆς γῆς κείμενος θωκοειδής. ἐν τούτῳ οὖν πρὸς ἀνατολὴν εἰσὶ γράμματα ἐγκεκολαμμένα δηλοῦντα· Λέμβου. ἐν ᾧ δὲ τόπῳ λίθου ὄπισθεν ἐγγέγραπτο· ὅρος. ἀλλοιωθεὶς διὰ σιδήρου ἀπαλείψας καὶ τὰ γράμματα, ὃν δὴ λίθον μετὰ τῶν ἄλλων τεθέατο αὐτοφὶ καὶ ὁ Κομνηνὸς ὁ Βρανᾶς μεθ' ἡμῶν. καὶ τὰ μὲν τοῦ περιόρου τοῦ τῶν Μήλων χωρίου ἀριδήλως ἡμῖν ἐσαφήνισαν, αἰδεσθέντες ἅπαντες, ὡς χριστιανοί, τὸν ἐξενεχθέντα πνευματικὸν

δεσμόν. μετίομεν δὲ καὶ ἐν τῷ μετοχίῳ τῆς μονῆς τὰ Παλάτια, ἐν ᾧ εὑρίσκεται καὶ λιβάδιον τὸ ἐπιλεγόμενον τῶν Ἀββάδων, ὃ δὴ λιβάδιον ἐμφέρεται ἐν τῷ τῆς μονῆς παραδοτικῷ· περιελθόντες οὖν τοῦτο γύρωθεν μεμαρτύρητο παρὰ ἀξιοπίστων ἀνδρῶν, δυναστεύεσθαι διηνεκῶς τῇ μονῇ ἐν τῷ τοῦ ἀμητοῦ καιρῷ παρὰ τῶν ἐποίκων τοῦ χωρίου Μουρμούντων, κατεπεμβαινόντων ἀδεῶς καὶ εἰσαγόντων καὶ ἐξαγόντων τὰ ζῷα αὐτῶν πάντα ἐπὶ τοῦτο, μηδοπωσοῦν κατά τινα δικαιούμενοι τρόπον ἢ μόνον τῷ πλησιάζειν μερικῶς πως, τρόπῳ δὲ δυναστικῷ, πλησίον δὲ τοῦ ζευγηλατείου Κομνηνοῦ τοῦ Βρανᾶ εὑρίσκεται λίθος μαῦρος τετράγωνος, εἰς ὃν εἰσὶ γράμματα ἐγκεκολαμμένα· ὅρος Λέμβου. ἐντὸς δὲ τούτου εὑρίσκονται ὀσπήτια τοῦ δηλωθέντος Κομνηνοῦ τοῦ Βρανᾶ, δι' ἃ καὶ διέγνω ὁ αὐτὸς Κομνηνὸς καὶ ἀπεφήνατο, ἑκουσίως χαλασθῆναι καὶ ἐκθεμελιωθῆναι. τούτων οὖν οὕτως ἐχόντων διὰ ἀληθοῦς μαρτυρίας καὶ ἐπιστασίας τοπικῶν ἀξιοπίστων ἀνδρῶν ᾐτήσαντο οἱ μοναχοὶ δῆλα γενέσθαι διὰ σημειώσεως, ἅπερ καὶ γεγονότα ἐπεδόθη εἰς ἀσφάλειαν. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Γεώργιος ὁ Χρυσοβέργης †.

V. † Γράμμα ἀποκαταστατικὸν τοῦ δομεστίκου τῶν ἀνατολικῶν θεμάτων χάριν ὧν ἠδίκει καὶ κατεδυνάστευε τὴν μονὴν Κομνηνὸς ὁ Βρανᾶς, δι' ὧν προέβη καὶ ἡ σεκρετικὴ δικαίωσις καὶ προσκυνητὰ προστάγματα καὶ τοπικὴ σημειώδης μαρτυρία †.

† Ἐπεὶ ὡρίσθην παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅπως τηρήσω τὴν διένεξιν, ἣν εἶχεν ἡ σεβασμία βασιλικὴ μονὴ τῶν Λέμβων μετὰ τοῦ οἰκείου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κυρῷ Μιχαὴλ Κομνηνοῦ τοῦ Βρανᾶ, ἐπί τινι τοπίῳ λεγομένῳ Μῆλα ἤτοι Βάρη, καὶ ἀποκαταστήσω αὐτὴν εἰς ὅπερ ἔχει δίκαιον, ἵνα μὴ καθέλκηται παρὰ τοῦ μέρους αὐτοῦ δὴ

τοῦ Βρανᾶ ἢ παρ' ἑτέρου προσώπου πλησιοχωροῦντος τῷ τοιούτῳ τοπίῳ κατὰ τὴν περίληψιν τοῦ θείου καὶ προσκυνητοῦ ὁρισμοῦ, διὸ κατεπειγόμην ἐγὼ ὑπὸ τῆς πολλῆς μου ἐνοχῆς, καὶ οὐκ ἠδυνήθην αὐτὸς ἀπελθεῖν καὶ τηρῆσαι ταύτην, ἀπέστειλα σύντροφόν μου βεστιαρίτην τὸν Πακουριάνον καὶ τοὺς ἐντιμοτάτους ἄρχοντας τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, τόν τε χαρτοφύλακα καὶ τὸν πρωτοπαπᾶν σὺν αὐτοῖς καὶ τὸν σακελλίου καὶ τὸν κανστρίσιον, καὶ ἀπελθόντες τοπικῶς ἐκεῖσε παρόντος καὶ τοῦ δηλωθέντος Κομνηνοῦ τοῦ Βρανᾶ κυροῦ Μιχαὴλ εἰς τὸ τηρῆσαι καὶ εὑρεῖν, ὁποῖον μέρος τῶν ἀμφοτέρων ἔχει δίκαιον. ὅθεν καὶ τηρήσαντες ἀκριβῶς τὴν τοιαύτην διένεξιν καὶ σημειωματικῶς αὐτὴν ἐκθέμενοι καὶ πρός με στείλαντες τὸ σημείωμα ἀποκατέστησα τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν τῶν Λέμβων τοῦ εἶναι ἀνενόχλητον καὶ ἀδιάσειστον ἀπὸ τοῦ μέρους τοῦ Βρανᾶ κατὰ τὴν γεγονοῖαν αὐτῇ πρότερον σεκρετικὴν κρίσιν καὶ τὴν νῦν γινομένην ἀρτίως σημειωματικὴν διάγνωσιν τὴν ἐξ ἐπιτροπῆς ἡμετέρας γενομένην παρὰ τῶν ἄνωθεν δηλουμένων ἀρχόντων ἐκκλησιαστικῶν καὶ τοπικῶν χρησίμων ἀνδρῶν, ἱερωμένων καὶ λαϊκῶν, καὶ ὀφείλει ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἡ δηλωθεῖσά τε σεβασμία μονὴ διαμένειν ἀνενόχλητος καὶ ἀδιάσειστος ἐπὶ τῷ δηλωθέντι τοπίῳ αὐτῆς ἀπό τε τοῦ μέρους Κομνηνοῦ τοῦ Βρανᾶ καὶ ἀφ' ἑτέρου πλησιάζοντος αὐτῇ τῇ ἐμφανείᾳ τοῦ παρόντος ἡμετέρου γράμματος καὶ τῆς σημειωματικῆς μαρτυρίας καὶ ἐπιστασίας τῆς γινομένης παρὰ τῶν ἄνωθεν δηλωθέντων. διὰ τοῦτο γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἡμέτερον γράμμα καὶ ἐπεδόθη τῇ σεβασμίᾳ βασιλικῇ μονῇ τῶν Λέμβων δι' ἀσφάλειαν. μηνὶ μαΐῳ ἰνδ. ιε' †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Μανουὴλ σεβαστὸς Σγουρόπουλος, ὁ δομέστικος τῶν ἀνατολικῶν θεμάτων †.

VI. † Ἕτερον πρόσταγμα, διοριζόμενον περὶ τοῦ αὐτοῦ Κομνηνοῦ τοῦ Βρανᾶ καὶ περὶ τῶν Μουρμουντηνῶν, ὡς ἀδίκως καταδυναστευομένων τὴν μονὴν εἰς ἃ ἔχει δίκαια †.

† Οἰκεῖε γραμματικὲ τῆς βασιλείας μου, δοὺξ τοῦ θέματος τῶν θρακησίων, Φωκᾶ Αὐτωρειανέ. οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς ἐπ' ὀνόματι τιμωμένης τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῶν Λέμβων, ἀναδραμόντες εἰς τὴν βασιλείαν μου, ἀνέφερον, ὅτι κέκτηται ἡ κατ' αὐτοὺς τοιαύτη σεβασμία μονὴ διὰ παλαιγενῶν χρυσοβούλλων, ἔτι δὲ καὶ χρυσοβούλλου τῆς βασιλείας μου περὶ τὸν τόπον τῆς Βάρης καὶ τῶν Παλατίων τόπων ὀρεινόν τε καὶ λιβαδιαῖον, παραδεδομένον καὶ περιωρισμένον τοῖς τοιούτοις μοναχοῖς διὰ διαφόρων ἀπογραφικῶν ἀποκαταστάσεων, ὡς δὲ ἠδικοῦντο καὶ κατεδυναστεύοντο πρὸ καιροῦ ἐπὶ τούτῳ παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, Κομνηνοῦ τοῦ Βρανᾶ κυροῦ Μιχαήλ, ἀνέδραμον ἐνταῦθα καὶ ἐκρίθησαν μετ' αὐτοῦ ἐν τῷ σεκρέτῳ τῆς βασιλείας μου, καὶ ἐδικαιώθησαν οἱ διαληφθέντες μοναχοὶ εἰς τὸ κατέχειν τὸν τοιοῦτον τόπον αὐτῶν ἀνενοχλήτως ἀπὸ τοῦ δηλωθέντος Κομνηνοῦ τοῦ Βρανᾶ. ἐπορίσαντο δὲ ἐπὶ τῇ τοιαύτῃ σεκρετικῇ κρίσει καὶ πρόσταγμα καὶ κατεῖχον ἔκτοτε καὶ μέχρι τοῦ νῦν τὸν τοιοῦτον ὀρεινὸν καὶ λιβαδιαῖον τόπον ἀνενοχλήτως καὶ ἀδιασείστως, ἀρτίως δὲ εὑρίσκουσιν οὐκ ὀλίγας καταδυναστείας καὶ ἀδικίας ἐπ' αὐτῷ παρὰ τοπικῶν, τῶν Μουρμουντηνῶν λεγομένων, μὴ ἀρκουμένων ἐπὶ τῷ νέμεσθαι τὰ ζῷα αὐτῶν εἰς τὸν τοιοῦτον τόπον, καθὼς καὶ τὰ τῶν τοιούτων μοναχῶν ζῷα εἰς τὸν τόπον τῶν τοιούτων Μουρμουντηνῶν κατὰ τὴν προτέραν συνήθειαν, ἣν εἶχον καὶ μέχρι τοῦ νῦν, ἀλλὰ πειρωμένων κατακρατεῖν καὶ ἰδιοποιεῖσθαι ἀμετόχως τὸν τοιοῦτον τόπον καὶ ἐδεήθησαν διὰ τοῦτο τῆς βασιλείας μου, ἥτις καὶ διορίζεταί σοι, ὡς ἂν ἐπιστῇς ἐκεῖσε τοπικῶς καὶ τηρήσῃς τὰ τῆς τοιαύτης ἀναφορᾶς αὐτῶν, καὶ εἴπερ εὑρήσεις οὕτως ἔχουσαν τὴν ἀλήθειαν, δεφενδεύσῃς τοὺς εἰρημένους μοναχοὺς καὶ οἰκονομήσῃς, ἵνα κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτοῖς χρυσοβούλλων, ἔτι δὲ καὶ λοιπῶν δικαιωμάτων καὶ τὴν συνήθειαν, ἥτις ἐπεκράτησε μέχρι τοῦ νῦν εἰς αὐτούς, κατέχωσι μὲν τὸν διαληφθέντα ὀρεινὸν καὶ λιβαδιαῖον τόπον αὐτῶν, καὶ οὐδὲν εὑρίσκωσιν ἐπὶ τῇ κατοχῇ καὶ νομῇ αὐτοῦ μήτε παρὰ τῶν διαληφθέντων τοπικῶν, μήτε παρ' ἑτέρου τινὸς διασεισμὸν ἢ καταδυναστείαν τινά· ἔχωσι μέντοι τὰ τῶν τοιούτων ζῷα τὴν νομὴν αὐτῶν εἰς τὸν τοιοῦτον τόπον ἀκωλύτως, ὡσαύτως καὶ τὰ τῶν εἰρημένων μοναχῶν ζῷα εἰς τὸν τόπον αὐτῶν, ὡς

εὑρήσεις, ὅτι ἐπεκράτησε μέχρι τοῦ νῦν ἡ συνήθεια εἰς ἀμφότερα τὰ μέρη. καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. πρώτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLXXIX. Sine anno, mense septembri, ind. I; octobri, ind. XII; iulio, ind. II.

Imperator monasterio donat ducentos modios salis.

I. † Πρόσταγμα τοπωματικὸν χάριν τῶν διακοσίων μοδίων τοῦ ἅλατος, ὧν λαμβάνει ἡ μονὴ κατ' ἔτος ἀπὸ τῶν τῆς Σμύρνης ἁλυκῶν †.

† Τυποῖ ἡ βασιλεία μου διὰ τῆς παρούσης αὐτῆς προστάξεως λαμβάνειν κατ' ἔτος τὴν σεβασμίαν μονὴν τῆς βασιλείας μου τῶν ἁλυκῶν τῆς Σμύρνης, ὡς καινισθεῖσαν ἀρτίως παρὰ τῆς βασιλείας μου, ἅλατος μοδίους ἀνοννικοὺς διακοσίους, ἐφ' ᾧ καὶ τῇ ἐμφανείᾳ τοῦ παρόντος ὁρισμοῦ τῆς βασιλείας μου ὀφείλουσιν οἱ διενεργοῦντες τὴν τοιαύτην ἁλυκὴν διδόναι κατ' ἔτος καὶ τοὺς διακοσίους μοδίους τοῦ ἅλατος πρὸς τὴν εἰρημένην μονὴν ἀπαραλείπτως καὶ ἀνακρωτηριάστως. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ μονῇ τῆς βασιλείας μου καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου εἰς ἀσφάλειαν αἰωνίζουσαν †.

† Εἶχε τό· μηνὶ σεπτεβρίῳ ἰνδ. πρώτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς καὶ τό· διὰ τοῦ Τορνίκη Δημητρίου κάτωθεν, ὡς ἔθος τοῖς μεσάζουσιν †.

II. † Ἕτερον πρόσταγμα, διοριζόμενον καὶ τὸ τοιοῦτον περὶ τοῦ ἅλατος †.

† Ὁ κρατῶν τὰς κατὰ τὴν Σμύρνην ἁλυκὰς δικαίῳ τοῦ δημοσίου, ἐπεὶ συνήθεια ἐστὶ δίδοσθαι κατ' ἔτος πρὸς τὸ μέρος τῆς σεβασμίας μονῆς τῶν Λέμβων ἀπὸ τῆς εἰσόδου τῶν τοιούτων ἁλυκῶν ἅλατος μοδίους διακοσίους, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν

ἐπιδώσεις καὶ σὺ ἀρτίως πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς ἅλατος μοδίους διακοσίους ἀπὸ τῆς εἰσόδου τῶν τοιούτων ἀλυκῶν καὶ δεχθήσεταί σοι. ποίησον οὖν κατὰ τὸν παρόντα τῆς βασιλείας μου ὁρισμόν †.

† Εἶχε τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. δωδεκάτης δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

III. † Ἕτερον πρόσταγμα, διοριζόμενον καὶ τὸ τοιοῦτον περὶ τῆς δόσεως τοῦ ἅλατος †.

† Πανσέβαστε, σεβαστὲ οἰκεῖε τῇ βασιλείᾳ μου, πρωτοιερακάριε κύριε Κωνσταντῖνε Χαδηνέ. ἐπεὶ συνήθειαν εἶχεν ἡ σεβασμία μονὴ τῆς βασιλείας μου τῶν Λέμβων λαμβάνειν ἐτησίως ἅλατος μοδίους διακοσίους, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν κατὰ τὴν συνήθειαν διδῷς καὶ σὺ τοὺς τοιούτους μοδίους τοῦ ἅλατος κατ' ἔτος πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς ἀνυστερήτως καὶ χωρίς τινος ἀφορμῆς καὶ προφάσεως, ὡς ὀφειλόντων δέχεσθαί σοι εἰς τὸ τῆς βασιλείας μου βεστιάριον. ἀλλὰ καὶ οἱ μετὰ σὲ ἐλευσόμενοι κρατεῖν τὰς τοιαύτας ἀλυκὰς ὀφείλουσι καὶ οὗτοι τῇ ἐμφανείᾳ τοῦ παρόντος ὁρισμοῦ τῆς βασιλείας μου διδόναι τοὺς τοιούτους διακοσίους μοδίους τοῦ ἅλατος πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς ἀνυστερήτως πάντη καὶ ἀνεγκρατήτως, ὡς ὀφειλόντων δέχεσθαι καὶ τούτοις εἰς τὸ τῆς βασιλείας μου βεστιάριον. ποίησον οὖν, καθὼς σοι διορίζεται ἡ βασιλεία μου. ἀντίστρεψον δὲ τῷ μέρει τῆς τοιαύτης σεβασμίας μονῆς καὶ τὸν παρόντα τῆς βασιλείας μου ὁρισμὸν δι' ἀσφάλειαν †.

† Εἶχε τό· μηνὶ ἰουλίῳ ἰνδ. β' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CLXXX. 6802—1294, 23 martii, ind. VII.

Gudeles Tyrannus monasterio cedit possessiones suas.

Initium deest.

. . . .

οὕσπερ ἀνεθέμην ἐξ ἀγορασίας, ὅπως ἂν εὑρίσκῃ ἀπὸ τοῦδε κρείττονα

τὴν ἀνοικοδομὴν καὶ βελτίωσιν. ἔχει δὲ προηγουμένως τὸ μνημόσυνον αὐτοῦ ὁ κράτιστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς ἀκαταπαύστως, καὶ ὁ δεσπότης ἡμῶν ὁ οἰκουμενικὸς πατριάρχης καὶ ἐγὼ ὁ ἁμαρτωλὸς μετὰ καὶ τοῦ χριστωνύμου λαοῦ. εἰσὶ δὲ τὰ ἀνατεθειμένα ἐργαστήρια τὰ τζόχας πωλοῦντα τέσσαρα. πύργος μετὰ μαγκιπείου καὶ ἐργαστηρίου. ἔχουσι δὲ τὰ τοιαῦτα ἀνὰ χρόνον ἕνα ἐνοίκιον ὑπέρπυρα διακόσια. ἀμπέλια τρία, ὡσεὶ μοδίων ἀνοννικῶν τεσσαράκοντα. ζευγηλατεῖον ἐν τόπῳ τῷ καλουμένῳ τὰς Πηγὰς ὡσεὶ μοδίων θαλασσίων δέκα, ζευγάρια δύο, ἀργὰ τέσσαρα, ἄλογα δύο, ἕτερον μαγκιπεῖον τὸ ἐν τῷ ἀγγουρείῳ, λουτροῦ τὸ ἥμισυ, ἀμπέλιον ἐντὸς τούτου, χωράφια, ὀσπήτια καὶ ἄλλα τινὰ ὑλικά, ὅσα καὶ εἶδον οἱ τοιοῦτοι μοναχοί. ἔχω γοῦν χάριν τούτων τῶν ὀσπητίων χρέος ὑπέρπυρα τετρακόσια εἴκοσι, καὶ κατεδέξαντο οἱ τοιοῦτοι ἅπαντες μοναχοὶ τὰ μὲν ἑκατὸν πεντήκοντα ἀπεκβαλεῖν μέχρις ὀλίγου καιροῦ, τὰ δὲ ἕτερα ἀπὸ τῶν τοιούτων ἐξέρχεσθαι κτημάτων καὶ ἐξ ἄλλων τρόπων, ὧν εἶδον αὐτοὶ ὡς οἰκοκύριοι, ἀνατίθημι καὶ τὰ ἐν τῷ Νυμφαίῳ ὀσπήτια καὶ ἐργαστήρια. ἔξωθεν γοῦν τούτων ἐκράτησα λόγῳ μου ὥσπερ μερίδιόν τι ἑνὸς ἐργαστηρίου μυρεψικοῦ καὶ ὀσπήτιον ἐντὸς τῶν ἀναγεγραμμένων, ἵνα μηδὲν ἔχωσιν οἱ τοιοῦτοι μοναχοὶ τινὰ ἐξουσίαν διασεῖσαί με τὸ τυχόν, ἀλλ' ὅπου ἂν βούλωμαι ἀποδοῦναι ἀκωλύτως ἔχω ὡς κύριος τῶν τοιούτων. τὰ δὲ εἰσοδιαζόμενα ἀπὸ τῶν τοιούτων πάντων κτημάτων καὶ ἐξοδιαζόμενα πρὸς περιποίησιν καὶ βελτίωσιν καὶ ἀνάκτισιν τοῦ μοναστηρίου ἕνα ἐπ' ἐμοὶ καταρτίζωνται μετὰ καὶ εἰδήσεως τῶν ἐνταῦθα μοναχῶν. εἰ δὲ που τύχῃ καὶ οὐχ εἰς σύστασιν καὶ αὔξησιν τοῦ τοιούτου κτήματος καὶ ἀπαρτισμόν, εἰς ὃ πολλὰ ἔκαμον (θεὸς ὁ τῶν κρυπτῶν γνώστης οἶδεν) ἀνακτίσασθαι καὶ συστῆσαι οἱ τοιοῦτοι μοναχοὶ διατρέχουσιν, ἀλλ' εἰς ἀφανισμὸν ἢ οἱ νῦν λεγὼ ἢ οἱ μετέπειτα, ἵνα ἔχωσιν ἐπ' ἀδείας οἱ καθ' αἵματός μου ἀνακρίνειν καὶ ἀνατρέπειν τὴν πᾶσαν τοιαύτην συμβίβασιν. συμφωνοῦσι δὲ οἱ μοναχοὶ ἐνώπιον καὶ τῶν κάτωθεν ὀφειλόντων ὑπογράψαι μαρτύρων, ἵνα ἔχω δι' ὅλου ἀταράχως τὴν ζωήν μου, ὡς καὶ οἱ λοιποὶ μοναχοὶ ἅπαντες καὶ τά, ἅπερ ἐκράτησα λόγῳ μού εἰς μικράν μου περιποίησιν, ἔξω καὶ εἰς αὐτὰ ἐπ' ἀδείας ποιῆσαι, ὃ θέλω. εἰ δὲ οὐ πληροῦσιν οἱ μοναχοί, ὅσον συνεφώνησαν, ἤγουν εἰς ἀνάκτισιν καὶ βελτίωσιν τῆς μονῆς, ἵνα ἔχω αὐτὸς ἐπ'

ἀδείας ἐγκλητεῦσαι αὐτοὺς εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἢ καὶ εἰς τὸν αὐθέντην ἡμῶν, τὸν βασιλέα τὸν ἅγιον, καὶ ἐμφανιζομένης τῆς παρούσης συμφωνίας καὶ μὴ φυλάσσοντες οἱ ἀμφότεροι, ἵνα ἐκπίπτῃ παραυτίκα ὁ μὴ φυλάσσων καὶ στέργων τὰ ἀναγεγραμμένα, καὶ ἐκδιώκηται καὶ ἀπὸ παντὸς δικαστηρίου ἐκκλησιαστικοῦ τε λέγω καὶ πολιτικοῦ ἢ αὐτὸς ἢ τὸ μέρος τῶν μοναχῶν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν ἐκδοτήριον γράμμα εἰς βεβαίωσιν καὶ ἀσφάλειαν, καὶ ἐπεδόθη τοῖς διαληφθεῖσι μοναχοῖς μηνὶ μαρτίῳ κγ' ἰνδ. ζ' τοῦ ,ςω δευτέρου ἔτους. † Γέγονε δέ τις ἀμφιβολία παρὰ τῶν μοναχῶν περὶ τοῦ οἰκήματος καὶ τοῦ περιβολίου, οὗτινος ἔνι πλησίον τοῦ μοναστηρίου, ὅτι μετὰ τὸ ἐκδημῆσαι τῶν ἐνταῦθα ἵνα ἕξει ἐπ' ἀδείας, εἴ τι ἂν βούλεται ποιῆσαι καὶ εἰς αὐτὸ ὡς καὶ τὰ ἕτερα, καὶ ἐτάχθη οὕτως τὰ ἔξωθεν τῆς μονῆς καὶ ὑλικὰ τινά, καὶ ἔχῃ ἐπ' ἀδείας, ὅπου ἂν θελήσω ἀφιερῶσαι, τὸ δὲ ὀσπήτιον σὺν τῷ περιβολίῳ μετὰ θάνατόν μου, ἵνα κατέχηται παρὰ τῆς μονῆς ἄνευ τινὸς προφάσεως †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Γουδέλης ὁ Τύραννος †.

CLXXXI. Sine anno et mense.

Patriarcha Arsenius iura et privilegia monasterii confirmat.

† Γράμμα τοῦ ἁγιωτάτου πατριάρχου, κυροῦ Ἀρσενίου, ἀποδιῶκον πάντα τὸν βουλόμενον ἐπηρεάται τὸ οἱονοῦν τῶν τῆς μονῆς πραγμάτων διὰ βάρους ἀφορισμοῦ †.

† Καὶ λέμβος οὐκ ἂν τύχῃ εὐπλοίας μὴ τοῖς συντείνουσιν εὐοδουμένη καὶ ἱστία μὲν καὶ λαίφη εὖ ἠσκημένα καὶ διευθετισμένα πρὸς ταχυτῆτα κινήσεως ἔχουσα, πτερυσσομένη δ' ἀπὸ ῥιπῆς ἀκμαζόντων γενναίων καὶ σθεναρῶν ἰθυντῆρος ἰδμοσύναις καὶ εὐτεχνίαις ἀμεμφῶς οἰακοστροφουμένη καὶ ἄριστα καὶ πάντα πλουτοῦσα πρὸς εὐδρομίαν τε καὶ ἀσφάλειαν. τοῦτό που καὶ ὁ τῆς Λέμβου σεβασμίας καὶ βασιλικῆς μονῆς καθηγούμενος, ὁ ἱερομόναχος Κύριλλος, εἰς νοῦν λαβὼν καὶ ἐπαινετῶς σκεψάμενος ἐπαινετώτερον διεπράξατο, καὶ ἤδη τὴν ἡγουμενείαν καὶ προστασίαν τῆς μονῆς ταύτης τοῦ Λέμβου δε-

ξάμενος καὶ τῆς ἡμῶν σιγιλλίου μετριότητος ἐδεήθη τυχεῖν πρὸς ἐπιβεβαίωσιν τῆς προσούσης ἐλευθερίας ἐπὶ πᾶσι τοῖς τῇ μονῇ προσαρμόσασι, καὶ σεπτὰ βασιλικὰ χρυσόβουλλα καὶ προστάγματα κεκτημένος, κατασφαλιζόμενα τοῖς ὑπάρχουσι τῇ τῶν Λέμβων μονῇ τὸ ἀκαταδούλωτον καὶ ἀνεπηρέαστον καὶ ἡμέτερον πορισθῆναι σιγίλλιον καθικέτευσε κατοχυρωτικὸν καὶ τοῦτο τοῦ ἀνενοχλήτου καὶ ἀδιασείστου τῶν τῆς μονῆς καὶ αὐτῆς. ἡ οὖν μετριότης ἡμῶν, ἀποδεξαμένη τὴν τούτου γνώμην καὶ τὸ ἐν καλοῖς σπουδαῖον καὶ θεάρεστον αὐτοῦ ἐπαινέσασα, οὐκ ἐβράδυνε πρὸς τὴν αἴτησιν, οὐκ ἀηδῶς διετέθη πρὸς τὴν ἐκπλήρωσιν, ἀλλ' ἀσμένως καὶ ταχέως τὸ τέλος πρὸς τὴν ἱκεσίαν ἐπήνεγκε· καὶ ἰδοὺ τῇ παρὰ τοῦ παναγίου πνεύματος ἐνδεδομένῃ ἡμῖν ἐξουσίᾳ διοριζόμεθα, οὕτω συντηρεῖσθαι πάντα τὰ τῇ μονῇ τῶν Λέμβων προσαφιερωθέντα κατὰ τὰς περιλήψεις τῶν θείων καὶ σεπτῶν βασιλικῶν χρυσοβούλλων καὶ ὁρισμῶν καὶ πάντῃ πάντα τὰ ὑπ' αὐτὴν καὶ περὶ αὐτήν, ὅπου δ' ἂν καὶ διάκεινται, διαφυλάττεσθαι ἐλεύθερα καὶ ἀνεπηρέαστα καὶ ἀπὸ πάντων προσώπων καὶ ἀπὸ πάσης ἐξουσίας δημοσιακῆς τε καὶ ἀρχοντικῆς κεκτῆσθαι τὸ παντελῶς ἀδιάσειστον καὶ μηδόλως ἔχειν ποθὲν παρενόχλησιν ἢ ἐπιζήμιον τὰ τῆς μονῆς, δηλαδὴ μετόχια, ζευγηλατεῖα, βιβάρια, ἢ [οἱ] εἰς τὴν Μάνταιαν καὶ τὰ Παλάτια καὶ τὸ χωρίον τὴν Βάρην ἤτοι τὰ Μῆλα πάροικοι αὐτῆς καὶ οἱ εἰς τὴν Σμύρνην πάροικοι αὐτῆς καὶ οἱ εἰς Ποταμοὺς ἤγουν τὰ Σφούρνου καὶ οἱ ἀλλαχοῦ ὁπουδήποτε ἐν τόποις τῆς μονῆς προσκαθήμενοι δουλευταὶ καὶ πάροικοι τῆς μονῆς καὶ τὰ χειρογρίπια δὲ τὰ προσόντα αὐτῇ, καὶ μὴν καὶ ἀμπέλια καὶ χωράφια καὶ ἐλαϊκὰ δένδρα καὶ ἐργαστήρια καὶ πᾶν ἄλλο, εἴ τι τῇ μονῇ ταύτῃ τῶν Λέμβων πρόσεστιν ἐξ ἀγορασίας ἢ ἐκ προσενέξεως φιλοθέων ἀνδρῶν, ἁπλῶς γὰρ καὶ καθόλου ἀπαξάπαντα χωρία καὶ οἱ πάροικοι καὶ τὰ κτήματα τῆς μονῆς ταύτης τῶν Λέμβων, τά τε ἐξ ἀγορασιῶν εὔτε ἐκ προσενέξεων, οὕτω διατηρείσθωσαν κατὰ τὰς σεπτὰς κελεύσεις τῶν θείων καὶ σεβασμίων βασιλικῶν χρυσοβούλλων καὶ ὁρισμῶν ἀκαταζήτητα καὶ ἀνενόχλητα ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας ἤγουν ἀγγαρείας, ζημίας, φωμοζημίας, κατεργοκτισίας, καστροκτισίας, πλωΐμων ἐκβολῆς, ἐξελάσεως πεζῶν, ἀέρος, ἐννομίου, συνδοσίας καὶ ἄλλης πάσης ἀπαιτήσεως καὶ βάρους παντὸς κατὰ χώρας καὶ κατὰ τόπους ἐπερχομένων. καὶ μηδεὶς τῶν τῆς μονῆς ταύτης παροίκων, ὅπου δ'

ἂν καὶ προσκάθηται, συμπλημμελείτω μετὰ τῶν λοιπῶν παροίκων τῶν εἰς ἄλλο ὑποκειμένων πρόσωπον, μηδὲ οἱ ἐν τῇ Σμύρνῃ αὐτῇ συνεπηρεαζέσθωσαν μετὰ τῶν Σμυρναίων, ἀλλὰ πάντες ἐκ πάντων ἐλεύθεροι διαφυλαττέσθωσαν καὶ ἀνεπηρέαστοι διὰ τὸ οὕτω βούλεσθαι τὰ προσόντα τῇ μονῇ σεπτὰ βασιλικὰ χρυσόβουλλα καὶ προστάγματα. τοῦτο τοίνυν εἰδέτω πᾶς ὁ τολμήσων ἐπηρεαστικόν τι ἐπαγαγεῖν κατά τινος τῶν τῆς μονῆς, ὡς ὁ τοιοῦτος, κἂν ὁποῖος ἄρα καὶ εἴη, ὡς καταφρονητὴς τῶν θεαρέστων καὶ βασιλικῶν κελεύσεων ὑπὸ ἀφορισμὸν καθυποβληθήσεται τὸν ἀπὸ τῆς ἡμῶν μετριότητος, ἥτις τὸ παρὸν αὐτῆς σιγιλλιῶδες γράμμα ἐξέθετο τῇ μονῇ ταύτῃ τῶν Λέμβων εἰς ἀσφάλειαν †.

II.

Acta monasterii Sancti Pauli in monte Latro prope Miletum e codice vaticano.

I. Sine anno, 24 martii, ind. V.

Magnus logotheta Strategopulus monasterio S. Pauli adiudicat praedium Alexandrii.

Μηνὶ μαρτίῳ κδ', ἡμέρᾳ ε', ἰνδ. ε'. παρουσίᾳ τοῦ πρωτοπανσεβάστου κυροῦ Μιχαὴλ τοῦ Ταλέα, τοῦ εὐγενεστάτου κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τοῦ πανυπερσεβάστου σεβαστοῦ κυροῦ Μιχαὴλ τοῦ Χιλαρηνοῦ, τοῦ οἰκείου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κυροῦ Θεοδώρου τοῦ Ἀγγέλου καὶ ἑτέρων, τοῦ ἐν τῷ βασιλικῷ βεστιαρίῳ γραμματικοῦ, κυροῦ Νικολάου τοῦ Καλοήθους, καὶ ἑτέρων οὐκ ὀλίγων.

Ἦλθον μὲν καὶ ἄλλοτε εἰς διενέξεις δικαστικὰς χάριν τοῦ προαστείου τοῦ Ἀλεξανδρίου αὐτοί τε οἱ ἔποικοι τῆς Ἐπισκέψεως τοῦ Σαμψὼν καὶ οἱ τῆς Ἀμαζονοκορακίας μετὰ καὶ τοῦ μέρους τοῦ ἐν τῷ ὄρει τοῦ Λάτρου σεβασμίας μονῆς τοῦ Ἁγίου Παύλου, ἅτε καὶ ἀντιποιουμένης τοῦ τοιούτου προαστείου, ὡς δῆθεν αὐτῇ δεδωρημένου καὶ παραδεδομένου· ἐπεὶ δὲ μετὰ τὰς πολλὰς διδασκαλίας ἐπεκαλέσαντο οἱ Σαμψηνοὶ τὸ ἐν τῇ βασιλικῇ αὐλῇ δικαστήριον, ἠρέσθησαν δὲ εἰς τοῦτο καὶ οἱ ἀντιδικοῦντες αὐτοῖς, καὶ κατέλαβον καὶ ἀμφότερα μέρη, ἦλθον δὲ ἐν ταὐτῷ καὶ οἱ ἀπὸ τῆς Κλεισούρας, λέγοντες καὶ αὐτοὶ ἀδικεῖσθαι παρὰ τῶν Σαμψηνῶν, πειρωμένων τῷ λόγῳ τῆς ἀνακλήσεως τοῦ Ἀλεξανδρείου συνεπισπάσασθαι καί τινα οὐκ ὀλίγα τοπία ἐκ τῶν δικαίων τῆς Κλεισούρας, τῷ Ἀλεξανδρείῳ συμπαρακείμενα, ὡρίσθημεν δὲ ἡμεῖς τῇ τοιαύτῃ ὑποθέσει διαιτῆσαι δικαστικῶς, ἀπῃτήσαμεν τὰ μέρη ἐμφανίσαι, εἴ τι που ἔγγραφον δικαίωμα ἔχουσι. καὶ οἱ μὲν ἀπὸ τοῦ μέρους τῆς σεβασμίας μονῆς τοῦ Ἁγίου Παύλου

τῶν ἀνακαλουμένων το Ἀλεξάνδριον Σαμφηνῶν εὐθὺς προπηδήσαντες καὶ τὸν ἡμέτερον λόγον ὡσανεὶ προαρπάσαντες ἐπὶ τοῦ μέσου προέθεντο χαρτῷα δικαιώματα ταῦτα, ἤγουν πρόσταγμα τοῦ αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου, δι' οὗ ἐδωρήθη τὸ αὐτὸ προάστειον τῇ τοιαύτῃ μονῇ μετὰ τοῦ ὑπ' αὐτοῦ καλαμῶνος, ἀκολούθως τῷ προστάγματι παράδοσις τοῦ πανσεβάστου ἐκείνου, κυροῦ Ἰωάννου τοῦ Τζυκῆ, δουκὸς ὄντος τῷ τότε τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου, γενομένων πρὸς τὸ μέρος τῆς τοιαύτης μονῆς. ἕτερον πρόσταγμα ἐξ ὑπομνήσεως τῶν μοναχῶν ἐξενεχθὲν πρὸς τὸν σεβαστοκράτορα ἐκεῖνον, τὸν Κοντοστέφανον κῦριν Νικηφόρον, καὶ πρᾶξιν αὐτοῦ ἀποκαταστατικὴν ἔγγραφον καὶ μαρτυρίαν διὰ σιγνογραφιῶν ἐγχωρίων, ἐπιβεβαιωθεῖσαν καὶ δι' ὑπογραφῆς ἀρχιερατικῆς αὐτοῦ τε τοῦ Λίμνης καὶ τοῦ δικαίῳ τοῦ Μιλήτου, ἀκολούθως δὲ καὶ ἐπικυρωτικὴν αὐτῶν βασιλικὴν πρόσταξιν. ἕτερον ὁρισμὸν πρὸς ἐμὲ τὸν Κρατερὸν ἀπολυθέντα, μήπω δὲ καὶ ἐνεργηθέντα διὰ τὸ μὴ γενέσθαι μοι περὶ τούτου ἐκεχειρίαν. ἑτέραν πρόσταξιν φέρουσαν·[μηνὶ φευρουαρίῳ ἰνδ. δ' ἐξ ὑπομνήσεως τοῦ μέρους τῆς τοιαύτης μονῆς ἐξενεχθεῖσαν καδιοριζομένην τῷ πανσεβάστῳ σεβαστῷ κυρῷ Ἰαννακίῳ τῷ Γαβρᾷ ἐπιστῆναι κατὰ τόπον καὶ ἐρευνῆσαι τὰ περὶ τούτου καὶ πρᾶξιν ἔγγραφον ἐκτεθειμένην παρ' αὐτοῦ δι' ἐπιστασίας τούτου ἀπὸ μαρτύρων τῶν πλησιοχώρων, διαγινώσκουσαν καὶ αὐτήν, ὅτι ἔξω τῶν δικαίων τῆς Ἐπισκέψεως τοῦ Σαμψὼν τὸ Ἀλεξάνδρειον εὕρηται, ὡς τοῖς δικαίοις τοῦ θέματος Μυλάσσης συνεισαγόμενόν τε καὶ ὑποκείμενον, καὶ ὅτι μέχρι καὶ νῦν ἀναπόστατον ἐξ αὐτοῦ τυγχάνει, κἀντεῦθεν τὸ μέρος τῆς μονῆς πλειόνως ἐπιστηρίζουσαν εἰς αὐτὸ καὶ ἰδικὴν σιγνογραφίαν ἐμμάρτυρον, τὰ αὐτὰ διαβεβαιοῦσαν δι' ἐπιγραφῆς ἀρχιερατικῆς τοῦ Μιλήτου. καὶ οἱ μὲν ἀπὸ τοῦ μέρους τῆς ῥηθείσης μονῆς τοῦ Ἁγίου Παύλου τοιαῦτα δικαιώματα ἐνεφάνισαν· παρήγαγον δὲ ἰδικῶς καὶ μάρτυρας εἰδήμονας Κλεισουριάτας καὶ ἑτέρους, ἀντήκουον δὲ ἀπὸ τῶν ἀντιφερομένων αὐτοῖς Σαμφηνῶν, ὅτι κἂν καὶ ἐπ' αὐτοῖς τοῖς ἐγγράφοις δικαιώμασιν ὡς ἐπί τινων ἀπολα . . ωσιν δράξεσθαι, ἀλλά γε διὰ τὸ εἶναι ταῦτα ὑπόσαθρα, ὡς δοκοῦσι,, τεῖχος . . . . οιος προ . . . . ον εὖ . . . . ἐπὶ τούτοις π . . . . . . διάκριτον ἐτέθησαν ἑκατέρωθεν καὶ ὁ θροῦς εἰς μέγα . . . . . τὸ δὲ καθ' ἡμᾶς δικαστήριον τὰς ἀμφοτέρωθεν . . . μετ' ἐπιστασίας ἀκριβοῦς

διεσκέπτετο καὶ πρὸς τὸ τέρμα τῆς ὑποθέσεως εὐ...... ἀπόφασιν ἐζητήθησαν οὖν..... οἱ τοῦ μέρους τῆς Ἐπισκέψεως τοῦ Σαμφὼν ἀποδεῖξαι... καὶ ὅπως καὶ οὗτοι τὸ εἰρημένον προάστειον... οἱ δὲ μηδὲν ἐκ τοῦ παραυτίκα ἐμφανίσαι γραπτὸν δικαίωμα ἔχοντες ἐκ πρώτης, ὅ φασι, τῆς ἀφετηρίας ἀνέδραμον εἰς ἅπερ οἴδασιν ἐξ ἀρχῆς πρὸ τοῦ Σάββα πρόσωπα ἐπικτήσασθαι τὴν κατ' αὐτοὺς Ἐπίσκεψιν τοῦ Σαμφὼν, οἷον τὸν Καλάμανον ἐκεῖνον καὶ τοὺς μετ' αὐτὸν κα ἀπὸ τῆς ἐξ ἐκείνων, ὡς ἔλεγον, καὶ αὐτοῖς προσαρμοσάσης νομῆς τοῦ Ἀλεξανδρείου δικαιοῦσθαι καὶ αὐτοὶ προεβάλλοντο, εἶτα πρύμναν ὥσπερ κρουσάμενοι καὶ τὴν νικῶσαν κληρώσασθαι τοιουτοτρόπως ὑποτοπάσαντες χαρτῷόν τι ἔγγραφον προεκόμισαν, φαινόμενον συντεθῆναι παρὰ τοῦ Βατάτζη ἐκείνου κυροῦ Βασιλείου κατ' ἐκεῖνο καιροῦ χρηματίσαντος δουκὸς καὶ ἀντιγραφέως ἐν τῷ εἰρημένῳ θέματι, ὃ δῆτα ἔγγραφον καὶ ἠλέγχετο ἐκ τοῦ προτέρου νενοθευμένον καὶ πεπλασμένον ἀπ' αὐτῆς τε τῆς ἐκθέσεως τοῦ ἐγκατεστρωμένου τάχα τούτῳ προστάγματος ὡς ὑποσολοίκου ὄντος καὶ τὸ ὅλον ὑποβαρβάρου, ἀλλὰ καὶ ἀπὸ τῆς ἀκολουθίας τῶν τοῦ ἐδαφίου γραμμάτων τῆς παραδόσεως, ἐρρίπτετο δὲ καὶ ἄλλως ἀπὸ τοῦ μηδένα τῶν ἐγκαταγραφέντων αὐτῷ καὶ εἰς τὴν λεγομένην ταύτην παράδοσιν παρουσιασάντων, ναὶ μὴν καὶ τῶν ὑπογραφάντων ἀρχιερέων ἐν τοῖς ζῶσιν εὑρίσκεσθαι καὶ ἀπὸ τοῦ τὰς ὑπογραφὰς αὐτῶν μιᾶς χειρὸς χαρακτῆρα καταφανῆναι. ὡς δὲ ἀντεμάχοντο καὶ ἔτι οἱ Σαμφηνοὶ καὶ τοῦ τοιούτου χαρτίου ὡς ὁμολογουμένου ἀντείχοντο οἱ ἀπὸ τοῦ μέρους τῆς Κλεισούρας καὶ τοῦ Ἀμαζονοκορακίου ἐν εἰδήσει ὄντες τοῦ συμπλασαμένου τοῦτο ἀνθρώπου, ὅστις καὶ εἴη, ἀναθαρσήσαντες αὐτόν τε τὸν ἄνθρωπον εἰς μέσον ἤγαγον καὶ πραγματικῶς ἀπήλεγξαν τὸ σκευώρημα. παρέστη γὰρ ὁ ἄνθρωπος ἐπὶ τοῦ δικαστηρίου, ἦν δὲ ὁ ἀπὸ τῆς Κλεισούρας Θεοδόσιος, βαθυγέρων καὶ πρὸς γῆν καμπτόμενος ὑπὸ χρόνου, καὶ ἤδη προκαλούμενος ὡς εὐεργέτην τὸν θάνατον, καὶ ἀνεκάλυψεν εἰς τοὐμφανὲς τὸ ὅλον αὐτοῦ δρᾶμμα, ὅπως συνεσκευάσθη, καὶ ἐξήτησε συγγνώμην ἐπὶ τῷ πταίσματι, οἷς δι' ἀνάγκην ἐνδείας εἰς τὸ τοιοῦτον συνηλάθη ἀτόπημα. ἔλεγε γάρ, ὅτι ἐπεὶ ἀνεψηλαφᾶτο ἀπὸ τοῦ μέρους τῶν Σαμφηνῶν ἐπὶ τῷ Ἀλεξανδρείῳ δικαίωμα ἐπαγγειλάμενος οὗτος ἔχειν καὶ παραφυλάσσειν ἐπιδέδωκε τὸ τοιοῦτον χαρτίον, ὃ καὶ συνέπλασε λαβὼν ὑπὲρ τούτου ὑπέρπυρα ιδ', ἀλλὰ γὰρ

οὐδὲ ὁ προφανὴς οὗτος ἔλεγχος τοὺς Σαμψηνοὺς ἐπεστόμισεν. τί γὰρ πρὸς αὐτούς, ἔλεγον, εἰ ὁ ῥηθεὶς Θεοδόσιος ἐπλαστεύσατο, ὅπου γε οὐ συνέπλασαν οὗτοι, οὐδὲ συνοίδασιν ἐπὶ τῇ τοιαύτῃ ῥᾳδιουργίᾳ τοῦ πλάσματος, καὶ ἐνίσταντο πάλιν καὶ ἀπεμάχοντο, κἂν ἀποχροῖεν τῶν ἐγγράφων δικαιωμάτων, ἀλλὰ γὰρ ἄλλως, καθὼς ἂν ἀπαιτηθεῖεν νομίμως ἔχουσιν ἀποδεῖξαι, ὅτι τούτοις ἀνήκει τὸ Ἀλεξάνδρειον. ἡμεῖς τοίνυν ἐκ μὲν τῶν ἐμφανισθέντων ἡμῖν προσφάτων δικαιωμάτων δικαιοῦσθαι τοὺς Ἁγιοπαυλίτας ἐπὶ τῷ Ἀλεξανδρείῳ διαγινώσκοντες, ὅμως δ' οὖν ἐξ ὧν προετείνοντο οἱ Σαμφηνοὶ καὶ ἐνστατικῶς ἐνέκειντο ἔχειν ἀνέκαθεν τὴν νομὴν αὐτοὺς μὴ ἀποπεμπόμενοι ἐκρίναμεν καὶ ἀπεφηνάμεθα τὸ δι' ὅρκου συκοφάντικοῦ καὶ τελείου περιαιρεθῆναι τὸ ἐντεῦθεν ἀμφίβολον. πῶς γὰρ καὶ ἐνεχώρει ἄλλως ἐπενεγκεῖν ἡμᾶς τῷ πραγματικὴν τομὴν καὶ περιστῆσαι τὰ τῆς ὑποθέσεως εἰς τὸ ἄμαχον, ἔνθα τοιαύτην ἔνστασιν εὕρομεν ὡς ἐπιβοᾶσθαι τοὺς Σαμφηνούς, ὅτι τὰ μέγιστα ἔχοιεν ἀδικηθῆναι, εἰ οὕτως ἁπλῶς ἀπὸ τῶν ἐγγράφων χαρτίων καὶ μόνων καταδικασθεῖεν οὗτοι, οἵτινες ἀκριβῶς, ὡς ἔφασκον, οἴδασιν ἀπερικόπως αὐτοῖς προσαρμόσαι τὴν τοῦ Ἀλεξανδρείου παλαιτάτην νομήν, ὅθεν καὶ ὁρκομωτικὰ δύο ἐξέθεμεν, καὶ τοῖς μέρεσι τὸ ἑκάστῳ ἁρμόζον ἐπιδεδώκαμεν, ἤγουν τοῖς αΣμφηνοῖς τὸ τοῦ συκοφαντικοῦ, τοῖς δὲ ἀντιδικοῦσι τὸ τοῦ τελείου, ὡς ἂν εἰ μὲν ἀκολούθως τῷ προηγησαμένῳ συκοφαντικῷ ἀποδοθῇ καὶ ὁ τέλειος, δικαιωθῶσιν οἱ Σαμφηνοί, εἰ δὲ τοὐναντίον ἐπακολουθήσει ἐκτελεσθεὶς καὶ ὁ τέλειος τὴν καταδίκην, κληρώσονται ἀνανάκλητον. τὰ δὲ ὁρκομωτικὰ κατὰ ῥῆμα ἔχουσιν οὕτως· ἡμεῖς οἱ ἀπὸ τῆς Ἐπισκέψεως τοῦ Σαμψὼν ἐκλεγέντες ἐπομόσασθαι χάριν τοῦ ἀνακαλουμένου παρ' ἡμῶν προαστείου τοῦ Ἀλεξανδρείου, ἤγουν ὁ Τριαλώνης Ἀναστάσιος, Φίλιππος ὁ τοῦ Γεωργίου, Ἰωάννης ὁ Τζαγγαρόπουλος καὶ Βάρδας ὁ Μακροχέρης, ὀμνύομεν καὶ δικαίῳ τῶν συνεποίκων ἡμῶν ἐν καθαρῷ συνειδότι ταῦτα· μὰ τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν· καὶ καθ' ὃν καιρὸν εἶχον τὴν Ἐπίσκεψιν τοῦ Σαμψὼν ὅ τε Καλαμάνος ἐκεῖνος καὶ τὰ μετ' ἐκεῖνον πρόσωπα καὶ πρὸ τοῦ Σάββα, οἱ Σαμφηνοὶ ἐνεμόμεθα τὸ πρόαστειον τοῦ Ἀλεξανδρείου καθ' ὁλόκληρον καὶ ἀπερικόπως, οὐκ ἀπὸ βίας τινὸς ἢ δυναστείας, ἀλλὰ ἀπὸ νομῆς πολυχρονίου καὶ ἄνευ δόσεως μορτῆς, ὡς τοῖς ῥηθεῖσι προσώποις διαφέρον, καὶ ὡς ὀμνύομεν ταῦτα

χωρὶς δόλου καὶ περινοίας τινὸς καὶ οὐχὶ βιαστικῷ τινι τρόπῳ, οὕτως ἵνα βοηθήσῃ ἡμῖν ὁ θεὸς καὶ τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ ὁ τίμιος καὶ ζωοποιὸς σταυρός. ὁ δὲ τοιοῦτος ὅρκος παρεξεβλήθη καὶ ἐδόθη καὶ ὀφείλει ἐπιστατῆσαι ἐπὶ τῇ τελεσιουργίᾳ τούτου. ὁ ἠγαπημένος ἡμῖν κῦρ Λέων ὁ Καμαζινός, μηνὶ μαρτίῳ κδ', ἰνδ. δ'. ἡμεῖς ὁ ἀπὸ τῆς Κλεισούρας ὅ τε τουρμαρχόπουλος Στέφανος ὁ Κόμης καὶ Θεόδουλος ὁ μάγκιψ καὶ ὁ ἀπὸ τοῦ Ἀμάζονος Μιχαὴλ ὁ Καῦχος ὀμνύομεν δικαίῳ τῶν συνεποίκων ἡμῖν ἐν καθαρῷ συνειδότι ταῦτα· μὰ τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν· παρ' ἡμῶν καὶ τῶν γονέων ἡμῶν ἐνέμετο τὸ προάστειον τὸ Ἀλεξάνδρειον, ὡς τοῖς δικαίοις τοῦ θέματος Μυλάσσης ὑποκείμενον καὶ συναναγραφόμενον, οἱ δὲ Σαμψηνοί, ὅτε καὶ εἶχον τὴν νομὴν εἰς αὐτό, οὐκ ἀπερικόπως τοῦτο ἐνέμοντο, οὐδὲ ἀπὸ πολυχρονίου νομῆς τῶν τότε ἐχόντων τὴν Ἐπίσκεψιν τοῦ Σαμψῶν, οὐδὲ χωρὶς δόσεως μορτῶν, οὐδὲ ὡς ἀπὸ τοῦ διαφέρειν τὴν τοιαύτην Ἐπίσκεψιν τοῦ Σαμψῶν τῷ Καλαμάνῳ καὶ τοῖς λοιποῖς ἄνευ τοῦ Σάββα, ἀλλὰ κατὰ βίαν καὶ δυναστείαν. καὶ ὡς ὀμνύομεν ταῦτα χωρὶς δόλου καὶ περινοίας τινός, οὐχὶ βιαστικῷ τρόπῳ, οὕτως ἵνα βοηθήσῃ ἡμῖν ὁ θεὸς καὶ τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ ὁ τίμιος καὶ ζωοποιὸς σταυρός. ὁ δὲ τοιοῦτος ὅρκος παρεξεβλήθη παρ' ἡμῶν καὶ ἐδόθη καὶ ὀφείλει ἐπικαταστῆναι ἐπὶ τῇ τελεσιουργίᾳ τούτου. ὁ ἠγαπημένος ἡμῖν κῦρ Λέων ὁ Καμαζηνός, μηνὶ μαρτίῳ ιδ', ἡμέρᾳ δ', ἰνδ. δ'. τῶν γοῦν τοιούτων ὀρκωμοτικῶν ὀμωθέντων οὕτω καὶ παρ' ἀμφοτέρων τῶν μερῶν τελεσιουργηθέντων κατὰ τὴν αὐτὴν κδ' ἡμέραν, ὁπότε καὶ ἐτοπώθη ἐκ τοῦ ἀναντιρρήτου, οἱ Σαμψηνοὶ καὶ παρ' ἡμῶν ἐννόμως κατεδικάσθησαν, οἱ δὲ τοῦ μέρους τοῦ ἁγίου Παύλου ἐδικαιώθησαν κατὰ τὴν ἡμετέραν διάγνωσιν. ἔνθεν τοι καὶ ἔσται ἀμάχως παρ' αὐτῶν κατεχόμενον τὸ διαληφθὲν προάστειον τοῦ Ἀλεξανδρείου ἐξ ὁλοκλήρου μετὰ καὶ τοῦ ὑπ' αὐτὸ καλαμῶνος καὶ ἑτέρου αὐτῷ διαφέροντος κατὰ τὰς περιλήψεις τῶν ἀναγεγραμμένων ἐγγράφων δικαιωμάτων, καὶ οὔτε νῦν, οὔτε ἄλλοτέ ποτε ἀπὸ τοῦ μέρους τοῦ ἄλλοτε ἔχοντος τὴν Ἐπίσκεψιν, πανσεβάστου σεβαστοῦ κῦρ Μιχαὴλ τοῦ Δερμοκαΐτου, καὶ τῶν μετ' αὐτὸν ἢ καὶ αὐτῶν τῶν ἐντοπίων ὄχλησις τῷ μέρει τῆς μονῆς ἐπενεχθήσεται χάριν τούτου, ἀλλ' οὐδὲ αὐτοῖς τοῖς νεμομένοις ἐντὸς τῶν δικαίων τοῦ αὐτοῦ προαστείου Ἀμαζονοκορακίταις, οὔτε μὴν

αὐτοὶ οἱ Κλεισουριῶται τὸ σύνολον ἐντεῦθεν διασεισθήσονται εἰς τὰ λοιπὰ τὰ συμπαρακείμενα τούτῳ τῷ τόπῳ καὶ ἰδικῶς αὐτοῖς διαφέροντα, ὅτι οὐδὲ χώραν ἔχουσιν ἀπὸ τοῦ νῦν οἱ Σαμψηνοὶ ἀνακαλεῖσθαί τι ἀπὸ τῶν τοῦ Ἀλεξανδρείου δικαίων καὶ τῶν ὧν οἱ Κλεισουριῶται ἐχομένως αὐτῶν νέμονται οἰκείων δικαίων. ἐπὶ τούτῳ γὰρ ἐκτίθεται παρ' ἡμῶν καὶ ἡ παροῦσα διαγνωστικὴ πρᾶξις, καὶ ἐπεδόθη τῷ μέρει τῆς μονῆς εἰς δικαίωσιν μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως σεβαστὸς καὶ μέγας λογοθέτης ὁ Στρατηγόπουλος †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἀλέξιος ὁ Καρτερός †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἰωάννης ὁ Ἄγγελος †.

Εἶχε δὲ καὶ δύο βούλλας μολυβδίνας, ὧν ἡ μὲν μία εἶχεν ἑκατέρωθεν γεγραμμένα τάδε· σφραγὶς κυροῦσα τὰς γραφὰς Ἰωάννου Στρατηγοπούλου σεβαστοῦ τὴν ἀξίαν· ἡ δὲ ἑτέρα ἐγγραφὲν οὕτως· Ἀλεξίου σφράγισμα Καρτερωνύμου.

II. 6731—1222, mense septembri, ind. XI.

Patriarcha Manuel I. Charitopulus abbati monasterii S. Pauli archimandritae, exarchi et inspectoris variorum monasteriorum defert munus.

Μανουὴλ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ὑπόμνημα προσανατιθεμένον τότε σέμνωμα τοῦ ἀρχιμανδριτάτου καὶ τῆς ἐξαρχίας πρὸς τὴν μονὴν τοῦ Ἁγίου Παύλου τὴν ἐν τῷ Λάτρῳ, καθάπερ καὶ πρότερον.

Εἶχε μὲν ἔκπαλαι ἡ ἐν τῷ ὄρει τοῦ Λάτρους σεβασμία πατριαρχικὴ μονὴ τοῦ ἐν ἀσκηταῖς περικλύτου Ἁγίου Παύλου τὸ σέμνωμα τοῦ ἀρχιμανδριτάτου τῶν ἐν τοῖς ἐκεῖσε λοιπῶν ὁμοίων μονῶν ἀπονεμομένων οἶμαι ταύτῃ οὐχ οὕτω δι' ἄλλα πλεονεκτήματα, ἐν οἷς ἁπασῶν ἐκείνων ὑπερτερεῖ, ὅσον διὰ τὸ τῆς ἀρετῆς τῶν ἐναδικῶν

περιόν, καὶ ἦσαν ὑπ' αὐτὴν ἐκεῖναι οἷον τασσόμεναι καὶ πρὸς ταύτην ὡς πρὸς ἐναργὲς παράδειγμα βλέπουσαι πολιτείας ἠκριβωμένης μοναδικῆς καὶ κατάντην ῥυθμιζόμεναι; ἀλλὰ χρόνῳ μεθύστερον εἰς τὴν τῶν Κελλιβάρων μονὴν εὑρέθη τὸ τοιοῦτον ἀρχιμανδριτάτον μεταπεσόν, ὡς ἄρα δὴ καὶ μετέπεσε. καὶ ἐπειδήπερ ἐκ πλειόνων κατενοήθη τῇ ἡμῶν μετριότητι, ὡς οὐκ εἰς οἰκοδομὴν τῶν ἐν ταῖς ῥηθείσαις μοναῖς ἐνασκουμένων ψυχῶν, εἰ μὴ καὶ πρὸς καθαίρεσιν μάλιστα ἡ καινοτομία αὕτη ἀπέβη, δεῖν ἔδοξεν, ἵνα τὸ τοῦ ἀρχιμανδριτάτου ἀξίωμα τῇ τοῦ Ἁγίου Παύλου σεβασμίᾳ μονῇ καὶ πάλιν ἀποδοθείη, ὥστε καὶ ἀρχαιότητι πολὺ τὸ διαφέρον πρὸς αὐτὸ κεκτημένη κἀκ τῶν ἐν ταύτῃ δὲ κατορθουμένων ἕως καὶ νῦν πολυμερίστων καὶ πολυειδῶν γενικῶν ἀρετῶν προκαλουμένη πρὸς ἑαυτὴν τὸ παρὰ πᾶσιν αἰδέσιμον. ἔνθεν τοι καὶ ἐπανάγει μὲν ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος ὑπομνήματος τὴν ῥηθεῖσαν τοῦ Ἁγίου Παύλου μονὴν εἰς ὅπερ εἶχε καὶ τῶν χρόνων ἄνωθεν σεμνολόγημα, ἐπανάγει δὲ οὐχ ἧττον καὶ τὸ τοῦ ἀξιώματος γεραρόν, ὅθεν οὐκ εὖ ποιῆσαν μετακεκίνητο, καὶ διορίζεται τὸ εἶναί τε καὶ καλεῖσθαι ἀρχιμανδρίτην ἐκ τοῦ παρόντος εἰς τὸ ἑξῆς τὸν κατὰ ἡμέραν ἡγουμενεύοντα ἐν τῇ τοιαύτῃ τοῦ Ἁγίου Παύλου μονῇ. ἀρξάμενον οὖν αὖθις ἀπὸ τοῦ σήμερον, προεστῶτος αὐτῆς τοῦ τιμιωτάτου Παύλου φημί, ἀνδρὸς τούτου καὶ γήρᾳ καὶ συνέσει διαπρεποῦς καὶ μετριοφροσύνης εὖ μάλα ἐξησκημένου καὶ ἀμέμπτως βίῳ καὶ εὐτάκτως τάξει καὶ καταστάσει καὶ ὥσπερ ἀρχέτυπον τῆς τοῦ καλοῦ ἐργασίας προκειμένου τοῖς ἀτενῶς εἰς αὐτὸν ὁρῶσιν, ἐπιβαλεῖται γοῦν ἀπεντεῦθεν ὁ τοιοῦτος καθηγούμενος καὶ ἀρχιμανδρίτης τῷ ἐπισκέπτεσθαι τὰ πρὸς ὄνομα διαληφθησόμενα ἐνταυθοῖ μοναστήρια τὰ καὶ ὀφείλοντα εἶναι ὑπὸ τὴν αὐτοῦ διεξαγωγὴν καὶ κυβέρνησιν, ἤγουν τὴν τῶν Κελλιβάρων μονήν, τὴν τοῦ Μυρσινῶνος, τὴν τοῦ Δυσικοῦ, τὴν τῶν Εἰρηνούντων, τὴν τῶν Κισσῶν, τὴν τοῦ Φαλακροῦ Βουνοῦ, τὴν τοῦ Ἁγίου Ἰωάννου, ἔτι τὴν τοῦ Ἀσωμάτου ἤτοι τὸ Βάτιν, τὴν τοῦ Ἀσωμάτου, ἥτις ὁ Βαθὺς Λιμὴν ἐπικέκληται, τὴν τῆς Ἱερᾶς ὀνομαζομένην, ἔτι τὴν τοῦ Ἀσωμάτου ἤτοι τὸ Περιστέριον, ὧν καὶ γνησίως ἐπιμελήσεται καὶ ὁσάκις ἂν καὶ δεήσειε τὰ τοιαῦτα περιελεύσεται, καὶ κατὰ καιρὸν ἑκάστῃ μάνδρᾳ τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων προβαλεῖ, καὶ τὰ χρῄζοντα διορθώσεως διορθώσεται, καὶ τὸ χωλεῦον ἰάσεται,

καὶ τὸ πλανώμενον ἐπιστρέψει, καὶ τὸ παράπαν φώριον ἀθεράπευτα μακρὰν ἀπελάσειε τοῦ ποιμνίου, μὴ ἀπὸ τῆς λύμης μεταδῷ καὶ τοῖς ὑγιαίνουσιν. . . . οὖν αὐτοὺς ἀγωνιστὰς ὑπαλείψει καὶ τοὺς κατ . . . θοῦντας πλέον ἐπε . . . . πρὸς . . . . σιν, ὥστε φανῆναι τὸ τοῦ Λάτρους ὄρος τὸ πανάγιον ἀφοσιωμένον θεῷ καλ . . . . τοῦ Δαβὶδ ὄρος . . . . ὄρος τετυρωμένον, ὡς οἷα τῷ πνεύματι κυρίου περιρρεόμενον γάλακτι, ὅπερ οἶδεν ἐκβλύζειν σαρκὸς ἐπιπόνοις ὑπὸ πιεσμοῖς καὶ . . . . . . θλίψεσιν ὡς μὲν . . . . . . συγχυτικὸν τῆς πονηρᾶς ὄφεως τῶν ἐναντίων δυνάμεων, αἷς φίλον ἐστί, καίτοι τἄλλα φθονεραῖς τυγχανούσαις, τὰ ἐν ἀνθρώποις περιέργως ἐπιτηρεῖν, ὡς δὲ ἄσκιον διὰ τὸ ἀμέθεκτον τῶν ὑλικωτέρων ἐμφάσεων καὶ ὡς οὕτω φάναι ἀφάνταστον. μὴ οὖν γε καὶ τρόφιμον ψυχαῖς ἐκλειπούσαις διὰ λιμὸν τοῦ τὸ θεῖον λόγιον ἐνωτίσασθαι, καὶ ἵνα πάλιν εἴπω τὸ τῆς γραφῆς· μὴ γένηται τὰ ὄρη τὰ Γελβουὲ, ἐν οἷς οὐκ ἐρρύη δρόσος οὐράνιος φλογμὸν ἁμαρτημάτων ἀποσβεννύουσα, μηδὲ κατ' ἐκεῖνα τοὺς ἐρημάζοντας ὡς τὸ κυρίῳ ἀνεπισκόπητα, ἀλλ' εἴη καθάπερ τὸ Σιὼν ὄρος, ἐφ' ᾧ καταβαίνειν ἔχει δρόσος ἡ Ἀερμὼν καὶ ὅπερ ηὐδόκησεν ὁ θεὸς αὐτῷ κατοικεῖν, ἀλλόμενος ἐπὶ τὰ ὄρη κατὰ τὴν ᾀσματίζουσαν ὡς κριός, ἀλλόμενος ἐπὶ τοὺς βουνούς. καὶ ταῦτα μὲν οὕτως. ὁ δηλωθεὶς καθηγούμενος ἀρχιμανδρίτης, σὺν θεῷ δὲ εἰρήσθω, καὶ οἰκονομήσει καὶ διαπράξεται, συμπραττόντων αὐτῷ καὶ διαφερόντων τὴν μέριμναν καὶ τῶν ἑκάστης ἀγελαρχῶν, τὰ δὲ πλείω καὶ ὑπὲρ δύναμιν τῇ ἡμῶν προσαναθήσεται μετριότητι. ὡς ἂν δ' εἴη τοῖς αὐτοῖς τοῦ ὄρους τοῦ Λάτρους καθηγουμένοις μὴ διάνδιχα μεριμνᾶν, μηδὲ τυρβάζειν περὶ πολλά, πῇ μὲν τῷ ἀρχιμανδρίτῃ, πῇ δὲ προσανέχοντες τῷ τὴν ἐξαρχίαν κατὰ τόπους διενεργοῦντι, ηὐδόκησεν ἡ μετριότης ἡμῶν τὸν αὐτὸν τιμιώτατον ἐν μοναχοῖς Παῦλον τὸν Ἁγιοπαυλίτην εἶναι καὶ ἔξαρχον τῶν ἀναγεγραμμένων πατριαρχικῶν ἡμετέρων μονῶν καὶ αὐτῷ ὑποκεῖσθαι ταύτας καὶ κατὰ τοῦτο δικαίῳ τῆς ἡμῶν μετριότητος καὶ πάσης δι' αὐτοῦ ἀπολαβεῖν, ἐφ' οἷς ἂν καὶ δέοιντο συγκροτήσεως καὶ συνάρσεως. ἐξέσται τοίνυν τῷ τοιούτῳ διενεργεῖν ἀκωλύτως ἐν πάσῃ τῇ διὰ τοῦ παρόντος ὑπομνήματος ἀνατεθειμένῃ αὐτῷ ἐνορίᾳ, ὁπόσα καὶ τοῖς πατριαρχικοῖς ἐξάρχοις ἐφεῖται κατὰ τόπους ποιεῖν, τούς γε μὴν πειρωμένους ἡγουμενεύειν δίχα τῆς διὰ σφραγῖδος διδομένης τοῦ θείου πνεύματος χάριτος ἀνάγκην πᾶσαν

ἔξει ἱστᾶν καὶ σχολάζειν τοῦ τοιούτου ἐπιχειρήματος, ἕως ἀνερχόμενοι πρὸς τὴν ἡμῶν μετριότητα δοκιμάζοιντο καὶ οὕτω τὸ σύμβολον κομίζοιντο παρ' αὐτῆς τῆς ἀναδοχῆς καὶ προστασίας τῶν ὑπ' αὐτοὺς ταττομένων ψυχῶν. ἐφ' ᾧ καὶ προσέστω αὐτῷ τε καὶ τοῖς μετ' αὐτὸν ἡγουμενεύουσιν ἐν τῇ τοῦ ἁγίου Παύλου μονῇ τὸ παρὸν ὑπόμνημα τῆς ἡμῶν μετριότητος, διὰ Χριστὸν γεγενημένον κατὰ μῆνα σεπτέβριον τῆς ια' ἐπινεμήσεως τοῦ ,ϛψλα' ἔτους, ὅπερ τῇ αὐτοχείρῳ ὑπογραφῇ καὶ τῇ συνήθει σφραγῖδι διεβεβαιώσαμεν †.

† Εἶχε τὸ παρὸν ὑπόμνημα τὸ· Μανουὴλ, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

III. Sine anno.

Patriarcha Germanus II. Nauplius monasterium S. Pauli et eius possessiones eximit de tutela exarchi, et patriarcha Manuel hanc exemptionem confirmat.

† Γερμανοῦ, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, ὑπόμνημα, διαταττόμενον εἶναι τὴν μονὴν ἐλευθέραν ἀπὸ πάσης ἐξαρχικῆς ἐπηρείας δίχα τοῦ ἀρχιμανδριτάτου καὶ αὐτὴν τοὺς ὑπ' αὐτὴν πνευματικῶς ἀνακρίνειν καὶ διατάττεσθαι †.

Δέδοται μὲν παρὰ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου κυροῦ Μανουὴλ ἡ τοῦ ἀρχιμανδριτάτου τιμὴ τῶν ὑπὸ τὸ ὄρος τοῦ Λάτρου πατριαρχικῶν μοναστηρίων τῇ νῦν ὑπὲρ τὰς ἄλλας εὐδοκιμούσῃ τὰς ἐκεῖσε μονὰς εἰς πολυανδρίας λόγον ἀρετῆς τε καὶ καταστάσεως τοῦ Ἁγίου Παύλου μονῇ ἐκ τῆς τῶν Κελλιβάρων μετακινηθεῖσα μονῆς, προσανατέθειται δὲ ὁμοίως τῷ τιμιωτάτῳ μοναχῷ Παύλῳ καὶ Ἁγιοπαυλίτῃ καθηγουμένῳ καὶ ἡ τῶν αὐτῶν ἐξαρχία μοναστηρίων, ἀλλὰ τὸ μὲν σέμνωμα τοῦ ἀρχιμανδριτάτου τῇ τῶν Κελλιβάρων μονῇ πάλιν ἐπήγγελται ὑπὸ τῆς ἡμῶν μετριότητος δι' ὑπομνήματος μετὰ παρέλευσιν τοῦ διαληφθέντος Ἁγιοπαυλίτου καθηγουμένου πρὸς αὐτὴν μέλλουσα ἐπαναλεύσεσθαι, καὶ τοὺς λόγους τῆς τοιαύτης ἐπαναλεύσεως μαθήσεται ὁ βουλόμενος ἐκ τοῦ ὑπομνήματος· ἐπεὶ δὲ καὶ τῆς ἐξαρχικῆς ἐνεργείας προσωπικῆς τυγχανούσης μὴ συνδιαιωνίσει ταύτῃ τῇ τοῦ ἁγίου Παύ-

λου μονῇ ὁ ταύτης καθηγούμενος ἔγνω τῇ οἰκείᾳ πάντως συμπεραινομένην ζωῇ, τυχὸν δὲ καὶ προαπιοῦσαν καὶ εἰς ἕτερον μεταβαίνουσαν, καὶ διὰ τοῦτο ἐμέλησεν αὐτῷ τῆς μετέπειτα καταστάσεως, ἣν ἄρα καὶ σχοίη ἡ κατ' αὐτὸν τοῦ Ἁγίου Παύλου μονή, προσῆλθε διὰ τοῦτο τῇ ἡμῶν μετριότητι, καὶ λιπαρῶς αὐτῆς ἐδεήθη καὶ καθικέτευσεν, ἵνα μὴ ὡς εἰκὸς εἴς τινων ἐξαρχεύειν λαχόντων ἐπισυμβαίνουσαν τοῖς ὑπὸ χεῖρα ἐπήρειαν ἢ ζημίαν μᾶλλον εὐπρόσωπον ἢ ὠφέλειαν προσαναιρήσομεν δι' ἡμετέρου που σιγιλλίου ἐπὶ τῇ κατ' αὐτὸν τοῦ Ἁγίου Παύλου μονῇ καὶ τοὺς ὑπ' αὐτὴν ἀποκλείσαντες τέλεον τὴν ἐν τούτοις πάροδον καὶ ἀνάκρισιν τοῖς μετ' αὐτὸν ἐξαρχεύουσιν ἔξωθεν, καὶ ἡ μετριότης ἡμῶν προσηκαμένη τὴν ἐρώτησιν ὡς αἰτίαν ἔχουσαν εὐλογοφανῆ, θαρρήσασα δὲ καὶ ἄλλως, ὅτιπερ καὶ οἱ μετὰ τὸν σήμερον ἡγουμενικῶς τῆς ἀναγεγραμμένης μονῆς προστατεύοντες κατ' ἴχνια τούτῳ πορεύσονται, (οὐ γὰρ ἂν μὴ τῆς ὁμοίας ὄντας θεοφιλοῦς πολιτείας καὶ ἀρετῆς τῆς ἡγουμενείας τῆς πολυανθρώπου ταύτης μονῆς ἐγχειρισθεῖεν τοὺς οἴακας) τὸ παρὸν σιγίλλιον ἐκθεμένη τῷ μέρει ταύτης παρέσχετο· καὶ διοριζόμεθα δι' αὐτοῦ ἐν ἁγίῳ πνεύματι, μηδένα τῶν ἐλευσομένων ἐξάρχων τοῦ ὄρους τοῦ Λάτρου μετὰ τὸν νῦν ὄντα, τὸν ἐν μοναχοῖς ὁσιώτατον Παῦλον, ἄδειαν ἔχειν καθ' οἱονδήτινα λόγον ἢ τρόπον ἐξαρχικῷ δικαίῳ παρεισδύεσθαι ἐν αὐτῇ καὶ προφάσει τῆς ἀνακρίσεως τῶν ψυχικῶν σφαλμάτων ποιεῖν πειρᾶσθαι τὰ μὴ καθήκοντα. καθάπαξ γὰρ ἀποτειχίζει τοῖς τοιούτοις ἡ μετριότης ἡμῶν τὴν ἐν τῇ πρωτοτόπῳ μονῇ καὶ τοῖς ὑπ' αὐτὴν μετοχίοις καὶ ἀγριδίοις, ἤγουν τὸ Κρίνος, τὸ Βορράδι, τὰ Γάρσικα, καὶ τοῖς λοιποῖς ἄλλοις κτήμασι τοῖς καὶ ὀνομαστὶ τῷ χρυσοβούλλῳ λόγῳ τοῦ βασιλέως ἐκείνου κυροῦ Μιχαὴλ ἐμφερομένοις εἰσέλευσιν καὶ πάντη ἀνενεργήτους εἶναι τὸ ἐπ' αὐτοῖς διορίζεται καὶ προσανακεῖσθαι εὐδοκεῖ τῷ κατὰ τὴν ἡμέραν καθηγουμένῳ, καὶ εἴ τι που δεήσειεν εὐεργετηθῆναι ἔν τινι τῶν τοιούτων ἐνέργημα ἐξαρχικόν, εἰ δὲ καὶ ψυχικὸν συμπέσοι ἀρρώστημα παρ' αὐτοῦ, καὶ τοῦτο ἐπισκεφθήσεται καὶ θεραπευθήσεται κατ' ἐπιστήμην ἰατρείας πνευματικῆς, τῶν ἴσως ὑπερβαινόντων τὴν τούτων ἰσχύν τε καὶ δύναμιν ἀναφέρεσθαι ὀφειλόντων πρὸς τὴν πατριαρχικὴν περιωπὴν κἀκ ταύτης εὑρίσκειν τὴν μέθοδον τῆς μεταχειρήσεως. ἀρέσκει γὰρ ὁ κατὰ καιροὺς ἡγουμενεύων τῆς σεβασμίας τοῦ Ἁγίου Παύλου μονῆς καὶ ἀντὶ ἐξάρ-

χου αὐτῇ τε καὶ τοῖς ὑπ' αὐτήν, καὶ ἀκωλύτως ἅπαντα διενεργήσει τὰ τῇ ἐξαρχίᾳ ἀνήκοντα ἐπὶ τοῖς τοιούτοις δικαίοις αὐτοῦ· ὅθεν καὶ τοὺς ἱερᾶσθαι μέλλοντας ἐκ τῶν ὑπ αὐτὸν μοναχῶν, οἷς ἂν καὶ δοκιμάσῃ ἀρχιερεῦσιν, ἐκείνους καὶ προσενέγκοι, καὶ οὕτω τὴν ἱερωσύνην εἰσδέξονται. ἐντὸς μέντοι τῶν ἰδίων ὅρων ἐστήξεται, καὶ οὐδέν τι περισσὸν διαπράξεται τῆς πατριαρχικῆς χωρὶς εἰδήσεως καὶ ἐνδόσεως, ἐφ' ᾧ καὶ προσέσται τὸ παρὸν σιγίλλιον τῆς ἡμῶν μετριότητος τῷ μέρει τῆς τοῦ Ἁγίου Παύλου μονῆς εἰς ἀσφάλειαν †.

† Εἶχε τὸ παρὸν ὑπόμνημα καὶ τὸ· Γερμανός, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, καὶ ἀπῃωρημένην μολιβδίνην βούλλαν ἐν μὲν ἑνὶ μέρει τὴν θεοτόκον ἐκτυποῦσαν βαστάζουσαν τὸν Χριστόν, ἐν δὲ τῷ ἑτέρῳ τὸ τοῦ πατριάρχου ὄνομα καὶ ἀξίωμα †.

Εἶχε καὶ ὄπισθεν τὸ παρὸν ὑπόμνημα γραφὴν τοῦ ἁγιωτάτου ἐν πατριάρχαις κυροῦ Μανουὴλ τὰ ἐν αὐτῷ ὑποστηρίζουσαν ἐμφαινόμενα ταυταισὶ διεξιοῦσαν ταῖς λέξεσιν·

Εἴ τις ζῶσι μὲν τῶν χρηστῶν ἀνδρῶν τισι χαριζόμενος ἀπαίρουσι ὕστερον, συναπαίρειν καὶ τὴν χάριν ἐπείγεται, οὗτος οὔτε τῆς τῶν ἄλλων χάριτος μνήματα καταμένειν τῷ βίῳ τούτῳ αἱρεῖται οὔτε τῆς ἑαυτοῦ· ἅμα τε γὰρ ἀφείλετο τὴν χάριν καὶ ἅμα συναφαιρεῖται καὶ τὰς μνήμας, τὴν ἑαυτοῦ τε ὡς εὖ ποιησαμένου κατέσβεσε χάριν καὶ τὴν τοῦ αὐτοῦ παθόντος· εἶχε γὰρ ἔκτοτε τοῦτο [τὸ] διαχρηστὸν πλεονέκτημα· εὖ ὁ κείμενος ἔπαθεν. εἰ γοῦν καὶ τῷ ἐντὸς δηλουμένῳ ὁσιωτάτῳ ἐν μοναχοῖς Παύλῳ ἐκείνῳ ζῶντι μὲν ἐπήγγελτο ἐκ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Γερμανοῦ τὸ ἐπὶ τῇ κατ' αὐτὸν μονῇ τῶν πατριαρχικῶν ἐξάρχων ἀνεισέλευσίν τε καὶ ἀδιάσειστον, ὕστερον δὲ ἀπελθόντι τὰ τῆς ἐπαγγελίας ἀπεμαράνθησαν, εἶχεν ἂν λαβὴν μέμψεως ἡ τοῦ ἁγίου ἐκείνου ὑπόσχεσις, ἐπεὶ δὲ καὶ περιόντων καὶ κειμένων τῶν χρηστῶν ἀνδρῶν τὴν ἀρετὴν ἐκεῖνος ᾔδει τιμᾶν καὶ παρὰ τοῦτ' αὐτὸ οὐδὲ τὰ ὑπεσχημένα τῷ ῥηθέντι ὁσιωτάτῳ Παύλῳ μετὰ θανάτου τούτου παρεῖδεν, ἀλλὰ πέρας τι δέδωκεν, ὡς τὸ παρὸν διαλαμβάνει ὑπόμνημα, εὐδοκεῖ καὶ ἡ μετριότης ἡμῶν τὸ ἀμετάπτωτον ἔχειν τὰ ἐμπεριειλημμένα τούτῳ καὶ ἀμετάθετον, καὶ διατηρεῖ καὶ

τύτη μόνιμον τῇ τοῦ ἁγίου Παύλου μονῇ τὸ ἐλεύθερον ἀπό τε πάσης ἄλλης δημοσίου χειρὸς καὶ τῆς τῶν πατριαρχικῶν ἐξάρχων εἰσελεύσεως. διά τοι τοῦτο καὶ διὰ πλείονα τὴν ἀσφάλειαν τῇ οἰκείᾳ ὑπογραφῇ ὑπεσημήνατο ἔξωθεν.

Εἶχε ἡ παροῦσα πατριαρχικὴ γραφὴ καὶ τὸ μηνὶ ὀκτωβρίῳ ἰνδ. ε' διὰ τῆς πατριαρχικῆς πανιέρου χειρὸς καὶ βοῦλλαν τὴν διὰ κηροῦ.

IV. 6744—1235, mense septembri, ind. IX.

Patriarcha Germanus II. Nauplius declarat monasterium exemptum esse de potestate civili et episcopali.

Γερμανοῦ τοῦ ἁγιωτάτου πατριάρχου σιγίλλιον ὑπόμνημα, διοριζόμενον εἶναι τὸν Πορὸν μετὰ τῶν αὐτῷ διαφερόντων ἀνενόχλητον ἀπό τε ἀρχοντικῆς δυναστείας, ἀπό τε ἐπισκοπικῆς.

Παραινοῦμεν πᾶσι τοῖς τῷ παρόντι ἡμῶν ἐντυγχάνουσι σιγιλλίῳ πολιτικοῖς ἄρχουσι καὶ ἐκκλησιαστικοῖς προσώποις, μηδένα τῶν ἁπάντων καινοτομίαν ἢ βλάβην ἢ τὴν τυχοῦσαν ἐπήρειαν ἐπαγαγεῖν τῷ παρὰ τοῦ μέρους τῆς μονῆς τοῦ ἁγίου Παύλου τῆς ἐν τῷ Λάτρῳ καινιζομένης εὐκτηρίῳ οἴκῳ εἰς ὄνομα τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου τῆς Στυλιωτίσσης ἐν τῷ μετοχίῳ τῆς αὐτῆς μονῆς τῷ οὕτως ἐπονομαζομένῳ Ποροῦ διὰ σταυροπηγίου πατριαρχικοῦ ἢ τῷ μέλλοντι προσκαθῆσθαι ἐν τῷ τοιούτῳ ναῷ καὶ ἱερουργεῖν ἱερεῖ ἢ τοῖς κληρονόμοις καὶ διαδόχοις τοῦ δομήτορος χάριν εἰσπράξεως κανονικῆς ἢ τοῖς αὐτῷ διαφέρουσιν ἢ τοῖς κτήμασι τοῦ ναοῦ· χρὴ γὰρ τὸν ἐν αὐτῷ ἱερουργοῦντα ἱερέα τὴν πνευματικὴν ἀκολουθίαν ἀνεμποδίστως ποιεῖσθαι καὶ μή τινας ὀχλήσεις τῶν κοσμικῶν ἐπιδέχεσθαι, ἀλλ' ἄνετον διαφυλάττεσθαι καὶ ἀνεπηρέαστον διατηρεῖσθαι τῶν βιωτικῶν περιστάσεων ἔκ τε τῶν ἄλλων καὶ αὐτοῦ τοῦ κατὰ χώραν ἀρχιερέως μηδαμῶς ἐνοχλεῖν τοῖς πατριαρχικοῖς δικαίοις ὀφείλοντος ἢ ὅλως παραβάλλειν αὐτὸν ἐπ' αὐτοῖς ἢ τὴν οἱανοῦν ποιεῖσθαι ἀνάκρισιν καὶ ἐπιτήρησιν. ὅσοι τοίνυν τῇ ἐγγράφῳ ἡμῶν παρεγγυήσει ἐντυγχάνετε, στρατηγοί τε λαοῦ καὶ καθηγηταὶ θείων καὶ ἱερῶν ἐκκλησιῶν, εἴτε καὶ τὴν τῶν ἐξάρχων παρ' ἡμῶν ἀναδεδεγμένοι φροντίδα ἢ ὡς εἰκὸς ἐν ἑτέραις ἐκκλησιαστικαῖς διακονίαις ἀποστελλόμενοι

τύχητε, εἰς ἐκδίκησιν διανάστητε, καὶ μηδεμίαν κατατολμήσητε ἐπήρειαν ἢ ζημίαν ἢ βλάβην ἢ καινοτομίαν ἢ ἀγγαρείαν ἢ ἀπαίτησιν λόγῳ συνηθερῶν ἢ κανονικῶν ποιήσασθαι, τῇ ἐπιδείξει μόνῃ ἀρκούμενοι τοῦ παρόντος σιγιλλίου τῆς ἡμῶν μετριότητος, ὅπερ ἐγράφη καὶ σφραγισθὲν ἐπεδόθη μηνὶ σεπτεμβρίῳ ἰνδ. η΄ ἔτει ,ϛφμδ΄ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Γερμανός, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατρίαρχης †.

V. Sine anno.

Patriarcha Manuel II. monasterium et possessiones eius eximit de tutela exarchorum et episcoporum.

† Μανουήλ, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, γραφὴ τιμία ἀποδιώκουσα ἐκ τῆς μονῆς ἐξάρχους τε καὶ ἐπισκόπους, ἀλλὰ δὴ καὶ ἐκ τῶν χωρίων αὐτῆς, πᾶσαν δὲ τὴν πνευματικὴν διεξαγωγὴν αὐτῶν καὶ κυβέρνησιν ἀνατιθεῖσαν πρὸς τὸν κατὰ καιροὺς ἡγουμενεύοντα τῆς τοιαύτης μονῆς †.

† Ἔφθασε μὲν ὁ ἁγιώτατος ἐν πατριάρχαις ἐκεῖνος, κῦρ Γερμανός, ἐπιβραβεῦσαι τῇ κατὰ τὸ ὄρος τοῦ Λάτρου σεβασμίᾳ πατριαρχικῇ περιωνύμῳ τοῦ ἁγίου Παύλου μονῇ διὰ σιγιλλιώδους ἐνυπογράφου αὐτοῦ γράμματος ἐλευθερίαν παντοίαν καὶ τὸ ἀνωτέραν τυγχάνειν αὐτὴν τῆς ἐκ τῶν κατὰ καιροὺς ἐξαρχεύειν λαχόντων ἴσως ἐπισυμβαινούσης ταύτης ἐπηρείας καὶ εὐπροσώπου μᾶλλον ζημίας ἢ ὠφελείας, οὐ μὴν ἀλλὰ πρὸς τῇ τῆς μονῆς ἐλευθερίᾳ καὶ τὴν τῶν ὑπ' αὐτὴν χωρίων καὶ μετοχίων διεξαγωγὴν καὶ πνευματικὴν διοίκησιν τῷ κατὰ καιροὺς καθηγουμένῳ τῆς μονῆς προσανέθετο. ὅπερ δὴ σιγίλλιον καλῶς ἔχων ἐπιγνωσθὲν καὶ τῇ ἡμῶν μετριότητι ἐπεσημάνθη καὶ παρ' αὐτῆς καὶ ἦν ἔχον τὸ ἀμετάπτωτον ἕως τοῦ νῦν. ἀρτίως δὲ ἀνήνεκται τῇ ἡμῶν μετριότητι παρὰ τοῦ μέρους τῆς τοῦ ἁγίου Παύλου μονῆς, ὡς οἱ πλησιοχωροῦντες ταύτῃ ἐπίσκοποι καὶ μάλιστά γε ὁ Ἀμαζοκόρακος πειρῶνται εἰσέρχεσθαι ἐν τοῖς διὰ χρυ-

σοβούλλων προσοῦσι τῇ μονῇ χωρίοις ψυχικῶν σφαλμάτων ἕνεκα ἀνακρίσεως, πατριαρχικοῖς οὖσιν ἀνέκαθεν. ἡ γοῦν μετριότης ἡμῶν τοῦτο μὲν καὶ τὸ ἰσχυρὸν ἔχειν τὸ καλῶς γεγονὸς γράμμα τοῦ ἀοιδίμου πατριάρχου κυροῦ Γερμανοῦ ἐθέλουσα, ἄλλως τε δὲ καὶ τοῦ τοῖς ἐπισκόποις ἐπηρτημένου κινδύνου ἐκ τῆς τῶν ἀλλοτρίων ἐπιβασίας ἐξαιρεθῆναι αὐτοὺς βουλομένη, εἰ ἀληθῶς τῶν μὴ ἰδίων κατεπεμβαίνειν παραλόγως ὀρέγονται, διορίζεται διὰ τοῦ παρόντος αὐτῆς γράμματος, μηδένα τῶν ὁμορούντων τῇ μονῇ ἐπισκόπων, μήτε μὴν τὸν Ἀμάζονος ἔχειν τινὰ παρείσδυσιν ἐν τοῖς διὰ χρυσοβούλλων προσοῦσι τῇ τοῦ ἁγίου Παύλου μονῇ πατριαρχικοῖς χωρίοις ψυχικῶν σφαλμάτων ἕνεκα ἀνακρίσεως, ἐν οἷς οὐδέποτε εἰσήρχετο· εἰ γὰρ τῷ πατριαρχικῷ ἐξάρχῳ ἡ ἐκεῖσε εἴσοδος ἀποτειχίζεται, ὡς καὶ τῆς τῶν ἐν τούτοις δὴ τοῖς χωρίοις ψυχῶν πνευματικῆς διεξαγωγῆς καὶ κυβερνήσεως ἀνατεθειμένης τῷ τῆς μονῆς καθηγουμένῳ, πῶς ὁ Ἀμάζονος ἐπίσκοπος ἀμετόχως ἐν τοῖς πατριαρχικοῖς εἰσέλθοι δικαίοις, εἰ μή γε βούλεται ἑκοντὶ ταῖς κανονικαῖς εὐθύναις ὑποπεσεῖν; ἔστωσαν γοῦν καὶ αὖθις τὰ ὑπὸ τὴν τοῦ ἁγίου Παύλου μονὴν πατριαρχικὰ χωρία ὑπὸ τὴν τοῦ ἡγουμένου αὐτῆς πνευματικὴν διεξαγωγὴν καὶ διοίκησιν, ὡς τὸ πρότερον, εἰδέναι ὀφείλοντος, ὡς λόγον ὑφέξει ὑπὲρ αὐτῶν τῷ θεῷ· τὰς μέντοι γε καθιερώσεις τῶν ἐν αὐτοῖς ἀνεγειρομένων ναῶν ἐπὶ σταυροπηγίοις πατριαρχικοῖς καὶ τὰς τῶν ἱερᾶσθαι μελλόντων χειροτονίας οὐχ ὁ Ἀμάζονος μόνον ἀναγκαστικῶς ποιήσει, ἀλλὰ καὶ ἀπὸ τῶν ἑτέρων ἀρχιερέων, ὃν ἂν μετακαλέσηται ὁ καθηγούμενος, ἀπροκριματίστως αὐτὰς ἐκτελέσει. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος, ὀφεῖλον προσεῖναι τῇ μονῇ εἰς ἀσφάλειαν †.

VI. [6744—1236], mense martio, ind. IX.

Patriarcha Germanus II. Nauplius confirmat monasterium Zigritzae et praedia Daphnaeae et Axyli subiecta esse monasterio Ruphianorum.

† Γερμανοῦ, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, σιγίλλιον προσαφιεροῦν τῇ μονῇ τῶν Ῥουφιανῶν τήν τε Ζιγρίτζαν καὶ τὰ ὑπ' αὐτὴν μετόχια, τὴν Δαφναίαν καὶ τὴν Ἀξύλον.

Ἡ μετριότης ἡμῶν ἀνδρῶν αἰδεσίμων αἰτήσεις τάχιον ἢ λόγος κατανοοῦσα περαίνειν (τῇ γὰρ τῶν αἰτούντων αἰδεσιμότητι καὶ τὸ τῶν αἰτημάτων δίκαιον, ὥσπερ κατ' ἀνάγκην ἐστὶν ἑφεπόμενον, ἐπεὶ θεοφιλῶς οἱ θεοφιλεῖς καὶ διανοοῦνται καὶ λέγουσι καὶ ἐπιχειροῦσι καὶ πράττουσι) προσέσχεν ἑτοιμοπειθῶς ἄρτι καὶ τῇ αἰτήσει τοῦ τιμιωτάτου καθηγουμένου τῆς κατὰ τὸ Λάτρον σεβασμίας μονῆς τοῦ ἁγίου Παύλου καὶ τῆς τῶν Ῥουφιανῶν μονῆς, κῦρ Γερμανοῦ. οὗτος καὶ γὰρ λαμβάνει μὲν καὶ ἀπὸ τῆς βασιλικῆς χειρὸς συνεργίαν ἐπὶ τῇ βελτιώσει καὶ προκοπῇ τῆς εἰρημένης μονῆς τῶν Ῥουφιανῶν, αἰτεῖται δὲ καὶ παρὰ τῆς ἡμῶν μετριότητος τὴν κατὰ τὰ Πυλοπύθια διακειμένην μονὴν τὴν Ζιγρίτζαν ἐπονομαζομένην, ἣν καὶ αὐτὴν ὁρισμῷ σεπτῷ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος εἰς τὸ τῇ τῶν Ῥουφιανῶν ὑποκεῖσθαι μονῇ καλῶς ἠσφαλίσατο, καὶ αἰτεῖται αὐτήν, ἵνα ʼεἰς μετόχιον αὕτη τῆς τῶν Ῥουφιανῶν ταχθείη μονῆς, καὶ αἰωνιζόντως ὑπ' αὐτὴν μένῃ. ὅτι γοῦν ἡ μετριότης ἡμῶν διὰ τὸ ἐχεπειθὲς προσέσχε τῷ αἰτουμένῳ καὶ διὰ τὴν προσοῦσαν μὲν τούτῳ αἰδεσιμότητα καὶ διὰ τὸν σεπτὸν δὲ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ὁρισμὸν τὸν ταῦτα εὐδοκοῦντα καὶ διοριζόμενον ἔσται τὸ ἀπὸ τοῦδε ἡ δηλωθεῖσα τῆς Ζιγρίτζας μονὴ μετὰ τῶν εἰς τὸ Παντοίχιον καὶ τοῦ ἁγίου Ἐλευθερίου δικαίων αὐτῆς ὑποκειμένη καὶ προσηνωμένη τῇ τῶν Ῥουφιανῶν μονῇ καὶ παρὰ τοῦ κατὰ καιροὺς καθηγουμένου τῆς τῶν Ῥουφιανῶν μονῆς διιθυνομένη τε καὶ διεξαγομένη αὐτή τε καὶ οἱ ἐν αὐτῇ μοναχοὶ καὶ πάντα τὰ κατ' αὐτὴν καὶ περὶ αὐτήν, εἴτε εἰς ἀροσίμους θεωροῦνται αὐτὰ πεδιάδας, εἴτε εἰς τόπους ἀμπελοφύτους, εἴτε εἰς μύλωνας, εἴτε τινὲς εἰσιν ἐν τοῖς τῆς μονῆς δικαίοις προσκαθήμενοι, εἴτε ζεύγη βοῶν εἰσιν, εἴτε ἄλλον οἱονδήτι τῇ μονῇ ἐφ' ἅπαξ ἀφιερωθὲν ὁθενδήποτε, οἱ δὲ κατὰ καιροὺς μοναχοὶ τῆς τῶν Ῥουφιανῶν μονῆς ἕξουσιν ἐπ' ἀνάγκης βελτιοῦν τε καὶ συνιστᾶν τὴν εἰς μετόχιον δοθεῖσαν τούτοις μονήν. οὕτω γὰρ καὶ εἰς μετόχιον αἰωνιζόντως ταύτην καθέξουσιν, ἐπὶ δὲ τοῖς ἄνωθεν εἰρημένοις ἅπασιν ἔσονται ὑποκείμενα τῇ μονῇ τῶν Ῥουφιανῶν καὶ τὰ δύο μετόχια τῆς Ζιγρίτζης, ἥ τε Δαφναία καὶ ἡ Ἄξυλος, μετὰ τῶν ἐν αὐτοῖς προσκαθημένων πτωχῶν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος τοῖς Ῥουφιανίταις μοναχοῖς γέγονεν εἰς ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαρτίῳ ἰνδ. θ' †.

VII. 6704—1196, 10 iunii, ind. XIV.

Iudex hippodromi Theodorus Pyropulus profitetur monasterium S. Pauli exemptum esse de potestate ecclesiastica.

† Σημείωμα γεγονὸς παρὰ βασιλικῶν ἀρχόντων πατριαρχικῇ κελεύσει διασαφοῦν εἶναι τὴν μονὴν αὐτοδέσποτον καὶ ἀπηλλαγμένην πάσης ἐκκλησιαστικῆς δεσποτείας καὶ κυριότητος †.

Μηνὶ ἰουνίῳ δεκάτῃ, ἡμέρᾳ δευτέρᾳ, ἰνδ. ιδ', ἐπὶ παρουσίᾳ τοῦ μεγαλοϋπερόχου πρωτονωβελησιμοϋπερτάτου κυροῦ Δονάτου τοῦ Ξιφιλίνου, τοῦ μεγαλοδοξοτάτου βασιλικοῦ βεστιαρίτου κυροῦ Βασιλείου τοῦ Ἀριστηνοῦ καὶ τοῦ θεοσεβεστάτου ἐκδίκου κυροῦ Λέοντος τοῦ Ἁγιοθεοδωρήτου.

Ἀνήλθομεν σήμερον ἐξ ὁρισμοῦ ἀγράφου πατριαρχικοῦ ἀγγελθέντος ἡμῖν διά τινος τῶν θυρωρῶν πρὸς ἐντυχίαν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ καὶ ἠκούσαμεν ἐξ αὐτοῦ, ὡς ὁ καθηγούμενος τῆς ἐν τῷ Λάτρῳ σεβασμίας μονῆς τοῦ ἁγίου Παύλου, ἱερομόναχος Παῦλος, παρὰ τῷ μεγάλῳ λογοθετικῷ δικαστηρίῳ ἑλκύσας τοὺς ὁμοζύγους, τόν τε Μεσοποταμίτην Ἀλέξιον καὶ τὴν Εἰρήνην, ἀλλὰ δὴ καὶ τὴν θυγατέρα αὐτῶν Μαρίαν περί τινος οἰκοστασίου τῇ κατ' αὐτὸν μονῇ διαφέροντος καὶ ἐν τῇ τοποθεσίᾳ τῶν Βασιλίσκου διακειμένου. λέγει ζητεῖσθαι παρὰ τοῦ ἀντιθέτου μέρους ἐντολὴν πατριαρχικὴν διὰ τὸ δῆθεν ὑπὸ τὴν κυριότητα καὶ δεσποτείαν τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας εἶναι τὴν δηλωθεῖσαν μονὴν καὶ ἐπεί φησι πάντη ἀβούλητόν ἐστι τῇ ἁγιωσύνῃ αὐτοῦ, ὥσπερ τὸ τῶν διαφερόντων αὐτῷ δικαίων καταφρονεῖν, οὕτω καὶ τὸ ἐπιλαμβάνεσθαι τῶν μὴ διενεγκόντων αὐτῷ, ἡ δὲ ῥηθεῖσα μονὴ τοῦ ἁγίου Παύλου ἐλευθέρα τούτῳ ἐγνώρισται καὶ τῆς ἐκκλησιαστικῆς δεσποτείας καὶ κυριότητος πάντη ἀπηλλαγμένη, μόνα δὲ τὰ ἀρχιερατικὰ δίκαια κέκτηται ἐπ' αὐτήν, καθώσπερ καὶ ἐπὶ ταῖς λοιπαῖς πάσαις μοναῖς ὁ κατὰ τὴν ἡμέραν οἰκουμενικὸς πατριάρχης, ἤγουν τὸ σφραγίζειν τὸν καθηγούμενον, τὸ ἀναφέρεσθαι ἐν αὐτῇ καὶ τὸ τὰ ψυχικὰ σφάλματα διορθοῦσθαι,

ἐθέλει δῆλον γενέσθαι τῷ δικαστηρίῳ δι' ἡμεδαποῦ σημειώματος τὸ ἐλευθέραν πάντη καὶ αὐτοδέσποτον εἶναι τὴν τοιαύτην μονὴν καὶ μὴ ὑπὸ τὰ ἐκκλησιαστικὰ τελεῖν δίκαια καὶ διὰ ταῦτα μηδὲ ἐντολῆς δεῖσθαι πατριαρχικῆς εἰς τὸ ἀνακρίνεσθαι τῷ ἀντιθετοῦντι αὐτῇ μέρει· ἐκ πολλῶν γὰρ ἔφη ἐπιγνῶναι τὴν αὐτοῦ ἁγιότητα τὸ ἐλεύθερον καὶ ἀδούλωτον τῆς τοιαύτης μονῆς, οὐχ ἧττον δὲ καὶ ἀπὸ τοῦ προκομισθέντος τῇ αὐτοῦ ἁγιότητι παρὰ τοῦ ῥηθέντος καθηγουμένου τυπικοῦ τῆς τοιαύτης μονῆς τοῦ ἐν μέρει οὑτωσὶ διεξιόντος. ὁ δὲ θεοφόρος πατὴρ προσκαλεσάμενος πᾶσαν τὴν ἐν Χριστῷ ἀδελφότητα, συμπαρόντων καὶ τῶν προρρηθέντων ποιμένων καὶ Εὐθυμίου κουβουκλισείου καὶ Θεοφυλάκτου, ἀνθρώπου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, ὡς ἀποσταλέντος διά τινα εὔλογον πρόφασιν πρὸς αὐτόν, λέγει αὐτοῖς εἰς ἐπήκοον πάντων· ποῦ θέλετε, τέκνα, καταλείψω ὑμᾶς, ἐπειδὴ οὐκέτι με ὄψεσθε σωματικῶς συνδιάγοντα ὑμῖν; οἱ δὲ ὡς τούτων τῶν λόγων ἠκηκόεισαν, ἔμειναν ὡσεὶ νεκροί, μὴ δυνάμενοι ἢ φθέγξασθαί τι ἢ κἂν πρὸς βραχὺ βλέψαι αὐτόν, συγχεθέντες ὑπὸ τῆς λύπης καὶ τῶν δακρύων. ὁ δὲ ἰδὼν αὐτοὺς ταραχθέντας λέγει αὐτοῖς· εἴπατε, εἴπατε, ἐάνπερ εἰς βασιλέα ἢ πατριάρχην ἢ ἄλλον τινὰ προθυμεῖσθε καταλιπεῖν με ὑμᾶς. οἱ δὲ λέγουσιν αὐτῷ· ὅπου κελεύεις, πάτερ, προνοούμενος ἡμῶν τὸ συμφέρον. εἶπε δὲ αὐτοῖς· ἐν οὐδενὶ ἄλλῳ προθυμοῦμαι ὑμᾶς καταλιπεῖν καὶ δεσπόζεσθαι, εἰ μὴ ἐν ταῖς χερσὶ τοῦ κυρίου καὶ θεοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. κἂν ἀβέβαιόν, φησι, τὸ τοιοῦτον ἦν τυπικόν, ἀλλὰ βεβαιοῦται ὡς ἐν τῷ ἔδοξέ φησι τῶν ἐμπεριεχομένων ῥημάτων τῷ ἐκτεθέντι καὶ συγγραφέντι παρὰ τοῦ ἁγίου, ἐκείνου Μεταφραστοῦ κυροῦ Συμεὼν τοῦ λογοθέτου βίῳ τοῦ ῥηθέντος ὁσίου Παύλου τοῦ καὶ δομήτορος τῆς μονῆς, ἔνθα φησίν· ἐκπέμπεται τοίνυν εἷς τῶν μοναχῶν, ὃς καὶ ὑπαντᾷ τοῖς κληθεῖσι πρὸς τὸν μέγαν ἀνερχομένοις. ὡς δὲ κατέλαβον καὶ εἰς λόγους αὐτοῖς ἔρχεται, λόγους οὓς ἐκεῖνόν τε ἔδει λέγειν καὶ αὐτοὺς ἀκούειν γέμοντας ὠφελείας, οἵγε καὶ οὕτως ἔχοντα θεασάμενοι ἤροντο περὶ τοῦ ποιμνίου· τίνι μέλλεις ἐπιτρέπειν αὐτούς; ἐκείνῳ, ἔφη, τῷ κατὰ γνώμην ὄντι τοῖς ἀδελφοῖς. ἀθροίσας τοιγαροῦν ἅπαντας ἐπυνθάνετο, οἱ δὲ τὴν ἐκλογὴν αὐτῷ μᾶλλον ἐγχειρίζουσιν, σόν, πάτερ, εἰπόντες, τὸ ἔργον καὶ τῆς ἐκ θεοῦ φωτιζομένης σου διανοίας. πρὸς ταῦτα ἐκεῖνος ἐγκάρδιόν τι καὶ πεπονθημένον ἄκρως

στενάξας· ἐν οὐδενὶ ἑτέρῳ, ἔφη, ὅτι μὴ χερσὶν ὑμᾶς τοῦ ἐμοῦ Χριστοῦ καὶ θεοῦ καταλείπω. καὶ μετ' ὀλίγα· ὅτι δὲ ἀληθὴς ἡ ἐπαγγελία τὸ ἐπὶ Λαζάρῳ γενόμενον, εἷς δὲ οὗτος τῶν μοναχῶν μετὰ τὴν εἰς θεὸν τοῦ πατρὸς ἐκδημίαν ἀκριβῶς δηλώσει, ὥσπερ ἄρα περὶ αὐτοῦ καὶ τῷ τῆς λαύρας ἐγγέγραπτο βιβλίῳ. τούτων οὕτω πρὸς ἡμᾶς λαληθέντων παρὰ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου τὸ παρὸν σημείωμα εἰς δήλωσιν ἡμεῖς ἐξεθέμεθα κατὰ τὸν ὁρισμὸν τῆς αὐτοῦ ἁγιότητος, ὃ καὶ παρεκβαλόντες καὶ συνήθως πιστωσάμενοι ἐπιδεδώκαμεν μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις ἔτους ςφδ' †.

† Εἶχε καὶ ὑπογραφὴν τὸ παρὸν σημείωμα· ὁ κριτὴς τοῦ βήλου ἐπὶ τοῦ ἱπποδρόμου Θεόδωρος ὁ Πυρόπουλος †.

VIII. Sine anno, mense novembri, ind. IV.

Litteras imperatoris datae ad protospatharium et iudicem mysticum hippodromi Basilium, iubentes determinari confinia monasteriorum S. Pauli et Lamponii.

† Βασιλικὸν πιττάκιον ἀποσταλὲν Βασιλείῳ πρωτοσπαθαρίῳ, μυστικῷ κριτῇ ἐπὶ τοῦ Ἱπποδρόμου καὶ τῶν Θρακησίων †.

† Ἐπεὶ οἱ τοῦ Λάτρους εὐλαβείᾳ ζυγῶντες μοναχοὶ δέησιν πιττακίου τῇ ἐκ θεοῦ ἡμῶν βασιλείᾳ ἔπεμψαν καὶ διὰ τοῦ εὐλαβεστάτου αὐτῶν ἡγουμένου κατεμήνυσαν, ὥς τινες τῶν γειτονούντων τῷ ὄρει καὶ μάλιστα οἱ τῆς μονῆς τοῦ Λαμπονίου μοναχοί, παρ' οὐδὲν θέμενοι τὴν ἐπέχειν αὐτοὺς δυναμένην δύναμιν καὶ ἐντολὴν τοῦ θεοῦ, τὴν ἀρχαίαν διακράτησιν τοῦ ῥηθέντος ὄρους ἐκαινοτόμησαν καὶ τὸ δεινότερον, ὡς παροίκους τινὰς μετὰ γυναικῶν ἐν οἷς οὐκ ἔδει κατεσκήνωσαν τόποις καὶ βλάβης αἴτιοι τοῖς ἐν ταῖς λαύραις μοναχοῖς γίνονται, κελεύομέν σε καὶ εἰς αὐτὸ τὸ φοβερὸν ὄνομα τοῦ θεοῦ καὶ σωτηρίαν τῆς ἐξ αὐτοῦ βασιλείας ἡμῶν ὁρκίζομεν, ἐπὶ τοῦ τόπου γενέσθαι καὶ ζητῆσαι μετ' ἐπιμελείας ὑπερβαλλούσης μέχρι τίνος οἱ ὅροι τοῦ ὄρους διήκουσι καὶ τίνας τόπους οἱ δεηθέντες μοναχοὶ καὶ οἱ πρὸ αὐτῶν κατεῖχον, καὶ διαιρῆσαι μὲν τὴν ἀρχαίαν διακράτησιν καὶ τοῖς μοναχοῖς ἀποκαταστῆσαι καὶ ἐκδιῶξαι δὲ τοὺς κακῶς

κατασκηνωθέντας παροίκους παρὰ τῶν μοναχῶν τῆς μονῆς τοῦ Λαμπονίου καὶ μὴ παραχωρῆσαι μήτε ἄνδρας ἐκεῖσε, μήτε γυναῖκας, μήτε θρέμματα αὐτῶν ἢ αἶγας νέμειν, ἀλλὰ πανταχοῦ τὸ ὄρος ἀκαινοτόμητον τηρῆσαι καὶ τοὺς μοναχοὺς διὰ τὸ τοῦ φιλησύχου βίου παρασκευάσαι τῶν ἐπιβουλευόντων ταῖς ψυχαῖς ἐλευθέρια ζει . . . καὶ τὸν φιλάνθρωπον θεὸν θεραπεύειν καὶ ἡμῶν αὐτῶν καὶ τῶν ὁμωνύμων χριστιανῶν διηνεκῶς ὑπερεντυγχάνειν. φασὶ δὲ καὶ ἀνταλλαγὴ γέγονεν ὑπὲρ τοῦ ὄρους παρὰ τοῦ μακαρίτου Παύλου πρὸς τοὺς τοῦ Λαμπονίου, καὶ ζητῆσαι ὀφείλεις καὶ περὶ τούτου καὶ ἀποδοῦναι τοὺς ἀνταλλαγέντας τόπους τῷ μέρει τοῦ μακαρίτου Παύλου. καὶ τοῦτο ἀναμφιβόλως γενέσθω παρά σου. ἀπελύθη μηνὶ νοεμβρίῳ ἰνδ. δ' ἀπὸ τῆς θεοφυλάκτου πόλεως †.

IX. 6495—987, mensibus februario et aprili, ind. XV.

Compositio facta inter monasterium Lamponii et monasterium S. Pauli de permutatione possessionum et de confinibus eorum confirmata a patriarcha Nicolao.

Ἔτους ,ςυϟε' ὡς ἐκ τῶν ὄπισθεν.

I. Συμβίβασις τῶν τοῦ Λαμπονίου μοναχῶν μετὰ τῆς μονῆς τοῦ ἁγίου Παύλου τοῦ ὄρους τοῦ Λάτρου.

Βαρθολομαῖος, ἐλέῳ θεοῦ μοναχὸς τῆς εὐαγεστάτης μονῆς τῆς ὑπεραγίας θεοτόκου, τῆς οὔσης μὲν καὶ διακειμένης ὑπὸ τὸ ὄρος τοῦ Λάτρου, ἐπιλεγομένης δὲ τοῦ Λαμπονίου, ὁ καὶ χάριν τῆς παρούσης ὑποθέσεως μετὰ καὶ γραμμάτων ἐνταῦθα ἐποσταλεὶς παρὰ Μεθοδίου, τοῦ εὐλαβεστάτου ἱερομονάχου καὶ ἡγουμένου τῆς εἰρημένης τοῦ Λαμπονίου μονῆς καὶ τῆς ἐν Χριστῷ ἐν αὐτῇ τῶν μοναχῶν ἀδελφότητος τῶν καὶ παρ' ἐμοῦ εἰς χεῖρας ἐπιδοθέντων Νικολάῳ, τῷ ἁγιωτάτῳ πατριάρχῃ, τὴν παροῦσαν ἐκ προσώπου αὐτῶν καὶ τοῦ μέρους παντὸς τῆς τοιαύτης ἡμῶν τοῦ Λαμπονίου μονῆς ἐπικύρωσιν καὶ ἐπιβεβαίωσιν, ἔτι δὲ συμφωνίαν καὶ ἀσφάλειαν τίθημι καὶ ποιῶ, ὡς μέλλοντος καὶ τοῦ προειρημένου μου ἡγουμένου καὶ τῶν σὺν αὐτῷ εὐλαβῶν μοναχῶν ἐπιτοπίως ἐνώπιον ἀξιολόγων μαρτύρων ταύτην ἀποδέχεσθαι καὶ ἐπιβεβαιοῦν γνώμῃ, προτροπῇ τε καὶ εἰδήσει Νικολάου, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ ἐγγράφῳ συν-

κινέσει Στεφάνου, τοῦ θεοσεβεστάτου ἱερομονάχου καὶ χαρτοφύλακος, καὶ τῶν πατριαρχικῶν νοταρίων τῶν καὶ διὰ τῶν οἰκείων ὑπογραφῶν ἑξῆς δηλωθησομένων ἑκουσίᾳ μου τῇ γνώμῃ καὶ αὐτοπροαιρέτῳ βουλήσει, πάσης βίας, δόλου, φόβου τε, χλεύης, ἀπάτης, συναρπαγῆς, κανουργίας καὶ ῥᾳδιουργίας ἐκτὸς σὺν προθυμίᾳ καὶ ὁλοψύχῳ προθέσει εἰς ὑμᾶς Γαβριὴλ, τὸν εὐλαβέστατον ἐλέῳ θεοῦ μοναχὸν καὶ προεστῶτα τῆς εὐαγεστάτης λαύρας τῆς ὑπεραγίας θεοτόκου, ἤτοι τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τῆς οὔσης ἐν τῇ κορυφῇ τοῦ Λάτρου ὄρους καὶ ἐπονομαζομένης τοῦ Στύλου καὶ εἰς τοὺς ὑπό σε εὐλαβεῖς μοναχοὺς, ἔτι τε καὶ πρὸς πάντα τὰ δίκαια τῆς ὑμετέρας λαύρας, καθὼς ὑποτέτακται· ἐπειδὴ γὰρ τὸ μέρος τῆς καθ' ἡμᾶς τοῦ Λαμπονίου μονῆς παρεισῆγεν εὔλογα ἔχειν κατὰ τῆς καθ' ὑμᾶς λαύρας, περὶ οὗ διακατέχετε μέρους ἐκ τοῦ προαναφερομένου ὄρους τοῦ Λάτρου, ὑμεῖς δὲ ἀντεισήγετε καὶ διισχυρίζεσθε εὐλόγῳ καὶ δικαίῳ λόγῳ ἔχειν τὴν καθ' ὑμᾶς λαύραν τὸ τοιοῦτον ἐκ τοῦ ὄρους μέρος, ὅπερ καὶ ἀπερικόπως μακροὺς ἤδη διελθόντες χρόνους τοῦτο ἐδεσπόζετε, ὡς ἀνταλλαγῆς γεγονυίας πρότερον παρὰ τοῦ ἐν τῇ ὁσίᾳ μνήμῃ Παύλου μοναχοῦ, τοῦ καὶ τὴν τοιαύτην ὑμῶν λαύραν κτήσαντος καὶ συστήσαντος, ἐκχωρησάντων μὲν ἡμῶν τῶν τοῦ Λαμπονίου, μᾶλλον δὲ τοῦ μέρους ἡμῶν ἐκείνῳ τῆς τοιαύτης γῆς, ἀντιλαβόντων δὲ ἑτέραν γῆν τὴν οὖσαν μὲν καὶ διακειμένην πλησίον τῆς καθ' ὑμᾶς μονῆς, ἐπιλεγομένην δὲ τὸ Δρακόντιον, ἔτι δὲ προσειληφότων καὶ τὸ χωράφιον τὴν Πελεκαναίαν, ὅμως διὰ τὸ ἀγράφως αἱρῆσθαι τὴν παρ' ὑμῶν λεγομένην δοθῆναι πρὸς τὴν ἡμετέραν μονὴν εἰς ἀντισήκωσιν τοῦ ὄρους γῆν, ὑμεῖς οἱ τῆς λαύρας τοῦ ἁγίου Παύλου, πᾶσαν δίκην καὶ φιλονεικίαν ἀφέντες, ᾑρετίσασθε δι' ὅρκου βεβαιῶσαι ἐκ τῶν μοναχῶν τῆς καθ' ὑμᾶς μονῆς τρεῖς, ἤγουν τὸν Νικήταν, τὸν Βασίλειον καὶ τὸν Γρηγόριον, ὅτι ἐπείπερ καὶ παλαιοὶ τῶν ἡμερῶν εἰσι καὶ μνήμην περὶ τῶν συμβεβηκότων ἔχοντες βεβαιώσουσιν ἡμᾶς οὕτως εἶναι τὴν ἀλήθειαν ἀπολαβὼν ὑμᾶς τὸ παρ' ἡμῶν διακατεχόμενον τοῦ ὄρους μέρος, εἴπερ ἀπὸ τοῦ μακροῦ χρόνου βοήθειαν ἡ καθ' ἡμᾶς οὐχ εὑρίσκει λαύρα, τῶν δὲ αὐτῶν ἐκλεγέντων εἰς τοῦτο ὀμόσαι ἀπαρνησαμένων καὶ τὸν ὅρκον παραιτησαμένων, ἐπείπερ ἀμφότερα τὰ μέρη καὶ μοναχοὶ ἐν κυρίῳ ἐσμὲν καὶ διὰ τοῦτο μάχεσθαι καὶ φιλονεικεῖν μετ' ἀλλήλων οὐκ ἄξιον εἶναι κρίναντες, ἀλλὰ τὸ εἰ-

ρηνεύειν παρὰ τὸ ἐχθραίνεσθαι καὶ φιλονεικεῖν βέλτιον εἶναι συνειδότες, καθὰ τοῦτο καὶ θεῷ φίλον ἐστὶ καὶ τοῖς ἀνθρώποις εὐαπόδεκτον, κατὰ τὴν ιδ' τοῦ ἀπριλλίου μηνὸς τῆς διελθούσης δ' ἰνδικτιῶνος τοῦ ,ϛυϟδ' ἔτους ἔγγραφον καὶ ἐνυπόγραφον ἀσφάλειαν οἱ τοῦ μέρους τῆς ἡμῶν μονῆς, δηλαδὴ τοῦ Λαμπονίου, ἐξέθεντο πρὸς τὴν καθ' ὑμᾶς λαύραν περὶ τελείας διαλύσεως καὶ ἀπαλλαγῆς τοῦ προδηλουμένου μέρους ὅλου τοῦ μέρους τῆς ὑμῶν τοῦ Στύλου λαύρας, λαβόντες παρ' ὑμῶν ἕνεκεν τῆς τοιαύτης ἀσφαλείας καὶ κατὰ πάντα ἀποχῆς τε καὶ ἀπαλλαγῆς διὰ χαράγματος νομίσματα ἑκατὸν, ἅτινα καὶ παραφυλαττόμενα εἰσέτι παρ' ὑμῶν τυγχάνει εἰς ἀγορὰν θηλυκῶν τριάκοντα τριῶν βουβαλίων ὡς εὐπροσόδων αὐτῶν ὄντων πρὸς τὴν καθ' ὑμᾶς μονὴν, καθὼς καὶ ἡ τοιαύτη παρὰ τῆς ἡμῶν μονῆς πρὸς τὴν καθ' ὑμᾶς λαύραν γεγονυῖα ἔγγραφος καὶ ἐνυπόγραφος ἀσφάλεια λεπτομερέστερον καὶ ἐπεξεργατικώτερον διαλέγεται. διὰ δὲ τὸ ταύτην ἄνευ γνώμης καὶ εἰδήσεως καὶ δεσποτικῆς προτροπῆς, ἔτι δὲ ἐγγράφου συναινέσεως τοῦ τιμιωτάτου πατριαρχικοῦ σεκρέτου γενέσθαι, λέγω δὴ τοῦ χαρτοφυλακίου ἀξίωσιν ὑμεῖς οἱ τῆς λαύρας πρός τε τὸν δηλωθέντα εὐλαβέστατον Μεθόδιον ἱερομόναχον καὶ ἡγούμενον τῆς κατ' ἐμὲ πάλαι δηλουμένης τοῦ Λαμπονίου μονῆς καὶ τοὺς αὐτῆς μοναχοὺς ἐποιήσασθε, ἵνα εἴπερ ἐμμένωσιν εἰς τὴν παρ' αὐτῶν πρὸς ὑμᾶς ἐκτεθεῖσαν ἀσφάλειαν καὶ τελείαν ἀποχὴν διὰ γραφῆς αὐτῶν παράκλησιν ποιήσωνται πρὸς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην, κῦρ Νικόλαον, καὶ πρὸς τὸν θεοσεβέστατον Στέφανον καὶ χαρτοφύλακα τοῦ διὰ ἐπικυρωτικῆς μὲν ἀσφαλείας ἡμῶν, αὐτῶν δὲ, ἤγουν τοῦ χαρτοφύλακος καὶ τῶν πατριαρχικῶν νοταρίων, ἐγγράφου συναινέσεως τὴν παρὰ τῆς ἡμῶν μονῆς πρὸς τὴν καθ' ὑμᾶς λαύραν ἐκτεθεῖσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀσφάλειάν τε καὶ ἀποχὴν ἐπιβεβαιῶσαι καὶ δὴ τοῦτο προθύμως ἀποδεξαμένων ἐκείνων, καὶ γράμματά μοι ὡς καὶ προεμφέρεται δεδωκότων καὶ ταῦτα ἐμοῦ πρὸς τὸν ἁγιώτατον ἡμῶν δεσπότην καὶ οἰκουμενικὸν πατριάρχην ἀποκομίσαντος αὐτὸς τὸ ἀγαθὸν γενέσθαι καὶ ἐν ἀμφοτέροις τοῖς μέρεσι προθυμούμενος, ἤγουν τῆς ἡμετέρας μονῆς καὶ τῆς λαύρας προετρέψατο τὰ παρὰ τῆς ἡμῶν μονῆς αἰτηθέντα εἰς πέρας αἴσιον ἀχθῆναι καὶ ἐπὶ τοῦτο οἰκειογνώμως καὶ αὐτοθελῶς κατὰ τὴν τοῦ ἡγουμένου καὶ τῶν συμμοναχῶν μου γεγονυῖαν πρός με προτροπὴν

μετὰ πάσης μου τῆς περιχαρείας καὶ ἀποδοχῆς ἐπικυρῶ καὶ ἐπιβεβαιῶ τὴν παρὰ τῆς ἡμῶν μονῆς ἐκτεθεῖσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀσφάλειαν, τοῦ διαμένειν αὐτὴν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους βεβαίαν, ἀρραγῆ τε καὶ ἀπαρασάλευτον καὶ τοῖς ἱεροῖς κανόσι καὶ τῇ ἱερᾷ συνόδῳ καὶ τοῖς φιλευσεβέσι νόμοις καὶ τοῖς πανευφήμοις δικασταῖς καὶ πᾶσι τοῖς κρίνειν λαχοῦσιν εὐπρόσδεκτον, μάλιστα διὰ τὸ καὶ ὑμᾶς τοὺς τῆς λαύρας ἀγαθυνθῆναι καὶ συμφωνῆσαι, ἵνα ἡμεῖς οἱ τῆς μονῆς τοῦ Λαμπονίου καὶ τὸ μέρος ἡμῶν μὴ ἔχομεν ἄδειαν ἢ τὴν οἱανοῦν ἐξουσίαν ἐν τῇ περιοχῇ τῇ δεσποζομένῃ παρὰ τῆς ἡμῶν λαύρας τοῦ Στύλου ποτὲ καιρῷ ἢ χρόνῳ αὐθαδῶς ὑπεισέρχεσθαι καὶ ξυλεύεσθαι, εἰ μήπω ἂν αἰτήσει μὲν ἡμῶν τῶν τῆς μονῆς τοῦ Λαμπονίου, γνώμῃ δὲ καὶ προτροπῇ ὑμῶν τῶν τῆς λαύρας τοῦ Στύλου, παραχωρούμεθα τοῦ ἐν καιρῷ δέοντι ἀναλαμβάνεσθαι λόγῳ χρείας καὶ μόνης τῆς καθ' ἡμᾶς μονῆς δᾳδῶν καὶ ἐργασίμων ξύλων τὸ χρειοποιούμενον ἐν ἀληθείᾳ εἰς τὴν ἡμῶν μονὴν καὶ οὐκ εἰς ἕτερον οἱονδήποτε πρόσωπον καθ' οἱονδήτινα τρόπον· ὁ γὰρ πάλαι δηλούμενος Μεθόδιος μοναχὸς καὶ ἡγούμενος καὶ οἱ σὺν αὐτῷ μοναχοὶ τῆς ἡμῶν τοῦ Λαμπονίου μονῆς ὀφείλουσιν ἐπιτοπίως διὰ τῆς ἰδιοχείρου προταγῆς καὶ ὑποταγῆς αὐτῶν ἐνώπιον ἀξιολόγων μαρτύρων ταύτην ἀποδέχεσθαι καὶ ἐπιβεβαιοῦν. εἰ δὲ πρὸς ταῦτα ἀμεληθήσομαι ἐγώ τε αὐτὸς, εἴτε ὁ κατ' ἐμὲ ἡγούμενος καὶ οἱ σὺν ἐμοὶ μοναχοὶ, εἴτε οἱ μεθ' ἡμᾶς ἐν τῇ καθ' ἡμᾶς μονῇ ἐλευσόμενοι ἡγούμενοι, μονάζοντες ἢ ἕτερον οἱονδήποτε ἐκκλησιαστικὸν ἢ ἰδιωτικὸν μικρὸν ἢ μέγα ἢ ξένον ἢ ἴδιον ἡμῶν πρόσωπον ποτὲ καιρῷ ἢ χρόνῳ κατὰ τῆς παρούσης ἐπικυρωτικῆς ἀσφαλείας, εἴτε καὶ μερικῶς, εἴτε καθόλου καθ' οἱονδήποτε τρόπον, ἵνα ἐπείπερ αὕτη ἡ παροῦσά μου ἐπικύρωσις διὰ γραφῆς ὡς πρόκειται καὶ ἀποστολῆς τοῦ τε ἡγουμένου μου καὶ τῶν συμμοναχῶν μου γέγονε καὶ τιμίᾳ οἰκονομίᾳ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ ἐγγράφῳ συναινέσει τοῦ θεοσεβεστάτου χαρτοφύλακος καὶ τῶν πατριαρχικῶν νοταρίων, οἱ ταύτην ἀθετῆσαι ἐπιχειροῦντες κεχωρισμένοι καὶ ἀλλότριοι ἔστωσαν ἀπὸ κυρίου θεοῦ παντοκράτορος καὶ αὐτοῦ τοῦ μοναδικοῦ καταλόγου τε καὶ σχήματος καὶ πρόστιμον ὑπέχωσι διδόναι αὐτοί τε καὶ δι' αὐτῶν ἡ καθ' ἡμᾶς μονὴ ἐκ χρυσοῦ λίτρας τρεῖς, πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον χρυσοῦ λίτραν μίαν, διαμε-

νούσης καὶ οὕτως ἰσχυρᾶς καὶ βεβαίας τῆς προεμφερομένης ἀσφαλείας καὶ τελείας ἀποχῆς καὶ τῆς παρούσης ἐπικυρωτικῆς προτροπῆς τοῦ τε ἡγουμένου μου καὶ τῶν συμμοναχῶν μου γεγονυίας, καθὼς εἴρηται, τοῦ ὕφους γραφέντος διὰ Μιχαὴλ Ἐγγόνου καὶ ἐξάρχου τῶν ταβουλλαρίων καὶ οὕτως μετὰ τὸ ἀναγνωσθῆναι αὐτὸ καὶ κατὰ πάντα ἀρεσθῆναί μοι προέταξα καὶ ὑπέταξα ἰδιοχείρως. μηνὶ φευρουαρίῳ ἰνδ. ιε΄ τοῦ ϛυϟε΄ ἔτους †.

† Βαρθολομαῖος, ἐλέῳ θεοῦ μοναχὸς τῆς εὐαγεστάτης μονῆς τῆς ὑπεραγίας θεοτόκου τοῦ Λαμπονίου, ἀναγνωσθὲν μοι τὸ προκείμενον ὅλον ὕφος τῇ προτροπῇ τοῦ ἡγουμένου καὶ τῶν συμμοναχῶν μου γεγονυίας ἐπικυρωτικῆς ἀσφαλείας γνώμῃ, προτροπῇ καὶ εἰδήσει Νικολάου, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, ἐγγράφῳ συναινέσει Στεφάνου, τοῦ θεοσεβεστάτου ἱερομονάχου καὶ χαρτοφύλακος, καὶ τῶν πατριαρχικῶν νοταρίων κατὰ πάντα ἀρεσθὲν προέταξα καὶ ὑπέταξα ἰδιοχείρως, τὴν δὲ ὑποταγήν μου διὰ Μιχαὴλ τοῦ ταβουλλαρίου τοῦ καὶ τὸ ὅλον ὕφος γράψαντος †.

† Μεθόδιος, ἐλέῳ θεοῦ ἱερομόναχος καὶ ἡγούμενος τοῦ Λαμπονίου, καὶ ἐφεξῆς οἱ μοναχοί †.

†. Στέφανος, ἐλέῳ θεοῦ ἱερομόναχος καὶ χαρτοφύλαξ, προστάξει δεσποτικῇ τὰ προγεγραμμένα βεβαιῶν οἰκείᾳ χειρὶ ὑπεσημηνάμην †.

† Μιχαήλ, ὁ ἐλάχιστος διάκονος καὶ πατριαρχικὸς νοτάριος, συναινῶν τῷ θεοφιλεστάτῳ χαρτοφύλακι ὑπέγραψα ἰδιοχείρως †. Καὶ ἐφεξῆς ἦσαν ὑπογεγραμμένοι πολλοὶ τῶν νοταρίων.

† Ἰγνάτιος, ἐλέῳ θεοῦ ἐπίσκοπος Ἡρακλείας, παρήμην ἐπὶ τῇ παρούσῃ ἀσφαλείᾳ καὶ μαρτυρῶν ὑπέγραψα ἰδιοχείρως †.

II. Κρίσις ὁμοῦ καὶ ἐπικύρωσις τῆς προαναγεγραμμένης πράξεως τῶν μοναχῶν γεγονυῖα παρὰ

Νικολάου, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου. ἰστέον δὲ, ὅτι ἐπὶ τῶν ἡμερῶν ἦν οὗτος τοῦ σοφωτάτου βασιλέως Λέοντος, τὸ δὲ γράμμα θαυμάσιον.

† Ἐπαινετῶς ἄγαν καὶ ἀξιοζήλως οἵ τε τῆς τοῦ Λαμπονίου μονῆς καὶ οἱ κατὰ τὸ ὄρος τὸ Λάτρος ἐφησυχάζοντες τὴν ἀναμεταξὺ ἑκατέρων ἐπαναφυεῖσαν περί τινων αὐτοῖς προσομορούντων χωρίων ζήτησίν τε καὶ διαμάχην καθ' ἑαυτοὺς διελύσαντο καὶ πρὸς τὸ εἰρηνικὸν καὶ ἄμαχον κατηνέχθησαν· ἐπεὶ γὰρ ἀνθρώπους αὐτοὺς ὄντας οὐκ ἦν μὴ παντάπασιν ἀπηλλάχθαι πραγμάτων, ἀλλά τις ἀνθρωπίνως ἔρις καὶ ἀμφισβήτησις τοῦ ἡσυχίου κἀκείνων ἠρέμα πως καὶ ἀναχωρητικοῦ ἐφήπτετο καὶ τὸ συμπαρακείμενον αὐτοῖς ὄρος, μέρος τι τοῦ ὅλου τυγχάνον, ὃ δὴ κοινῷ ὀνόματι Λάτρος καλεῖται, οἷον ἐν μεταιχμίῳ κείμενον δεινήν τινα καὶ οὐ ῥᾳδίαν σβεσθῆναι τούτοις ἀνῆπτε τὴν πυρκαϊάν· τῶν μὲν τοῦ Λαμπονίου διατεινομένων τῆς ἑαυτῶν ἐκ τῶν ἄνω τοῦ χρόνου τοῦτο ὑπάρχον μονῆς ὀξέ[ως] εἰς τὸ μὴ μεθίεσθαι τοῦ χωρίου δίκην χειμάρρων φερομένων, τῶν δὲ τῷ ὄρει ἐφησυχαζόντων τρ[όπῳ] ἀνταλλαγῆς διατιθεμένων τοῦτο ἀντειληφέναι, καὶ λαμπρῶς ἑκατέρωθεν ἐξῆπτε φιλονεικίαν, ἐνταῦθα ὁ εὐλαβέστατος μοναχὸς Γαβριὴλ τὸ τῆς ἑαυτοῦ γνώμης ἀνακεχωρηκὸς καὶ ἡσύχιον ἐπ' αὐτῶν διεδήλωσε τῶν πραγμάτων καὶ ὡς οὐδὲν ἂν δέοιτο αὐ[τοῦ] πλείονος, εἰ μετὰ στάσεως καὶ πραγμάτων [αὐτοῦ] προσγένοιτο, τρεῖς γάρ τινας τῶν ἐκ τοῦ Λαμπονίου ἔτι περιόντας τῷ βίῳ ἐπιλεξάμενος ἐπὶ τὴν τούτων, ὥσπερ ἐπὶ ἱερόν, ἀπηυτομόλησε πίστιν, φάσκων γηραιοὺς τούτους τυγχάνειν καὶ λοιποὺς τῶν τὴν ἀνταλλαγὴν καταπραξομένων μόνους περιεῖναι, τὸ πιστὸν δὲ παρ' ἐκείνων λαβεῖν καὶ τοῦ χωρίου ἑκὼν ὑπεκστῆναι, ἀλλὰ μὴ πρὸς ἀγῶνας καταβαίνειν καὶ δικαστήρια καὶ τὴν διὰ λόγων ὡμολογημένην ἡσυχίαν ἐκ τῶν ἔργων καταρρυπαίνειν. ἀλλ' ὁ μὲν τοιαῦτα, δίκαιά τε, ὡς τῷ παντὶ δῆλον, καὶ νομικῆς ἀκριβείας ἐχόμενα προϊσχόμενος, οἱ δὲ μονάζοντες μικροῦ κέρδους ἕνεκεν ὥσπερ καταιδεσθέντες τὴν αὐτῶν καταμολύναι ὑπόληψιν ἑαυτῶν καὶ τῆς ἀληθείας ἐγένοντο, καὶ οὐκ ἄν ποτε ἑκόντες τὴν ἀλήθειαν ἔφασαν ἐξομόσασθαι, ὑπὲρ ἧς τὸ τραχὺ τοῦ βίου καὶ ἐπίπονον τοῦ ἡδυπαθοῦς καὶ ῥᾴστου ἀνθυπηλλάξατο, ἀλλὰ τοῖς ὑπὸ τοῦ εὐλαβεστάτου μοναχοῦ Γαβριὴλ προτεινομένοις ἀληθέσιν

οὗσι συνεπεμαρτύρουν καὶ τὴν πάλαι γενομένην ἀνταλλαγὴν ἐπεβεβαίουν, εἰληφέναι μὲν τὸ ἐκείνων λέγοντες, ἀντιδοῦναι δὲ τηνικαῦτα τὸ ἑαυτῶν ὑπὲρ οὗ τὸ νῦν ἔχον ἡ ἔρις κεκίνητο, ἐντεῦθεν κύριος μὲν ἀναμφίβολος ὁ τοῦ Λάτρου προεστὼς τοῦ ἐπιμάχου χωρίου ἐνδίκως ἐγένετο, τὴν ἡσυχίαν δὲ οἱ τοῦ Λαμπονίου ἦγον [καὶ] ὑπὸ καταδίκην εἰκότως ἔπιπτον μάρτυρες καθ' ἑαυτῶν, οἱ δι' ὅρκου ἑξῆς τὰ ἑαυτῶν κομίσασθαι μὴ βουληθέντες, ἀπαράγραπτοι διαφανέντες. ἀλλ' ὁ εὐλαβέστατος ἄνθρωπος καὶ τῆς ἡσυχίας ὄντως ἐραστής, ὁ εἰρημένος μοναχὸς Γαβριήλ, ἵνα μὴ καὶ αὖθις ὀχλήσεσι περιπέσειεν, οἷς ἡσυχία φίλον καὶ τὸ ἄπραγμον, εἰωθότος τοῦ μακροῦ χρόνου πάντα περικαλύπτειν καὶ ἀμαυροῦν καὶ τὰ λίαν ἐστίν, ὅτε ἐπίδηλα τὴν πάλαι γενομένην ἀνταλλαγὴν ἐπιβεβαιῶσαι, αὖθις αὐτοὺς ᾑρετίσατο καὶ τῆς εἰς τὸ ἐπιὸν ἀσφαλείας ἕνεκεν ἑκατὸν ἐπιδοῦναι νομίσματα, κέρδους μᾶλλον ἄμεινον ἡγησάμενος τὴν παροῦσαν ζημίαν, εἴγε ἐν ὑστέρῳ μέλλοιεν τῶν οἰκείων ἀπηλλάχθαι φιλονεικιῶν, ὡς ἂν δὲ ἅμμασι καὶ δεσμοῖς ἀλύτοις τὰ κατακεπραγμένα δυσεπιχείρητα ᾖ καὶ δυσδιάλυτα, τὴν ἡμετέραν ἐπὶ τούτοις ἔγγραφον ἐζητήσατο γνώμην, τά τε ἤδη φθάσαντα γενέσθαι βεβαιοῦσαν καὶ τὴν εἰς τὸ μέλλον διαρκῆ τούτῳ καὶ ἀδιάσειστον τοῦ χωρίου δεσποτείαν πραγματευομένοις, γραφαί τε ἐπὶ τούτοις τῶν τοῦ Λαμπονίου ἡμῖν ἐπεδόθησαν. καὶ δὴ ἀποστολαὶ τῶν δεησομένων ἐγένοντο, τὴν ἑαυτῶν συμφωνίαν βεβαιῶσαι προσλιπαροῦντες. ἃ μὲν οὖν ἐπὶ τούτοις προέβη σαφέστερόν τε καὶ ἐπεξεργαστικώτερον ἡ παρά τε τοῦ θεοφιλεστάτου ἡμῶν χαρτοφύλακος καὶ τοῦ κατ' αὐτὸν σεκρέτου ἔγγραφος ἐκτεθεῖσα διαγορεύει· προτροπὴ καὶ συγκατάθεσις, ἀρίστην δὲ καὶ ἡμεῖς καὶ ἐπὶ τῷ τοῦ Λαμπονίου μᾶλλον συμφέροντι τὴν παροῦσαν πρᾶξιν εἶναι νομίσαντες, διὰ τῆσδε ἡμῶν τῆς ἐγγράφου προτροπῆς ἐπικυροῦμεν τὰ παρ' αὐτῶν κατακεπραγμένα καὶ βέβαια εἰς τὸ μέλλον καὶ ἀρραγῆ διαμένειν παρεγγυώμεθα, παρὰ μηδενός τινος τῶν ἐκ τῆς τοῦ Λαμπονίου μονῆς καθ' οἱονδήτινα τρόπον δυνησόμεθά ποτε τοῖς ἐν τῷ ὄρει δίκην λαχεῖν ἢ τὴν ὑπόθεσιν αὖθις ἀνακινεῖν καὶ θορύβους αὐτῶν τῷ ἡσυχίῳ τῆς βιωτῆς καὶ ἀπράγμονι προξενεῖν· ὁ τοιοῦτος γάρ, ὅστις ποτὲ εἴη, οὐ μόνον ἀνήκοος ἀπὸ παντὸς ἀποβληθείη δικαστηρίου, ἀλλὰ καὶ τοῖς ἐν τῇ ἐγγράφῳ αὐτῶν ἀσφαλείᾳ ἐγκειμένοις ὑποπεσεῖται προστίμοις. ἐγράφη καὶ ἐν ὑπομνήμασι ἐξετέθη καὶ σφρα-

γισθὲν ἐπεδόθη μηνὶ ἀπριλλίῳ ἰνδ. ιε' τοῦ ,ϛυϟε' ἔτους †.

X. 6557—1049, mense augusto, ind. II.

Constantinus cubiclisius et clericus magnae ecclesiae decernit, controversiam ortam inter monasteria S. Pauli et Salvatoris Agraulorum in monte Latro diiudicandam esse a synodo in urbe.

Πρακτικὸν γεγονὸς παρὰ Κωνσταντίνου κληρικοῦ τῆς μεγάλης ἐκκλησίας, κουβουκλεισίου, ἀρχιητροῦ καὶ ἐπὶ τοῦ πατριαρχικοῦ σεκρέτου.

† Τῆς ἐν τῷ ὄρει τοῦ Λάτρου ἀμφισβητουμένης ὑποθέσεως παρά τε τῶν εὐλαβεστάτων μοναχῶν τῆς εὐαγεστάτης λαύρας τοῦ Στύλου τοῦ Λάτρους καὶ τῆς μονῆς τοῦ Σωτῆρος τῆς τῶν 'Αγραύλων ἡ ἐπὶ τοῦ τόπου θέα ἐναργεῖς τὰς ἀποδείξεις ἀπέδειξε. τοῦ γὰρ εὐλαβεστάτου μοναχοῦ καὶ καθηγουμένου τῆς δηλωθείσης μονῆς τοῦ Στύλου, κῦρ Νικολάου, ἐνάγοντος ἐπὶ τοῦ θεοτιμήτου ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κατὰ Βασιλείου, τοῦ εὐλαβεστάτου μοναχοῦ, κουβουκλεισίου καὶ βασιλικοῦ κληρικοῦ, ἔτι δὲ προνοητοῦ τῆς μονῆς τῆς Καρέας, καὶ πάμπολλα λέγοντος ὑπ' αὐτοῦ κεκαινοτομεῖσθαι τὸ ὄρος, τῶν ἀπὸ τῆς ὑπ' αὐτὸν μονῆς ἐπιβαινόντων βιαίως τοῖς ταύτης ὁρίοις, οὐδὲν δίκαιον τὸ παράπαν τούτοις ἐχόντων ἡ ἐπὶ τοῦ τόπου ἐδέησε ζήτησις. καὶ ἀποσταλεὶς ἐγὼ Κωνσταντῖνος, κληρικὸς τῆς μεγάλης ἐκκλησίας, κουβουκλείσιος καὶ ἐπὶ τοῦ πατριαρχικοῦ σεκρέτου, ἐξ ἐγγράφου προστάξεως τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ζητῆσαι περὶ τούτου, κατὰ τὴν ιδ' αὐγούστου μηνος ἰνδ. η' ἐν ἔτει ,ϛφνζ', παρόντων ἀμφοῖν τοῖν δικαζομένοιν καὶ Μεθοδίου μοναχοῦ καὶ καθηγουμένου τῆς μονῆς τῶν Κελλιβάρων, Χαρίτωνος, μοναχοῦ καὶ διακόνου, καὶ Κοσμᾶ, μοναχοῦ καὶ καθηγουμένου [τῆς] μονῆς τῶν 'Αγραύλων, καὶ ἑτέρων πλειόνων ἐζήτησα τὰ τῆς δίκης, καὶ οἱ μὲν τῆς μονῆς τοῦ Στύλου ἐνεφάνισαν δικαιώματος ἴσον ἀνταλλαγῆς τοῦ ὄρους πρὸς αὐτοὺς γεγονὸς παρὰ τῶν μοναχῶν τῆς μονῆς Κελλιβάρων ἤγουν τοῦ Λαμπονίου πρὸ χρόνων μακρῶν, πρὸς δὲ καὶ ἐκ τῶν βασιλικῶν κωδίκων ἐκστίχων τοὺς τῆς ἀνταλλαγῆς ἀγροὺς διερμηνεῦον πάντας, αὐτούς τε τοὺς ὅρους

καὶ τὰ γνωρίσματα τοῦ περιορισμοῦ ἐν τῷ τῆς ἀνταλλαγῆς ἐγγράφῳ ἀνατατόμενα καὶ τὸ δημόσιον ὅσον ἐν τῷ ἐκστίχῳ ἀναγραφόμενον, πρὸς τούτοις καὶ ὑπόμνημα τοῦ μακαρίτου καὶ ἀοιδίμου πατριάρχου κυροῦ Νικολάου συνοδικῶς περὶ τούτου δικάσαντος, ὃ καὶ διέξεισιν, ὡς μετὰ τὴν ἀνταλλαγὴν τινὲς τῶν τοῦ Λαμπονίου μοναχῶν στασιάσαντες τὰ συμπεφωνημένα ἠθέτησαν καὶ ἐξ ἐγκλήσεως τοῦ τῆς μονῆς τοῦ Στύλου τότε προεστῶτος, ἀνδρὸς ἐπισήμου, τοῦ μοναχοῦ κῦρ Γαβριήλ, ὁ τὰ τοῦ θέματος τῶν Θρακησίων δικάζων οἰκιστικὸς γράμματα αὐτοκρατορικὰ δεξάμενος τὰ ἤδη παρ' ἀμφοτέρων τῶν μοναχῶν πραχθέντα καὶ αὖθις κρατῆσαι παρακελεύοντα καὶ τῇ μονῇ τοὺς ἀγροὺς παραδοῦναι, ἀλλ' οἱ τῶν Κελλιβάρων προέχοντες, συνειδότες τὸ ὑπ' αὐτῶν πλημμεληθὲν, συμβιβασθῆναι μετὰ τοῦ δηλωθέντος εὐλαβεστάτου μοναχοῦ κυροῦ Γαβριήλ, προεθύμησαν καὶ πρὸ τοῦ τὸν δικαστὴν ἐπιστῆναι τῷ τόπῳ καὶ ταῦτα μὲν τὰ τῆς μονῆς τοῦ Στύλου ἐπερείδοντα καὶ ἐμφανιζόμενα, ὁ δέ γε κουβουκλείσιος καὶ βασιλικὸς κληρικὸς Βασίλειος μοναχὸς ἀντετίθει, ὡς οὐ καλῶς τοὺς ἀγροὺς ἀνταλλάξαιτο τοῖς τοῦ Λαμπονίου, ἀλλ' ἔχειν καὶ αὐτὸν δεσποτείαν ἐν τούτοις, ὡς ἐκ τῆς μονῆς τῶν Ἀγραύλων, ἀλλὰ καὶ δικαιώματα περὶ τούτων ἐνίστατο ἔχειν καὶ ἐν τῇ πόλει φυλάττεσθαι, καὶ ᾐτεῖτο ἀμφοτέρους εἰσελθεῖν, ἔνθα καὶ τὰ δικαιώματα καὶ ἐπὶ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου περὶ τούτων διαδικάσασθαι ἐφ' ᾧ καὶ συναρεσθέντων παρηγγέλη ἀμφοτέροις μετὰ τὴν συλλογὴν τῶν καρπῶν, ἤγουν δι' ὅλου μηνὸς ὀκτωβρίου τῆς μελλούσης σὺν θεῷ εἰσιέναι τρίτης ἰνδικτιῶνος εἰσελθεῖν ἐν τῇ πόλει καὶ τὰ τῆς δίκης ἐπὶ συνόδου τεθῆναι· διελαλήθη γὰρ καὶ τῷ βασιλικῷ κληρικῷ, ὡς εἰ μὴ κατὰ τὴν ὡρισμένην ἀπαντήσει, ἡ μὲν μονὴ τοῦ Στύλου τὴν τοῦ ὅρους δεσποτείαν ἀπερίκοπον ἕξει, περὶ δὲ ὧν ἔλεγον καινοτομηθῆναι τὸ ὅρος, ἄδειαν ἕξουσι περὶ τούτου ζητεῖν καὶ κατὰ νόμον βοηθεῖσθαι. τῶν δὲ πραχθέντων εἰς δήλωσιν τὸ παρὸν ἔγγραφον ἐγεγόνει τῇ ὑπογραφῇ ἡμῶν βεβαιωθὲν καὶ σφραγῖδι ἐμπεδωθὲν μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις †.

† Κωνσταντῖνος, ἐλάχιστος κληρικὸς τῆς μεγάλης ἐκκλησίας, κουβουκλείσιος, ἀρχιητρὸς καὶ ἐπὶ τοῦ πατριαρχικοῦ σεκρέτου †.

Ὑπεγράφη καὶ ἐσφραγίσθη· Νικόλαος, ὁ ἐλάχιστος διάκονος τῆς μεγάλης ἐκκλησίας, βασιλικὸς κληρικὸς καὶ πατριαρχικὸς νοτάριος, τὰ παρόντα ἴσα μετὰ τῶν πρωτοτόπων ἀντιβαλὼν προστάξει δεσποτικῇ καὶ κατὰ πάντα ἴσα εὑρὼν ὑπέγραφα.

Λέων, ὁ ἐλάχιστος διάκονος τῆς μεγάλης ἐκκλησίας, βασιλικὸς κληρικὸς καὶ πατριαρχικὸς νοτάριος, ὁ τοῦ Μιτυλήνης, τὰ παρόντα ἴσα μετὰ τῶν πρωτοτύπων ἀντιβαλὼν ὑπέγραφα κατὰ πρόσταξιν δεσποτικήν.

Μιχαήλ, εὐτελὴς διάκονος καὶ χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας, ὁ Χοῦμνος, τὰ παρόντα ἔγγραφα ἀντιβαλὼν τοῖς ἐναποκειμένοις τῷ ἐδαφεῖ τοῦ χαρτοφυλακίου σεκρέτῳ καὶ εὑρὼν ἰσάζοντα ὑπέγραφα †.

XI. 6683—1175, mense februario, ind. VIII.

Ioannes Chrysanthus nomine et vice Andronici Cantacuzeni, ducis et exactoris thematis Mylassae et Melanudii, confirmat monasterio exemptionem a tributis publicis.

Ἀποκατάστασις περιεκτικὴ κυροῦ Ἀνδρονίκου τοῦ Κανταχουζηνοῦ.

Γραφὴ ἐνεχειρίσθη μου τοῦ ἁγίου μου αὐθέντου, τοῦ πανσεβάστου σεβαστοῦ δουκὸς καὶ ἀπογραφέως τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου, κυροῦ Ἀνδρονίκου τοῦ Κανταχουζηνοῦ, ὧδε λέξεων ἔχουσα· ὑπερεντιμότατε λογαριαστὰ ἡμῶν, Ἰωάννη Χρύσανθε. τὰ προσόντα τῇ σεβασμίᾳ μονῇ τῇ ἐπ' ὀνόματι τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τιμωμένῃ καὶ διακειμένῃ ἐν τῇ κορυφῇ τοῦ θείου ὄρους τοῦ Λάτρου δικαιώματα τὰ καὶ προκομισθῆναί μοι ὀφείλοντα παρὰ τοῦ τιμιωτάτου καθηγουμένου ταύτης, τοῦ μοναχοῦ κυροῦ Παύλου, ἔπελθε ἐπιστατικώτερον, καὶ εἰ εὑρήσεις ταύτην δικαιουμένην ἀπὸ τῶν τοιούτων δικαιωμάτων εἰς τοὺς νεμομένους παρ' αὐτῆς πάντας παροίκους, ἔασον πάλιν αὐτὴν νέμεσθαι τούτους, καθὼς καὶ τὸ πρότερον· εἰ δ' οὖν, προσκύρωσον τούτους τῷ δημοσίῳ, ἐάσας μόνους τοὺς ἔκπαλαι παρ' αὐτῆς κατεχομένους παροίκους νέμεσθαι ταύτην πρὸς μακρὰν παρη-

γορίαν τῶν ἐν τῇ τοιαύτῃ μονῇ ἀσκουμένων γερόντων. μηνὶ ἰανουαρίῳ ἰνδ. η΄. Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Ἀνδρόνικος ὁ Καντακουζηνός.

Ὅτι γοῦν προσεκομίσθησαν ἡμῖν παρὰ τοῦ διαληφθέντος τιμιωτάτου καθηγουμένου μοναχοῦ, κυροῦ Παύλου, τὰ προσόντα τῇ κατ' αὐτὸν μονῇ δικαιώματα, καὶ ἐπεὶ διέγνωμεν ἀπὸ τούτων, μὴ διαφέρειν τῇ κατ' αὐτὸν μονῇ τοὺς οὓς μέχρι τοῦ νῦν ἐνέμετο ἅπαντας παροίκους, ἀπεντεῦθεν οὐκ ὀλίγους τῶν τῷ δημοσίῳ προσεχωρώσαμεν, καταγραφάμενοι τούτους ἐν τοῖς δημοσιακοῖς πρακτικοῖς, μόνα τὰ προσόντα αὐτῇ προάστειά τε καὶ λοιπὰ ἀκίνητα καὶ τοὺς οὓς ἔκπαλαι εἶχε παροίκους ἐάσαντες ἔχειν αὐτὴν ὡς ἀκριβῶς καὶ ἀναντιρρήτως διαγνόντες αὐτὴν δικαιοῦσθαι ἐπί τε τοῖς δηλωθησομένοις παροίκοις, τοῖς προαστείοις καὶ λοιποῖς ἀκινήτοις, ἅ εἰσὶ ταῦτα· εἶτα ἑξῆς τὰ μετόχια καὶ μετὰ ταῦτα καθέξει τοίνυν ἡ τοιαύτη μονὴ σὺν παντὶ τῷ μέρει αὐτῆς τοὺς ῥηθέντας παροίκους τὰ ἀκίνητα, πρὸς δὲ καὶ τὰς στάσεις ἀνωτέρω παντὸς δημοσιακοῦ βάρους καὶ τέλους μὴ κατά τι ἐπηρεαζομένη τὸ σύνολον ἢ ἐνοχλουμένη παρά τινος, ἀλλ' οὐδὲ ἐννομίου δόσει ἢ κεφαλαιογράφου ἢ ἑτέρου τινὸς κεφαλαίου ὑποπεσεῖται αὐτή τε ἢ οἱ πάροικοι αὐτῆς, μόνα δὲ ἐσεῖτε καταβαλλομένη πρὸς τὸ δημόσιον χάριν δημοσίου κανόνος καὶ ὑπὲρ πάντων καὶ διὰ πάντων ὑπέρπυρα τὰ κατὰ χώραν ἀπαιτούμενα δύο, τὰ καὶ ἐν τῷ παρ' ἡμῶν ἐκτεθέντι πρακτικῷ ἐγκείμενα. χάριν δὲ τῶν ἀνατεθεισῶν τῇ τοιαύτῃ μονῇ τεσσάρων ἐξειλλημμένων στάσεων ἐν τῇ ἐνορίᾳ τῆς Λαρύμου ὀφείλει διδόναι ἐτησίως πρὸς τὸν δημόσιον νόμισμα ἕν. ἐπὶ τούτου γὰρ καὶ τὸ παρὸν ὑπόμνημα συνήθως πιστωθὲν ἐπεδόθη αὐτῇ. μηνὶ φευρουαρίῳ, ἰνδ. η΄, ἔτους ,ϛχπγ΄ †.

† Ἡ ὑπογραφή· Ὁ δοῦλος τοῦ ἁγίου μου αὐθέντου τοῦ πανσεβάστου σεβαστοῦ δουκὸς καὶ ἀναγραφέως Μυλάσσης καὶ Μελανουδίου, Ἀνδρονίκου τοῦ Καντακουζηνοῦ, Ἰωάννης ὁ Χρύσανθος †. Εἶχε καὶ ἀπῃωρημένην μολιβδίνην βοῦλλαν ἔχουσαν ἐν μὲν τῷ ἑνὶ μέρει τὴν ὑπεραγίαν θεοτόκον βρέφος κρατοῦσαν, ἐν δὲ τῷ ἑτέρῳ· Ἰωάννης Χρύσανθος.

XII. 6697—1189, mense augusto, ind. VII.

Basilius Vatatses, exactor vectigalium thematis Mylassae Melanudii, confirmat monasterio possessionem bonorum et exemptionem a tributis.

Ἑτέρα διάγνωσις ἀναγραφικὴ Βασιλείου τοῦ Βατάτζη.

† Θείᾳ καὶ προσκυνητῇ κελεύσει ἐνεργούντων ἡμῶν τὴν ἀναγραφὴν τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου καὶ τῶν περὶ τὸ τοιοῦτον στρατιωτικῶν, ἐκκλησιαστικῶν καὶ μοναστηριακῶν ἀκινήτων κτίσεων, πρὸς δὲ καὶ τὴν δουκικὴν ἀρχὴν διέποντες μετὰ τῶν ἄλλων ἐπεφωνησάμεθα καὶ τὸ μέρος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τῆς ἐν τῷ ὄρει τοῦ Λάτρου διακειμένης διακομίσαι εἴ τι ἔχει δικαίωμα πρὸς ἡμᾶς, ἐφ' οἷς κέκτηται ὀλιγοστοῖς παροίκοις καὶ ἀκινήτοις κτήμασι, καὶ δὲ προεκόμισεν ἡμῖν ὁ πανοσιώτατος καθηγούμενος ταύτης, κῦρ Παῦλος, καὶ οἱ ὑπ' αὐτὸν μοναχοὶ τὰ συντείνοντα τῇ κατ' αὐτοὺς ἁγίᾳ μονῇ χαρτῷα δικαιώματα, χρυσόβουλλά τε καὶ διαγνώσεις τῶν πρὸ ἡμῶν ἀναγραφέων προσκυροῦντα τῇ τοιαύτῃ ἁγίᾳ μονῇ προάστεια καὶ μισθίους, οὓς ἔκπαλαι πρὸς ὑπηρεσίαν τῶν ἐν αὐτῇ μοναχῶν ἐκέκτηντο, καὶ ἐξ αὐτῶν πάντων διέγνωμεν καὶ ἡμεῖς δικαιοῦσθαι ἀναντιρρήτως αὐτὴν ἐπ' αὐτοῖς, διὸ καὶ εἰάσαμεν τὰ τοιαῦτα προάστεια καὶ μετόχια σὺν τοῖς ὀλιγοστοῖς παροίκοις καὶ μισθίοις παρ' αὐτῆς κατέχεσθαι καὶ δεσπόζεσθαι ψυχικῆς ἕνεκεν σωτηρίας τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ αὐτοκράτορος. ἔχουσι δὲ οὕτως. εἶτα ὁ κατάλογος τῶν προαστείων καὶ μετὰ ταῦτα· καθέξει τοίνυν ἡ τοιαύτη σεβασμία καὶ ἁγία μονὴ σὺν παντὶ τῷ μέρει αὐτῆς τοὺς ῥηθέντας παροίκους, τὰ ἀναγεγραμμένα ἀκίνητα καὶ τὰς στάσεις ἀνωτέρω παντὸς δημοσιακοῦ ζητήματος, μὴ κατά τι ἐπηρεαζομένη τὸ σύνολον ἢ ἐνοχλουμένη παρά τινος, ἀλλ' οὐδὲ ἐννομίου ἢ κεφαλαιογράφου ἢ ἑτέρου τινὸς κεφαλαίου δόσει ὑποπεσεῖται αὐτή τε καὶ οἱ πάροικοι αὐτῆς, μόνα δὲ ἐασεῖται καταβαλλομένη πρὸς τὸν δημόσιον χάριν δημοσιακοῦ κανόνος ὑπὲρ πάντων καὶ διὰ πάντων νομίσματα τρικέφαλα κατὰ χώραν ἀπαιτούμενα δύο τὰ καὶ ἐν τῷ παρ' ἡμῶν ἐκτεθέντι πρακτικῷ ἐγκείμενα, χωρὶς δὲ τῶν προανατεθεισῶν τῇ τοιαύτῃ μονῇ τριῶν ἐξειλλημμένων στάσεων ἐν τῇ ἐνορίᾳ τοῦ Λαρόμου ὀφείλει διδόναι ἐτησίως πρὸς τὸν

δημόσιον ὑπέρπυρον ἕν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ὑπόμνημα τῇ συνήθει βούλλῃ καὶ ὑπογραφῇ ἡμῶν πιστωσάμενοι τῷ μέρει τῆς διαληφθείσης μονῆς δεδώκαμεν εἰς ἀσφάλειαν μηνὶ αὐγούστῳ, ἰνδ. ζ', ἔτους ,ςχϟζ' †.

† Ἡ ὑπογραφή· Ὁ δοῦλος καὶ γαμβρὸς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δοὺξ καὶ ἀναγραφεὺς τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου Βασίλειος σεβαστὸς ὁ Βατάτζης †. Εἶχε δὲ καὶ ἀπῃωρημένην βούλλαν μετὰ ἠρανέου σχοινίου, ἐν μὲν τῷ ἑνὶ μέρει τὴν ὑπέραγνον θεοτόκον ἱσταμένην, τεταμμένας τὰς χεῖρας ἔχουσαν, ἐν δὲ τῷ ἑτέρῳ τὰ γράμματα ταῦτα· ταῖς τοῦ σεβαστοῦ Βατάτζη Βασιλείου γραφαῖς τὸ κῦρος, παντάνασσα, σὺ δίδου.

XIII. Sine anno, mense augusto, ind. XIII.

Imperator Isaacius Angelus confirmat monasterio ad instantiam monachorum possessionem praediorum Messingumii et Cypparisii.

I. Ὑπομνηστικὸν τῶν μοναχῶν ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου.

† Τολμῶντες οἱ ἀνάξιοι δοῦλοι καὶ πανευτελεῖς εὐχέται τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου δεόμεθα, δέσποτα ἡμῶν ἅγιε, οἱ ἀπὸ τῆς ἐν τῷ ὄρει τοῦ Λάτρου σεβασμίας μονῆς ἐσμὲν οἱ δοῦλοί σου. ἡ καθ' ἡμᾶς αὕτη δουλικὴ σου μονὴ ἐξ ἀμνημονεύτων τῶν χρόνων κατεῖχε καὶ ἐνέμετο προάστειον ἐλαϊκὸν ὑπὸ τὸ θέμα τυγχάνον μὲν Μυλάσσης καὶ Μελανουδίου, κατεπανίκιον δὲ Λαρύμου διακείμενον καὶ ἐπονομαζόμενον Μεσσιγγούμιον, ὡς διαφέρον ταύτῃ ἀπὸ διαφόρων δικαιωμάτων, καὶ ἐτέλει ὑπὲρ τούτου πρὸς τὸν δημόσιον ὑπέρπυρα τρικέφαλα λς', ἀπὸ δὲ τῆς ἀναγραφῆς τοῦ δουκὸς κυροῦ Ἀνδρονίκου ἐξ ὁρισμοῦ γενομένης τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ καὶ περιποθήτου θείου τῆς βασιλείας σου ἐξεκόπησαν τὰ τοιαῦτα ὑπέρπυρα ἀπὸ τῆς καθ' ἡμᾶς μονῆς. πρὸ χρόνων δὲ ἐξελάβετο τὸ τοιοῦτον προάστειον ὁ ἀποιχόμενος πριμμικήριος ὁ Καραντηνὸς Ἰωάννης, ὁ τὴν οἴκησιν ἔχων ἐν τῇ Μυλάσσῃ, ἀπὸ τοῦ προηγουμενεύοντος τῆς καθ' ἡμᾶς μονῆς δι' ἐγγράφου πεπιστωμένου αὐτοῦ, συμφωνήσας εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς

χρόνους τὴν χρῆσιν τούτου καὶ νομὴν ἔχειν, τελεῖν δὲ πρὸς τὴν μονὴν αὐτός τε καὶ τὸ μέρος αὐτοῦ ἐτησίως ἐλαίου μέτρα κδ', καθὼς καὶ τὰ περὶ τούτου πλατύτερον διαλαμβάνει τὸ ἐκληπτορικὸν αὐτοῦ ἔγγραφον, ἢ μὴν ἀπολύειν ἀπεντεῦθεν αὐτό. δέδωκε γοῦν πρὸς τὴν μονὴν κατὰ τὸν πρῶτον χρόνον ἐλαίου μέτρα τέσσαρα καὶ μόνα, ἔκτοτε δὲ ἰδιοποιήσατο δυναστείᾳ καὶ βίᾳ χρησάμενος. ἀλλὰ καὶ μετὰ θάνατον αὐτοῦ κατεῖχε καὶ ἐνέμετο τὸ μέρος τούτου τὸ ῥηθὲν προάστειον, μὴ τὸ οἱονοῦν παρέχον πρὸς τὴν μονήν, μέχρις οὗ ὁ περιπόθητος ἐξάδελφος τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου κῦρ Μιχαὴλ ὁ Δούκας τὴν δουκικὴν ἀρχὴν τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου ἤρξατο διενεργεῖν· ὁπηνίκα γὰρ οὗτος τὸ τοιοῦτον θέμα κατέλαβεν, ἐνεφανίσαμεν πρὸς αὐτὸν τὰ προσόντα τῇ καθ' ἡμᾶς μονῇ δικαιώματα, καὶ διέγνω οὗτος ἀπὸ τῆς τούτων περιλήψεως, διαφέρειν τὸ ῥηθὲν προάστειον τῇ τοιαύτῃ μονῇ, ὅθεν καὶ ἀποκατέστησεν ἡμᾶς ἐν αὐτῷ· τὸ δὲ μέρος τοῦ ἀναγεγραμμένου πριμμικηρίου τοῦ Καραντηνοῦ οὐδὲ οὕτω παύεται ὀχλήσεις ἡμῖν προξενεῖν, πειρᾶται δὲ καὶ πάλιν ἐν κατοχῇ τοῦ τοιούτου προαστείου γενέσθαι, ἀλλὰ καὶ ἕτερά τινα πρόσωπα καὶ μοναστήρια καὶ ἐκκλησίαι παρεσπάσαντο τόπιά τινα διαφέροντα τῇ καθ' ἡμᾶς δουλικῇ σου μονῇ ἀπὸ ἀναντιρρήτων δικαιωμάτων, τινὲς δὲ ἐξ αὐτῶν καὶ ἀνεγράφαντο αὐτὰ τοῖς στίχοις αὐτῶν καὶ οὗτοι μὲν τὴν ἐντεῦθεν εἴσοδον ἀποφέρονται, ἡμεῖς δὲ ταύτης στερισκόμεθα. παρακαλοῦμεν οὖν τὴν ἁγίαν βασιλείαν σου ὑπὲρ αὐτὸν τὸν ἀέρα τὸ δίκαιον πνέουσαν, γενέσθαι ἡμῖν θείαν καὶ προσκυνητὴν ταύτης ἀντιγραφὴν διοριζομένην τῷ ἐνεργοῦντι τὸ θέμα Μυλάσσης καὶ Μελανουδίου, μὴ παραχωρεῖν τῷ μέρει τοῦ διαληφθέντος πριμμικηρίου παρενοχλεῖν ἡμῖν χάριν τοῦ εἰρημένου προαστείου, ἀλλὰ συνεργεῖν ἡμῖν, ὥστε κατέχειν τοῦτο ἀκωλύτως καὶ ἀνενοχλήτως κατὰ τὴν διάγνωσιν καὶ ἀποκατάστασιν τοῦ ἀναγεγραμμένου ἐξαδέλφου τῆς βασιλείας σου, ἐπελθεῖν δὲ καὶ τὰ προσόντα τῇ καθ' ἡμᾶς μονῇ δικαιώματα, καὶ εἰ εὑρήσει τινὰ τόπια ἐν τούτοις μὴ περιεχόμενα, παρά τινων δὲ καθαρπαγέντα, ἀποκαταστῆσαι ταῦτα μετὰ τῶν ἐν μέσῳ εἰσόδων πρὸς τὴν καθ' ἡμᾶς μονὴν σὺν τῷ προαστείῳ τῷ ἐπονομαζομένῳ τὸ Κοππαρίσιον καὶ τοῖς περὶ αὐτὸ καὶ οὕτω καθαρπαγέντα ἀπὸ τῆς ἡμῶν μονῆς παρὰ τοῦ μέρους τῆς ἐπισκοπῆς Ἀμαζόνος, ὅπως ἔχοντες ἐκ τούτων τινὰ συνεισφορὰν [χρώμεθα

αὐτῷ] ὑπὲρ φωταναψίας τῆς ἁγίας ἡμῶν ἐκκλησίας καὶ εἰς ἡμετέραν διοίκησιν. ὑπερευχόμεθα τοῦ ἐνθέου κράτους τῆς βασιλείας σου, ἧς ὡς δοῦλοι ἀνάξιοι τολμήσαντες ἐδεήθημεν †.

II. Ἀπολογία πρὸς ταῦτα τοῦ βασιλέως ἡ λεγομένη λύσις.

† Εἴπερ, ὡς ὑπεμνήσατό ὁ περιπόθητος ἐξάδελφος τῆς βασιλείας μου, κῦρ Μιχαὴλ ὁ Δούκας, ὁπηνίκα διέπων ἦν τὴν ἀρχὴν τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου, ἀπὸ τῆς περιλήψεως τῶν προσόντων τῇ καθ' ὑμᾶς μονῇ ἀναντιρρήτων δικαιωμάτων διέγνω διαφέρειν ταύτῃ τὸ ἐν τῇ ὑπομνήσει ὑμῶν δηλούμενον προάστειον, τὸ ἐκδοθὲν παρὰ τοῦ μέρους τῆς καθ' ὑμᾶς μονῆς τῷ πριμμικηρίῳ ἐκείνῳ Ἰωάννῃ τῷ Καραντηνῷ, καὶ ἀποκατέστησεν ὑμᾶς ἐπ' αὐτό, οἱ κατὰ καιροὺς δουκάδες τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου τῇ πρὸς αὐτοὺς ἐμφανείᾳ τῆς παρούσης λύσεως τῆς βασιλείας μου ἵνα ἀναχαιτίζωσι τὸ μέρος τοῦ τοιούτου Καραντηνοῦ μὴ παρενοχλεῖν ὑμῖν κατά τι χάριν τοῦ τοιούτου προαστείου, συνεργῶσι δὲ ὑμῖν εἰς τὸ κατέχειν τοῦτο ἀκωλύτως καὶ ἀνενοχλήτως, ἐπέλθῃ δὲ ὁ νῦν ἐνεργῶν ἐν τῷ ῥηθέντι θέματι καὶ τὰ προσόντα τῇ καθ' ὑμᾶς μονῇ δικαιώματα, καὶ εἰ εὑρήσει τινὰ τῶν ἐν τούτοις ἐμπεριεχομένων τοπίων καθαρπαγέντα παρά τινων ἀνευλόγως, καὶ παρ' αὐτοῦ δὲ τοῦ μέρους τῆς ἐπισκοπῆς Ἀμάζονος τὸ ἐν τῇ ὑπομνήσει ὑμῶν δηλούμενον προάστειον, ἀποκαταστήσει ταῦτα ὑμῖν μετὰ τῶν ἐν μέσῳ καρπῶν, κἂν τινες ἴσως ἔφθασαν καταγράψασθαι ταῦτα τοῖς στίχοις αὐτῶν ἐν καιρῷ ἀναγραφῆς· εἴπερ δέ, ὡς ἀνηνέγκατε, οὐδὲ ὑπὲρ τῶν προσόντων τῇ μονῇ ζῴων ἀπῃτεῖτο ἐννόμιον παρὰ τῶν προενεργησάντων ἐν τῷ ῥηθέντι θέματι, οὔτε εἰσέτι ἀπαιτηθήσεται παρὰ τῶν ἐνεργούντων †.

† Εἶχε δι' ὑπογραφὴν τό· μηνὶ αὐγούστῳ ἰνδ. ιγ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

XIV. Sine anno.

Dux thematis Mylaseae et Melanudii, Michaël Ducas, iubente imperatore Isaacio Angelo, confirmat monasterio possessionem praedii Messingumi.

† Διαγνωστικὸν σημείωμα κυροῦ Μιχαὴλ τοῦ Δούκα ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου †.

† Εἶδον ἄνδρα ἐπαιρόμενον καὶ ὑπερυψούμενον ὡς καὶ αὐτὰς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, ἐζητήθη παρὰ τῶν τῇ αὐτοῦ βιαίᾳ καὶ ἁρπακτικῇ χειρὶ τῶν οἰκείων ἐκδιωχθέντων, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. ποῦ νῦν ἐστιν ὁ τῇ ἀπλήστῳ ἀκορεσίᾳ καὶ τὰς ἐρήμους αὐτὰς διασείσας καὶ μηδὲ τοὺς ἐν ὄρεσι τὴν ἀγγελικὴν πολιτείαν μετερχομένους καταλείψας ἀνενοχλήτους καὶ ἀδικίας ἐκτός; ἀπώλετο πάντως τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου, κἂν καὶ δικαίαν νομὴν τῆς σεβασμίας μονῆς τοῦ Ἁγίου Παύλου διὰ τῆς μακροχρονίου ἁρπαγῆς ἐν βυθῷ λήθης κατέχωσεν. εἰ γὰρ ἐκεῖνον τὸν θειότατον Παῦλον, τὸν τοῦ πρώτου Παύλου, τοῦ στύλου τῆς ἐκκλησίας, ἐπώνυμον καὶ ὁμότροπον καὶ τὴν κατ' αὐτὸν ἁγίαν μονὴν ἡ βασιλικὴ κορωνὶς ἐκείνη καὶ τὸ τῆς σοφίας ἀνεξάντλητον πέλαγος, ὁ πανaοίδιμος ἐν βασιλεῦσι, κῦρ Λέων ὁ Σοφός, διὰ τῶν αὐτοῦ χρυσοβούλλων λόγων ἀδιασπάστως περιετείχισε κτήμασι διαφόροις ἀκινήτοις τε καὶ ἄλλοις εἰς διατροφὴν τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν, τίς ἂν ἄλλος εἴη καὶ οὐ θεοῦ τάχα ἐχθρὸς ὁ τούτων καταφρονήσας καὶ ὡς οἰκεῖα τὰ τῆς μονῆς [καρπωσάμενος,] ὅμως εἰ καὶ πολὺ καὶ δεινὸν ὑπάρχει τὸ τόλμημα, πλὴν οὐ τοσοῦτόν ἐστι θαυμαστόν· ἐπεὶ γὰρ ἡ τῶν χρόνων διάβασις τοὺς ἀνόμους Ἰσμαηλίτας ἄρχοντας τούτων κατέστησε τῶν χωρῶν, ἀπωλέσαμεν ἐν σώματι καὶ τοὺς εἰς ἀρετῆς ἄκρον φθάσαντας ἁγίους ἄνδρας τοὺς καὶ ἐν τῇ διαληφθείσῃ μονῇ διὰ τῆς ἄγαν ἀσκήσεως θεῷ πλησιάσαντας, ἠφάνισε δὲ καὶ αὐτὴν τὴν μονὴν καὶ ὥσπερ τις θύελλα ζοφερὰ μέχρι τοῦ παρόντος καιροῦ συνεκάλυπτε. σήμερον ἡ τοῦ θεοῦ ἄφατος πρόνοια διὰ τὴν τοῦ αὐτοῦ θεράποντος οἰκειότητα ἄνδρας ἄλλους φιλερήμους ἐπισυλλέξασα πρὸς τὴν πρότερον πάλιν δόξαν ἀναχθῆναι τὴν εἰρημένην ἁγίαν μονὴν παρεσκεύασεν, ἄλλον Σοφὸν Λέοντα καὶ μέγαν σκηπτοῦχον παρασχών, ἀνεγέρτην καὶ κτήτορα· τοὺς γὰρ τυραννικωτάτῃ

πρώην χειρὶ τὸ ἐν τῇ Λαρύμῳ τῆς μονῆς ἐλαϊκὸν κρατοῦντας προάστειον κλάδους ἐκείνου τοῦ διεφθαρμένου φυτοῦ ἐκεῖθεν μετέστησε καὶ τὰ παρ' αὐτῶν διαταγέντα κακῶς τοῖς οἰκείοις δεσπόταις ἀποκατέστησαν, ὅθεν καὶ ἡ εἰρημένη ἁγία μονὴ τὰ προσόντα αὐτῇ χαρτῷα δικαιώματα χώραν λαβοῦσα προκομίσαι καὶ διαφανῆ ποιῆσαι τὴν ἀπὸ τοῦ οἰκείου κτήματος πολυχρονίαν αὐτοῦ ἀλλοτρίωσιν τὸ αὐτῆς μέρος τῷ δικαστικῷ ἡμῶν παρεστήσατο βήματι καὶ σιγίλλιον ἀναντιρρήτως τοῦ πανσεβάστου σεβαστοῦ δουκὸς καὶ ἀναγραφέως τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου, κυροῦ Μιχαὴλ τοῦ Ξηροῦ, ἡμῖν προκεκόμικεν, οὑτωσὶ κατὰ ῥῆμα διεξιόν.

Εἶχε μὲν ἡ σεβασμία μονὴ τῆς ὑπεραγίας Θεοτόκου ἡ ἐν τῷ ὄρει τοῦ Λάτρου ἱδρυμένη τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου ἐπονομαζομένη προάστειον ἐν τῇ Λαρύμῳ ὑπέλαιον διὰ δωρεᾶς τοῦ ἀοιδίμου βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, Μεσσίγγουμα ἐπονομαζόμενον, μετὰ καὶ ἑτέρων πολλῶν ἐπικτήσεων κατὰ διαφόρους τόπους, ἐπεὶ καὶ πολυάνθρωπόν τε ἦν καὶ πολυκτήματον βοσκημάτων ἀγέλαις καὶ προσόδων ἰδέαις εὐθυνουμένη κατεφαίνετο, ἀλλὰ καὶ ταῦτα βαρβαρικὴ κατέστειλε μάχαιρα καὶ τὰ ὑπ' αὐτὴν πάντα, διά τοι τοῦτο καὶ εἰς τὸ μηδὲν κατέστη· ἐπεὶ δὲ τὰ νῦν τῇ ἀντιλήψει τοῦ φιλοχρίστου ἡμῶν αὐτοκράτορος πάλιν ἤρξατο ἀνανεοῦσθαι καὶ εἰς τὰ ἐνταῦθα οὐκ ὀλίγοι προσεγένοντο, εὑρόντες ποιμένα καὶ καθηγητὴν τὸν ὁσιώτατον μοναχὸν κῦρ Μάρκον, ἐδεήθησαν δὲ καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων· οἳ γὰρ καὶ τὴν ἀγγελικὴν μετέρχονται πολιτείαν, ἀλλὰ καὶ ἐν σώματι ὄντες καὶ τροφῆς, ὅτε δέοι, καὶ σκέπης καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων χρῄζουσιν, διά τοι τοῦτο προσελθόντες ἡμῖν ἐνεφάνισαν τὰ προσόντα αὐτοῖς ἐπὶ τῷ τοιούτῳ προαστείῳ δικαιώματα καὶ ἐξῄτησαν ἀποκατασταῆναι ἐπὶ νομῇ καὶ δεσποτείᾳ τοῦ τοιούτου προαστείου· ἦν γὰρ τὸ τοιοῦτον προάστειον κατεχόμενον μὲν παρὰ τῶν ἐντοπίων ὡς καταβαλλομένων ὑπὲρ τούτου πρὸς τὸ δημόσιον μερικὰ ὑπέρπυρα τὰ ὑπὲρ πάκτου, καὶ ἐπεὶ ἄδικον ἦν τοὺς μοναχοὺς τοὺς ἔργον ἔχοντας τὸ ὑπερεύχεσθαι διηνεκῶς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ παντὸς τοῦ χριστιανικωτάτου γένους στερεῖσθαι τοῦ οἰκείου καὶ ταῦτα ἐν ὄρει τοιούτῳ ἀπαρηγορήτῳ καὶ ὑποσκλήρῳ προσκαθημένους καὶ τῶν πρὸς τὸ ζῆν πάντων ἐστερημένους καὶ αὐτοῦ τοῦ ὕδατος, παρεδεδώκαμεν τὸ τοιοῦτον προά-

στειον πρὸς αὐτοὺς τῇ ἀντιλήψει καὶ πολυχρονίῳ χαρᾷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅπερ ἄρχεται μὲν ἀπὸ τοῦ ἄντρου τῆς Λόγρας ἄχρι τῆς ἁγιωτάτης ἐπισκοπῆς Λαφόμου καὶ λήγει ἄχρι τῆς λίμνης καὶ πλησίον τῆς Δρίνου καὶ καταβαίνει μέχρι τοῦ Ζωδίου, περιλαμβάνει ἔσωθεν τὰ μικρὸν ὑπάμπελον τὸ λεγόμενον Δεσποτικὸν τὸ κατεχόμενον πρώην παρὰ τοῦ Κόσπου καὶ αὐτὸ τῆς μονῆς ὂν καὶ ἔχον ἐν αὐτῷ ἐλαίας ῥίζας το'. καθέξει τοίνυν ἡ μονὴ τὸ τοιοῦτον προάστειον ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀδιασείστως μὴ παρά τινος ἐνοχλουμένη· διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν σιγίλλιον τῇ ἀντιλήψει καὶ χαρᾷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως πιστωθὲν ἐπεδόθη αὐτοῖς εἰς ἀσφάλειαν. μ η ν ὶ ἀ π ρ ι λ λ ί ῳ ἰνδ. β' ἔ τ ο υ ς ,ς χ λ ε'. ἡ ὑπογραφή· Σ ε β α σ τ ὸ ς Μ ι χ α ὴ λ ὁ Ξ η ρ ό ς. εἶχε δὲ καὶ βούλλαν μολιβδίνην ἀπῃωρημένην κάτωθεν ἔχουσαν ἐπ' ἀμφοτέροις τοῖς μέρεσι γράμματα· Μιχαὴλ σφράγισμα τοῦ σεβαστοῦ.

Ὑπέδειξε δὲ ἡμῖν ἐκδοτήριον χαρτίον γεγονὸς παρὰ τοῦ τότε ἡγουμενεύοντος ἐν τῇ εἰρημένῃ μονῇ, κυροῦ Ἰωάννου, δηλοῦν τελεῖσθαι ἐτησίως χάριν τοῦ εἰρημένου προαστείου παρὰ τοῦ μέρους παντὸς τοῦ Καραντηνοῦ ἀνεγκρατήτως πρὸς τὴν δηλωθεῖσαν μονὴν ἐλαίου μέτρα κδ', ἣν δὲ καὶ ὑπόμνησις περὶ τούτου τῶν μοναχῶν καὶ λύσις τῆς ὑπομνήσεως, δι' ὧν καὶ μᾶλλον ἰσχυροτέραν τὴν βίαν ὑπέθετο καὶ τὸ [τε]τοπωμένον ἔκτοτε τῇ μονῇ ἔλαιον. ὑπεκράτει δὲ καὶ ἅμα γονικοῦ . . . . . ος καὶ οἰκείου . . . . . ατος ἐν τῷ πρακτικῷ τῆς ἀπογραφῆς τοῦ πανσεβάστου δουκὸς ἀναγραφέως τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου, κυροῦ Βασιλείου [τοῦ Βα]τάτ[ζη], τοῖς αὐτοῦ προσεθέ . . . . . ασω οἰκειοστίχῳ καὶ τοῖς προεγκειμένοις ἐν αὐτῷ στίχοις π . . . . νόσιν . . . . παρ' ἡμῶν τὰ περὶ αὐτοῦ πεπολυπραγμόνηται, καὶ σχολὴν περιεποίησαν ἐπὶ τῇ ἐπιτηρήσει τῶν ἐμφανισθέντων χαρτῴων δικαιωμάτων ἡμῖν καὶ ἐπὶ τῇ ἀνερωτήσει τῆς ἀδίκου τοῦ εἰρημένου κτήματος ἁρπαγῆς περιέθετο, καὶ τὰ μὲν φαινόμενα δικαιώματα παρέπειθον ἡμᾶς καὶ χωρὶς ἐρωτήσεως ἀπεντεῦθεν ἀποκαταστῆσαι τῇ εἰρημένῃ ἁγίᾳ μονῇ εἰς τὸ πρὸ χρόνων οὐκ ὀλίγων ἀφαιρεθὲν ἀπ' αὐτῆς ἐλαϊκὸν προάστειον κατὰ νόμον τόν· οὐδεὶς δεσπόζει τῶν ἀλλοτρίων, κἂν καὶ ἐν τοῖς δημοσιακοῖς πρακτικοῖς κώδιξιν ἀναγράφωνται. ὅτι δὲ ἡ ἀπογραφὴ τοῦ Βατάτζη κλῆρόν τινα

εὔλογον ἐχορήγει τῷ Καραντηνῷ, ἐξ ἀνάγκης ἥκομεν εἰς ἐρωτήσεις καὶ τί εἴπῃ ἀκοῦσαι ἐξ ἐρωτήσεως· οὐδὲ γὰρ ἦν ὁ μὴ οἰκείαν βίαν καὶ ἁρπαγὴν ἐξ ὀδύνης καρδιακῆς ἐκφωνῶν. ἄλλοι μὲν γὰρ οἰκημάτων καὶ ἀμπελώνων καὶ ἔσω ἔξω περιβόλων καὶ δένδρων βίαν καὶ ἁρπαγὴν ὑπεδείκνυον, ἕτεροι χωραφιαίων, ἐντοπίων, προαστείων, ζευγηλατείων καὶ ἄλλων, ὧν γράφαι οὐκ ἔστιν ὁδός· πρὸ ποδῶν ἡμῖν ἕκαστος αὐτῶν καὶ τὰ περὶ τούτων ἐπιρρίπτοντες δικαιώματα. καί μοι θέαμα ἥδιστον, αἱ ἐκκλησίαι κατεβόων, τὰ μοναστήρια δίκην σάλπιγγος κατήχουν ἐκφωνοῦσαι τὰς τοῦ ἀνδρὸς τυραννίδας, ὀρφανοί τε καὶ χῆραι καὶ τὸ λοιπὸν τῶν ἀνθρώπων σύστημά τε καὶ σύνταγμα ἐθρήνει μὲν ὁλοσχερῶς, ἃ προπέπονθεν, ἠγάλλετο δὲ καὶ ἔχαιρεν τὸ προαρπαγὲν κληρωσάμενος. τούτων ἁπάντων φανερῶς ἐπιγνωσθέντων ἡμῖν τῇ ἀγαθότητι καὶ δικαίᾳ κρίσει τοῦ κρατίστου ἡμῶν αὐτοκράτορος πᾶσαν τὴν προγενεστέραν ἐκ βίας ἀδικίαν ὁλοσχερῶς κατελύσαμεν καὶ δικαίου ἀνάκτισιν πεποιήκαμεν, ἀποκαταστήσαντες τοὺς ἀδίκως ἀλλοτριωθέντας ἐκ τῶν οἰκείων πραγμάτων κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτοῖς χαρτῴων δικαιωμάτων, καθὰ δὴ καὶ τὴν διαληφθεῖσαν ἁγίαν μονήν. ταύτην μὲν οὖν οὐ μόνον ὡς ἔκπαλαι ἀπείρων χρόνων δεσπόζουσαν τὸ ἐν τῷ Λαρόμῳ ἐλαϊκὸν προάστειον ἀποκατεστήσαμεν, ἀρκεσθέντες εἰς τὰ προκομισθέντα ἡμῖν χαρτῷα δικαιώματα καὶ εἰς τὰς συμφήμους μαρτυρίας τῶν Λαρομιτῶν, τοῦ πανιερωτάτου ἐπισκόπου Νεαπόλεως, κυροῦ Λέοντος, τῶν θεοσεβεστάτων ἱερέων, τοῦ πρωτοπαπᾶ κυροῦ Στεφάνου τοῦ Μανουλᾶ, τοῦ δευτερεύοντος, κυροῦ Νικήτα, τοῦ κουροπαλάτου, κυροῦ Νικηφόρου, τοῦ ἀνδρικωτάτου κυροῦ Μανουὴλ τοῦ Μανδυλᾶ, τοῦ ἀνδρικωτάτου Κωνσταντίνου τοῦ Ματζούκη καὶ τῶν λοιπῶν ἁπάντων, ἀλλὰ καὶ ὥσπερ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κῦρ Λέων ὁ Σοφὸς τῷ θείῳ τοῦ πανοσιωτάτου Παύλου πορούμενος ἔρωτι διὰ χρυσοβούλλων λόγων τὴν κατ' αὐτὸν ἁγίαν μονὴν διαφόροις περιετείχισε κτήμασιν, οὕτως καὶ νῦν ὁ δεύτερος ἐν σοφίᾳ ἐκείνου καὶ κράτιστος αὐθέντης ἡμῶν καὶ βασιλεύς, κῦρ Ἰσαάκιος, ὁ Ἄγγελος, ἐθέλει καὶ βούλεται τὴν αὐτοῦ ἁγίαν μονὴν τὴν ἐν τῷ ὄρει τοῦ Ἁγίου Παύλου τοῦ Λάτρου εἰς τὴν προτέραν φθάσαι ἀποκατάστασιν, διὸ καὶ διὰ τοῦ παρόντος ἡμῶν διαγνωστικοῦ σημειώματος ἀποκαθιστῶμεν τὴν σεβασμίαν ἁγίαν μονὴν τὴν ἐν τῷ ὄρει τοῦ Ἁγίου Παύλου τοῦ ἐν τῷ Λάτρῳ, ἐπ' ὀνόματι τιμω-

μένην τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου, εἰς τὸ ἐν τῇ Λαρόμῳ ὑπέλαιον προάστειον, Μεσιγγούμην ὀνομαζόμενον, κατὰ τὰς ἐν τῷ δικαιώματι τοῦ πανσεβάστου, σεβαστοῦ δουκὸς καὶ ἀναγραφέως Μυλάσσης καὶ Μελανουδίου, κυροῦ Μιχαὴλ τοῦ Ξηροῦ, περιλήψεις καὶ δυνάμεις καὶ τὰ ἐκεῖσε ἐμπεριειλημμένα τῶν τόπων γνωρίσματα· δῆλον γὰρ τοῦτο καὶ τὸ παρὸν διαγνωστικὸν ἡμέτερον σημείωμα συνήθως ὑπογράφαντες καὶ διὰ μολιβδίνης βούλλης πιστώσαντες ἐπιδεδώκαμεν τῷ μέρει τῆς τοιαύτης μονῆς εἰς ἀσφάλειαν †.

† Ὁ δοῦλος καὶ ἐξάδελφος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, δοὺξ θέματος Μυλάσσης καὶ Μελανουδίου καὶ Καυστροβιτυλοῦ, Μιχαὴλ ὁ Δούκας, καὶ βοῦλλα μολιβδίνη κάτωθεν ἀπῃωρημένη τυποῦσα ἐν μὲν τῷ ἑνὶ μέρει τὸν ἀρχιστράτηγον Μιχαήλ, [ἐν δὲ τῷ ἑτέρῳ] γράμματα σφράγισμα γραφῶν Μιχαὴλ Δούκας φέρων †.

YV. Sine anno, mense ianuario, ind. VII.

Imperator iterum confirmat monasterio possessionem praedii dicti Messingumi.

I. Ὑπομνηστικὸν τῶν μοναχῶν πρὸς τὸν βασιλέα.

† Τολμῶντες οἱ ἀνάξιοι δοῦλοι καὶ εὐχέται τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου δεόμεθα. ἡ καθ' ἡμᾶς δουλικὴ μονὴ τῆς ἁγίας βασιλείας σου ἡ ἐν τῷ ὄρει τοῦ Λάτρου διακειμένη καὶ ἐπονομαζομένη τοῦ Ἁγίου Παύλου ἐκέκτητο ἔκπαλαι ἀπὸ δωρεᾶς τοῦ ἀοιδίμου καὶ φιλοχρίστου βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ προάστειον ὑπέλαιον ἐν τῇ ἐνορίᾳ τῆς Λαρύμου, Μεσιγγούμην ὀνομαζόμενον· ὁ δὲ Καραντηνὸς Ἰωάννης ἐκεῖνος δολερῶς προσελθὼν τῷ τότε καθηγουμένῳ καὶ τοῖς μοναχοῖς ἐζήτησε τὸ τοιοῦτον προάστειον κατέχειν καὶ νέμεσθαι παρ' αὐτοῦ καὶ πρὸς τὴν μονὴν καταβάλλεσθαι ἐτησίως τὰ παρ' αὐτοῦ ἐγγράφως συμφωνηθέντα· εἰ δὲ κατά τι οὐ καταβαλεῖται πρὸς τὴν μονὴν τὰ τυπωθέντα, ἵνα ἐκπίπτῃ τοῦ τοιούτου προαστείου. ἀπεντεῦθεν καὶ τὰς ἀρὰς ὑφιστάμενος πάντων τῶν ἁγίων, ἅρπαξ δὲ ὢν καὶ τὴν μονὴν ἀπορροῦσαν ἰδὼν ἰδιοποιήσατο τοῦτο ὡς οἰκεῖον μέχρι τῆς αὐτοῦ βιοτῆς, εἶθ' οὕτως ὡς κλῆρον ἴδιον τοῖς

παισὶν αὐτοῦ κατέλειψεν. ἀλλ' ὁ κρίνων δίκαια θεὸς οὐκ εἰς μακρὰν τὸ τέλος αὐτοῦ χρηστὸν γενέσθαι ηὐδόκησεν, ἀλλὰ ἔργον φόνου τοῦτον γενέσθαι παρεχώρησεν. ἀλλ' ὁ περιπόθητος θεῖος τῆς ἁγίας βασιλείας σου, ὁ Κομνηνὸς κῦρ Μιχαὴλ ὁ Δούκας, τὴν δουκικὴν ἀρχὴν τοῦ θέματος Μυλάσσης καὶ Μελανουδίου ἐπὶ τῆς πρώτης βασιλείας τοῦ θεοστεφοῦς ἁγίου βασιλέως καὶ πατρὸς τῆς ἁγίας βασιλείας σου διεσωσμένος, τηρήσας τὰ προσόντα τῇ καθ' ἡμᾶς μονῇ δικαιώματα, παρέδωκε τοῦτο πρὸς τὴν μονὴν δι' ἐγγράφου σιγιλλίου αὐτοῦ κατέχεσθαι παρ' αὐτῆς, καθὼς καὶ τὸ πρότερον. μετὰ δὲ ταῦτα ὁ υἱὸς τοῦ Καραντηνοῦ ἐκείνου Ἰωάννου, Λέων ὁ Καραντηνός, διπλασιάσας τῷ πλεονεκτικῷ καὶ ἁρπακτικῷ τοῦ πατρὸς αὐτοῦ, κατέσχε πάλιν τὸ τοιοῦτον προάστειον εἰς ἑαυτόν. ἀλλ' ὁ θεὸς οὐδ' αὐτὸν ἀφῆκε τοῦ ζῆν, ἀλλ' ἐξ ἀνθρώπων ἠφάνισε. κατέλειψε δὲ τοῦτο ὁ τοιοῦτος Λέων ἐνδιαθήκως πρὸς ἑτέραν μονήν. παρακαλοῦμεν οὖν τὸ ἔνθεον κράτος τῆς ἁγίας βασιλείας σου ἐπορεχθῆναι ἡμῖν θεῖον καὶ προσκυνητὸν ὁρισμόν, ἐπικυροῦντα τὴν γεγονυῖαν τοῦ Κομνηνοῦ πρὸς τὴν μονὴν παράδοσιν, ἀποσοβοῦντά τε καὶ πᾶσαν πρᾶξιν ἐπ' αὐτοῦ παρὰ τοῦ Καραντηνοῦ γενομένην, ἢ καὶ πρόσταξιν ἑτέραν ἐπενεχθεῖσαν βασιλικὴν ἄπρακτον διαμένειν καὶ ῥητῶς διοριζομένην, κατέχεσθαι τὸ τοιοῦτον προάστειον τὸ Μεσιγγούμην παρὰ τῆς ἡμετέρας δουλικῆς τῆς ἁγίας βασιλείας σου τοῦ Λάτρους μονῆς, καὶ τούτου γενομένου οὐ παυσόμεθα ὑπερεύχεσθαι τῆς ἁγίας βασιλείας σου, ἧς ὡς δοῦλοι τολμήσαντες ἐδεήθημεν †.

† Εἶχεν ἐν τὸ προγράμματι· δέησις Εὐθυμίου μοναχοῦ, καθηγουμένου τῆς ἐν τῷ ὄρει τοῦ Λάτρους σεβασμίας μονῆς τοῦ Ἁγίου Παύλου, καὶ πάντων τῶν μοναχῶν, δούλων καὶ εὐχετῶν τῆς ἁγίας βασιλείας σου.

II. Ἀπολογία τοῦ βασιλέως ἡ λεγομένη λύσις.

[Ἐπε]ὰν, ὡς ὑπεμνήσατε, διαφέρον ἦν τῇ καθ' ὑμᾶς μονῇ τὸ ἐντὸς δηλούμενον προάστειον καὶ παρ' αὐτῆς πρότερον τῷ Καραντηνῷ ἐκείνῳ ἐξεδόθη, διὸ καὶ ὡς οὕτω τῇ μονῇ προσαρμόσαν ἀπεκατέστη αὐτῇ παρὰ τοῦ περιποθήτου θείου τῆς βασιλείας μου τοῦ Δούκα, οὐδὲ τῇ βασιλείᾳ μου εὔλογον ἔδοξε τὸ καὶ εἰσέτι τούτου τὸ μέρος

τῆς μονῆς στερεῖσθαι. τοίνυν καὶ διορίζεται ἀποκατασταθῆναι τοῦτο ὑμῖν παρὰ τοῦ ἐγχωρίως πράκτορος ἀκολούθως τῇ προγεγονυίᾳ ὑμῖν, ὡς ἀνηνέγκατε, ἀποκαταστάσει τοῦ περιποθήτου θείου τῆς βασιλείας μου, καὶ τὸ ἑδραῖον παρακελεύεται ἀποφέρεσθαι τῆς ἀπὸ τοῦ υἱοῦ τοῦ Καραντηνοῦ λαβούσης τοῦτο μονῆς, μὴ κατά τι ὠφεληθησόμενος ἀπό τινος γεγονυίας αὐτῇ ἐπὶ τούτου παρὰ τοῦ Καραντηνοῦ πράξεως· ἀπρακτεῖ γὰρ αὕτη καὶ πᾶσα πρόσταξις περὶ τούτου πορισθεῖσα ἴσως ἢ καὶ πορισθησομένη τῷ μέρει αὐτοῦ, κἂν οἵας ἂν εἴη περιλήψεως καὶ δυνάμεως, διὰ τοῦτο καὶ μηδὲ ἐξεῖναί τισιν ἑτέροις χωρεῖσθαι τὰ ἀλλότρια †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. ζʹ †.

XVI. Sine anno, mense aprili, ind. VI.

Fragmentum litterarum ducis thematis Mylassae et Melanudii, Theodori Pepani, de possessionibus monasterii.

Ἕτερον πρακτικὸν τῆς μονῆς.

† Κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς νῦν τρεχούσης ςʹ ἰνδ. γραφὴ ἐνυπόγραφος διεκομίσθη μοι τοῦ μεγαλεπιφανεστάτου αὐθέντου μου, δουκὸς καὶ ἀναγραφέως τοῦ θέματος Μυλάσσης, κυροῦ Θεοδώρου τοῦ Πεπανοῦ, οὑτωσὶ κατὰ ῥῆμα διεξιοῦσα· πρωτοπρόεδρε κῦρ Νικόλαε Κουρτίκη· ἡ σεβασμία μονὴ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Παύλου, ἡ διακειμένη ἐν τῷ ὄρει τοῦ ἱεροῦ Λάτρου, πολλὰ μὲν καὶ διάφορα ἀκίνητα ἐκέκτητο ὑπὸ τὴν διακράτησιν τοῦ θέματος Μυλάσσης, ἀπημαυρώθησαν δὲ τῆς μονῆς παντελῶς ἐξαλειφθείσης ἐξ ἐπιδρομῆς τῶν ἀθέων Ἰσμαηλιτῶν τοσοῦτον, ὡς μηδὲ μοναχόν τινα εὑρίσκεσθαι ἐν αὐτῇ, ὥστε ἐπὶ πολὺ καθηρπάγησαν καὶ ταῦτα παρὰ τῶν βουλομένων. νυνὶ δὲ τῇ εὐτυχίᾳ καὶ χαρᾷ τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τῶν ἀθέων πόρρω διατριβόντων . . . . .

Reliqua desunt.

III.

Diplomatarium monasteriorum S. Mariae Macrinitissae in monte Drongo regionis Demetriadis et beati Praecursoris Novae Petrae in monte Dryanubaenae e codice taurinensi.

I. 6780—1272, mense maio, ind. XV.

Imperator Michaël Palaeologus confirmat monasterio Macrinitissae omnes possessiones eximitque eas de tributis.

Χρυσόβουλλος λόγος ὁ πρῶτος, τῆς βασιλικῆς δεῖγμα φιλοτιμίας.

Ἡ ἐκ θεοῦ δὲ ἡμετέρα βασιλεία περὶ τὰς αἰτήσεις ἀεὶ τῶν ὑπηκόων εὐμενέστερον βλέπουσα, οὐδὲ τοῖς εὖ ἔχουσι γένους τὴν ἱκεσίαν ἔχει παραβλέπειν ἀτέλεστον, καὶ μᾶλλον, ὅσοι τοῖς περὶ τὴν ἡμετέραν βασιλείαν εὐνοίας ἅμα καὶ πίστεως ἤρτηνται, ὃ δῆτα καὶ περὶ πλείστου γίνεται βασιλεῖ καὶ ὃ μόνον ἱκανὸν θεραπεῦσαι καὶ βασιλέως εὐμένειαν ἐφελκύσασθαι· εἰ δέ γε καὶ θεοφιλὴς αὐτοῖς ὁ σκοπὸς καὶ τὰ τῆς ἱκεσίας τούτοις πρὸς θείαν μονὴν ἀποτείνεται, ἐν ᾗ θείων καὶ ἱερῶν ἀνδρῶν ἐμπολιτεύεται σύλλογος, ἐργάται πάντες τοῦ ἀγαθοῦ καὶ διὰ βίου τὴν τραχεῖαν τῆς ἀρετῆς φιλοπόνως αὔλακα τέμνοντες, πῶς οὐκ ἂν παρευθὺς καὶ τὰς τῆς ἡμετέρας βασιλείας πειθηνίους λάβοιεν ἀκοάς; ὁπηνίκα δι' ἑνὸς τούτου τρόπου καὶ τοῖς ἀγαθοῖς τῶν ὑπὸ χεῖρα παρεχόμεθα χάριν καὶ διὰ τούτων καὶ θεὸν θεραπεύομεν. ἐπεὶ τοίνυν καὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου Κομνηνὸς κῦρ Νικόλαος ὁ Μαλιασηνὸς παρεκλήτευσε τὴν βασιλείαν μου, ὡς ἂν ἀπολυθείη τούτῳ χρυσόβουλλος λόγος αὐτῆς ἐπὶ τοῖς κτήμασι τῆς γονικόθεν διαφερούσης αὐτῷ σεβασμίας πατριαρχικῆς μονῆς τῆς ἐπικεκλημένης τῆς Μακρινιτίσσης, τῆς ἐπ' ὀνόματι τιμωμένης τῆς ὑπεράγνου μου θεομήτορος τῆς ὀξείας ἐπισκέψεως, καὶ

καὶ περὶ τὸ ὄρος τοῦ Δρόγγου διακειμένης, ἃ καὶ εἰσὶ ταῦτα, ἤγουν εἴ τι κέκτηται ἡ τοιαύτη μονὴ ἐν τῇ χώρᾳ τῆς Δημητριάδος διά τε ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς καὶ πεδινῆς, μυλικῶν ἐργαστηρίων καὶ τῶν προσκαθημένων ἐν αὐτοῖς ἀνθρώπων, καὶ τὸν ἅγιον Ὀνούφριον, ἐρημοτόπιον τὸ ἐπιλεγόμενον τῆς Καλίτζας, χωρίον ἡ Κρυπούς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τῶν δύο μονοξύλων αὐτοῦ καὶ τῶν ἁλιέων, χωραφίων, ἀμπελίων καὶ τῆς νεμομένης παρὰ τῆς τοιαύτης μονῆς γῆς ὀρεινῆς καὶ πεδινῆς ἕως τῆς Ἀειδαροράχης, χωρίον ἡ Κάπραινα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, μετόχιον ὁ ἅγιος Δημήτριος τὸ διακείμενον πλησίον τῆς Μεγάλης μετὰ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων καὶ ἀροσίμου ἁπάσης γῆς αὐτοῦ, μετόχιον τὸ ἐπονομαζόμενον τοῦ κυροῦ Ἱλαρίωνος τὸ διακείμενον ἐν τῇ χώρᾳ τοῦ Ἁλμυροῦ μετὰ τῶν ἀμπελώνων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, τὰ περιελθόντα τῇ τοιαύτῃ μονῇ ἐξ ἀγορασίας ἀμπέλια ἐν τῷ τόπῳ τοῦ Μορίβορι, τὰ ἀπὸ προσενέξεώς τινων φιλοχρίστων ἀνδρῶν περιελθόντα τῇ τοιαύτῃ μονῇ ἀμπέλια ἐν τῷ τοιούτῳ τόπῳ τοῦ Ἁλμυροῦ, τὸ ἐν τῷ ὄρει τῆς Ζαγορᾶς ἀγρίδιον τῆς Κορακαλῆς μετὰ τῶν ἐκεῖσε προσκαθημένων καὶ πάντων τῶν δικαίων αὐτοῦ, μετόχιον τὸ ἐπιλεγόμενον ἡ Ῥάσουσα, πρὸς τούτοις καὶ ἡ ἐκεῖσε ἀπερριμένη μονὴ τοῦ τιμίου Προδρόμου, ἃ δὴ κτήματα ἔκπαλαι καὶ μέχρι τῆς σήμερον εὑρίσκεται ἡ τοιαύτη μονὴ νεμομένη τε καὶ κατέχουσα. ἡ βασιλεία μου, εὐμενῶς τὴν τούτου προσηκαμένη παράκλησιν, τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἐπορέγει τῇ τοιαύτῃ μονῇ, δι' οὗ καὶ διορίζεται, ἵνα τὰ δηλωθέντα τῆς τοιαύτης μονῆς κτήματα, ἤγουν εἴ τι κέκτηται ἡ τοιαύτη μονὴ ἐν τῇ χώρᾳ τῆς Δημητριάδος διά τε ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς καὶ πεδινῆς, μυλικῶν ἐργαστηρίων καὶ τῶν προσκαθημένων ἐν αὐτοῖς ἀνθρώπων, καὶ τὸν ἅγιον Ὀνούφριον, ἐρημοτόπιον τὸ ἐπιλεγόμενον τῆς Καλίτζας, χωρίον τὴν Κρυπούς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τῶν δύο μονοξύλων αὐτοῦ καὶ τῶν ἁλιέων, χωραφίων, ἀμπελίων καὶ τῆς νεμομένης παρὰ τῆς τοιαύτης μονῆς γῆς ὀρεινῆς καὶ πεδινῆς ἕως τῆς Ἀειδοροράχης, χωρίον τὴν Κάπραιναν μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, μετόχιον τὸν Ἅγιον Δημήτριον τὸ διακείμενον πλησίον τῆς Μεγάλης μετὰ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων

καὶ ἀροσίμου ἁπάσης γῆς αὐτοῦ, μετόχιον τὸ ἐπονομαζόμενον τοῦ κυροῦ Ἱλαρίωνος τὸ διακείμενον ἐν τῇ χώρᾳ τοῦ Ἁλμυροῦ μετὰ τῶν ἀμπελίων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, τὰ περιελθόντα τῇ τοιαύτῃ μονῇ ἐξ ἀγορασίας ἀμπέλια ἐν τῷ τόπῳ τοῦ Μορίβορι, τὰ ἀπὸ προσενέξεώς τινων φιλοχρίστων ἀνδρῶν περιελθόντα τῇ τοιαύτῃ μονῇ ἀμπέλια ἐν τῷ τοιούτῳ τόπῳ τοῦ Ἁλμυροῦ, τὸ ἐν τῷ ὄρει τῆς Ζαγορᾶς ἀγρίδιον τῆς Κυρακαλῆς μετὰ τῶν ἐκεῖσε προσκαθημένων καὶ πάντων τῶν δικαίων αὐτοῦ, μετόχιον τὸ ἐπιλεγόμενον τὴν Ῥάσουσαν, πρὸς τούτοις καὶ τὴν ἐκεῖσε ἀπερριμένην μονὴν τοῦ τιμίου Προδρόμου. τὰ τοιαῦτα πάντα, ἅπερ ἔκπαλαι καὶ μέχρι τῆς σήμερον εὑρίσκεται ἡ τοιαύτη μονὴ νεμομένη τε καὶ κατέχουσα, κατέχῃ καὶ νέμηται ταῦτα ἡ τοιαύτη μονὴ καὶ εἰς τὸ ἑξῆς ἀναφαιρέτως, ἀναποσπάστως, ἀνενοχλήτως τε καὶ ἀδιασείστως κατὰ τὴν περίληψιν τῶν προσόντων αὐτῇ ἐπὶ τούτοις δικαιωμάτων καὶ ἀνώτερα πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἄνευ μέντοι γε τῶν δύο κεφαλαίων, τῆς τε καστροκτισίας καὶ κατεργοκτισίας· ταῦτα γὰρ ὡς κοινωφελῆ καὶ παρὰ τῶν τοιούτων τῆς μονῆς κτημάτων ἀπαιτηθήσονται. τῇ ἐμφανείᾳ τοίνυν τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει τὰ τοιαῦτα κτήματα ἡ τοιαύτη μονὴ καὶ εἰς τὸ ἑξῆς ἀναφαίρετα, ἀναπόσπαστα, ἀνενόχλητα, ἀδιάσειστα καὶ ἀνεπηρέαστα χωρὶς τῶν διαληφθέντων δύο κεφαλαίων καθὼς ἔκπαλαι καὶ μέχρι τῆς σήμερον εὑρίσκεται ταῦτα νεμομένη τε καὶ κατέχουσα μετὰ τῶν δικαίων αὐτῶν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ, τῇ ἐπικεκλημένῃ τῆς Μακρινιτίσσης καὶ ἐπ' ὀνόματι τιμωμένῃ τῆς ὑπεράγνου μου θεομήτορος τῆς Ὀξείας Ἐπισκέψεως καὶ περὶ τὸ ὄρος τοῦ Δρόγγου διακειμένῃ, τῇ γονικόθεν διαφερούσῃ τῷ οἰκείῳ τῇ βασιλείᾳ μου Κομνηνῷ κυρῷ Νικολάῳ τῷ Μαλιασηνῷ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα μάϊον τῆς νῦν τρεχούσης πεντεκαιδεκάτης ἰνδ. τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ed. Maffeius ad calcem Histor. theol. de Gratia. Pasini, Catal. p. 325. Zachariae, Jus graeco-romanum III. 595.

II. 6783—1274, mense septembri, ind. III.

Imperator Michaël Palaeologus confirmat possessiones monasteriorum Macrinitissae et Novae Petrae.

Initium deest.

. . . .

ποιησάμενος τὸ μονῆρες περίβλημα ἐπενδύσασθαι, θεῷ τε ζῆν μόνῳ καὶ τοῖς θειοτέροις τὸν νοῦν καθ' ἡσυχίαν ἀπασχολεῖν, ἐπεὶ ταῦτα καὶ ὑποθέμενος ἑαυτῷ καὶ βεβαιωσάμενος, τὴν βασιλείαν μου ἐξῃτήσατο χρυσόβουλλον ταύτης λόγον γενέσθαι αὐτῷ ἐπὶ τῇ παρ' αὐτοῦ τε καὶ τῆς συζύγου αὐτοῦ, τῆς ἀνεψιᾶς τῆς βασιλείας μου, Κομνηνῆς κυρᾶς Ἄννης Παλαιολογίνης τῆς Μαλιασηνῆς, ἐξ αὐτῶν βάθρων ἀνοικοδομηθείσῃ ἐν τῷ τῆς Δρυανουβαίνης ὄρει σεβασμίᾳ μονῇ γυναικείᾳ, τῇ καὶ ἐπ' ὀνόματι τοῦ τιμίου μου Προδρόμου τιμωμένῃ καὶ Νέα Πέτρα ἐπονομαζομένῃ εἰς τὸ κατέχειν ταύτην καὶ νέμεσθαι τὸ παρὰ τούτου προσκυρωθὲν αὐτῇ γονικὸν τούτου κτῆμα τήν τε ἐπάνω καὶ κάτω Δρυανούβαινιν μετὰ τῶν δικαίων καὶ προνομίων αὐτῶν, γῆς ὀρεινῆς καὶ πεδινῆς, ἀμπελώνων τε καὶ χωραφίων, καθὼς προσεκυρώθη παρ' αὐτοῦ τῇ τοιαύτῃ μονῇ καὶ καθὼς κατείχετο καὶ παρ' αὐτοῦ, τά τε περὶ τὴν αὐτὴν Δρυανούβαινιν διακείμενα τρία μετόχια τῆς τοιαύτης μονῆς, ἤγουν τὸ εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου μου θεομήτορος καὶ ἐπικεκλημένον τὴν Πορταρέαν, τὸ εἰς ὄνομα τοῦ ἁγίου Νικολάου τὸ καὶ ἐπιλεγόμενον τοῦ Ἐπαλιροπάτου καὶ τὸ εἰς ὄνομα καὶ αὐτὸ τῆς ὑπεράγνου μου θεομήτορος καὶ ἐπονομαζόμενον τὸ Ἡσυχασταρεῖον μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, ἤγουν χωραφίων τε, ἀμπελώνων, χερσαίας γῆς, προσκαθημένων ἀνθρώπων καὶ παντοίων ἄλλων κινητῶν τε καὶ ἀκινήτων πραγμάτων, τά τε ἐν τῇ τοιαύτῃ Δρυανουβαίνῃ ἐξ ἀγορασίας περιελθόντα τούτῳ ἀπὸ δικαίας τῶν διαπρασάντων ταῦτα νομῆς καὶ προσκυρωθέντα παρὰ τούτου τῇ τοιαύτῃ σεβασμίᾳ τοῦ Προδρόμου μονῇ, οἰκήματά τε, περιβόλια, ἀμπέλια, χωράφια καὶ δύο μυλικὰ ἐργαστήρια, ὡσαύτως καὶ τὰ ἐν τῷ Βελεστίνῳ ἐξ ἀγορασίας τούτου κατὰ τὸν αὐτὸν τρόπον προσκυρωθέντα αὐτῇ ἀμπέλια κατὰ τὰς περιλήψεις τῶν γεγονότων τούτῳ πρατηρίων ἐγγράφων παρὰ τῶν διαπωλησάντων τὰ τοιαῦτα κτήματα πρὸς αὐτόν, ὡσαύ-

τως καὶ τὴν ἐκ προσενέξεως περιελθοῦσαν τῇ τοιαύτῃ μονῇ ἀρόσιμον γῆν τῶν Βραστῶν, καθὼς κατέχει ταύτην καὶ μέχρι τοῦ νῦν. ἔτι τε τὴν βασιλείαν μου ἐξῃτήσατο, ἵνα ἐπεὶ καὶ ἐπὶ τῇ γονικῇ τούτου ἀνδρῴᾳ μονῇ τῇ παρὰ τοῦ πατρὸς τούτου ἐπάνω τοῦ τῆς Δημητριάδος ὄρους ἐκ βάθρων ἀνεγερθείσῃ ἐπ' ὀνόματι τιμωμένῃ τῆς πανυπεράγνου μου θεομήτορος καὶ ἐπικεκλημένῃ Ὀξείᾳ Ἐπισκέψει, ἐγχωρίως δὲ λεγομένῃ Μακρινιτίσσῃ προεγεγόνει χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἐπιστηρίξῃ τοῦτον ἡ βασιλεία μου καὶ διὰ τοῦ παρόντος χρυσοβούλλου αὐτῆς, διορισαμένη κατέχειν καὶ τὴν τοιαύτην σεβασμίαν ἀνδρῴαν μονὴν τὰ ἐν τῷ γεγονότι αὐτῇ χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου διαλαμβανόμενα πάντα κτήματά τε αὐτῆς καὶ μετόχια κατὰ τὴν τοῦ τοιούτου χρυσοβούλλου λόγου περίληψιν. ἔτι τε καὶ τοῦτο τὴν βασιλείαν μοῦ ἐξῃτήσατο, ἵνα μετὰ τὴν αὐτοῦ τε καὶ τῆς αὐτοῦ συζύγου παρέλευσιν ἀνάδοχος εἴη καὶ ἔφορος ὡς κληρονόμος ἐπὶ ταῖς δυσὶ ταύταις μοναῖς ὁ υἱὸς αὐτοῦ, ὁ οἰκεῖος τῇ βασιλείᾳ μου, Κομνηνὸς κῦρ Ἰωάννης ὁ Μαλιασηνός. ἡ βασιλεία μου τῶν αἰτήσεων αὐτοῦ ἐπακούσασα εὐδοκεῖ τὰ περὶ τούτου, ὅθεν καὶ τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἐπορέγει τούτῳ, δι' οὗ καὶ διορίζεται κατέχειν καὶ νέμεσθαι τὴν παρὰ τοῦ διαληφθέντος οἰκείου τῇ βασιλείᾳ μου Κομνηνοῦ κῦρ Νικολάου τοῦ Μαλιασηνοῦ καὶ τῆς συζύγου αὐτοῦ, τῆς ἀνεψιᾶς τῆς βασιλείας μου, Κομνηνῆς κυρᾶς Ἄννης Παλαιολογίνης τῆς Μαλιασηνῆς, ἐκ βάθρων ἀνεγερθεῖσαν τοιαύτην σεβασμίαν μονὴν γυναικείαν ἐν τῷ τῆς Δρυανουβαίνης ὄρει ἐπ' ὀνόματι τιμωμένην τοῦ τιμίου μου Προδρόμου καὶ Νέαν Πέτραν ἐπονομαζομένην τὰ καὶ ἀνωτέρου εἰρημένα κτήματα αὐτῆς, ἤγουν το παρὰ τοῦ τοιούτου οἰκείου τῇ βασιλείᾳ μου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ προσκυρωθὲν αὐτῇ γονικὸν τούτου κτῆμα, τήν τε ἐπάνω καὶ κάτω Δρυανούβαινιν μετὰ τῶν δικαίων καὶ προνομίων αὐτῶν πάντων, ὀρεινῆς τε γῆς καὶ πεδινῆς, ἀμπελώνων τε καὶ χωραφίων, καθὼς προσεκυρώθη παρὰ τούτου τῇ τοιαύτῃ μονῇ καὶ καθὼς κατείχετο καὶ παρ' αὐτοῦ τά τε περὶ τὴν αὐτὴν Δρυανούβαινιν διακείμενα τρία μετόχια τῆς τοιαύτης μονῆς, ἤγουν τὸ εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου μου θεομήτορος καὶ ἐπικεκλημένον τὴν Πορταρέαν, τὸ εἰς ὄνομα τοῦ ἁγίου Νικολάου τὸ καὶ ἐπιλεγόμενον τοῦ Ἐπαλιροπάτου καὶ τὸ εἰς ὄνομα καὶ αὐτὸ τῆς ὑπεράγνου μου θεομήτορος καὶ

ἐπονομαζόμενον τὸ Ἡσυχασταρεῖον μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, ἤγουν χωραφίων, ἀμπελώνων, χερσαίας γῆς, προσκαθημένων ἀνθρώπων καὶ παντοίων ἄλλων κινητῶν τε καὶ ἀκινήτων πραγμάτων, τά τε ἐν τῇ τοιαύτῃ Δρυανουβαίνῃ ἐξ ἀγορασίας περιελθόντα τούτῳ ἀπὸ δικαίας νομῆς τῶν διαπρασάντων πρὸς αὐτὸν ταῦτα καὶ προσκυρωθέντα παρὰ τούτου τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ οἰκήματά τε, περιβόλια, ἀμπέλια, χωράφια καὶ δύο μυλικὰ ἐργαστήρια, ὡσαύτως καὶ τὰ ἐν τῷ Βελεστίνῳ ἐξ ἀγορασίας τούτου κατὰ τὸν αὐτὸν τρόπον προσκυρωθέντα αὐτῇ ἀμπέλια κατὰ τὰς περιλήψεις τῶν γεγονότων τούτῳ πρατηρίων ἐγγράφων παρὰ τῶν διαπωλησάντων τὰ τοιαῦτα κτήματα πρὸς αὐτόν, τήν τε ἐκ προσενέξεως περιελθοῦσαν τῇ τοιαύτῃ μονῇ ἀρόσιμον γῆν τῶν Βραστῶν, καθὼς κατέχει ταύτην καὶ μέχρι τοῦ νῦν. τῇ ἐμφανείᾳ γοῦν τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει ταῦτα πάντα καὶ νεμηθήσεται καὶ εἰς τὸ ἑξῆς ἡ διαληφθεῖσα τοῦ τιμίου μου Προδρόμου σεβασμία μονὴ ἀνενοχλήτως, ἀδιασείστως, ἀναφαιρέτως, ἀναποσπάστως, ἀνεπηρεάστως καὶ ἔξω πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, ἄνευ μέντοιγε τοῦ ἑνὸς μόνου τούτου κεφαλαίου τῆς καστροκτισίας· τοῦτο γὰρ ὡς κοινωφελὲς καὶ παρὰ τῶν τοιούτων τῆς μονῆς κτημάτων ἀπαιτηθήσεται, τὰ δ' ἄλλα πάντα καθέξει καὶ νεμηθήσεται καὶ εἰς τὸ ἑξῆς ἡ δηλωθεῖσα σεβασμία μονὴ τὰ ἀνωτέρω διειλημμένα ἀνενοχλήτως, καθὼς καὶ προείρηται, ἀδιασείστως, ἀναφαιρέτως, ἀναποσπάστως, ἀνεπηρεάστως καὶ ἔξω πάσης καὶ παντοίας δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως, μὴ συνεισαγομένου τούτοις μόνου τοῦ ἑνὸς τούτου κεφαλαίου τῆς καστροκτισίας, ἐπεὶ ὡς κοινωφελὲς τοῦτο καὶ παρὰ τῶν τῆς τοιαύτης μονῆς κτημάτων ἀπαιτησήσεσθαι εἴρηται. ἔτι τε ἐπιστηρίζει ἡ βασιλεία μου τῷ παρόντι χρυσοβούλλῳ λόγῳ αὐτῆς τὸν προγεγονότα χρυσόβουλλον λόγον αὐτῆς ἐπὶ τῇ ἀνωτέρω ῥηθείσῃ γονικῇ τοῦ διαληφθέντος οἰκείου τῇ βασιλείᾳ μου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ ἀνδρῴᾳ σεβασμίᾳ μονῇ τῇ παρὰ τοῦ πατρὸς τούτου ἐπάνω τοῦ τῆς Δημητριάδος ὄρους ἀνεγερθείσῃ ἐπ' ὀνόματι τῆς ὑπεράγνου θεομήτορος τῆς ἐπονομαζομένης Ὀξείας Ἐπισκέψεως, ἐγχωρίως δὲ λεγομένης Μακρινιτίσσης, καὶ διορίζεται κατέχειν καὶ τὴν τοιαύτην σεβασμίαν μονὴν τὰ ἐν τῷ προγεγονότι αὐτῇ χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου διαλαμβανόμενα πάντα κτήματά τε αὐτῆς καὶ μετόχια

κατὰ τὴν τοῦ τοιούτου χρυσοβούλλου περίληψιν. ἔτι τε διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς, ἵνα μετὰ τὴν αὐτοῦ τε καὶ τῆς συζύγου αὐτοῦ παρέλευσιν εἴη ἀνάδοχός τε καὶ ἔφορος ὡς κληρονόμος ἐπὶ ταῖς διαληφθείσαις δυσὶ ταύταις μοναῖς ὁ υἱὸς αὐτῶν, ὁ οἰκεῖος τῇ βασιλείᾳ μου Κομνηνὸς κῦρ Ἰωάννης ὁ Μαλιασηνός. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῇ ἐπάνω τοῦ ὄρους τῆς Δρυανουβαίνης διακειμένῃ ἐπ' ὀνόματι τιμωμένῃ τοῦ τιμίου μου Προδρόμου καὶ Νέᾳ Πέτρᾳ ἐπικεκλημένῃ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα σεπτέβριον τῆς νῦν τρεχούσης τρίτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ τρίτου ἔτους, ἐν ᾧ δὴ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

III. Post annum 1274.

Imperator Michaël Palaeologus Comneno Josepho Maliaseno concedit monasterium Salvatoris Christi Latomi in urbe Thessalonica, confirmans coniunctionem monasteriorum Macrinitissae et Novae Petrae.

Χρυσόβουλλος λόγος ὁ τρίτος.

Δύναταί τι παρὰ βασιλεῖ καὶ ὁ τῆς σωματικῆς εὐγενείας λόγος, εἴ τις τῆς βασιλικῆς ἐξαρτώμενος γνησιότητος ἐκ τῆς σχέσεως τὴν φύσιν παρίστησι καὶ ἀνύσιμα τὰ κατὰ σκοπὸν τίθησιν, αὐτὸ δὴ τοῦτο προβαλλόμενος εἰς καταδυσώπησιν; πολλῷ δὲ μᾶλλον, εἴ τις τὴν ἐν τῇ ψυχῇ διάθεσιν δείκνυσιν ἔκ τε δὴ τοῦ τρόπου καὶ τοῦ τὴν φροντίνδα πᾶσαν ἐξαναλίσκειν περὶ τὰ θεῖά τε καὶ θεάρεστα καὶ τὸ χάριν ἔχειν ἐκεῖθεν εἰς ψυχικὴν συντείνουσαν τὴν ὠφέλειαν. εἰ δ' ἄμφω τινὶ συνδεδραμηκότα, τὸ μὲν ἐπιφαινόμενον ἐκ τῶν ἔξωθεν καὶ σωματικῶν, τὸ δ' ἐκ τῶν ἔνδοθεν καὶ κατὰ θεὸν εἰς μὲν τὸν τῆς παρακλήσεως συμπροταθεῖεν λόγον, τὸ δὲ τῆς αἰτήσεως εὔλογον ἐκ τῆς χρηστότητος τοῦ τρόπου γινώσκοιτο, ῥᾷον ἂν ἤ λόγος τὸ ἐξαιτούμενον ἀνυσθήσεται. ἀλλὰ ταῦτα μὲν οὕτω γνώμης τετύχηκεν, αὐτοῖς δὲ τοῖς πράγμασιν ὁ τῆς ἀληθείας λόγος ἐπιγνωσθήσεται. ὁ γάρ τοι περιπόθητος ἀνεψιὸς τῆς βασιλείας μου, τιμιώτατος ἐν μονα-

χοῖς Κομνηνὸς κῦρις Ἰωάσαφ ὁ Μαλιασηνὸς, ἀνὴρ τυγχάνων ἐκ γένους προσήκων τῇ βασιλείᾳ μου καὶ μηδαμῆ λειπόμενος τῶν ἄλλων ταῖς πρὸς τὸ καλὸν διασκέψεσι, τὸ πλεῖον φέρει ταῖς ἐν περιστατικαῖς καὶ ἀναγκαίαις χρείαις καρτερίαις ὑπὲρ τοῦ οἰκείου γένους κατὰ καιροὺς καὶ τοῦ τῆς ψυχῆς φρονήματος γενναιότησιν, ὡς ἐκ τούτου καὶ ζῆλον μὲν ἐμφαίνειν ὑπὲρ τῶν ἐκ γένους ὁμοφύλων αὐτῷ, ὅσον ἂν προσῆκον εἴη τῷ τοιούτῳ τυγχάνοντι, οὐδὲν δὲ ἧττον καὶ τῆς εὐνοϊκῆς πρὸς τὴν ἡμετέραν βασιλείαν ἀκραιφνοῦς διαθέσεως, καὶ μὴ τὸ τῆς εὐγενείας τίμιον καὶ σεμνὸν ταπεινοῦν ἐξ αὐτῶν ἔργων, ἀλλ' εἰς ἅπαν ταύτην συνιστᾶν ἐκ τῆς ἀναλόγου τούτων καὶ ἰσορρεποῦς ἐπιδείξεως. ὅτι δὲ καὶ ὑπερ τοῦ καλοῦ καὶ τοῦ σωτηριώδους ἔργου μελέτην ἀεὶ ποιούμενος οὐ διαλείπει μὴ παντὶ τρόπῳ καὶ παντοίαις ἔργων ἰδέαις ἐκκαλύπτειν τὴν τῆς ψυχῆς ἐγκρυπτομένην ἐν τούτῳ κατάστασιν, πολλὰ μὲν δὴ καὶ ἄλλα τὸ περὶ τούτου δῆλον ποιεῖ, τὸ δὲ τῆς αἰτήσεως νυνὶ προβαλλόμενον σαφὲς πάντως καὶ πρόδηλον γνώρισμα τῆς πρὸς τὸ ἀγαθὸν θεαρέστου τούτου γνώμης καὶ προαιρέσεως. ἐπειδὴ γὰρ καὶ πρὶν ἀμφιέσασθαι τὸ μοναδικὸν, ταὐτὸν δ' εἰπεῖν καὶ ἀγγελικὸν σχῆμα ἐν τούτῳ καταστάσεως ἐπὶ τῶν ἔργων ἦν καὶ οὐ τοσοῦτον τοῖς ἐν κόσμῳ χαριζόμενος ἦν ὅσον τοῖς θειοτέροις ἀεὶ προστιθέμενος, ὥστε καὶ τὰς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνεγηγερμένας δυὸ τούτου μονὰς, τήν τε διαφέρουσαν αὐτῷ γονικόθεν περὶ τὸ ὄρος τῶν Δρόγγων διακειμένην καὶ τιμωμένην εἰς ὄνομα τῆς ὑπεράγνου μου θεομήτορος τῆς ἐπικεκλημένης Μακρινιτίσσης καὶ Ὀξείας Ἐπισκέψεως, καὶ τὴν παρ' αὐτοῦ τε καὶ τῆς συζύγου αὐτοῦ, τῆς περιποθήτου ἀνεψιᾶς τῆς βασιλείας μου, Κομνηνῆς κυρᾶς Ἀνθούσης Μαλιασηνῆς τῆς Παλαιολογίνης, ἐξ αὐτῶν βάθρων ἀνοικοδομηθεῖσαν καὶ διακειμένην ἐπάνω τοῦ ὄρους τῆς Δρυανουβαίνης, τὴν καὶ ἐπ' ὀνόματι τιμωμένην τοῦ τιμίου μου προδρόμου τῆς Νέας Πέτρας, ἔτι τοῖς κοσμικοῖς συνὼν ἐπὶ μᾶλλον συνιστῶν ἦν καὶ προάγων ἐπὶ τὸ βέλτιον. καὶ νῦν δ' ὁπηνίκα κατέστη καὶ ἐπ' αὐτοῦ δὴ τοῦ πράγματος καὶ τῶν μαλακῶν ἐκείνων ἱματίων καὶ τῶν διαφόρων καὶ ποικίλων σχηματισμῶν ἀντιπεριέθετο τὸ τραχὺ τοῦ κατὰ θεὸν βίου τριβώνιον, τῆς θεοφιλοῦς ταύτης ἐργασίας ἀπρὶξ ἐξεχόμενος πάντα λέγειν καὶ πράττειν ἐπὶ τῇ ψυχῇ προεστήσατο, οὐδὲν ἕτερον τὴν ἡμετέραν βασιλείαν ἐξαιτησάμενος εἵλετο, ἐπειδήπερ

εἰς τοῦθ' ἧκεν ἐγκαταστὰς ἢ ὅπερ τῷ σκοπῷ συνεβάλετο καὶ τῷ προτέρῳ τούτῳ τρόπῳ συνήνεγκε. τὸ δὲ τῆς παρακλήσεως, ὡς ἂν δωρήσηται αὐτῷ ἡ βασιλεία μου τὴν ἐντὸς τῆς μεγαλοπόλεως Θεσσαλονίκης σεβασμίαν μονὴν τοῦ σωτῆρός μου Χριστοῦ τὴν τοῦ Λατόμου μετὰ τῶν προσόντων ταύτῃ δικαίων καὶ πραγμάτων, ἅπερ εὑρίσκεται κατέχουσα νῦν ἐντὸς τῆς Θεσσαλονίκης καὶ ἐκτός, διά τε χωραφίων, ἀμπελώνων, μυλοστασίων καὶ ἐνοικιακῶν, καὶ ἔχωσι ταύτην αἱ διαληφθεῖσαι τούτου δύο μοναὶ εἰς δοχεῖον ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀναφαιρέτως πάντη καὶ ἀναποσπάστως εἰς διηνέκειαν. ἡ γοῦν βασιλεία μου χαριζομένη τοῦτο μὲν τῇ προσούσῃ τούτῳ πρὸς αὐτὴν γνησιότητι καὶ τῇ εὐγενείᾳ τοῦ σώματος, τοῦτο δὲ καὶ τὸ καρτερικὸν αὐτοῦ καὶ γενναῖον ὑπὲρ τοῦ τῶν Ῥωμαίων γένους ἐν τοῖς περιστατικοῖς τῶν καιρῶν ἀνταμειβομένη, προσέτι γε μὴν δεξιουμένη καὶ τὸ τῆς αἰτήσεως εὔλογον ὡς θεοφιλὲς ἀγαθαῖς συμπληρώσεσι τὴν κατὰ τὴν Θεσσαλονίκην τοιαύτην σεβασμίαν μονὴν τοῦ Σωτῆρός μου Χριστοῦ τοῦ Λατόμου δωρεῖται τῷ τοιούτῳ περιποθήτῳ ἀνεψιῷ αὐτῆς, τῷ τιμιωτάτῳ ἐν μοναχοῖς Κομνηνῷ κυρῷ Ἰωάσαφ τῷ Μαλιασηνῷ, καὶ θεσπίζει καὶ διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς, ἵνα αἱ διειλημμέναι τούτου δύο μοναὶ ἔχωσι τὴν τοιαύτην μονὴν ἡνωμένην μετ' αὐτῶν καὶ ἔχωσιν αὐτὴν ὡς δοχεῖον εἰς τὸ διηνεκὲς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀναποσπάστως, ἀναφαιρέτως καὶ ἀδιαιρέτως μετὰ τῶν ἀρτίως εὑρισκομένων ταύτῃ δικαίων καὶ πραγμάτων καὶ κατεχομένων παρ' αὐτῆς διά τε χωραφίων, ἀμπελώνων, μυλοστασίων, ἐνοικιακῶν καὶ τῶν ἑτέρων ἐντὸς καὶ ἐκτὸς τῆς πόλεως Θεσσαλονίκης, καὶ μὴ εὑρίσκωσιν αἱ τοιαῦται μοναὶ παρά τινος τῶν ἁπάντων ἐπὶ τούτῳ ὄχλησίν τινα ἢ διασεισμὸν ἢ ἐμποδισμόν, ἀλλ' ἵνα διαμένῃ ἡ δηλωθεῖσα μονὴ τοῦ Σωτῆρός μου Χριστοῦ τοῦ Λατόμου εἰς δοχεῖον τῶν δηλωθεισῶν τούτου δύο μονῶν ἀναπόσπαστος πάντη καὶ ἀναφαίρετος καὶ ἀδιαίρετος εἰς διηνέκειαν τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ὃς δὴ καὶ ἔσεῖται πρὸς τὸ διαμένειν τὴν τοιαύτην μονὴν ἡνωμένην μετὰ τῶν ἀνωτέρω διειλημμένων δύο τούτου μονῶν, ὥσπερ τι φρούριον ἀσφαλέστατον ἀπεῖργον πάντη τὸν βουληθησόμενον ἀνατροπήν τινα ποιῆσαι κατά τι τῶν διωρισμένων καὶ τεθεσπισμένων τῇ βασιλείᾳ μου ἐπὶ τῇ τοιαύτῃ μονῇ καὶ διακωλῦον ἅπαν ὀχληρὸν καὶ ἐπηρεαστικόν. ἔτι ἐπι-

κυροῖ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς καὶ τοὺς προγεγονότας τῷ τοιούτῳ περιποθήτῳ ἀνεψιῷ αὐτῆς, τῷ τιμιωτάτῳ ἐν μοναχοῖς Κομνηνῷ κυρῷ Ἰωάσαφ τῷ Μαλιασηνῷ χρυσοβουλλίους λόγους τῆς βασιλείας μου κατὰ πᾶσαν αὐτῶν τὴν περίληψιν, ἄνευ μέντοι τῆς μιᾶς τῶν διαληφθεισῶν μονῶν, δηλαδὴ τῆς διακειμένης ἐπάνω τοῦ ὄρους τῆς Δρυανουβαίνης τῆς τοῦ τιμίου μου Προδρόμου τῆς Νέας Πέτρας· ἐπειδὴ γὰρ ἡ τοιαύτη μονή, γυναικεία οὖσα τὸ πρότερον, θελήσει τοῦ τοιούτου περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου, Κομνηνοῦ κυροῦ Ἰωάσαφ τοῦ Μαλιασηνοῦ, καὶ αὐτῆς δὲ τῆς συζύγου αὐτοῦ, τῆς περιποθήτου ἀνεψιᾶς τῆς βασιλείας μου, τῆς τιμιωτάτης μοναχῆς κυρᾶς Ἀνθούσης Μαλιασηνῆς τῆς Παλαιολογίνης, ἥτις καὶ τὴν τοιαύτην μονὴν ἐκ βάθρων ἀνήγειρε καὶ συνέστησεν, ἀποκατέστη νῦν εἰς ἀνδρῴαν μονήν, ὀφείλει ἔχειν τὸ στέργον καὶ ἐπὶ τούτῳ καὶ βέβαιον, καθὼς ἀμφότεροι διετάξαντο. ἐπεὶ δὲ ἀνέφερον καὶ ὅτι ἡ εἰς τὴν Χάρμαιναν διακειμένη μονὴ τῆς ὑπεράγνου μου θεομήτορος τῆς Παναγίας ἀνετέθη εἰς μετόχιον παρὰ τοῦ ἱερομονάχου Θεοδοσίου δι' ἐγγράφου αὐτοῦ παραδόσεως, τοῦ καὶ συστησαμένου ταύτην πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεράγνου μου θεομήτορος τῆς Μακρινιτίσσης καὶ Ὀξείας Ἐπισκέψεως μετὰ τῶν προσόντων ταύτῃ δικαίων καὶ πραγμάτων καὶ κατεχομένων παρ' αὐτῆς μέχρι τοῦ νῦν, ὀφείλει ἔχειν καὶ τοῦτο οὕτως καὶ διαμένειν ἀναποσπάστως καὶ ἀναφαιρέτως εἰς μετόχιον τῆς διαληφθείσης σεβασμίας μονῆς. αἱ δὲ δηλωθεῖσαι δύο τούτου μοναί, ἥ τε τῆς ὑπεράγνου μου θεομήτορος τῆς Μακρινιτίσσης καὶ Ὀξείας Ἐπισκέψεως καὶ ἡ τοῦ τιμίου μου Προδρόμου τῆς Νέας Πέτρας αἱ καὶ γονικόθεν τούτοις διαφέρουσαι οὐκ ὀφείλουσιν ἑτέρα τῆς ἑτέρας κατεξανίστασθαι, ἀλλὰ διατηρεῖσθαι ἑκάστη κατὰ πᾶσαν τὴν ἐν τοῖς κυρίοις μοναστηρίοις φυλασσομένην τάξιν τε καὶ κατάστασιν καὶ κατέχειν τὰ προσαρμόσαντα ἑκάστῃ ἀνὰ μέρος κτήματά τε καὶ μετόχια καὶ μηδέποτε πειραθῆναι τὴν ἑτέραν ὑπαγαγεῖν εἰς μετόχιον καὶ ποιῆσαι ὑφ' ἑαυτήν, ἀλλὰ διαμένειν ἀνὰ μέρος καὶ καθ' αὑτάς, καθὼς οὗτοι καθὸ κτήτορες καὶ διεσκέψαντο καὶ διετάξαντο. ὀφείλει δὲ καὶ ὁ υἱὸς αὐτῶν, ὁ οἰκεῖος τῇ βασιλείᾳ μου Κομνηνὸς κῦρ Ἰωάννης Παλαιολόγος ὁ Μαλιασηνὸς μετὰ τὴν τελευτὴν αὐτῶν εἶναί τε καὶ λογίζεσθαι . . .

Reliqua desunt, folio exsciso.

Pasini, p. 328. Zachariae, Ius graeco-romanum III. p. 601. 22*

IV. Sine anno.

Imperator Michaël Palaeologus confirmat monasterio Prodromi liberam possessionem camporum, quos emerat.

† Τοῦ αὐτοῦ θεοστεφοῦς βασιλέως πρόσταγμα τὸ α΄.

. . . .

ἐπ᾽ ὀνόματι τοῦ τιμίου τιμωμένου Προδρόμου ἐνασκούμεναι μοναχαὶ τῇ ἀνεγερθείσῃ ἐκ βάθρων παρά τε τοῦ οἰκείου τῇ βασιλείᾳ μου, Κομνηνοῦ κῦρ Νικολάου τοῦ Μαλιασηνοῦ, καὶ τῆς ἀνεψιᾶς τῆς βασιλείας μου, Κομνηνῆς κυρᾶς Ἄννης Παλαιολογίνης τῆς Μαλιασηνῆς, τῆς συζύγου αὐτοῦ, τῇ ἐπιλεγομένῃ Νέᾳ Πέτρᾳ ἐδεήθησαν τῆς βασιλείας μου ὁρισμοῦ ταύτης τυχεῖν διοριζομένου, μὴ εὑρίσκειν παρά τινος τὴν τοιαύτην μονὴν τὴν οἱανδήτινα καταδυναστείαν ἢ ὄχλησιν ἢ ἁρπαγμὸν ἐπὶ τοῖς ἐξ ἀγορασίας περιελθοῦσι ταύτῃ ἀμπελίοις καὶ χωραφίοις, ἀλλὰ κατέχειν αὐτὰ καὶ νέμεσθαι ἀκαταδυναστεύτως κατὰ τὰς περιλήψεις τῶν τε προσόντων αὐτῇ πρατηρίων ἐγγράφων καὶ τοῦ ἐπὶ τούτοις γεγονότος ταύτῃ πατριαρχικοῦ ὑπομνήματος, ἡ βασιλεία μου τῆς τούτων δεήσεως ἐπακούσασα τὸν παρόντα αὐτῆς ὁρισμὸν ἐπορέγει τῇ τοιαύτῃ τοῦ τιμίου Προδρόμου μονῇ, δι᾽ οὗ καὶ διορίζεται, ὡς ἂν μὴ εὑρίσκῃ αὕτη παρά τινος τὴν οἱανδήτινα καταδυναστείαν ἢ ὄχλησιν ἢ ἁρπαγμὸν ἐπί τινι τῶν ἐξ ἀγορασίας περιελθόντων ταύτῃ χωραφίων καὶ ἀμπελίων, ἀλλὰ κατέχῃ ταῦτα καὶ νέμηται ἐλευθέρως πάντῃ καὶ ἀνενοχλήτως κατὰ τὰς περιλήψεις τῶν τε προσόντων πρατηρίων ἐγγράφων καὶ τοῦ ἐπὶ τούτοις γεγονότος ταύτῃ πατριαρχικοῦ ὑπομνήματος τῇ ἐμφανείᾳ τῆς παρούσης προστάξεως τῆς βασιλείας μου τῆς καὶ δι᾽ ἀσφάλειαν ὀφειλούσης προσεῖναι τῇ τοιαύτῃ μονῇ.

V. Sine anno.

Imperator Michaël Palaeologus confirmat monasterio Novae Petrae possessionem praediorum Portareae et Palireopati.

Τοῦ αὐτοῦ θεοστεφοῦς βασιλέως πρόσταγμα τὸ β΄.

† Ἐπεὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου, Κομνηνὸς κῦρ Νικόλαος ὁ

Μαλιασηνός, ἐδεήθη τῆς βασιλείας μου ὁρισμοῦ ταύτης τυχεῖν τὴν ἐν τῷ ὄρει τῆς Δρυανούβεως διακειμένην σεβασμίαν πατριαρχικὴν γυναικείαν μονὴν τὴν ἐκ βάθρων ἀνεγερθεῖσαν παρὰ τῆς ἀνεψιᾶς τῆς βασιλείας μου, Κομνηνῆς κυρᾶς Ἄννης Παλαιολογίνης, τῆς συζύγου αὐτοῦ, τὴν καὶ ἐπ' ὀνόματι τοῦ τιμίου τιμωμένην Προδρόμου καὶ Νέαν Πέτραν ἐπικεκλημένην, διοριζομένου, διατηρεῖσθαι τὴν τοιαύτην μονὴν ἀδιάσειστόν τε καὶ ἀνενόχλητον ἐπί τε τοῖς προσοῦσι ταύτῃ δυσὶ μετοχίοις αὐτῆς τοῖς ἀνιδρυμένοις ἐπ' ὀνόματι τῆς ὑπερενδόξου μου τε θεομήτορος τῷ τῆς Πορταρέας ἐπιλεγομένῳ καὶ τῷ τοῦ ἁγίου Νικολάου τῷ ἐπικεκλημένῳ τοῦ Παλιρεοπάτου μετὰ καὶ τῆς ἀνέκαθεν νομῆς αὐτῶν καὶ διακρατήσεως καὶ ἐπὶ τοῖς λοιποῖς ἀκινήτοις ταύτης, ἤγουν ἀμπελίοις, χωραφίοις καὶ ἀλλοίοις δικαίοις αὐτῆς κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ ἐγγράφων δικαιωμάτων τῶν τε ἀρχιερατικῶν ἐκδοτηρίων γραμμάτων τοῦ θεοφιλεστάτου ἐπισκόπου Δημητριάδος καὶ τοῦ ἐπὶ τούτοις γεγονότος πατριαρχικοῦ ὑπομνήματος, καὶ μὴ εὑρίσκειν παρά τινος τὸν τυχόντα διασεισμὸν ἢ τὴν οἱανδήτινα ὄχλησιν ἐπ' αὐτοῖς, ἡ βασιλεία μου, τῆς τούτου δεήσεως ἐπακούσασα, τὸν παρόντα ὁρισμὸν αὐτῆς ἐπορέγει τῇ τοιαύτῃ μονῇ, δι' οὗ καὶ διορίζεται τὸ στέργον ἔχειν καὶ ἀμετάτρεπτον τὰ προσόντα τῇ τοιαύτῃ μονῇ ἔγγραφα δικαιώματα, τά τε ἀρχιερατικὰ δικαιωτήρια γράμματα τοῦ δηλωθέντος θεοφιλεστάτου ἐπισκόπου Δημητριάδος καὶ τὸ ἐπὶ τούτοις γεγονὸς πατριαρχικὸν ὑπόμνημα, ὥστε κατέχεσθαι παρὰ τῆς τοιαύτης μονῆς τὰ διαληφθέντα δύο ταύτης μετόχια μετὰ καὶ τῆς ἀνέκαθεν νομῆς αὐτῶν καὶ διακρατήσεως, τά τε ἀμπέλια καὶ χωράφια ταύτης καὶ τὰ ἀλλοῖα αὐτῆς δίκαια ἐλευθέρως πάντῃ, ἀνενοχλήτως τε καὶ ἀναποσπάστως κατὰ τὰς περιλήψεις τῶν τοιούτων δικαιωμάτων αὐτῆς καὶ μὴ εὑρίσκειν ταύτην παρά τινος τὸν τυχόντα διασεισμὸν ἢ τὴν οἱανδήτινα ὄχλησιν ἐπὶ τούτοις, ἀλλὰ διατηρεῖσθαι ἀδιάσειστόν τε καὶ ἀνενόχλητον τῇ ἐμφανείᾳ τῆς παρούσης προστάξεως τῆς βασιλείας μου τῆς καὶ ὀφειλούσης προσεῖναι τῇ τοιαύτῃ μονῇ δι' ἀσφάλειαν †.

Pasini p. 332.

VI. Sine anno.

Despota Ioannes Comnenus Palaeologus reddit monasterio Macrinitissae vicum Capraenam donatque ei scaphas in lacu S. Stephani.

Ἀργυρόβουλλον τοῦ δεσπότου κυροῦ Ἰωάννου Κομνηνοῦ τοῦ Παλαιολόγου, τοῦ αὐταδέλφου τοῦ αὐτοῦ θεοστεφοῦς βασιλέως.

Initium deest, parte superiore folii abscissa.

. . . . ειας ἀξί . . . .
καὶ προσοχῆς τὰ σάθρα τῶ[ν] . . . πτόρθων καρφολογῶν καὶ π[αρα]σκευάζων τούτους εἰς πλεῖο[να] τὴν ἐπίδοσιν παρεκτείνεσθαι . . . μήπως τῆς σαθρότητος διαδοθείσης εἰς τὴν ἐνοῦσαν τούτοις φύσιν τὴν ἔνικμον καὶ ταύτῃ λύμῃ . . . .
. . . . θεν . . . .
. . . . ς πλείστης, ἀ . . . . ν ἐπιμελείας τε καὶ τῆς προσοχῆς ὅσον εἰκὸς τῆς σαθρότητος . . οῦτο καθαρειεύσαντες εἰς πλείονα τὴν ἐπίδοσιν παρασκευάσομεν παρεκτείνεσθαι οἷς τυγχάνει τοῦτο, ὅτι θεοφιλὲς καὶ θεάρεστον καὶ τοῖς εἰς τοῦτο ἐξηρτημένοις σεβασμίοις ἀνδράσι πολὺ κεκτημένοις τὸ τῆς ἀρετῆς ἀναβάσιμον καὶ παρὰ τοῦτο τῷ θεῷ πλησιάζουσιν, οἷς βίος ἡ περὶ θεοῦ φαντασία καὶ τὸ τῆς θεωρίας ὑψηλὸν καὶ μετέωρον καὶ τὸ μὴ προσκολλᾶσθαι διὰ τῆς πράξεως τοῖς κοσμικοῖς τυρβασμοῖς τουτοισὶν οἰκεῖον καὶ ἀναπαύσιμον· εἰ γὰρ ἔν τινι τῶν προσκαίρων κοπιῶμεν καὶ νήφομεν, ἐξ οὗ οὐδὲν ἡμῶν ἐγγίνεται ὄφελος εἰς ψυχήν, ὅσον ἀνήκει ἡμῖν ἐκείνῳ κοπιᾶν καὶ κατὰ τὸν εἰπόντα χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει ἐγρηγορέναι, δι' οὗ ἀποταμιεύεται καὶ ὁ μισθὸς ἐν οὐρανοῖς πολλαπλάσιος. ἀλλ' εἰς τί ταῦτα τῷ παρόντι προοιμίῳ προκατεβλήθησαν, προϊὼν ὁ λόγος δηλώσει τοῖς ἀφεξῆς. ἡ κατὰ τὸ ὄρος τοῦ Δρόγγου τὸ ἐν τῇ Δημητριάδι διακειμένη σεβασμία μονὴ καὶ εἰς ὄνομα τιμωμένη τῆς ὑπεράγνου μου θεομήτορος Ὀξείας τῆς Ἐπισκέψεως, ἐπικεκλημένη δὲ τοπικῶς Μακρινίτισσα, ἡ παρὰ τοῦ Μαλιασηνοῦ ἐκείνου κῦρ Κωνσταντίνου τοῦ Κομνηνοῦ ἀνεγερθεῖσα ἐκ βάθρων αὐτῶν ἔφθασε μὲν ἐπὶ χρόνοις μακροῖς δεσπόζειν καὶ κυριεύειν τὸ ἅπαξ προσκυρωθὲν αὐτῇ χωρίον τὴν Κάπραιναν τὸ εἰς ποσότητα περιιστάμενον ὑπερπύρων πεντήκοντα, εἶτα δ' ἐπείπερ οὐδὲν τοῖς βιωτικοῖς τυγχά-

νει πράγμασι σταθηρόν, ἀλλ' οἶδε χρόνος μακρὸς κατ' ἄλλον σοφὸν κρύπτειν μὲν τὰ φανέντα καὶ τἄδηλα φανεροῦν, οὐδὲ τούτου ὁ πανδαμάτωρ χρόνος ἔσχε φειδώ, ἀλλὰ κατηνάλωσε καὶ μετήμειψε τὰ τοῦ πράγματος. ἐστερήθη τοίνυν τοῦ κτήματος ἡ μονὴ οὐκ ἀπὸ λόγου δικαίου, οὐδ' εὐλόγου τρόπου, ἀλλ' ἢ μᾶλλον ἐξ ἀδικίας ἢ τὸ πλέον εἰπεῖν ἱεροσυλίας τυραννικῆς, καὶ πολλοῖς ἐδίδοτο φιλοτίμημα· τί τὸ ἐντεῦθεν; ἐστενοῦτο τὰ τῆς μονῆς καὶ ἣν ἐντεῦθεν εἶχε παραμυθίας ἐλπίδα τὸ ἱερὸν καταγώγιον, δι' ἧς ἐπλούτουν οἱ θεοφιλεῖς ἄνδρες, τὸ ἀπερίσπαστον συνέβαινεν ἀπολέσαι μικροῦ, καὶ εἶχεν ἂν οὕτω πως περιφρονηθῆναι ὁ ἱερὸς λειμὼν καὶ ὀφθήσεσθαι ἀτημέλητος εἰς ὃν πρόβατα λογικὰ ἀναπαύονται εἰς τόπον χλόης κατασκηνούμενα πολιτείας μοναδικῆς καὶ ἐπὶ ὕδατος ἀναπαύσεως θεωρίας καὶ πράξεως ἐκτρεφόμενα, εἰ μὴ προμηθείᾳ τῇ κρείττονι τὸ διῃρημένον ἀπὸ σχοινίσματος τοῦ ῥωμαϊκοῦ συνήφθη καὶ συνηνώθη καὶ ὑπὸ χεῖρα ὤφθη τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος. τοίνυν καὶ τῶν πραγμάτων προχωρούντων καλῶς καὶ τοῦ κραταιοῦ καὶ ἁγίου μου αὐθέντου καὶ βασιλέως δι' ἐφέσεως ἔχοντος τῆς πολλῆς πρὸ πάντων καὶ ὑπὲρ πάντα ἔργον τουτὶ τὸ θεοφιλὲς παρεκτείνεσθαι τὸ τὸ ἑδραῖον πλουτεῖν τὰ ἅπαξ ἀφιερωθέντα ὡς ὅσια τῷ θεῷ, συντρέχει πρὸς τοῦτο καὶ ἡ βασιλεία μου τῇ ἐφέσει καὶ τῷ σκοπῷ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ τὸ ἐλάττωμα ἀνιστᾷ, ἐπανάγει καὶ τὸ ὑστέρημα ὑποβάθραν δ' οἷόν τινα καὶ θέμεθλον ἀρραγὲς καὶ τὴν παροῦσαν ἀργυροβούλλιόν μου γραφὴν διὰ τῆς ἐλεημοσύνης τοῦ κραταιοῦ καὶ ἁγίου μου αὐθέντος καὶ βασιλέως τῇ τοιαύτῃ μονῇ ἐπιδίδωμι, δι' ἧς καὶ παρακελεύομαι, ἀναποσπάστως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ ἀναφαιρέτως κατέχειν καὶ νέμεσθαι τὴν ῥηθεῖσαν μονὴν τὸ διαληφθὲν χωρίον τὴν Κάπραιναν καὶ τὰ προσόντα τούτῳ πάντα δίκαια καὶ προνόμια καὶ τὴν ἐξ αὐτῶν πᾶσαν ἀκολοβώτως ἀποφέρεσθαι πρόσοδον, ὡς ὀφεῖλον εἶναι ἀπό γε τοῦ νῦν ἀνώτερον καὶ πάσης ὀχλήσεως ὑπερκείμενον, ἀκαταζήτητόν τε ἀπὸ πάντων τῶν δημοσιακῶν ζητημάτων καὶ κεφαλαίων, ἐξ ὧν καί τινα ῥηθήσονται κεφαλαιωδῶς, ἤγουν ἀγγαρείας, παραγγαρείας, ζημίας, φωμοζημίας, βασιλικῆς καταθέσεως, συνδοσίας πλωΐμων καὶ ἑτέρας πάσης καὶ παντοίας ἐπηρείας καὶ δημοσιακῆς συζητήσεως νῦν τε ἐνεργουμένης καὶ ἐσύστερον ἐπινοηθησομένης, ὡς ἐντεῦθεν καὶ τοὺς ἐν τῇ μονῇ ἀνασκουμένους ἄν-

δρας ἀνενοχλησίας τῆς περὶ τούτου ἐπαπολαύσαντας καθαρώτερον ὑπερεύχωνται τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος. ἕξει τοίνυν ἡ μονὴ τὸ ῥηθὲν χωρίον κατὰ ἀναφαίρετον κυριότητα καὶ δεσποτείαν ἀπαρασάλευτον, καθὼς ἐν τῇ παρούσῃ τῆς βασιλείας μου ἀργυροβουλλίῳ γραφῇ περιείληπται τῇ ταύτῃ ἐπιχορηγούσῃ ἔχειν εἰς τοῦτο τὸ ἔμπεδον καὶ ἀμετακίνητον ἐφ' ᾧ καὶ οὐδεὶς ἀπὸ τῶν κατὰ καιροὺς κεφαλατικευόντων, δουκευόντων, ἐνεργητῶν φορολόγων, ἀπαιτητῶν καὶ ἑτέρων τῶν εὖ τε καὶ ὡς ἑτέρως τὴν οἱανοῦν δουλείαν βασιλικὴν περιεζωσμένων δημοσιολατρῶν ὀφείλει ἐπαγαγεῖν τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τὸν τυχόντα ἐπηρεασμὸν ἕνεκα τῆς ἀνακοσπάστου κατοχῆς καὶ τῆς ἀμετασαλεύτου νομῆς τοῦ τοιούτου χωρίου, ἀλλ' ὀφείλει κατέχειν τοῦτο πάντη ἀδιαιρέτως καὶ ἀζημίως, καθὼς ἀνωτέρω προεθέμεθά τε καὶ κατησφαλισάμεθα. ἐπεὶ δὲ προπαρεκελευσάμην, ἵνα κατέχῃ ἡ τοιαύτη μονὴ καὶ κατὰ τὴν λίμνην τὴν εἰς τὸν ἅγιον Στέφανον σανδάλια δύο μετὰ τῶν ἁλιέων αὐτῶν, ἤγουν τοὺς παῖδας τοῦ Μαλογένη μετὰ τοῦ μονοξύλου αὐτῶν καὶ τὸν γαμβρὸν τοῦ Κακούσου Κωνσταντῖνον καὶ τὸν Καλοειδᾶν μετὰ τοῦ μονοξύλου αὐτῶν, ὡς εἶναι καὶ τοῦτο τοῖς μοναχοῖς πρὸς ζωαρκείας ἐπίδοσιν, καὶ τοῦτο περιληφθήσεσθαι ἄξιον τῇ παρούσῃ ἀργυροβουλλίῳ γραφῇ μου, ἵνα καὶ τὸ πάγιον ἐπ' αὐτοῖς καὶ ανύποπτον πρὸς ἀφαίρεσιν καιρικὴν πλουτῶσιν οἱ μοναχοί, τοίνυν καὶ οὐκ ἀφαιρηθήσεται πώποτε τὰ τοιαῦτα δύο σανδάλια τῆς μονῆς, οὔτε μὴν ἐλαττωθήσονται ἢ παρὰ τῶν κατὰ καιροὺς ἐφισταμένων πακτωναρίων εἰς τὴν τοιαύτην λίμνην ἑλκυσθήσονται τὰ τοιαῦτα μονόξυλα ἢ εἰς βάρος τινὸς θέσεως δημοσιακῆς δουλείας οἰκείας τῶν πακτωναρίων, οὔτε μὴν εἰς ἀγγαρείαν δουλείας ἀναγκασθήσονται, εἴτε μὴν βιασθήσονται, ἀλλὰ καὶ τὴν ἐπ' αὐτοῖς ἐξουσίαν καὶ κυριότητα, ἐπ' ἀδείας ἕξει ἡ σεβασμία μονὴ μόνῃ τῇ ἐμφανείᾳ τῆς παρούσης ἀργυροβουλλίου γραφῆς μου τῆς ὀφειλούσης ἔχειν ἐπὶ τοῖς εἰρημένοις κτήμασι τῆς . . . .

Reliqua desunt, folio exsciso.

VII. 6754—1246, mense maio, ind. IV.

Despota Michaël Ducas donat Constantino Maliaseno monasterium Hilarionis in Almyro.

Χρυσοβούλλιος γραφὴ τοῦ δεσπότου κυροῦ Μιχαὴλ τοῦ Δούκα, ἥτις ἐγεγόνει ἐπὶ τῇ κατὰ τὴν χώραν τοῦ Ἁλμυροῦ μονῇ τῇ τοῦ κυροῦ Ἱλαρίωνος, ἥτις ἐτάχθη παρὰ τῶν κτητόρων εἰς μετόχιον τῆς Μακρινιτίσσης καὶ Ὀξείας Ἐπισκέψεως.

Initium deest, folio e codice exsciso.

Epigraphen habes in indice codicis. Uncis inclusa spectant ad historiam Maliasenorum.

[ἐπεὶ δὲ πολλάκις αἱ καιρικαὶ περιπέτειαι σφοδρότερον κινηθεῖσαι οὐκ ἐπὶ τοῦ αὐτοῦ μένειν συγχωροῦσι τὰ πράγματα, τοῖς δὲ καθεστηκόσιν ἀνατροπήν τινα προξενοῦσι καὶ σύγχυσιν καὶ τὰ τῆς τάξεως εἰς ἀταξίαν μεθιστῶσι καὶ κίνησιν ἄλογον, ἣν ὅτε καὶ ἡ προκαθημένη τῶν ἄλλων ἁπασῶν πόλεων ἡ Κωνσταντινούπολις ἡ περιώνυμος τὸν οἰκεῖον εἶχε κόσμον, τὴν βασίλειον ἀρχὴν δηλαδή, καὶ ἐπὶ τῆς οἰκείας τάξεώς τε καὶ καταστάσεως ἦν, καὶ σεμνυνομένη ταύτῃ καὶ ταῖς οἰκείαις ἄλλαις λαμπρότησιν ἁπανταχοῦ σχεδὸν ὑπῆρχε κρατεῖν καὶ τῷ τῆς δόξης ταύτης μεγαλείῳ πάντας ἕλκειν εἰς ἑαυτήν. ἐπεὶ δὲ περιεῖλε κύριος τὴν δόξαν αὐτῆς κρίμασιν οἷς οἶδεν ὁ πάντα κινῶν ὁπότε καὶ ὅπως βούλεται, καὶ οἱ κρατοῦντες ταύτης ἐξώσθησαν ἔξω που περιπλανώμενοι καὶ περιφερόμενοι, κατεμερίσθη μὲν ἄλλος ἀλλαχοῦ, καὶ τόπον ἕκαστος ἔσχεν, ὃν ᾑρετίσατο· εἰσὶ δ' οἵτινες αὐτῶν οὐδὲ προσέχον διὰ τέλους τὸν τῆς ὑποταγῆς φυλάξαι νόμον πρὸς τοὺς ἤδη κρατοῦντας καὶ στέργειν ὡς εἰκὸς τὰ παρ' αὐτῶν νομιζόμενα, ἀλλ' ἐκεῖθεν ἀπορραγέντες καθ' ἑαυτοὺς ὥσπερ ἐγένοντο καὶ τόπων ἐκράτησαν διὰ τὸ τῆς ἀρχῆς ὡς ἄν τις καλέσειεν σεσαλευμένον ἔτι καὶ ἀνυπόστατον, ἐντεῦθεν ὑπὸ τούτους ἐγεγόνεισαν οὐκ ὀλίγοι καὶ τῶν ἐπὶ εὐγενείᾳ σεμνονομένων καὶ τοῖς ἐκ γένους ἀξιώμασι, μεθ' ὧν καὶ οἱ τοῦ ἀνδρὸς τοῦδε πατέρες, ὁ Κομνηνὸς ἐκεῖνος κῦρ Κωνσταντῖνος ὁ Μαλιασηνός, γαμβρὸς ὢν ἐπὶ αὐταδέλφῃ πρώτῃ κυρᾷ Μαρίᾳ Κομνηνῇ τῇ Ἀγγελίνῃ τοῦ δεσπότου ἐκείνου Κομνηνοῦ κυροῦ Μιχαὴλ τοῦ Δούκα, ὃς ἔκ τε τῶν καθ' ἑαυτὸν καὶ τῶν ἐξ ἐπιγαμβρίας τὰ

μεγάλα δυνάμενος παρ' αὐτῷ π·λὺν εἶχε τὸν πλοῦτον καὶ πλείστην ἀφθονίαν ἔκ τε δὴ κτημάτων καὶ περιουσίας παντοδαπῆς. ὡς δὲ καὶ ἐδέησεν ἐπὶ τῇ κατὰ τὸν Ἁλμυρὸν διακειμένῃ μονῇ τῇ τοῦ κῦρ Ἱλαρίωνος ἐπονομαζομένη παρ αὐτοῦ τυχεῖν ἀργυροβούλλου γραφῆς εἰς βεβαίωσιν καὶ ἐκπλήρωσιν ὧν ἐξῃτήσατο, μεθ' ὑπερβαλλούσης ἔσχε καὶ τοῦτο τῆς χάριτος καὶ πλέον ἢ ὅσον ἦν ἀνῆκον τούτῳ διδόναι. ἀργυροβούλλου γὰρ δύναμιν ἔχον διά τε τῶν ὀξέων γραμμάτων καὶ τῆς ἄλλης σημειώσεως χρυσίνῃ βούλλῃ τετίμηται. ἤδη γὰρ παρὰ τῆς βασιλικῆς ἀρχῆς τὸ τῶν δεσποτῶν ἀξίωμα ἔλαβε καὶ ὑπὸ ταύτην μὲν εἶναι κατηγγυήσατο εὐλαβηθείς, εἰ μή τι ἄλλο, τό γε δίκαιον ἴσως, μένειν δὲ κατὰ χώραν καὶ ὅπουπερ ἔφθη τοπαρχῶν. ἐντεῦθεν ἦν αὐτῷ καὶ τοιαῦτα ποιεῖν πρὸς τοὺς παρ' αὐτῷ μένοντας· ἀλλ' ἐπεὶ θεὸς εὐμενὲς ἐπὶ τὸ τῶν Ῥωμαίων γένος ἰδὼν φέρων παρέδωκε τῷ κρατίστῳ τουτῳῒ βασιλεῖ τὴν βασιλεύουσαν ταύτην ἐν πόλεσι καὶ τὰ τῆς ἀρχῆς ἐπὶ τοῦ προτέρου καὶ προσήκοντος κατέστησε σχήματος, ἐκ τούτου λοιπὸν ἅπαντα κατὰ λόγον προβαίνει κτέ.]

. . . . ὑπεμφαίνοντος ἀριθμοῦ. διά τοι τοῦτο καὶ ἡμεῖς τὰ καλὰ διττῶς διαπράττομεν ἐν ἑνὶ τῷδε χρυσοβούλλῳ ἡμῶν ὁρισμῷ· ἱλαρῶς τε γὰρ καὶ εὐμενεστάτως περὶ τὸ τοῦ κῦρ Ἱλαρίωνος μοναστήριον διακείμεθα καὶ ἱλαροὶ δοτῆρες τῆς ἐξ ἡμῶν αἰτηθείσης δωρεᾶς γινόμεθα τῷ πανευγενεστάτῳ Κομνηνῷ καὶ περιποθήτῳ γαμβρῷ τῆς βασιλείας μου, κῦρ Κωνσταντίνῳ τῷ Μαλιασηνῷ. οὗτος προπεριεῖπε μὲν ἀνθρωποπρεπῶς καὶ προκατεῖχε τὸ τοιοῦτον μοναστήριον ὡς ἀπὸ δωρεᾶς τοῦ κόντου ἐκείνου γεγενημένης πρὸς τὴν θείαν μου τὴν βασίλισσαν, ὅπερ καὶ διακείμενον εὕρηται ὑπὸ τὴν περιοχὴν τῶν Ἁλμυρῶν κατὰ τὴν οὑτωσί πως λεγομένην τοῦ τροπαιοφόρου ἐπίσκεψιν, ἀφῃρέθη δὲ τοῦτο ὕστερον ὑπὸ τῆς αὐτῆς ἐπικρατούσης τῆς χώρας τῶν Ἁλμυρῶν λατινικῆς ἐξουσίας καὶ ἦν οὕτω μέχρι τοῦ νῦν. ἐπεὶ δὲ ἡ τοῦ θεοῦ χεὶρ ἡ ὑψηλὴ ἐνίσχυσεν ἡμᾶς ἐξῶσαι μὲν τῆς ὑφ' ἡμᾶς ἐξουσίας τὸ Ῥωμαιοβόρον φῦλον τὸ τῶν Λατίνων, ἐφελκύσαι δὲ πρὸς ἑαυτοὺς τὴν ὑπόνομον αὐτοῖς καὶ ὑπόφορον χώραν τοῦ Ἁλμυροῦ, προσῆλθεν ἡμῖν καὶ ᾐτήσατο τὴν βασιλείαν μου ταύτην αὐτῷ τὴν δωρεὰν παρασχεῖν, τὸ δηλαδὴ ἐλευθερίαν πραγματεύσασθαι τῷ εἰρημένῳ μοναστηρίῳ τοῦ κῦρ Ἱλαρίωνος καὶ πᾶσι τοῖς ὑποκειμένοις καὶ διαφέρουσιν αὐτῷ ἀκινήτοις δικαίοις καὶ τῆς δημοσιακῆς ἐξάξαι

φορολογίας καὶ ὑποτελείας ὁμοῦ καὶ ὑποδουλώσεως καὶ ὑπὸ τὴν ἐφορευτικὴν αὐτοῦ χεῖρα τάξαι διεξαγωγὴν ὁμοῦ τε καὶ κατοχήν. πρὸς ταῦτα ἡ βασιλεία μου οὐκ ἀνένδοτος ὑπῆρξε τῇ τοιαύτῃ αἰτήσει τοῦ εἰρημένου Μαλιασηνοῦ, ἀλλ' εὐμενῶς τε καὶ ἱλαροτρόπως προσηκαμένη αὐτὴν διπλοποιεῖ τὰ καλὰ διὰ τῆς παρούσης χρυσοβουλλίου ἡμετέρας γραφῆς· καὶ γὰρ εὐδοκεῖ καὶ δεσποτικῶς προστάσσει τοῦ εἶναι καὶ ὀνομάζεσθαι ἀπὸ τοῦ παρόντος καὶ εἰς τὸ διηνεκὲς τὴν διαληφθεῖσαν μονὴν τοῦ κῦρ Ἱλαρίωνος τοῦ λελεγμένου Κομνηνοῦ κυροῦ Κωνσταντίνου τοῦ Μαλιασηνοῦ καὶ κατέχεσθαι παρ' αὐτοῦ καὶ τοῦ μέρους αὐτοῦ ἐφορευτικῶς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῆς, ἀμπελώνων, χωραφίων, κηπωροπεριβόλων, ὑδρομυλώνων καὶ παντὸς ἑτέρου ἀκινήτου πράγματος καὶ καλῶς διεξάγεσθαι καὶ θεοφιλῶς κατὰ τὸν φιλευσεβῆ τρόπον αὐτοῦ καὶ φιλόκαλον ἐπὶ συστάσει τοῦ μοναστηρίου καὶ εἰς τὸ κρεῖττον προαγωγῇ καὶ βελτιώσει καὶ ἐπὶ καταμονῇ καὶ διατροφῇ μονοτρόπων ἀνδρῶν, μὴ παρ' αὐτοῦ δὲ μόνον τοιουτοτρόπως κατέχεσθαι, ἄχρις ἂν τοῖς ζῶσι συνεξετάζηται, ἀλλὰ καὶ παρὰ τοῦ υἱοῦ αὐτοῦ, τοῦ περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου, τοῦ Κομνηνοῦ κυροῦ Νικολάου, πιστευομένου τῇ βασιλείᾳ μου τῆς πατρικῆς φιλοθεΐας καὶ ἐναρέτου διαθέσεως κληρονόμου εἶναι, ὡς καὶ τῆς τοῦ γένους διαδοχῆς ἑτέρου τινὸς προσώπου ἐπιχωρίου ἁλμυρωτικοῦ ἢ ἀλλοχώρου μείζονος τὴν τύχην ἢ ἥττονος, ἀρχοντεύοντος ἢ ἀρχοντευομένου, ἐκ γένους ἡμῖν οἰκειουμένου, εἴτε καὶ μή, μηδαμῶς μετέχειν ὀφείλοντος καθ' οἱονδήτινα τρόπον, ἐν οἱῳδήτινι χρόνῳ ἐπὶ τῇ ἀνατεταγμένῃ μονῇ καὶ τοῖς ὑπ' αὐτὴν ἄνευ αὐτοῦ καὶ μόνου τοῦ μέρους τοῦ Μαλιασηνοῦ ἐνστηριζομένου καὶ ἐνισχυομένου τῇ δυνάμει τῆς παρούσης χρυσοβουλλίου ἡμῶν γραφῆς. τοῦτο ἓν ἡ βασιλεία μου ἐργάζεται τὸ καλὸν ἀμειβομένη τὸν ἄνδρα τῆς πρὸς ἡμᾶς εἰλικρινοῦς εὐνοίας αὐτοῦ καὶ φιλοτιμίαν τὸ πρᾶγμα αὐτῷ ἐπιδαψιλεύουσα πολλῶν ἄξιον τυγχάνοντα τῶν εὐεργεσιῶν, οὐχ ὅτι μόνον εὐγενογενὴς πάντοθεν εὕρηται καὶ γνησιογενὴς τυγχάνει τῇ βασιλείᾳ μου, οὐδ' ὅτι ἀρετῆς παντοίας ἀνάπλεώς ἐστι καὶ στρατιώτης ἅμα καὶ στρατηγός, φρονήσει καὶ ἀνδρείᾳ περιφραττόμενος, ἀλλ' ὅτι καὶ πολλοὺς ἀγῶνας ἐν διαφόροις ἤνυσε τοῖς καιροῖς ὑπὲρ ταύτης τῆς ὑφ' ἡμᾶς ῥωμαΐδος γῆς καὶ ἀνύων ἐστίν, ἀνθ' ὧν ἄξιος πολλῶν τυγχάνει τῶν ἀγαθῶν ἀμοιβῶν. καὶ ταῦτα

μὲν περὶ τοῦτο. ἐπιδευτεροποιοῦσα δὲ ἡ βασιλεία μου τὸ καλὸν ἐλευθερίαν ἐπιδαψιλεύει τῇ ἀναπεφωνημένῃ ἱλαρωνύμῳ μονῇ καὶ ἀτέλειαν πᾶσαν τῶν ἐπικειμένων αὐτῇ καὶ τοῖς διαφέρουσιν αὐτῇ παντοίοις ἀκινήτοις δικαίοις, ἀκροστιχικῶν τελεσμάτων περιισταμένων εἰς ὑπέρπυρα εἴκοσι πρὸς τῷ ἑνὶ καὶ διμοίρῳ, ὡς ὑπεμνήσθη ἡμῖν, καὶ ὁρίζει καὶ περὶ τούτου διὰ τοῦ παρόντος ἡμετέρου χρυσοβούλλου ὁρισμοῦ, ἵνα μένῃ ἀπὸ τῆς σήμερον καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους ἐλευθέρα τε καὶ ἀκαταζήτητος ἡ τοιαύτη μονὴ ἀπὸ τοῦ τοιούτου ἀκροστίχου καὶ παντὸς ἑτέρου δημοσίου φορολογήματος καὶ τέλους καὶ βάρους ἐξωτύπου ἢ ἐσωτύπου, ἐνεργουμένου νῦν ἐν τῇ χώρᾳ τοῦ Ἁλμυροῦ ἢ ἐνεργηθησομένου ἐσύστερον, σήμερον ἐγνωσμένου εἴτε καὶ ἐπινοηθησομένου καὶ ἀνακύψοντος αὔριον ἐξ ἐφευρεσινοίας τῶν δημοσιολατρούντων προσώπων, ἀκρατεῖν ὀφειλούσης ἐπὶ τῇ μονῇ τοῦ κῦρ Ἱλαρίωνος καὶ τοῖς ὑπ' αὐτὴν πάσης ἐπηρείας καὶ ὀχλήσεως δημοσιακῆς καὶ πρακτορικῆς, ἀπεντεῦθεν ἀθετουμένης καὶ χιουμένης παρὰ τῆς βασιλείας μου διὰ ταύτης τῆς ἡμεδαπῆς χρυσοβουλλίου προστάξεως. ὅθεν καὶ ἐπιφωνούμεθα καὶ ἀσφαλῶς πᾶσι τοῖς τὸν δημόσιον τρόπον φανερῶς ἢ κρυφίως ἐνδυομένοις τοῖς κατὰ καιροὺς δηλονότι πράκτορσι τοῦ Ἁλμυροῦ, τοῖς ἀπογραφεῦσι, τοῖς ἐκπροσωποῦσι, τοῖς κατεπάνω, τοῖς ἄρχουσι, τοῖς ἀπαιτηταῖς καὶ παντὶ ἑτέρῳ δημοσιολειτουργοῦντι προσώπῳ πόρρω που εἶναι καὶ ἀφίστασθαι τῆς τοιαύτης μονῆς καὶ τῶν ὑπ' αὐτὴν καὶ μηδεμίαν ἔχειν μετοχὴν ἐπ' αὐτῇ ἐκσφενδονουμένοις καὶ ἀποδιοπομπουμένοις ἐξ αὐτῆς τῇ ἰσχύϊ τοῦ χρυσοβούλλου ἡμῶν γράμματος, εἰ μὴ βούλοιντο, εἴπερ τι διαπρᾶξαι τολμήσαιεν ἔξω τῶν ἐνταυθοῖ διατεταγμένων, βαρεῖαν ὑφίστασθαι τὴν ἐξ ἡμῶν ἀγανάκτησιν πρὸς τῷ καὶ ζημίᾳ ὑποπίπτειν ὑπερπύρων λιτρῶν δύο καταβαλλομένων εἰς τὸ ἡμέτερον βεστιάριον. τὰ μέντοι ὑπὲρ ἀκροστιχικοῦ τέλους ἀνήκοντα τῇ μονῇ, ὡς διείληπται, εἰκοσιὲν πρὸς τῷ διμοίρῳ ὑπέρπυρα δέχεσθαι ὀφείλουσι τοῖς κατὰ καιροὺς ἐνεργοῦσι τὴν χώραν τοῦ Ἁλμυροῦ ἐν καιροῖς τῶν λογαριασμῶν διὰ σημειώδους ὁμολογίας τοῦ μέρους τοῦ Μαλιασηνοῦ, δηλούσης ἐαθῆναι τὰ τοιαῦτα νομίσματα ἀναπαίτητα. ἐπὶ τούτῳ γὰρ ἐπεβραβεύθη τῷ ἀναπεφωνημένῳ Κομνηνῷ τῷ Μαλιασηνῷ καὶ τῷ μέρει αὐτοῦ ὁ παρὼν χρυσοβούλλιος ἡμῶν ὁρισμὸς εἰς ἀσφάλειαν αἰωνίζουσαν καὶ παρ' ἡμῶν αὐτῶν φυλαχθησόμενος ἀπαράθραυστος

καὶ παρὰ τῶν μεθ' ἡμᾶς ἐπιληψομένων τῆς καθ' ἡμᾶς ἐξουσίας, ὡς ἂν κοινῶς ἅμα ἱλαροδότην τὸν κοινὸν δεσπότην θεὸν ἕξομεν ἔν τε ταῖς κατὰ τὸν ἑβδοματιαῖον αἰῶνα τοῦτον ἀμοιβαῖς τῶν ἔργων καὶ ταῖς κατὰ τὸν ὄγδοον ἀποκειμέναις ἐκεῖνον τὸν μέλλοντα. γεγονὼς κατὰ μῆνα μάϊον ἰνδικτιῶνος τετάρτης τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ πεντηκοστοῦ τετάρτου ἔτους. ἐπακολαύσουσιν ἐξκουσσείας καθολικῆς καὶ ἀναγγάρευτοι μενοῦσι καὶ ἀνενόχλητοι ἀπὸ τοῦ μέρους τοῦ δημοσίου οἵ τε ἀμ. . . . .

Reliqua desunt, folio exscisso.

VIII. 6775—1266, mense septembri, ind. X.

Despota Nicephorus Ducas Nicolao Maliaseno confirmat possessiones omnes monasterii Macrinitissae et donationem monasterii Hilarionis in Almyro factam a Michaële Duca Constantino Maliaseno.

Ἀργορόβουλλον τοῦ υἱοῦ τοῦ δεσπότου Μιχαὴλ τοῦ Δούκα, κυροῦ Νικηφόρου, τὸ δεσποτικὸν φοροῦντος ἀξίωμα.

Initium deest.

. . . .

ὕφος τὸ ἄπειρον, ἀλλ' ὅδε θνήσκων ἢ μᾶλλον τῆς ὧδε ζωῆς τὴν ἐκεῖσε ἀειζωΐαν ἀνταλλασσόμενος καὶ τῆς ῥεούσης βασιλείας τὴν ἄρρευστον εἰσάγει πρὸς ἑαυτὸν τὸν υἱὸν Σολομῶντα φημὶ τὸν εἰρηνικώτατον καί γε τούτῳ πατρικῶς ἐπισκήπτει θεῖον ἀνεγεῖραι νεὼν τῷ ὀνόματι κυρίου τιμώμενον, οὐκ ἔλαττον τοῦτο σωτηρίας τεκμήριον ἡγησάμενος ὁ διοπτικώτατος καὶ ὁ σοφοῦ τοιούτου πατρὸς σοφώτατος γόνος τῇ ἀληθινῇ σοφίᾳ, τῷ μόνῳ θεῷ δυνατῷ σεσοφισμένον οὕτω καὶ πεποικιλμένον ναὸν ἀνίδρυσεν. ἀρκεῖ δὲ καὶ τῷ τῶν χριστιανῶν ἡμῶν γένει ἡ πατρῴα εὐσέβεια, ἡ ὀρθόδοξος πίστις, ἡ τοῦ Χριστοῦ ἐπωνυμία, ἀλλ' οὐχ οὕτως ἰσχύσει σῶσαι τὸν ἄνθρωπον, εἰ μὴ καὶ τὰς ἀρετὰς μετερχόμεθα καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν κατὰ τὸ γεγραμμένον. οὐκ ἔλαττον δὲ ἄρα εἶδος ἀρετῆς, ἀλλὰ καὶ τῷ θεῷ ἀρεστὸν ἡ τῶν θείων τεμενῶν ἀνοικοδομή, ἐν οἷς δοξάζεται οὗτος, ἐν οἷς δοξολογεῖται καὶ ἀνυμνεῖται τὸ αὐτοῦ ὄνομα·

ἀγαπᾷ γὰρ καὶ ἐν ναοῖς κατοικεῖν τοῖς ἡμετέροις ἔργοις ἀναπαυόμενος. ἔνθεν τοι κατὰ τὸν δαυιδιτικὸν λόγιον ὁ κατεσθίων ζῆλος τοῦ οἴκου τοῦ θεοῦ φθάνει καὶ πρὸς τὸν μακαριώτατον καὶ πανευγενέστατον Κομνηνόν, περιπόθητον θεῖον τῆς βασιλείας μου, κῦρ Κωνσταντῖνον τὸν Μαλιασηνόν, καὶ ναὸν ἐκ βάθρων ἀνεγείρει καὶ μοναστῶν ἀγέλην τῇ μάνδρᾳ ταύτῃ τῇ περιφανεῖ συναθροίζει καὶ ὑπερεντυγχάνει θεῷ τῆς ἐκείνου σωτηρίας παννύχια πανημέρια, ἵνα καὶ θεὸς μεγαλύνοιτο, μενοῦν γε καὶ οὐχ ἥμαρτε τοῦ κατὰ σκοπόν, τοῦ κυρίου συνεργοῦντος μᾶλλον τοῦ τοῖς ἀγαθοῖς ἔργοις ἀγαθὴν ὀρέγοντος τὴν τελείωσιν. εἴργασται τὸ καταθύμιον τῷ ἀνδρὶ καὶ μονὴν συνεστήσατο ἐν τῷ τῆς Δημητριάδος θέματι, διακειμένην μὲν περὶ τὸ ὄρος τοῦ Δρόγγου, τιμωμένην δὲ ἐπ' ὀνόματι τῆς πανυπεράγνου μου θεομήτορος καὶ ἐπιλεγομένην τῆς Μακρινιτίσσης καὶ Ὀξείας Ἐπισκέψεως, ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ταύτην καθιδρύσας καὶ ὑπὸ τὴν μεγίστην τῶν ἐκκλησιῶν τεταχώς. ἐπεὶ οὖν ἐκεῖνος ὁ μακαριώτατος θεῖος τῆς βασιλείας μου, ὁ πανευγενέστατος Κομνηνὸς κῦρ Κωνσταντῖνος ὁ Μαλιασηνός, τὸν καθ' ἡμᾶς μετήλλαξε βίον καὶ πρὸς τὰς ἐκεῖθεν μετέστη σκηνάς, σεμνοπρεπῶς ἐνσοριασθεὶς ἐν τῇ τοιαύτῃ μονῇ, ὁ ἐκείνου υἱός, ὁ πανευγενέστατος Κομνηνὸς καὶ περιπόθητος ἐξάδελφος τῆς βασιλείας μου, κῦρ Νικόλαος ὁ Μαλιασηνός, υἱὸς ὑπήκοος γενόμενος πατρί, ζήλῳ καὶ οὗτος θείῳ ἐπικαμφθεὶς οὐ διέλιπε σπεύδειν ὁλοπροθύμως τὰ εἰς ἀνάκτισιν καὶ ἐπαύξησιν τῆς τοιαύτης πατριαρχικῆς γονικῆς αὐτοῦ μονῆς, οὐκ ἤρκει δὲ τούτῳ μόνον πρὸς ἅπαντα τὰ πατριαρχικὰ παρ' αὐτοῦ δειχθέντα τῇ βασιλείᾳ μου ὑπομνήματα, ἀλλὰ καὶ ἡμετέρου ἐδεήθη συνασπισμοῦ, ὡς Νεεμίας τοῦ Ζοροβάβελ, παρ' ὧν ἡ τοῦ Σολομωντείου ναοῦ ἀνέγερσις αὖθις ἐπανῳκοδόμητο. τῷ τοι καὶ ὡς ἀργυρᾶν κορώνην κατὰ τὴν ποίησιν τὸν παρόντα ἀργυροβούλλιον λόγον τῆς βασιλείας μου ἐπορέγομεν· οὗτος μὲν γὰρ ὁ περιπόθητος ἐξάδελφος τῆς βασιλείας μου, ὁ πανευγενέστατος Κομνηνὸς κῦρ Νικόλαος ὁ Μαλιασηνός, εὖ ἔχοντα συνεστήσατο πράγματα, ἡμεῖς δὲ τούτοις καλλίστην παρέχομεν τὴν τελείωσιν καὶ τὸ ἀσφαλὲς καὶ ἀκύμαντον περιποιούμεθα, ἔνθεν τοι καὶ διοριζόμεθα, ἵνα κατὰ τὰς περιλήψεις τῶν πατριαρχικῶν ὑπομνημάτων, ναὶ μὴν καὶ τοῦ χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ πατρὸς τοῦ δεσπότου τοῦ γεγονότος πρὸς τὸν μακαριώτατον καὶ

περιπόθητον θεῖον τῆς βασιλείας μου, τὸν πανευγενέστατον Κομνηνὸν κῦρ Κωνσταντῖνον τὸν Μαλιασηνόν, ἕνεκα τῆς μονῆς τοῦ κῦρ Ἱλαρίωνος τῆς καὶ διακειμένης ἐν τῇ χώρᾳ τοῦ Ἁλμυροῦ, ἥνπερ καὶ ὕστερον τὴν τοιαύτην μονὴν ὁ δηλωθεὶς θεῖος τῆς βασιλείας μου Κομνηνὸς ὁ Μαλιασηνὸς καὶ ὁ υἱὸς αὐτοῦ ὁ Κομνηνὸς τῇ σεβασμίᾳ πατριαρχικῇ μονῇ τῆς Μακρινιτίσσης προσεκόρωσαν τοῦ εἶναι καὶ κατέχεσθαι παρ' αὐτῆς εἰς μετόχιον. ὡσαύτως διορίζεται ἡ βασιλεία μου, ἵνα κατέχῃ ἅπαντα ἡ εἰρημένη μονὴ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, ἤγουν τὸ χωρίον τὴν Γρεπούς τὴν ἐπάνω καὶ κάτω μετὰ τῶν προσκαθημένων ἐν αὐτῇ παροίκων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, τὴν γῆν τοῦ Ἀμαρᾶ τῆς Κολομβηνῆς, τὸν Ῥωτόν, τὴν Μέλισσαν καὶ τὸν τόπον τοῦ Καστροιώτου, τὴν Λογγᾶν καὶ τὰ ἐν τῷ Βάλτῳ τῆς Χρεποῦς μονόξυλα ἓξ μετὰ τῶν ἁλιέων αὐτῶν. ὁμοίως ὁρίζει ἡ βασιλεία μου, ἵνα κατέχῃ τὸ πατριαρχικὸν μετόχιον αὐτῆς τὸν ἅγιον Ὀνούφριον μετὰ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τὴν ἀντιπέραν γῆν ἅπασαν τῶν Πολιτικῶν, τὴν ὑπόστασιν τοῦ βεστάρχου, τὴν ὑπόστασιν Ῥοδανθίνης, τὰς ἀλυκάς, τὴν Καλίτζαν καὶ τὴν Βασιλίδα, τὸ ὑδρομυλικὸν ἐργαστήριον τοῦ ἁγίου Ὀνουφρίου καὶ τὸ ἕτερον μυλικὸν ἐργαστήριον τὸ εἰς τὴν Δημητριάδα διακείμενον πλησίον τοῦ Ναραΐδα, τοὺς ἀμπελῶνας καὶ τὰ χωράφια, ἅπερ κρατεῖ ἔξωθεν τῶν ῥηθεισῶν ὑποστάσεων ἐν τῇ τοιαύτῃ χώρᾳ τῆς Δημητριάδος, τὴν Κατοῦναν, τοὺς Βλάχους τοὺς προσκαθημένους ἔξωθεν τῆς ῥηθείσης πολλαχῶς σεβασμίας μονῆς τῆς Μακρινιτίσσης μετὰ τοῦ Ἀσωμάτου τοῦ Καταχαλῶν μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, τὴν Πλανηνὴν καὶ τὸν τόπον τῆς Βούκοβας καὶ τὸ ὑδρομυλικὸν ἐργαστήριον μετὰ τῶν ἀμπελώνων καὶ κηπωρίων τῶν πέριξ τῆς μονῆς. τὰ ἀμπέλια, ἅπερ κέκτηται ἐν τῷ Ἁλμυρῷ μετὰ τῶν οἰκημάτων αὐτῶν. ταῦτα πάντα τὰ λελεγμένα δωρεῖται ἡ βασιλεία μου διὰ τοῦ παρόντος ἀργυροβούλλου ὁρισμοῦ αὐτῆς τῇ προρρηθείσῃ μονῇ τοῦ περιποθήτου ἐξαδέλφου τῆς βασιλείας μου, πανευγενεστάτου Κομνηνοῦ κυροῦ Νικολάου τοῦ Μαλιασηνοῦ, ὡς κληρονόμου καὶ κτήτορος ὄντος αὐτῆς μετὰ πάντων, ὡς εἴρηται, τῶν διαφερόντων αὐτοῖς δικαίων καὶ προνομίων, καὶ διορίζεται, ἵνα κατέχῃ ταῦτα τὸ τοιοῦτον μοναστήριον αὐτοῦ ἀπὸ τοῦ παρόντος καὶ μέχρι τῆς τοῦ παντὸς τοῦδε

συμπήξεως καὶ συστάσεως ἀναφαιρέτως, ἀναποσπάστως καὶ ἀνακρωτηριάστως καὶ ἄνευ τῆς οἱασοῦν τελεσματικῆς δόσεως καὶ πάσης ἄλλης δημοσιακῆς ἀχθηδόνος καὶ συζητήσεως· δεσπόσει γὰρ καὶ κυριαρχήσει τούτων ἁπάντων ἀπὸ τοῦ νῦν καὶ ἐς διηνέκειαν ἡ δηλωθεῖσα μονή, καὶ τὰς ἐξ αὐτῶν προσόδους μονομερῶς καὶ ἀνεπικωλύτως ἀποκερδάνῃ καὶ ἔσται τὰ δεδωρημένα τῇ τοιαύτῃ μονῇ ὑπέρτερα παντάπασι καὶ ἀμέθεκτα ἀπό τε ἀγγαρείας, παραγγαρείας, φωμοζημίας, χοιροδεκατίας, καταθέσεως μιτάτων, δόσεως ἐξωτύπων, δόσεως γειμόρου, δόσεως μελισσονομίου, διανομῆς δουκικῆς καὶ κατεπανικικῆς, ὠφελείας καστροκτισίας, ἀπαιτήσεως πλωΐμων, ἀπαιτήσεως νομίθρου καὶ παντὸς οἱουδήτινος ζημιωτικοῦ καὶ ἐπηρεαστικοῦ κεφαλαίου, κἂν ὁποίῳ ἄρα καὶ καλοῖτο ὀνόματι, νῦν τε ἐνεργουμένου καὶ ἐσύστερον ἐπινοηθησομένου, καὶ οὐ μεθέξει ἐπὶ τούτοις ἅπασιν οὔτε ὁ κατὰ χώραν πρακτορεύων κατὰ καιρούς, οὔτε τις ἕτερος τῶν δημοσιολεκτῶν ἢ τῶν ὁποιονοῦν δημοσιακὸν μετερχομένων λειτούργημα, οὔτε αὐτοὶ οἱ ἐκδουλεύοντες τὰ ὄρνεα τῆς βασιλείας μου τολμήσουσιν εἰσελθεῖν ἐν αὐτῇ καὶ τοῖς ὑπ' αὐτὴν κτήμασι· πάντες γὰρ οἱ τοιοῦτοι πόρρω που βαδιοῦνται πάντων τῶν ὅσα ἐν τῷ παρόντι ἀργυροβούλλῳ λόγῳ τῆς βασιλείας μου διείληπται, πόδες δὲ ἀναγραφέων ἐκτραπήσονται τὸ παράπαν τῶν τοιούτων ἁπάντων καὶ μακρὰν αὐτῶν ἀφέξονται· οὐ μὴ γὰρ διέλθωσι πώποτε δι' αὐτῶν, ἀλλ' ἀποθρέξουσι τούτων ὡς οἱ ἐπ' ἀνθράκων βαίνειν ἀποδιδράσκοντες. εἰ γὰρ καὶ προϊόντος τοῦ χρόνου ἐπαύξησις ἐν τούτοις μικρά εἴ τε μὴν καὶ μεγίστη γενήσεται, ἀλλὰ καὶ ταύτην, ὅση ἄρα καὶ εἴη, ἡ αὐτὴ περιέψει ἐλευθέραν τοῦ παρόντος ἀργυροβουλλίου λόγου ἀρραγοῦς καὶ παγίου διαφυλαχθησομένου. ἐπὶ τούτῳ γὰρ καὶ ἐπωρέχθη τῇ διαληφθείσῃ πατριαρχικῇ γονικῇ μονῇ τοῦ περιποθήτου ἐξαδέλφου τῆς βασιλείας μου, πανευγενεστάτου Κομνηνοῦ καὶ κτήτορος, τοῦ Μαλιασηνοῦ κυροῦ Νικολάου τῇ τῆς Μακρινιτίσσης τῆς ἐπονομαζομένης Ὀξείας Ἐπισκέψεως, γεγονὸς κατὰ τὸν παρόντα σεπτέβριον μῆνα τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑβδομηκοστοῦ πέμπτου ἔτους τῆς δεκάτης ἰνδικτιῶνος.

IX. 6765—1256, mense octobri, ind. XV.

Patriarcha Arsenius profitetur monasterium Macrinitissae esse stauropegium exemptum de potestate episcopi Demetriadis.

† Ὑπόμνημα τοῦ πατριάρχου κυροῦ Ἀρσενίου †.

Κακὸν ἡ ἀμέλεια καὶ πολλῶν αἰτία κακῶν, ἀλλ' οἷα τὰ ταύτης ἐκφόρια οὐκ ἀγεννέσιν ἱστόρηται καὶ ὡς ἀληθῶς οὐδέν τι χρηστὸν ἐκ τοῦ καταρρᾳθυμεῖν, τοῦτο δὲ καὶ σοφοῖς μὲν διείληπται καὶ αὐτὰ δὲ τὰ τῶν πραγμάτων ἠμελημένα βοῶσι διάτορον. πάρεστιν ἐν αὐτοῖς τοῖς φροντίδος ἐκτὸς καθορᾶν ἐναργῶς τὸ λεγόμενον οὐ περινενοημένον τι πρὸς καταμάθησιν, ἐν αὐτῷ, οὐδὲ περιεσκεμμένον ἁπλῶς τῇ αἰσθήσει καταλαμβάνεται, τοῦτο μὲν οὖν τοιοῦτον καὶ τὸ τὸν ἀμβολιεργὸν ἄτῃσι παλαίειν σοφοῦ τῶν παλαιῶν γνωμάτευμα, εἰ δὲ καὶ σπουδῆς παρούσης καὶ μελέτης ἐμμερίμνου καὶ συνεχοῦς ὑπὲρ τοῦ κατορθωθῆναί τι τῶν ἐπαινετῶν, τὸ δ' οὐδ' οὕτως εὐχερῶς εἰς ἔργον προβαίνει, καὶ εἴ που τι καὶ ἀντιβαῖνον εἴη πολλῶν καὶ σθεναρῶν συμπράξεως δεῖται πρὸς τελεσφόρησιν, πολλῷ δὴ μᾶλλον κἀντεῦθεν, οὗ τῶν κακῶν ἐκκυλίει τὰ τῆς ἀναβολῆς διαδραμεῖται, ἀλλὰ τῇ μὲν ἡμῶν μετριότητι περὶ τούτων οὕτω διαλαβεῖν εὐστόχως ἐγένετο, πράγμασι δ' αὐτοῖς ἔγνω ταῦτα τοιαῦτα. ἡ κατὰ τὴν ἐνορίαν Δημητριάδος ἡ ἐπὶ σταυροπηγίῳ μὲν πατριαρχικῷ καταπηχθεῖσα μονή, ἐπ' ὀνόματι δὲ δομηθεῖσα τῆς παγάγνου θεομήτηρος καὶ τῆς Μακρινιτίσσης ἐπιλεγομένη, ἔμαθεν αὕτη, ἐδάη, εἰς ἐπιστήμην ἦλθεν ἀκριβῆ, ὡς εἰ μικρόν τι ἐνέδωκεν, εἰ βραχύ τι ἀνέπεσεν, εἰ πρὸς ὀλίγον ὄκνος αὐτὴν ὑπέδραμεν, κίνδυνος καὶ πτῶσις περὶ αὐτὴν καὶ ἐκ τοῦ πατριαρχικὴν ἀνυφοῦσθαι ταύτην, ὡς ἐστὶ καὶ ἀναγορεύεσθαι, μεταλλαγὴ τὴν ἐπισκοπικὴν τοῦ Δημητριάδος κλῆσιν ὀνοματίζουσα. τίνα γὰρ καὶ ὅσα οἱ κατὰ καιροὺς ἀρχιερεῖς Δημητριάδος ὑπὲρ τοῦ ταύτην τὴν μονὴν σφετερίσασθαι ἠγωνίσαντο, καθάπαξ λίχνον ὀφθαλμὸν ἐπέβαλον ἐπ' αὐτήν, καὶ οὐμενοῦν οὐδαμῶς ἠνείχοντο, μὴ περιβοήτου τοιούτου καλοῦ καλεῖσθαι μέτοχοι εἶδον ὕψος καὶ σεμνώματος μέγεθος ἡττηθέντες παντοῖοι ἦσαν πάντα κινοῦντες τρόπον, εἴ πως εὕροιεν τὸ ποθούμενον, ἀλλ' εἰς μάτην αὐτοῖς ὁ πόνος. παρὰ φαύλων τὰ διαβούλια, οὐδὲν τῆς κενοσπουδίας αὐτῶν ἀπώναντο, εἰ μὴ καὶ μᾶλλον ἀσφαλέστερα τὰ τῆς μονῆς

ἔθεντο· οἷς γὰρ ἡ μονὴ διενέξεις ἐκ τοῦ μέρους τῆς ἐπισκοπῆς Δημητριάδος ἔσχε καὶ πράγματα, τούτοις λαμπρῶς καὶ ἀναντιρρήτως πατριαρχικὴ ἀνεφάνη, καὶ τὸ ἐντεῦθεν διαναστᾶσα πατριαρχικοῖς τε κατωχυρώθη ὑπομνήμασι τῶν ἁγιωτάτων πατριαρχῶν, τοῦ τε κυροῦ Γερμανοῦ καὶ τοῦ κυροῦ Μανουὴλ καὶ πρὸ τῶν ὑπομνημάτων δὲ τούτων κατεξέτασιν ἀπειλήφει τοῦ μακαρίτου ἐκείνου δεσπότου κυροῦ Μανουὴλ, φέρουσαν ἐπιγραφὰς καὶ ἄλλων μὲν ἀρχιερέων καὶ αὐτοῦ δὲ τοῦ Δημητριάδος Νικολάου τοῦ Βλαττῆ τοῦ πρώτως ὑπὲρ τῆς μονῆς ἀμφιβαλόντος, καὶ παρίστησιν ἀριδήλως αὕτη ἡ κατεξέτασις, ὡς ἡ μονὴ τῆς Μακρινιτίσσης πατριαρχικὴ καὶ ὁ Δημητριάδος ἀμετόχως ὑπὲρ αὐτῆς διενίστατο, ναὶ μὴν καὶ ὁ Δημητριάδος ἐπισκοπεύσας μετὰ τὸν Βλαττῆν Νεόφυτος δήλωσιν ἔγγραφον ἐξέθετο καὶ αὐτὸς, καὶ ὅπως ὁ Δημητριάδος οὐ μετέχει εἰς τὴν μονὴν ταύτην τῆς Μακρινιτίσσης, διασαφεῖ ἀναφανδὸν, πατριαρχικὴν εἶναι ταύτην ὁμολογῶν, καὶ ἔξεστι τῷ βουλομένῳ καθ' ἕκαστα τῶν δικαιωμάτων ἀναλέγεσθαι καὶ τὴν τούτων ἀναγνωρίζειν δύναμιν καὶ γνωρίζειν, ὅπως ἡ μονὴ πατριαρχικὴ καὶ οὐδεμίαν μετοχὴν ὁ Δημητριάδος ἐν αὐτῇ κέκτηται, οὐ μόνον δὲ ἐν αὐτῇ, ἀλλ' οὔτε ἐν τῷ παραλαυρίῳ αὐτῆς τῷ ἐπ' ὀνόματι τοῦ ὁσίου Ὀνουφρίου· ὅτι γὰρ καὶ ὁ ὅσιος Ὀνούφριος πατριαρχικὸν, τὸ γράμμα διατρανοῖ τοῦ τῷ τότε καιρῷ τὰ πατριαρχικὰ ἐκεῖσε διέποντος δίκαια Ἰωάννου διακόνου τοῦ Ἀττικοῦ τὸ διά τινα τοῦ Δημητριάδος παρενόχλησιν γεγονὸς, καὶ ἐμφέρεται περὶ τούτου καὶ ἐν τοῖς διειλημμένοις πατριαρχικοῖς ὑπομνήμασι καὶ ἁπλῶς, ὅτι πατριαρχικὰ καὶ τὸ τῆς Μακρινιτίσσης μοναστήριον καὶ τὸ τούτου μετόχιον, ὁ ὅσιος Ὀνούφριος, οὐδεμία ἀμφιβολία, ἀλλὰ φανερὸν καὶ ὁμολογούμενον· ὅμως δ' οὖν καὶ οὕτως ἀναμφιβόλου καὶ πολλοῖς ἐν δικαιώμασι βεβαίου τοῦ πράγματος, οὐδ' αὖθις μὴ καὶ πλεῖον ἐνστηρίξαι τὰ τῆς μονῆς καὶ τοῦ παραλαυρίου αὐτῆς τούτου, οὔκουν οὐδ' ὁπωσοῦν διανεβάλετο ὁ ὑπὲρ τούτων διάπυρον φίλτρον τρέφων, ὁ καὶ ψυχὴν οὐχ ἧττον ἢ κατὰ σῶμα, εἰ μὴ καὶ μᾶλλον εὐγενέστατος ὁ Κομνηνὸς κῦρ Νικόλαος ὁ Μαλιασηνὸς, τὸ τῆς ἡμῶν μετριότητος ἀγαπητὸν τέκνον· οὗτος γὰρ ἐπαινετὸν ζῆλον ἀναλαβὼν τοῦ πατρὸς αὐτοῦ, τοῦ μακαρίτου ἐκείνου Κομνηνοῦ κυροῦ Κωνσταντίνου τοῦ Μαλιασηνοῦ, ὅλῃ ψυχῇ καὶ γνώμῃ ὅλῃ πνέει ὑπὲρ τῆς μονῆς ταύτης τῆς Μακρινιτίσσης καὶ τοῦ μετοχίου αὐτῆς, σπεύδει ὑπὲρ συστάσεως αὐτῶν

καὶ ἐπιδόσεως καὶ τὸ ἀπαρενόχλητον καὶ ἀδιάσειστον τούτων ποθεῖ, καὶ πάντα πόνον ὑπὲρ τούτου ὑφίσταται, ἐπεὶ τοίγε καὶ ὁ μνημονευθεὶς τούτου πατὴρ ὁ μακαρίτης ἐκεῖνος πάμπολλα ἔκαμε, πάμπολλα κεκοπίακεν ὑπὲρ τοῦ τὴν μονὴν καταστῆσαι, ἁπλῶς φάναι, εἰς ὅ ἐστιν, ἀλλ' ἐξὸν τοῦτο γνωσθῆναι ἐν τοῖς πατριαρχικοῖς ἐμφερόμενον ὑπομνήμασιν· οὗτος δ' οὖν ὁ ἐν ἔργοις θεαρέστου πατρὸς θεάρεστος υἱὸς ὁ θεάρεστα καὶ βουλευόμενος καὶ διαπραττόμενος καὶ σπεύδων μὴ ἀπολεῖψαι τῆς πατρικῆς σπουδῆς ἐν τοῖς θεῷ διαφέρουσι, ποῖα τὴν ἡμῶν οὐ παρεκλήτευσε μετριότητα, πόσα οὐ καθικέτευσεν οὐ περὶ τοῦ ἐπορεχθῆναι μόνον τῇ μονῇ ταύτῃ καὶ ἡμεπαδὸν ὑπόμνημα, ἀλλὰ καὶ περὶ τῆς τοῦ ἡγουμένου ἐκλογῆς καὶ τάξεως πολὺν παρεξέτεινε τὸν ἱκέσιον μετὰ θερμῆς καὶ ζεούσης ὁρμῆς ἠντιβόλει, ἐξελιπάρῃ πέρας τῆς ἱκεσίας ἰδεῖν. ἀλλ' οὗτος μὲν τοιαῦτα τὴν εἰς θεὸν ἀγάπην δεικνὺς τὴν αὐτοῦ, ἡ δὲ μετριότης ἡμῶν τῆς ἀγαθῆς προθέσεως ἀποδεξαμένη τὸν ἄνδρα καὶ τὴν αὐτοῦ θεάρεστον ἱκεσίαν πληροῦσα, τὸ παρὸν τῆς καθολικῆς ἐλευθερίας ἐκτίθησιν ὑπόμνημα, δι' οὗ καὶ ἐν ἁγίῳ πνεύματι διορίζεται παντάπασιν ἐλευθέραν εἶναι τήν τε ῥηθεῖσαν τῆς Μακρινιτίσσης μονὴν, καὶ τὸ ταύτης μετόχιον τὸν ἅγιον Ὀνούφριον ὡς πατριαρχικὰ καὶ ὄντα καὶ ἐς ἀεὶ ἐσόμενά τε καὶ ὀνομασθησόμενα κατὰ τὰ προσόντα αὐτοῖς δικαιώματα καὶ τὰ πατριαρχικὰ ὑπομνήματα τῶν πρὸ ἡμῶν ἁγιωτάτων πατριαρχῶν. οὐδεὶς οὖν τῶν ἁπάντων εἴτε ἐκκλησιαστικὸς ἢ δημοσιακὸς ἢ συγκλητικὸς ἢ ἰδιωτικὸν πρόσωπον τολμήσει πώποτε δίκαιόν τι ἀνακαλέσασθαι ἐν αὐτοῖς, ἀλλ' οὐδὲ αὐτὸς ὁ κατὰ καιροὺς Δημητριάδος ἐπίσκοπος λόγον ἕξει ἢ δικαιολογίαν τινὰ εἰς τὴν ῥηθεῖσαν μονὴν ἢ εἰς τὸν ἅγιον Ὀνούφριον· ἰδικωτέρῳ καὶ γὰρ λόγῳ ἀποπέμπεται ἡ μετριότης ἡμῶν τοῦτον, ὡς αὐτόν ποτε τῶν ὀχλήσεων αἴτιον τῇ μονῇ. ταῦτα οὕτω διορίζεται ἡ μετριότης ἡμῶν καὶ ἀπαράβατα διατηρεῖσθαι βουλομένη εἰς διηνέκειαν, ἀφορισμὸν ἐπισείει τὸν ἀπὸ τῆς ζωαρχικῆς τριάδος κατὰ τῶν ἀθετησόντων τι τῶν διωρισμένων, ἀλλ' ὅτι μὲν ἁλίσκονται τῷ ἀφορισμῷ οἱ ἀθετῆσαί τι τῶν ἐντεταλμένων πειραθησόμενοι ἴστωσαν τοῦτο αὐτοί. ἡ δὲ μετριότης ἡμῶν καὶ περὶ τῆς τάξεως καὶ ἐκλογῆς τοῦ ἐν τῇ μονῇ τῆς Μακρινιτίσσης προεστῶτος ταῦτα διατυποῖ· ὁπόταν ἡγούμενος τὸ χρεὼν λειτουργήσας πρὸς κύριον ἐκδημήσῃ, γινέσθω ἐκλογὴ προεστῶτος ὑπὸ πάντων τῶν

ἀδελφῶν μετ' εἰδήσεως καὶ τοῦ θεοφιλοῦς ἀνδρὸς τούτου, τοῦ εὐγενεστάτου Κομνηνοῦ, κυροῦ Νικολάου Μαλιασηνοῦ, τοῦ πλεῖστον ὅσον πνευματικὸν κεκτημένου ἔρωτα πρὸς τὴν μονὴν ταύτην καὶ τὰ αὐτῇ διαφέροντα· οὕτω γὰρ βούλεται ἡ μετριότης ἡμῶν, ἵνα καὶ μετ' αὐτοῦ γίνηται ἡ τοῦ ἡγουμένου ἐκλογή· εἰς αὐτὸν γὰρ καὶ εἰς τοὺς ἀδελφοὺς ἅπαντας τοὺς ἐν τῇ μονῇ ἀνατίθησι τὰ τῆς ἐκλογῆς τοῦ ἡγουμένου ἡ μετριότης ἡμῶν, καὶ χωρὶς εἰδήσεως καὶ ἀρεσκείας καὶ τούτου οὐ θέλομεν γίνεσθαι τὴν ἐκλογήν, ἀλλ' οἱ μοναχοὶ πάντες καὶ ὁ Κομνηνὸς οὗτος ποιείτωσαν τὴν ἐκλογήν, ὃν δ' ἂν κοινῶς ἀρεσθέντες ἐκλέξωνται, εἰ μὲν τύχῃ ἐν τοῖς ἐκεῖσε διάγων ὁ τῶν πατριαρχικῶν δικαίων ἔξαρχος, σφραγιζέτω αὐτὸν προεστῶτα κατὰ τὸ ἀνέκαθεν ἐκκλησιαστικὸν ἔθος εἰ δ' οὐ τύχῃ τότε εἶναι τὸν πατριαρχικὸν ἔξαρχον ἐν τοῖς ἐκεῖσε μέρεσι, ὁ ἐκλεγεὶς εἰς προστασίαν παρὰ τῶν μοναχῶν πάντων καὶ τοῦ Κομνηνοῦ τούτου, ὡς διατετύπωται, ἐπικρατείτω αὐτὸς οὕτως πάντα τὰ τῆς μονῆς καὶ τὴν μονὴν καὶ διεξαγέτω πάντα ὡς προεστὼς μέχρι καιροῦ τῆς ἐνδημίας τοῦ πατριαρχικοῦ ἐξάρχου, οὕτως ὡς ἔμελλε διεξάγειν ταῦτα καὶ σφραγισθείς, ἀλλ' ὅτε ἐδημήσει ὁ ἔξαρχος, σφραγιζέσθω παρὰ τοῦ ἐξάρχου· ἁπλῶς γὰρ ὑπ' οὐδενὸς ἑτέρου σφραγισθήσεται ὁ τῆς Μακρινιτίσσης ἡγούμενος, εἰ μὴ παρὰ τῆς ἡμῶν μετριότητος ἢ μὴν τοῦ ἐξάρχου αὐτῆς. ἀνηνέχθη δὲ καὶ περὶ τοῦ καταταχθῆναι εἰς παραλαύριον τῆς Μακρινιτίσσης τὴν κατὰ τὴν ἐνορίαν τῆς ἁγιωτάτης ἐπισκοπῆς Βελεστίνου διακειμένην μονὴν τῆς πανάγνου θεοτόκου τὴν ἐπὶ σταυροπηγίῳ μὲν ταύτης τῆς ἐπισκοπῆς Βελεστίνου δεδομημένην, τοῦ κυροῦ Ἱλαρίωνος δὲ λεγομένην. ἐπεὶ τοίνυν τοῖς ἔχουσιν αὐτὴν θελητόν ἐστι μετόχιον ὑποθεῖναι αὐτὴν εἰς τὴν μονὴν τῆς Μακρινιτίσσης, διορίζεται καὶ τοῦτο ἡ μετριότης ἡμῶν οὕτω γενέσθαι καὶ καταταχθῆναι ταύτην τὴν μονὴν τοῦ κῦρ Ἱλαρίωνος μετόχιον τῆς Μακρινιτίσσης· κανονικὸν γὰρ καὶ τοῦτο καὶ δίκαιον, πλὴν ὁ ἐπίσκοπος, οὗ ἐπὶ σταυροπηγίῳ ἡ μονή, ἐχέτω ἐν αὐτῇ τὴν ἀναφορὰν αὐτοῦ καὶ τὸ ὀφειλόμενον αὐτῷ κανονικόν. ἐφ' ἅπασιν οὖν τούτοις ἐγεγόνει τῇ διειλημμένῃ μονῇ τῆς Μακρινιτίσσης καὶ πᾶσι τοῖς αὐτῇ διαφέρουσι τὸ παρὸν ὑπόμνημα τῆς ἡμῶν μετριότητος εἰς διηνεκῆ ἀσφάλειαν κατὰ μῆνα ὀκτώβριον τῆς πέντε καὶ δεκάτης ἐπινεμήσεως τοῦ ἑξακισχιλιοστοῦ ἑπτα-

κοσιοστοῦ ἑξηκοστοῦ πέμπτου ἔτους, ἐν ᾧ καὶ τῇ αὐτοχείρῳ ὑπογραφῇ ὑποσημηναμένη ἡ μετριότης ἡμῶν καὶ τὴν συνήθη βούλλαν κάτωθεν ἀπῃώρησεν.

Pasini, p. 333.

X. 6780—1272, mense iulio, ind. XV.

Patriarcha Iosephus confirmat auream bullam imperatoris Michaël Palaeologi de possessionibus monasterii Macrinitissae.

Ὑπόμνημα τοῦ πατριάρχου κυροῦ Ἰωσὴφ τὸ α'.

Μεγαλογενοῦς δ' ἄρα ψυχῆς, μᾶλλον τῶν ἄλλων μεγαλεπήβολον νόημα καὶ τὸ μεμνῆσθαι τῆς διαμονῆς τῶν μενόντων καλῶν τῶν τε κυρίως τὸ μόνιμον εἰληχότων καὶ οἷς ἐνταῦθα τὸ ἀΐδιον κατωνόμασται καταχρηστικῶς μετασχοῦσι μὲν ἐκεῖθεν ἐκ τῶν αἰωνίων τῆς κλήσεως, προξενοῦσι δ' ἐντεῦθεν ἐκ τῶν ἐπικήρων τοῖς ἐφιεμένοις τῆς ἀγαθοῦ ἀπολαύσεως· διὰ γὰρ τῆς ἐργασίας τῶν παρόντων κατὰ θεὸν χρηστῶν τῆς μετουσίας τῶν αἰωνίων ἀγαθῶν ἀπολαύομεν, οἷς ὅτι καὶ Ὠσηέ· σώσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν ἐπροφήτευσε, καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ οὐδὲ ἐν ῥομφαίᾳ, οὐδὲ ἐν ἅρμασιν. ἐπεὶ γοῦν καὶ τόδε τὸ κάλλιστον καὶ κατ' ἄμφω τρισευγενὲς γένος φημί, τὸ κάλλιστον ζεῦγος, ὅ τε περιπόθητος γαμβρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἀγαπητὸς κατὰ κύριον υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Νικόλαος Κομνηνὸς Μαλιασηνὸς ὁ Ἄγγελος, καὶ ἡ σύζυγος τούτου, περιπόθητος ἀνεψιὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν ἁγίῳ πνεύματι γνησιωτάτη θυγάτηρ τῆς ἡμῶν μετριότητος, κυρὰ Ἄννα Κομνηνὴ Δούκαινα Παλαιολογίνα ἡ Μαλιασηνή, μεμνημένοι τῆς μακαρίας τῶν μενόντων ἀγαθῶν κληρουχίας κὰκ τῆς ἐνεργείας κὰκ τῆς ἐπιμονῆς τῶν κατὰ κόσμον χρηστῶν ἔργων αὐτῶν κερδῆσαι τὰ τοῖς ἀθανάτοις χρηστὰ ἐπισπεύδουσι κἀντεῦθεν θεῖον χρυσόβουλλον λόγον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καθικέτευσαν παρασχεθῆναι τούτοις τῇ γονικόθεν καὶ ὡς κτήτορσι προσούσῃ τούτοις σεβασμίᾳ πατριαρχικῇ μονῇ τῆς Μακρινιτίσσης, ἐπ' ὀνόματι μὲν τιμωμένης τῆς ὑπεράγνου μου θεομήτορος, ᾗ τὸ ἐπώνυμον ἡ Ὀξεῖα Ἐπίσκεψις, κατὰ δὲ τὴν Δημητριάδα καὶ τὸ ὄρος τοῦ Δρόγγου διακειμένης, ἵν' εἶεν τὰ προσόντα τῇ τοι-

αὐτῇ πατριαρχικῇ μονῇ κτήματα, μετόχιά τε καὶ αὐτούργια, ἔτι δὲ χωρία καὶ λοιπὰ παντοῖα δίκαιά τε καὶ προνόμια πάντα παντελῶς μόνιμα, ἀδιάσειστα, ἀναφαίρετα, πάσης καὶ παντοίας ἐνοχλήσεως καὶ οἱασδήτινος διασιίξεως δημοσιακῆς ἀνώτερα πάντη καὶ ἐλεύθερα, ἐπεὶ ταῦθ' οὕτω καὶ οὕτω τὰ τοιαῦτα γεγόνασι διὰ θείου βασιλικοῦ χρυσοβούλλου λόγου πάντη ἀνενόχλητα καὶ ἀδιάσειστα, ἀτάραχά τε, ἀπερικλόνητα καὶ ἀνεπηρέαστα, δι' ἃ δῆτα καὶ ὑπομνήματος ἀκολούθως τυχεῖν ἐδεήθησαν τῆς ἡμῶν μετριότητος. ἡ μετριότης ἡμῶν, προσηκαμένη τὴν αἴτησιν ταύτης τῆς κατὰ θεὸν καλλίστης τρισευγενοῦς συζυγίας καὶ τοῦ θεαρέστου σκοποῦ ταύτην ὑπεραποδεξαμένη καὶ εὐλογήσασα, τὸ παρὸν ὑπόμνημα ἐγχαράττει, δι' οὗ δῆτα καὶ ἡ μετριότης ἡμῶν ἐν ἁγίῳ παρακελεύεται πνεύματι τῇ δοθείσῃ ταύτῃ παρὰ τοῦ παναγίου πνεύματος ἐξουσίᾳ καὶ χάριτι, συνῳδὰ τῷ προβάντι σεπτῷ βασιλικῷ χρυσοβούλλῳ λόγῳ, διατηρεῖσθαι καὶ διαφυλάττεσθαι παντελῶς τὰ εἰρημένα ἤδη κτήματα, μετόχιά τε καὶ αὐτούργια, ἔτι δὲ χωρία καὶ λοιπὰ παντοῖα δίκαιά τε καὶ προνόμια τῆς ῥηθείσης σεβασμίας πατριαρχικῆς μονῆς τῆς Μακρινιτίσσης, ἥτις γονικόθεν πρόσεστι τοῖς διαληφθεῖσιν εὐγενεστάτοις, τῷ τε περιποθήτῳ γαμβρῷ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἀγαπητῷ κατὰ κύριον υἱῷ τῆς ἡμῶν μετριότητος κυρῷ Νικολάῳ Κομνηνῷ Μαλιασηνῷ τῷ Ἀγγέλῳ, καὶ τῇ συζύγῳ αὐτοῦ, γνησιωτάτῃ κατὰ κύριον θυγατρὶ τῆς ἡμῶν μετριότητος, κυρᾷ Ἄννῃ Κομνηνῇ Δουκαίνῃ Παλαιολογίνῃ τῇ Μαλιασηνῇ, καὶ ὡς κτήτορσι αὐτοῖς ἀναφανεῖσι διαφέρει γνησίως, ἃ δὴ ταύτης τῆς μονῆς κτήματα καὶ λοιπὰ προνόμιά τε καὶ δίκαια ἔχουσιν οὕτως· πάντα τὰ ἐν τῇ χώρᾳ τῆς Δημητριάδος καὶ τῆς Δρυανουβαίνης προσόντα δίκαια καὶ προνόμια τῇ τοιαύτῃ μονῇ πατριαρχικῇ τῆς Μακρινιτίσσης διά τε ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς καὶ πεδινῆς, μυλικῶν ἐργαστηρίων καὶ τῶν προσκαθημένων ἐν αὐτοῖς ἀνθρώπων, πρὸς δὲ συνηρίθμηται τούτοις καὶ ὁ ἅγιος Ὀνούφριος μετόχιον τῇ τοιαύτῃ πατριαρχικῇ μονῇ λογιζόμενον, πρόσεστι ταύτῃ καὶ ἡ ἄνετος ἀρόσιμος γῆ ἡ ἐγχωρίῳ γλώσσῃ Καλίτζας ὀνομαζομένη· συνάπτεται ταύτῃ καὶ τὸ χωρίον ἡ Κρουποῦς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων καὶ τῶν δύο μονοξύλων αὐτοῦ καὶ τῶν ἁλιέων, χωραφίων, ἀμπελίων καὶ τῆς νεμομένης παρὰ τῆς τοιαύτης μονῆς γῆς ὀρεινῆς καὶ πεδινῆς ἕως τῆς Ἀειδαροράχης.

οὐκ ἐκτὸς τῆς συντάξεως τούτων ἐστὶ καὶ τῇ ἐποίκῳ διαλέκτῳ τοιουτοτρόπως ἡ Κάπραινα λεγομένη μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ πάσης τῆς περιοχῆς αὐτοῦ καὶ διακρατήσεως. συνηρίθμηται τοῖς λοιποῖς μετοχίοις τῆς διαληφθείσης πατριαρχικῆς μονῆς τῆς Μακρινιτίσσης καὶ ὁ ἅγιος Δημήτριος τὸ πλησίον διακείμενον τῆς Μεγάλης μετὰ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων καὶ γῆς ἀροσίμου πάσης αὐτοῦ. πρὸς τούτοις καὶ τὸ μετόχιον τὸ τοῦ κὺρ Ἱλαρίωνος κεκλημένον καὶ ἐν τῇ χώρᾳ τοῦ Ἁλμυροῦ διακείμενον μετὰ τῶν ἀμπελώνων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων καὶ μυλικῶν ἐργαστηρίων. ἔτι τὰ περιελθόντα τῇ τοιαύτῃ μονῇ ἐξ ἀγορασίας ἀμπέλια ἐν τῷ τόπῳ τοῦ Μορίβορι. τὰ ἀπὸ προσενέξεως τινῶν φιλοχρίστων ἀνδρῶν περιελθόντα τῇ τοιαύτῃ μονῇ ἀμπέλια ἐν τῷ τοιούτῳ τόπῳ τοῦ Ἁλμυροῦ. οὐ διίσταται τῇ καταριθμήσει τούτων καὶ τὸ ἐν τῷ ὄρει τῆς Ζαγορᾶς διακείμενον ἀγρίδιον τῆς Κορακαλῆς μετὰ τῶν ἐκεῖσε προσκαθημένων ἀνθρώπων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, μᾶλλον δὲ καὶ τὸ ἐπιλεγόμενον ἡ Ῥάσουσα ὡς μετόχιον τῇ τοιαύτῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τῆς Μακρινιτίσσης ὑπόκειται. πρὸς τούτοις ἅπασι· καὶ ἡ ἀπερριμένη ἐκεῖσε μονὴ τοῦ τιμίου Προδρόμου. πάντα δὴ τὰ τοιαῦτα κτήματα καὶ μετόχια, προνόμιά τε καὶ δίκαια ἀναφαίρετα καὶ ἀναπόσπαστα παντελῶς ἕξει ἡ πολλάκις ἐγχαραχθεῖσα πατριαρχικὴ μονὴ τῆς Μακρινιτίσσης ἀδιάσειστά τε, ἀπερικλόνητα, ἀτάραχά τε καὶ ἀνεπηρέαστα, ἐφ' ᾧ καὶ πάντες οἱ ἐν τῇ τοιαύτῃ χώρᾳ κατὰ καιροὺς κεφαλατικεύοντες, οἱ τὴν δουκικὴν ἀνεζωσμένοι ἀρχήν, οἷς τε ὁ ἀπογραφικὸς ἐγκεχείρισται κάλαμος, καὶ πάντες ἄλλοι κοσμικοὶ διενεργηταὶ καὶ συζητηταί, κἂν οἱασδήτινος τύχης καὶ ἀξιώματος εἴησαν, ὀφείλουσι διατηρῆσαι καὶ διαφυλάξαι τὰ διαληφθέντα κτήματα, χωρία τε καὶ μετόχια πάντα καὶ λοιπὰ δίκαια καὶ προνόμια τῆς λεχθείσης σεβασμίας πατριαρχικῆς μονῆς τῆς Μακρινιτίσσης, τουτέστιν τὰ ἐν τῇ χώρᾳ Δημητριάδος καὶ Δρυανουβαίνης προσόντα δίκαια καὶ προνόμια ταύτῃ διά τε ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς καὶ πεδινῆς, μυλικῶν ἐργαστηρίων καὶ τῶν προσκαθημένων ἐν αὐτοῖς ἀνθρώπων, ὁ ἅγιος Ὀνούφριος, ἡ τῆς Κορακαλίτζας ἐπονομαζομένη ἄνετος ἀρόσιμος γῆ, χωρίον ἡ Κρυποὺς μετὰ πάντων τῶν δικαίων καὶ προνομίων, τῶν δύο μονοξύλων αὐτοῦ καὶ τῶν

ἀλιέων, ἀμπελώνων καὶ τῆς νεμομένης παρὰ τῆς τοιαύτης μονῆς γῆς ὀρεινῆς καὶ πεδινῆς ἕως τῆς Ἀειδαροράχης, χωρίον ἡ Κάπραινα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ πάσης τῆς περιοχῆς αὐτοῦ καὶ διακρατήσεως, μετόχιον ὁ ἅγιος Δημήτριος τὸ διακείμενον πλησίον τῆς Μεγάλης μετὰ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων καὶ ἀροσίμου πάσης γῆς αὐτοῦ, μετόχιον τὸ ἐπονομαζόμενον κῦρ Ἱλαρίωνος τὸ διακείμενον ἐν τῇ χώρᾳ τοῦ Ἁλμυροῦ μετὰ τῶν ἀμπελώνων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ καὶ τῶν προσκαθημένων ἐν αὐτῷ ἀνθρώπων καὶ μολιχῶν ἐργαστηρίων, τὰ περιελθόντα τῇ τοιαύτῃ μονῇ ἐξ ἀγορασίας ἀμπέλια ἐν τῷ τόπῳ τοῦ Μορίβορι, τὰ ἀπὸ προσενέξεως τινῶν φιλοχρίστων ἀνδρῶν περιελθόντα τῇ τοιαύτῃ μονῇ ἀμπέλια ἐν τῷ τοιούτῳ τόπῳ τοῦ Ἁλμυροῦ, τὸ ἐν τῷ ὄρει τῆς Ζαγορᾶς διακείμενον ἀγρίδιον τῆς Κορακαλῆς μετὰ τῶν ἐκεῖσε προσκαθημένων ἀνθρώπων καὶ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, μετόχιον τὸ ἐπιλεγόμενον ἡ Ῥάσουσα, πρὸς τούτοις καὶ ἡ ἐκεῖσε ἀπερριμένη μονὴ τοῦ τιμίου Προδρόμου. ταῦτα δὴ πάντα πάντη καὶ παντελῶς ἀδιάσειστα, ἀνεπηρέαστα, ἀκαταζήτητα καὶ παντοίας ἐξκουσσείας ἀμέτοχα καὶ ἐλεύθερα, εἰ μὴ βούλεται ὁ κατά τι διασείσων τὴν διαλαμβανομένην πατριαρχικὴν μονὴν τῆς Μακρινιτίσσης ἢ ἐνοχλήσων τοῖς ὑπ' αὐτὴν καὶ περὶ αὐτὴν πᾶσι καὶ πανταχοῦ δικαίοις καὶ προνομίοις αὐτῆς καὶ ὅλως τολμήσων ἐπιχειρῆσαι πρὸς ἀνατροπὴν ἢ ἀθέτησιν οἱανδήτινα τῶν τεθεσπισμένων ἐν τῷ θείῳ χρυσοβούλλῳ λόγῳ τοῦ κρατίστου καὶ θεοστεφοῦς ἁγίου μου αὐτοκράτορος ἢ τῶν πρὸς τῆς ἡμῶν μετριότητος ἐν τῷδε τῷ ὑπομνήματι γραφέντων καὶ κυρωθέντων, οὐ μίαν ὁ τοιοῦτος ὑποίσεται καταδίκην καὶ κόλασιν, ἀλλὰ πολλαπλῆν, ὡς πολλαπλῶς ἁμαρτῆσαι φιλονεικήσας καὶ ἀνόσια πλημμελήματα σπεύσας ἐργάσασθαι, καὶ πρῶτα μὲν πειραθήσεται καταδίκης τῆς παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων συνοδικῶς πολλάκις ἐκφωνηθείσης ἐπιτιμήσεως τοῦ φρικώδους ἀφορισμοῦ, ὡς τὰ τῷ θεῷ διὰ τῆσδε τῆς μονῆς προσαχθέντα καὶ προσκυρωθέντα θεοφιλῶς ὁ τοιοῦτος ἀθεμίτως πειρώμενος ἀποσπάσαι καὶ τὰ τοῖς ἱεροῖς ἀνατεθειμένα κοινῶσαι φιλονεικῶν, δευτέρως δὲ δικαίας βασιλικῆς ἐπεξελεύσεως καὶ κιδεύσεως ἀγανάκτησιν καὶ ὀργὴν ἑαυτῷ προξενήσει ὡς τῶν θείων βασιλικῶν χρυσοβούλλων λόγων ἀθετητής, καὶ τρίτον τὰς παρὰ τῆς

ἡμῶν μετριότητος ἀρὰς ἐπισκάσεται ὡς τῶν ἡμετέρων παρεγγυήσεων καταφρονητής, καὶ τελευταῖον πάντων, ὃ καὶ πρῶτον ὡς μέγιστον ὅλων, τὸν παντοδύναμον κύριον φοβερῶς ἐπεντρανίσει διανιστάμενον καὶ διεκδικοῦντα τὰς ἐκ παραβασίας ἐκηρτημένας δίκας αὐτοῖς, ὅπερ ἵνα μὴ γένοιτό τινι τῶν Χριστιανῶν πώποτε. ἀπεύχεται γὰρ τοῦτο παντάπασι ἡ μετριότης ἡμῶν. ὀφείλουσιν ἅπαντες διατηρῆσαι τὰ [γεγραμμένα πάντα] . . . .
τὸν θεὸν πλουτοῦντες ἵλεως ἐπ' αὐτοῖς ἐπιβλέποντα, τὰς τῶν ἁγίων πατέρων φρικώδεις ἐπιτιμήσεις ἐκφεύγοντες τοῦ ἀφορισμοῦ καὶ τὰς εὐχὰς καὶ τὰς εὐλογίας κερδαίνοντες τῆς ἡμῶν μετριότητος, ἥτις καὶ τὸ παρὸν ὑπόμνημα ταύτης συνῳδὰ τῷ προβάντι σεπτῷ βασιλικῷ χρυσοβούλλῳ λόγῳ ἐπώρεξε δι' ἀσφάλειαν καὶ βεβαίωσιν. ἀπολυθὲν κατὰ μῆνα Ἰούλιον τῆς πεντεκαιδεκάτης ἰνδ. τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ἔτους.

XI. Sine anno, mense decembri.

Patriarcha Iosephus tuetur iura monasterii Novae Petrae.

Σιγίλλιον τοῦ αὐτοῦ πατριάρχου κυροῦ Ἰωσήφ.

Τὸ διάφορον τῶν ὑποθέσεων διαφόρους παρασκευάζει καὶ τὰς γραφάς, πλὴν οὐ παρ' ἄλλου τε καὶ ἄλλου παρέχονται, παρὰ δὲ τοῦ αὐτοῦ, εἴθ' ὅτι τῷ χρόνῳ διαρκέσας ἤρκεσε καὶ τοσαύτας τούτῳ ἐξενεγκεῖν, εἴθ' ὅτι καὶ περὶ τὸν ἄνδρα φιλοτιμότερος φαινόμενος πλείστας προσήγαγεν αὐτῷ τὰς λύσεις τῶν ζητημάτων, ὅπερ ἂν πάντως διετελέσθη καὶ ἐν ὀλίγῳ χρόνῳ τὸν τρόπον τοῦτον. τὸ γοῦν παρὸν γράμμα διαλαμβάνει περὶ τῆς μονῆς, ἣν ἀνήγειρεν εἰς ὄνομα τοῦ τιμίου προφήτου καὶ προδρόμου τῆς Νέας Πέτρας ὁ τοιοῦτος περιπόθητος ἀνεψιὸς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Κομνηνὸς κῦρ Ἰωάσαφ ὁ Μαλιασηνὸς καὶ ἡ περιπόθητος ἀνεψιὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Κομνηνὴ κυρὰ Ἄνθουσα Παλαιολογίνα ἡ Μαλιασηνή, ἡ ποτὲ μὲν τούτου σύζυγος, ὁπηνίκα κατὰ κόσμον ἦσαν διάγοντες καὶ τὸν γάμον προσεπαινοῦντες, νῦν δὲ καὶ ἀδελφὴ τούτου κατὰ Χριστὸν χρηματίζουσα, ἡνίκα τὸν μοναδικὸν ἀμφότεροι κατησπάσαντο βίον, νυμφευθέντες τῷ καθαρῷ νυμφίῳ Χριστῷ, καὶ διαλαμβάνει περὶ ταύτης, ὡς

περὶ γυναικείας μονῆς, ὅπερ ἀληθὲς ὂν πρότερον νῦν ἑτέρως ἔχον εὑρίσκεται. ἀνδρῷα γὰρ ἄρτι καθίσταται μεταμειφθεῖσα τῇ θελήσει τῶν κτητόρων αὐτῶν, ὃ δῆτα καὶ ἐπιβεβαιοῖ καὶ μένειν οὕτω θεσπίζει καὶ εἰς τὸ ἑξῆς τὸ γεγονὸς αὐτῷ χρυσόβουλλον τοῦ θειοτάτου βασιλέως τῶν ἄλλων ἀπολυθὲν ὕστερον. Conditor codicis haec addiderat.

Παραινοῦμεν ἅπασι τοῖς τῷ παρόντι ἡμῶν σιγιλλίῳ ἐντυγχάνουσιν, ἄρχουσι πολιτικοῖς καὶ ἐκκλησιαστικοῖς προσώποις, μηδένα τῶν ἁπάντων καινοτομίαν ἢ βλάβην ἢ τὴν τυχοῦσαν ἐπήρειαν ἐπενεγκεῖν τῷ ἐν τῷ ὄρει τῆς Δρυανουβαίνης ἐν τόπῳ τῷ καλουμένῳ τοῦ Ἀρχοντίτζη ἔγγιστα τοῦ μικροῦ Πλιασίου καὶ τῆς Φερρᾶς ἐκ βάθρων ἀνεγερθησομένῳ θείῳ σηκῷ ἐπ' ὀνόματι τοῦ τιμίου προφήτου προ[δρόμου] . . . . [1]) γαμβροῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Κομνηνοῦ Δούκα Ἀγγέλου, κυροῦ Νικολάου τοῦ Μαλιασηνοῦ, καὶ τῆς εὐγενεστάτης συμβίου αὐτοῦ Κομνηνῆς Δουκαίνης κυρᾶς Ἄννης τῆς Παλαιολογίνης ἢ ταῖς μελλούσαις προσκαθῆσθαι ἐν αὐτῷ μοναχαῖς ἢ τοῖς διαδόχοις καὶ κληρονόμοις τοῦ δομήτορος χάριν εἰσπράξεως κανονικῆς ἢ τοῖς αὐτῷ διαφέρουσιν ἢ τοῖς κτήμασι τοῦ ναοῦ· χρὴ γὰρ τὸν ἐν τῇ τοιαύτῃ μονῇ ἱερουργοῦντα ἱερέα τὴν πνευματικὴν ἀκολουθίαν ἀνεμποδίστως ποιεῖσθαι καὶ μή τινας ὀχλήσεις τῶν κοσμικῶν ἐπηρειῶν δέχεσθαι, ἀλλ' ἄνετον διαφυλάττεσθαι καὶ ἀνεπηρέαστον διατηρεῖσθαι τῶν βιωτικῶν περιστάσεων ἔκ τε τῶν ἄλλων καὶ αὐτοῦ τοῦ κατὰ χώραν ἀρχιερέως μηδαμῶς ἐνοχλεῖν τοῖς πατριαρχικοῖς δικαίοις ὀφείλοντος ἢ εἰσέρχεσθαι ἐν αὐτῷ χάριν τῶν ψυχικῶν σφαλμάτων ἢ ἀνακρίνειν τὰς ἐν αὐτῷ προσκαθημένας τὸ σύνολον μοναχάς, ὡς τοῦ ναοῦ καὶ τῶν ὑπ' αὐτὸν πάντων κινητῶν καὶ ἀκινήτων ἀνακειμένων τῇ ἁγιωτάτῃ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ. ὅσοι τοίνυν τῷ ἐγγράφῳ ἡμῶν παρεγγυήσει ἐντυγχάνετε στατηγοί τε λαοῦ καὶ καθηγηταὶ θείων καὶ ἱερῶν ἐκκλησιῶν, εἴτε καὶ τὴν τῶν ἐξάρχων παρ' ἡμῶν ἀναδεδεγμένοι φροντίδα ἢ ὡς εἰκὸς ἐν ἑτέραις ἐκκλησιαστικαῖς διακονίαις ἀποστελλόμενοι τύχοιτε, εἰς ἐκπλήρωσιν ταύτης διανάστητε καὶ μηδεμίαν ἐπήρειαν κατατολμήσητε ἢ ζημίαν ἢ βλάβην ἢ καινοτομίαν ἢ ἀπαίτησιν λόγῳ συνηθειῶν ἢ κανονικοῦ ποιήσασθαι, τῇ ἐπιδείξει μόνῃ ἀρκούμενοι τοῦ παρόντος σιγιλλίου τῆς ἡμῶν μετριότητος. ἐγράφη καὶ σφαγισθὲν ἐπεδόθη μηνὶ δεκεμβρίῳ ἰνδ. . . . . . .

Reliqua desunt.

[1]) *Execissae sunt lineae tres.*

XII. 6780—1272, mense iulio, ind. XV.

Patriarcha Iosephus iterum confirmat possessiones monasterii Novae Petrae, eximens eas de tributis.

Ὑπόμνημα τοῦ αὐτοῦ τὸ β'.

Πολλοῖς τισι καὶ τούτοις πᾶσιν ἐπαινετοῖς τοῦ φιλοθέου χαρακτηριζομένου καὶ τοῦ ψυχῆς ἐπιμέλειαν ποιεῖσθαί τινα, ὃν ὁ μακάριος ἔτρωσεν ἔρως θεοῦ, διὸ καὶ μοναὶ πολλαὶ παρὰ τῷ θεῷ ἐφ' ἑκάστην αὐτῶν ἰούσης μιᾶς τινος ἀτραποῦ, καθάπερ ὡς εἰς ἀχείμαστον τὸ κατάντημα μιᾷ τινὶ τῇ τῶν φροντιστηρίων φροντίδι, καὶ ταύτῃ τῶν ἄλλων οὐχ ἧττον τὸ πρᾶγμα τοῦτο γνωρίζεσθαι πέφυκεν, ἐφ' ᾧ καὶ τοιοῦτος ἔρως φιλόθεος ἔτρωσε καὶ τὸν περιπόθητον γαμβρὸν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἀγαπητὸν ἐν ἁγίῳ πνεύματι υἱὸν τῆς ἡμῶν μετριότητος, εὐγενέστατον Κομνηνὸν κῦρ Νικόλαον Μαλιασηνὸν τὸν Ἄγγελον, καὶ τὴν τούτου σύζυγον, τὴν περιπόθητον ἀνεψιὰν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, γνησιωτάτην ἐν ἁγίῳ πνεύματι θυγατέρα τῆς ἡμῶν μετριότητος, εὐγενεστάτην Κομνηνὴν κυρὰν Ἄνναν Δούκαιναν Παλαιολογίναν τὴν Μαλιασηνήν, διὸ καὶ μετὰ τοῦ θείου Δαυὶδ ἀγαπητὰ τὰ σκηνώματα κυρίου τιθέμενοι καὶ μακαρίους τοὺς ἐν αὐτοῖς κατοικοῦντας περὶ σεμνείων δομήσεις ἠσχόληνται καὶ γίνεται τὸν τρόπον τοῦτον τῇ χρηστῇ ταύτῃ συζυγίᾳ πᾶς ὁ χρόνος τῆς βιοτῆς ψυχῆς ἐπιμέλεια καὶ τὸν παρ' εὐαγγελίοις ἐκεῖνον ζηλώσαντες φρόνιμον, ὃς ἐπὶ τῷ στερρῷ τῆς πέτρας τὴν οἰκίαν ἐπήξατο μένειν ἀνάλωτον, ταύτην διανοούμενος καταιγίσί τε καὶ ὑετοῖς καὶ τοῖς ποταμοῖς, ὁπηνίκα τούτοις αἱ χαράδραι καὶ οἱ χειμῶνες παρεῖχον τὸ μαίνεσθαι καὶ παρασύρειν πάσας γεφύρας καὶ ἀλωὰς κατακλύζειν, ἐπὶ τὸ ἀρραγὲς τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τὰς βάσεις τῶν τοιούτων μοναστηρίων τίθενται, τὸ μονιμώτερον τούτοις διανοούμενοι καὶ τοῖς πατριαρχικοῖς κόλποις φέροντες ἐντιθέασιν, ὅπερ ἐδείμαντο μοναστήριον, καὶ ὑπομνήμασιν αὐτὸ περιφράττουσι. δεδόμηται δὲ τοῦτο τὸ πατριαρχικὸν μοναστήριον ἐν τῷ ὄρει τῆς Δρυανουβαίνης περί τινα τόπον τοῦ Ἀρχοντίτζη καλούμενον ἐπ' ὀνόματι τοῦ τιμίου καὶ ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῆς Νέας Πέτρας τῇ μονῇ ἡ ἐπίκλησις. προσέρχονται καὶ γὰρ τῇ ἡμῶν μετριότητι

καὶ ὑπόμνημα ἐξαιτοῦνται, τὸ αὐτοκρατὲς καὶ αὐτοδέσποτον καὶ πάντη ἀνεπηρέαστον καὶ ἐλεύθερον ταύτῃ περιποιούμενον ἐκ τῶν ἔμπροσθεν δρασσόμενοι τοῦ καιροῦ, ὡς ἂν μὴ παρῳχηκότος ὁ μετάμελος ἐλεύσεταί ποτε ὕστερόν, διὸ καὶ προσέδραμον τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ ταύτῃ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ τὸ παρὸν ὑπόμνημα ἐξῃτήσαντο, γενναιότερον ἀντιπαλαμώμενοι τῇ τοῦ χρόνου κακοσχόλῳ ῥοπῇ. τί γοῦν ἐπὶ τούτοις ἡ μετριότης ἡμῶν; ὑπεραποδέχεται τούτους τοῦ εἰρημένου σκοποῦ καὶ τῆς χρηστῆς προαιρέσεως καὶ τέλει δίδωσιν, ἅπερ ᾐτήσαντο, καὶ διορίζεται ἐν ἁγίῳ πνεύματι, μηδένα τῶν ἁπάντων παραποιῆσαί τι τῶν ἐνταυθοῖ γεγραμμένων, εἰ μὴ βούλεται ὁ τὰ τῷ θεῷ ἀφιερωμένα ἐκ ταύτης δὴ τῆς πατριαρχικῆς μονῆς τοῦ τιμίου προφήτου προδρόμου τῆς Νέας Πέτρας ἀποσπῶν τῷ παρὰ τῶν ἁγίων πατέρων ἐκφωνηθέντι κανονικῶς φρικώδει ἀφορισμῷ ἑαυτὸν καθυποβάλλειν καὶ τῷ αἰωνίῳ πυρί, ὡς τὰ τοῦ θεοῦ κοινῶν καὶ χεῖρας ἐπιβάλλων, ἐν οἷς δέδοται καὶ ἀνοσίοις ἔργοις ἐπιχειρῶν, ὅπερ ἵνα μὴ συμβῇ τινι τῶν ἁπάντων, διαβεβαιούμεθα πάντας, τὸ εἰρημένον ἐᾶν μοναστήριον πατριαρχικὸν τοῦ Προδρόμου τῆς Νέας Πέτρας τὸ ἐν τῷ ὄρει τῆς Δρυανουβαίνης ἐπὶ τῆς δεδομένης αὐτῷ ἐλευθερίας παντελῶς καὶ ἐξκουσσείας τελείας τε καὶ ἀνέσεως καὶ μηδὲν ἀποσπᾶν τῶν προσαρμοσάντων τῇ τοιαύτῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ Προδρόμου τῆς Νέας Πέτρας παρὰ τῶν ῥηθέντων κτητόρων αὐτοῦ τῶν μεγαλογενῶν βασιλικῶν προσγενῶν, τρισευγενῶν Κομνηνῶν, τοῦ τε Μαλιασηνοῦ κῦρ Νικολάου τοῦ Ἀγγέλου, καὶ τῆς συμβίου αὐτοῦ, κυρᾶς Ἄννης Κομνηνῆς Δουκαίνης Παλαιολογίνης τῆς Μαλιασηνῆς, τῶν οὐχ ἧττον κατὰ ψυχὴν τρισευγενῶν ἢ κατὰ σῶμα, ἀλλ' ἵνα καὶ κατάδηλα εἴη τὰ τῇ δηλωθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ Προδρόμου τῆς Νέας Πέτρας προσκεκυρωμένα κτήματα, κατ' ὄνομα τῷ παρόντι ἐγράφησαν ὑπομνήματι τῆς ἡμῶν μετριότητος καὶ ἤδη στιχηδὸν ἐξετέθησαν, ἃ καὶ ἔχουσιν οὕτως· τὸ ἐξ ἀγορασίας περιελθὸν ἀμπέλιον τοῦ Μαρτίνου τὸ ἐν τῇ τοποθεσίᾳ καὶ περιοχῇ τοῦ Βελεστίνου διακείμενον καὶ ποσούμενον εἰς ὁλοκοτιναρέαν ἁλμυριωτικὴν μίαν. τὸ εἰς τὴν αὐτὴν τοποθεσίαν καὶ πλησίον αὐτοῦ ἀμπέλιον Νικολάου τοῦ Βάρδα, ἐξ ἀγορασίας καὶ αὐτὸ εἰς ὁλοκοτιναρέαν ποσούμενον. τὴν γονικὴν στάσιν τῆς Μελαγχρηνῆς Ζωῆς, τῆς θυγατρὸς τοῦ Συροπούλου Στεφάνου, ἅπασαν, ἧς τὸ μὲν πλέον εἰς προσένεξιν δέδοται χά-

ριν ἀδελφάτου, τὸ δ' ἐλάχιστον καὶ εἰς πρᾶσιν. αὕτη ἐν τῷ θέματι τῆς Δρυανουβαίνης διάκειται καὶ ἔχει οὕτως· ἀμπελὼν μετὰ τῶν σύνεγγυς αὐτῷ ἀμπελοχωραφίων, περιβολίων καὶ ἑτέρων τριῶν χωραφίων τῶν ἐν τῇ τοποθεσίᾳ τῶν Παλατίων καὶ ἑτέρου χωραφίου ἐν τῇ τοποθεσίᾳ τοῦ Πλατέος λίθου καὶ ἑτέρων ἀμπελίων δύο μικρῶν ἐν τῇ τοποθεσίᾳ καὶ αὐτῶν τῆς Δρυανουβαίνης καὶ δένδρου συκαμινέας καὶ οἰκημάτων δύο, ἅπερ ἅπαντα τὸ γεγονὸς ἔγγραφον παρὰ τῆς τοιαύτης Ζωῆς πλατυκῶς διεξέρχεται. τὸ ἐξ ἀγορασίας περιελθὸν αὐτῷ ἀμπέλιον ἀπὸ τοῦ Κατζιδώνῃ Ἰωάννου τὸ ποσούμενον εἰς ὁλοκοτιναρέαν ἁλμυριωτικὴν μίαν παρὰ τρίτον ἐν τῇ τοποθεσίᾳ τοῦ Βελεστίνου. ἐξ ἀγορασίας ἑτέρα ὁλοκοτιναρέα ἐν τῇ αὐτῇ τοποθεσίᾳ τοῦ αὐταδέλφου αὐτοῦ Κωνσταντίνου τοῦ Κατζιδώνη. τὸ ἐξ ἀγορασίας ἀμπέλιον ἀπὸ τοῦ ἁγίου Γεωργίου τῶν Καναλίων τὸ ἐν τῇ περιοχῇ μὲν κείμενον τοῦ Βελεστίνου, ποσούμενον δὲ εἰς ὁλοκοτιναρέας δύο. ἡ στάσις τοῦ Ἀρχοντίτζη, ἐν ᾗ καὶ τὸ μοναστήριον ἀνηγέρθη, καὶ ὑδρομυλικὸν ἐργαστήριον, ἐξ ἀγορασίας καὶ αὐτὰ ἀπὸ τοῦ Ἀρχοντίτζη Μιχαήλ. τὸ τῆς Πορταρέας ἐπιλεγόμενον μοναστηρόπουλον ἐπ' ὀνόματι τῆς ὑπεράγνου μου θεομήτορος τιμώμενον, πλησίον καὶ κατωτέρω τοῦ τοιούτου μοναστηρίου τοῦ Προδρόμου διακείμενον μετὰ πάσης αὐτοῦ τῆς περιοχῆς καὶ νομῆς καὶ τῶν ἐν αὐτῷ προσκαθημένων ἀνθρώπων, ὅπερ εἰς μετόχιον προσήρμοσται παρὰ τῶν κτητόρων τῇ τοιαύτῃ μονῇ. πάντα ταῦτα τὰ εἰρημένα ἐλεύθερα πάντῃ καὶ ἀτελῆ καὶ παντὸς βάρους καὶ ζητήματος καὶ ἐπηρείας παντοίας ἀνώτερα καὶ πάντῃ ἐξκουσσάτα, καθὼς τὰ κρατήρια διαλαμβάνουσιν ἔγγραφα καὶ τὸ παρὰ τῶν ἐποίκων τῆς Δρυανουβαίνης γεγονὸς καταθετικὸν τῆς ἐλευθερίας ἔγγραφον, πεπιστωμένα καὶ παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Δημητριάδος καὶ Ἁλμυροῦ. ταῦτα πάντα ἀναπόσπαστα διαμένειν ἡ μετριότης ἡμῶν βούλεται καὶ παντὸς δημοσιακοῦ βάρους καὶ ἐπηρείας ἁπάσης ἐλεύθερα, καὶ παρεγγυᾶται ἐν ἁγίῳ πνεύματι παντὶ προσώπῳ δημοσιακῷ τε καὶ ἀρχοντικῷ καὶ τοῖς κατὰ καιροὺς ἀπογραφομένοις καὶ ἄλλην ἥντιναοῦν ποιουμένοις δουλείαν, ἐλεύθερα ταῦτα τηρεῖν καὶ τὴν μονὴν αὐτοδέσποτον καὶ ἀκαταδούλωτον, εἰς δόξαν μὲν τοῦ θεοῦ, εἰς σωτηρίαν ψυχικὴν ἑαυτῶν, ὁ γὰρ τὰ τῷ θεῷ ἀνατεθειμένα σφετεριζόμενος καὶ κοινῶν φρικτοῖς ἐπιτιμίοις τοῦ ἀφορισμοῦ παρὰ τῶν ἁγίων πατέρων καθυποβάλλεται, ὧν μὴ γένοιτο

μηδένα τῶν ἐντυγχανόντων τῷ παρόντι πατριαρχικῷ ὑπομνήματι πεῖραν λαβεῖν, ἀλλὰ πάντας τῆς μελλούσης καταξιωθῆναι ζωῆς. παρεγγυώμεθα δὲ ἐν ἁγίῳ πνεύματι καὶ τοῖς μεθ' ἡμᾶς ἀδελφοποθήτως πνευματικῶς διαδεξομένοις τὸν πατριαρχικὸν θρόνον ἀπ[αραποίητα]

. . . .

. . . .

τῶν πρὸ ἡμῶν [1]) . . . .

καμεν βέβαια· οὕτω γὰρ εἴη βέβαιόν τι τῶν ἐν κόσμῳ. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ὑπόμνημα τῆς ἡμῶν μετριότητος γεγονὸς ἐπεδόθη τῇ διαληφθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τῆς Νέας Πέτρας τῇ ἐπ' ὀνόματι τοῦ τιμίου προφήτου Προδρόμου τιμωμένῃ καὶ ἐν τῷ ὄρει τῆς Δρυανουβαίνης διακειμένῃ, ἐγχαραχθὲν κατὰ μῆνα ἰούλιον τῆς πεντεκαιδεκάτης ἰνδ. τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ἔτους †.

[1]) *Excissae lineae tres.*

XIII. 6781—1272, mense decembri, ind. I.

Patriarcha Ioseph confirmat monasterio Novae Petrae possessionem praediorum S. Nicolai Palirrhopati et S. Mariae Portareae eximitque eas de potestate episcopi Demetriadis.

Ὑπόμνημα τοῦ αὐτοῦ πατριάρχου κυροῦ Ἰωσὴφ τὸ γ.

Καὶ πρότερον μὲν οὐκ ἐνέλιπε τὸ τρισευγενὲς θεοφιλὲς ζεῦγος, ὅ τε δηλαδὴ περιπόθητος γαμβρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, εὐγενέστατος Κομνηνὸς Ἄγγελος, ἀγαπητὸς κατὰ κύριον υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Νικόλαος ὁ Μαλιασηνὸς, καὶ ἡ σύζυγος τούτου, περιπόθητος ἀνεψιὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, εὐγενεστάτη Κομνηνὴ Παλαιολογίνα Δούκαινα, γνησιωτάτη κατὰ κύριον θυγάτηρ τῆς ἡμῶν μετριότητος, κυρὰ Ἄννα ἡ Μαλιασηνὴ, μὴ οὐκ ἀγαθὰς προστιθέναι πράξεις ἐπὶ ταῖς παρὰ τῆς κατ' ἄμφω εὐγενείας αὐτῶν ἀνεγερθείσαις θείαις πολλαῖς πολλάκις μοναῖς, αἳ τοῖς προβᾶσι τούτοις διαφόροις δικαιώμασιν ἀνάγραπτοι καθά τινες στῆλαι τῶν ἐναρέτων ἔργων τούτων προΐστανται. ναὶ μὴν καὶ οὐδὲ νῦν ἐπαύσατο μὴ τῶν προτέρων ὁμοιοτρόπως ἀκόλουθα ἐκπληροῦν, μέντοι γε καὶ τὴν παρ' αὐτῶν δὴ τῶν Κομνηνῶν ἀνεγερθεῖσαν ἐκ βάθρων πρὸ χρόνων ὀλίγων σεβασμίαν πατριαρχικὴν μονὴν ἐν τῷ

ὄρει τῆς Δρυανουβαίνης περί τινα τόπον τοῦ Ἀρχοντίτζη καλούμενον ἐπ' ὀνόματι τοῦ τιμίου προφήτου προδρόμου τετιμημένην καὶ Νέαν Πέτραν ἐπικεκλημένην· βουλόμενοι ἐπιπλέον οὗτοι συστῆσαι καὶ εἰς αὔξησιν ταύτην προαγαγεῖν, ἐπεὶ τὸν τῇ τοιαύτῃ τοῦ Προδρόμου μονῇ γειτονοῦντα θεοφιλέστατον Δημητριάδος ἐπίσκοπον εὗρον κεκτημένον ἀτημελήτους πάντη δύο μονὰς πλησιοχωρούσας τῇ δηλωθείσῃ πατριαρχικῇ τούτων τοῦ Προδρόμου μονῇ, ὧν ἡ μὲν μία πρὸς τὸ πρανὲς περὶ τὰ δεξιὰ τῆς μονῆς ἵδρυται κατὰ τὸ κάτω τῆς Δρυανουβαίνης χωρίον καὶ ἐπ' ὀνόματι τοῦ ἁγίου Νικολάου τοῦ Παλιρροπάτου τετίμηται, θατέρα δὲ πρὸς τὸ κάταντες περὶ τὸ εὐώνυμον τῆς μονῆς εἰς τὸ ἄνω χωρίον τῆς Δρυανουβαίνης τὴν κλῆσιν αὐχοῦσα τῆς ὑπεράγνου μου θεομήτορος, Πορταρέα δ' αὐτῇ τὸ ἐπώνυμον, ἡ δὴ μονὴ δεδικαίωται τῷ ῥηθέντι Κομνηνῷ τῷ Μαλιασηνῷ κυρῷ Νικολάῳ καὶ πρότερον, ἅτε τοῦ πατρὸς τούτου ἐκείνου τοῦ μακαρίτου Κομνηνοῦ κυροῦ Κωνσταντίνου τοῦ Μαλιασηνοῦ, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Κωνσταντίνου μοναχοῦ, καταφυτεύσαντος ἐξ οἰκείων ἐξόδων τε καὶ ἀναλωμάτων τὸν ἐν αὐτῇ πολύπλεθρον ἀμπελῶνα τῷ τότε καὶ πολλὰ τῶν οἰκημάτων ἀνεγείραντος ἐν αὐτῇ, ἔτι δὲ πρὸς ἀνταλλαγὴν ταύτης πρὸς τὴν ἐπισκοπὴν Δημητριάδος ἀνθέτερα προσενέγκαντος, τὸν ἀμπελῶνα δηλαδὴ τοῦ Ἀμμολοχέως καὶ τὰ τῶν ἁγίων Θεοδώρων χωράφια. ἐπεὶ ταῦθ' οὕτω καὶ ἀνελάβοντο, νῦν τὸ διαληφθὲν Κομνηνικὸν ζεῦγος τὰς διαληφθείσας δύο μονὰς δι' ἐκδοτηρίων ἐγγράφων ἐνυπογράφων οἰκειοχείρων τοῦ Δημητριάδος ὡς μετόχια ταύτας ὑποθετησομένας τῇ ῥηθείσῃ σεβασμίᾳ πατριαρχικῇ τοῦ Προδρόμου μονῇ, καθὼς τὰ τοῦ Δημητριάδος ἔγγραφα παριστῶσι. κἀντεῦθεν ᾐτήσαντο τυχεῖν καὶ τῆς ἡμῶν μετριότητος ὑπομνήματος πρὸς πλείονα τούτων βεβαίωσιν καὶ ἀσφάλειαν. ἡ μετριότης ἡμῶν εὔλογον τὴν τῶν εὐγενῶν Κομνηνῶν αἴτησιν διακρίνασα, διελθοῦσα δὲ καὶ τὰ παρὰ τοῦ ἐπισκόπου Δημητριάδος ἐκδοτήρια τῶν μονῶν ἔγγραφα δικαιώματα πρὸς αὐτούς, τὸ παρὸν κυρίως ὑπόμνημα ἐγχαράττει, δι' οὗ καὶ ἐν ἁγίῳ διορίζεται πνεύματι τῇ πρὸς θεοῦ δοθείσῃ μοι ἀποστολικῇ ἐξουσίᾳ δεσποτικῶς καὶ αὐθεντικῶς, βέβαια μένειν καὶ ἀμετάτρεπτα τὰ τοιαῦτα τοῦ νῦν θεοφιλεστάτου ἐπισκόπου Δημητριάδος Μιχαὴλ τοῦ Παναρέτου ἔγγραφα δικαιώματα ἐπὶ ταῖς πολλάκις διαληφθείσαις μοναῖς καὶ ὡς μετόχια τυγχάνειν καὶ ὑπο-

κεῖσθαι ταύτας τας δηλωθείσας μονὰς, ἤγουν τοῦ ἁγίου Νικολάου τοῦ Παλιρροπάτου καὶ τῆς ὑπεράγνου μου θεομήτορος τῆς Πορταρέας ἀμετακινήτως, ἀμετατρέπτως, ἀναποσπάστως, ἀναλλοιώτως καὶ ἀδιασείστως ὑπὸ τὴν σεβασμίαν πατριαρχικὴν τοῦ Προδρόμου μονὴν, μεθ' ὧν αὗται κέκτηνται δικαίων καὶ προνομίων, ἤγουν ἀμπελώνων, χωραφιαίων τοπίων, γῆς ὀρεινῆς, πεδινῆς, νομαδιαίας καὶ τῶν ἐν αὐταῖς προσκαθημένων τι νῶν Βλάχων καὶ λοιπῶν παροίκων, καθὼς τὰ ἐκδοτήρια ἔγγραφα τοῦ ἐπισκόπου Δημητριάδος διαλαμβάνουσι, καὶ ὅτι μετὰ παρέλευσιν τούτου τοῦ ἐπισκόπου καθέξει ἀπεντεῦθεν ἡ τοιαύτη πατριαρχικὴ τοῦ Προδρόμου μονὴ πάντη ἀπροφασίστως καὶ αὐθεντικῶς τοὺς ἐν τῷ τόπῳ τοῦ Παλιρροπάτου προσκαθημένους πάντας, ὡς τὸ ἔγγραφον τοῦ Δημητριάδος δηλοῖ, μηδενὸς τὸ παράπαν μηδόλως ἐπιχειρήσοντος ἢ τοῦ νῦν ἐπισκόπου Δημητριάδος τοῦ Παναρέτου ἢ τοῦ μετ' αὐτὸν ἐπικηροχθησομένου Δημητριάδος ἢ πάλιν τοῦ μετ' ἐκεῖνον ἐλευσομένου ἢ τοῦ ἐσύστερον ἢ ὅλως τοῦ καθεξῆς μετὰ πολλὰς καὶ δυσαριθμήτους ἡλίων περιδρομὰς ἢ τοῦ τούτων ποτὲ μητροπολίτου Λαρίσσης ἀνατρέψαι ἢ ἀθετῆσαι ἢ ὅλως παρασαλεῦσαι τὰ τοιαῦτα ἔγγραφα δικαιώματα καὶ τῆς πατριαρχικῆς τοῦ Προδρόμου μονῆς ἐξελέσθαι αὐτὰ, μὴ ὡς μετόχια ταύτης τυγχάνειν, ἀλλ' ἰδίᾳ καὶ ἀνα μέρος, οὔτε μὴν ποτὲ τῶν καιρῶν μετὰ θάνατον τῶν κτητόρων τούτων ἢ τῶν παίδων καὶ διαδόχων αὐτῶν ὑποστῇ τὴν ἀπόσπασιν τούτων καὶ τὴν ἀφαίρεσιν ἡ ῥηθεῖσα πολλάκις σεβασμία πατριαρχικὴ τοῦ Προδρόμου μονὴ ἢ πρὸς πλείονα καθελκυσθῇ τοῦ τεταγμένου παρὰ τοῦ Δημητριάδος κανονικοῦ ζήτησιν· μόνας γὰρ λίτρας κηροῦ τέσσαρας τετύπωκε διδόναι ἡ τοῦ ἁγίου Νικολάου μονὴ καθ' ἕκαστον χρόνον, ἡ δὲ τῆς Πορταρέας τρεῖς λίτρας κηροῦ τῶν τεττάρων ἐπέλαττον, καθὼς τοῖς ἐκδοτηρίοις ἐγγράφοις ἐμπεριείληπται. διατηρηθεῖεν γοῦν τὰ ἐν ταύταις πάντα προβάντα ἔγγραφα δικαιώματα, καὶ ὡς μετόχια τῆς τοῦ Προδρόμου μονῆς παριστῶντα πάντη στερκτέα, βέβαια, μόνιμα, ἀμετάτρεπτα, ἀναλλοίωτα καὶ ἀμετακίνητα εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, εἰ μὴ βούλεται ὁ ἐπιχειρήσων μετατρέψαι ταῦτα ἢ πρὸς ἀθέτησιν ὅλως χωρῆσαι ἢ τοῦ τεταγμένου κανονικοῦ πλείονα ζήτησιν, κἂν ὁποῖος ἄρα καὶ εἴη, πρὸς τῷ ἐπηρτημένῳ παρὰ τῆς ἡμῶν μετριότητος φρικώδει ἀφορισμῷ καὶ εὐθύνης κανονικῆς ὑποστήσεσθαι καὶ καταδίκης ἐκκλησιαστικῆς

πειραθήσεσθαι ἐπὶ τῇ ἀρχιερωσύνῃ αὐτοῦ, ἐφ' ᾧ καὶ οἱ μεθ' ἡμᾶς τὸν πατριαρχικὸν οἰκουμενικὸν τόνδε τὸν θρόνον ἀναβησόμενοι, ἐν κυρίῳ ἀγαπητοὶ ἀδελφοί, στέρξουσι ταῦτα πάντα βέβαιά τε καὶ ἀδιάσειστα πάντῃ διατηρήσουσιν, εἴπερ καὶ τὰ παρ' αὐτῶν γενησόμενα στερκτέα μένειν ἐθέλουσι· κατ' ἐκκλησιαστικὴν γὰρ ἀκολουθίαν καὶ συνήθη τάξιν ταῦτα πάντα προέβησαν. διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν ὑπόμνημα τῆς ἡμῶν μετριότητος γεγονὸς ἐπεδόθη τῇ διαληφθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ Προδρόμου τῆς Νέας Πέτρας δι' ἀσφάλειαν αἰωνίζουσαν καὶ ἀνενοχλησίαν παντοίαν καὶ ἀναφαίρετον κυριότητα, προβὰν κατὰ μῆνα δεκέβριον τῆς πρώτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ πρώτου ἔτους †.

XIV. 6781—1273, mense augusto, ind. I.

Patriarcha Iosephus profitetur, praedium dictum Hesychasterium, subiectum monasterio Novae Petrae, esse stauropegium et exemptum de potestate episcopi Demetriadis.

Ἕτερον ὑπόμνημα τοῦ αὐτοῦ πατριάρχου τὸ δ'.

Πολλῶν ἡμῖν κατὰ διαφόρους καιροὺς ἀναλόγως εἰς παράστασιν προτεθέντων τῶν θεοφιλῶν ἔργων καὶ πράξεων τῶν ὅσον ἤδη ῥηθησομένων εὐγενῶν Κομνηνῶν, οὐχ ἧττον καὶ τὸ νῦν τὰ κατ' αὐτοὺς παραστήσειε τὸ τοιοῦτον τρισευγενὲς κατ' ἄμφω ζεῦγος, ὅ τε περιπόθητος γαμβρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, γνησιώτατος κατὰ κύριον υἱὸς τῆς ἡμῶν μετριότητος, εὐγενέστατος Κομνηνὸς κῦρ Νικόλαος Βρυέννιος Μαλιασηνὸς ὁ Ἄγγελος, καὶ ἡ περιπόθητος ἀνεψιὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, γνησιωτάτη κατὰ κύριον θυγάτηρ τῆς ἡμῶν μετριότητος, εὐγενεστάτη Κομνηνὴ κυρὰ Ἄννα Δούκαινα Παλαιολογίνα Φιλανθρωπηνὴ ἡ Μαλιασηνή, ἐξ αὐτῶν κρηπίδων καὶ βάθρων αὐτῶν τὰ προσόντα τούτοις οἴκοθεν ἀναλώσαντες πράγματα τὴν σεβασμίαν ἐδείμαντο πατριαρχικὴν μονὴν τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ἐπάνω τοῦ τῆς Δημητριάδος ὄρους καὶ Νέαν Πέτραν ἐπικεκλημένην, ἣ δὴ κυρία μονὴ ὡς μετόχιον ἔσχε πρό τινος ἤδη μετρίου καιροῦ ὡς δωρεὰν πρὸς τῆς ἡμῶν μετριότητος τὸ εἰς τὸ κάτω χωρίον τῆς Δρυανουβαίνης ἐπὶ τὸ πλάγιον διακείμενον μονίδιον καὶ πρὸς ἀνατολὰς ἀποβλέπον, ἐπ' ὀνόματι μὲν τῆς ὑπερα-

γνου μου θεομήτορος σεμνονόμενον, τὸ Ἡσυχαστήριον δὲ παρὰ πᾶσιν ἐπωνομούμενον, μεθ' ὧν ἀνέκαθεν δικαίων καὶ προνομίων ἐκέκτητο, ἀμπελώνων δηλαδή, γῆς ἀροσίμου καὶ λοιπῆς ἁπάσης χερσαίας, πρὸς δὲ καὶ τῶν προσκαθημένων ἐκεῖσε ἀνθρώπων, πλὴν δ' ἀλλ' ἐπεὶ τὸ τοιοῦτον μονίδιον ἀρχῆθεν μὲν ἦν ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ ἀνιδρυμένον, καθὼς ὁμολογουμένως καὶ μεμαρτύρηται καὶ τοῦ κατὰ καιροὺς πατριαρχικοῦ μνημονεύον ὀνόματος, ἀνέτου δ' ἐσύστερον οὐ πρὸ πολλοῦ τετυχηκὼς τοῦ καιροῦ ὁ νῦν Δημητριάδος ἐπίσκοπος Μιχαὴλ ὁ Πανάρετος ταῖς τοπικαῖς ἐκεῖσε περιστάσεσι καὶ ἀνωμαλίαις τὸ μὲν πατριαρχικὸν ἐκεῖθεν ὄνομά τε καὶ σταυροπήγιον πάμπαν ἐξέωσε καὶ ἀπεσιώπησεν, ἀκανονίστῳ δυναστείᾳ χρησάμενος, τὸ δ' οἰκεῖον ἀντεισῆξε καὶ ἐπεφήμησεν. ἡ μετριότης ἡμῶν, μὴ ἐνεγκοῦσα τὸ παράλογον τοῦτο καὶ ἀκανόνιστον ὅρμημα καὶ τὸ ἐπιχείρημα, τὸ παρὸν ἐγχαράττει σιγιλλιῶδες ὑπόμνημα, δι' οὗ δῆτα καὶ ἐν ἁγίῳ διορίζεται πνεύματι τῇ δοθείσῃ ταύτῃ θεόθεν ἀποστολικῇ ἐξουσίᾳ καὶ χάριτι, ὑπὸ τὴν εἰρημένην κυρίαν καὶ καθολικὴν μονὴν πατριαρχικὴν τὴν Νεάν Πέτραν ὡς μετόχιον εἶναι καὶ ὑποκεῖσθαι καὶ ὀνομάζεσθαι ἀναποσπάστως καὶ ἀδιασείστως τὸ τοιοῦτον ἡσυχαστήριον, μένειν δ' αὖ πάλιν ὡς πατριαρχικὸν, καθὼς καὶ τὸ πρότερον, καὶ ὑπὸ τὴν πατριαρχικὴν περιωπὴν τελεῖσθαι καὶ τὴν διοίκησιν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους· ὡς γὰρ δῶρον ἡμέτερον πατριαρχικὸν τὸ τοιοῦτον ἡσυχαστήριον ἀπεχαρίσθη καὶ ὑπετέθη τῇ ῥηθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ τιμίου προφήτου προδρόμου τῇ Νέᾳ Πέτρᾳ ἐπονομαζομένῃ, ἐφ' ᾧ καὶ οὐδείς τις τῶν ἐπισκόπων Δημητριάδος, ἢ ὁ νῦν Μιχαὴλ ὁ Πανάρετος ἢ ὁ καθεξῆς κατὰ καιροὺς ἐπικηρυχθησόμενος Δημητριάδος ἐπίσκοπος, οὔτε μὴν ὁ τούτων μητροπολίτης Λαρίσσης τολμήσει τὸ σύνολον ἀποσπάσαι τὸ τοιοῦτον μετόχιον τὸ Ἡσυχαστήριον ἀπὸ τῆς κυρίας ταύτης πατριαρχικῆς μονῆς τῆς Νέας Πέτρας καὶ ὡς ἴδιον ἀποκαταστῆσαι ἢ ἐπιχειρήσασθαι ὅλως παρασιωπῆσαι τὸ κατὰ καιροὺς πατριαρχικὸν ὄνομα καὶ τὸ οἰκεῖον ἀντεισενεγκεῖν, ἀλλ' οὐδ' ὅπερ ἐξωνήθη μυλοτόπιον ἀπὸ τῶν ἐποίκων τοῦ ἐπάνω τῆς Δρυανουβαίνης χωρίου τοῦ κάτωθεν τοῦ ἁγίου Νικολάου τοῦ Ξυλωπᾶ καὶ προσετέθη τῇ Νέα Πέτρᾳ παρὰ τῶν εὐγενῶν βασιλικῶν προσγενῶν Κομνηνῶν καὶ κτητόρων τὴν ἀθέτησιν σχοίη ποτὲ καὶ ἄλλον δεσπότην γνωρίσειε· τῶν ἀρῶν γὰρ τὰς παλαμναιο-

τάτας τοῖς ἀθετηταῖς ἐπιτίθησιν ἡ μετριότης ἡμῶν καὶ τὸν φρικώδη ταύτης ἀφορισμόν, ἐφ' ᾧ διὰ τάσδε τὰς ἀπειλὰς καὶ τὸν βαρυσόμφορον ψογικὸν προκριματισμὸν ὀφείλουσι στέργειν ἅπαντα ταῦτα πάντῃ ἀπαρασάλευτα, ἀναπόσπαστα, ἀμετάθετα, ἀμετάτρεπτα, ἀναλλοίωτα, μόνιμά τε καὶ βέβαια. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν σιγιλλιῶδες ὑπόμνημα γεγονὸς κατὰ τὸν αὔγουστον μῆνα τῆς πρώτης ἰνδ. τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ πρώτου ἔτους ἐπεδόθη πρὸς ἀσφάλειαν αἰωνίζουσαν.

XV. 6783—1274, mense octobri, ind. IV.

Patriarcha Iosephus iterum confirmat possessiones et iura monasterii Novae Petrae.

Ὑπόμνημα τοῦ αὐτοῦ πατριάρχου κυροῦ Ἰωσὴφ τὸ ε'.

Εἰς ἔπαινον ἑαυτῶν ἐπαίρουσι τὰ καλά, ἔστι δὲ τῶν πάντων οὐδείς, ὃς μὴ τοῦθ' οὕτως ἔχειν ἀπισχυρίσαιτο· τῶν εἰκότων γὰρ ἂν εἴη τυγχάνειν τὰ τοῖς καλοῖς ἀντικείμενα τῆς ἴσης κατηγορίας καὶ εἰς τὴν ἀνάλογον μοῖραν αὐτὰ κατατίθεσθαι καὶ τὸ τοῖς καλοῖς δὲ ἀποδιδόναι τὸν εἰκότα λόγον καὶ ἣν αὐτόθεν εὐφημίαν ἐφέλκεται, συνετὸν ἄν τις τοῦτο πρᾶγμα ποιήσειε καὶ παρὰ πάντων τὸν ἔπαινον ἐφελκόμενον· καὶ γὰρ οὐκ ἔφθη τις ἐπαινέσας μίαν τινὰ τῶν ὁδῶν, αἳ πρὸς ἀρετὴν φέρουσι, καὶ πολλοὺς τοὺς ἐπειγομένους πρὸς αὐτὴν ἔσχηκεν. εἰ δ' ἄρα καὶ χωρὶς ὑποδειγμάτων ψυχήν, θείαν δέ τινα μοῖραν ταύτην εἰκότως εἴποι τις ἂν ἀφ' ἑστίας, ὃ λέγεται, καὶ τοῦ ἑαυτῆς παραδείγματος νεύουσαν εὕροι πρὸς τὸ καλὸν καὶ τὸν κατ' ἀρετὴν βίον οὐκ ἀνωμάλως καὶ σκολιῶς, ἰθυτενῶς δὲ μᾶλλον καὶ ἀμετακλίτως ὁδεύουσαν, οὐ ζήλου κέντρον ἐνίησι ταύτῃ καὶ πρὸς τὴν ἀρετὴν διανίστησι. πῶς γὰρ ἂν ἢ πάσαις ὁρμαῖς τὴν μακαρίαν καὶ εἰς οὐρανὸν φέρουσαν τρέχει τῶν τοῦ θεοῦ ἐντολῶν τοῦ παραθήξοντος δέοιτο. ἐκείνῃ γὰρ ἑαυτὴν ἀκέντητον ᾗ φησι Πίνδαρος, συντείνει πρὸς τὸ κατ' ἀλήθειαν ἀγαθόν, ἀλλὰ τῷ μετιόντι τὴν ἀρετὴν μόνον τὸ χρεὼν ἀπονέμει τὸν ἔπαινον καὶ τοὺς ἄλλους ὡς εἰς ἀρχέτυπον ἐκεῖνον ὁρᾶν πείθει τε καὶ διανιστᾷ. ὁ δὲ λόγος οὐκ ἄλλον ἔσχεν ὑπόθεσιν, πρὸς δὲ τὸν περιπόθητον γαμβρὸν τοῦ κρα-

τίστου καὶ θεοστεφοῦς ἁγίου μου αὐτοκράτορος, ποθεινότατον υἱὸν ἐν ἁγίῳ πνεύματι τῆς ἡμῶν μετριότητος, εὐγενέστατον ὁρᾷ Κομνηνὸν κῦρ Νικόλαον Ἄγγελον Βρυέννιον τὸν Μαλιασηνόν· ἀνὴρ γὰρ οὗτος ὡς εἴπερ τις εὐγενὴς καὶ Κόδρου φασὶν εὐγενέστερος καὶ οὐδενὸς ἥττων τῶν ἀφ' ἡλίου ἀνατολῶν· ὁ μέντοι τρόπος αὐτῷ θαυμάσιος οἷος καὶ μηδὲν ἐλέγχων τὸ γένος, μᾶλλον δέ γε τούτῳ καταλληλότερος, ἀλλ' ἔδει καὶ ἣν ἔμελλε κοινωνὸν ἑλέσθαι τοῦ βίου, μηδενὶ τούτου τά γε εἰς περιφάνειαν καθυφίεσθαι ἢ τοὺς τρόπους ἢ τὴν γνώμην ἢ τὴν εὐγένειαν. τοίνυν καὶ συνῆλθεν ἄμφω τὰ γένη ἐκ τῆς αὐτῆς ὅ φασι τὰ περιφανῆ καὶ ὑπέρλαμπρα, καὶ ἡ σεμνοτάτη καὶ καλλίστη ἐν γυναιξὶ τὸν ἐν ἀνδράσι θαυμάσιον καὶ γενναῖον νυμφίον ἐγνώρισε, καὶ ἔστιν αὕτη ἡ περιπόθητος ἀνεψιὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, γνησιωτάτη κατὰ πνεῦμα θυγάτηρ τῆς ἡμῶν μετριότητος, εὐγενεστάτη Κομνηνὴ κυρὰ Ἄννα Δούκαινα Παλαιολογίνα ἡ Μαλιασηνή, καὶ ὁ τρόπος ἴσος καὶ ὁμογνώμονες ἄμφω καὶ συνάφεια ψυχῆς ἐνταῦθα μᾶλλον ἢ σώματος· οὕτω γὰρ ἔσχε φιλονείκως τῆς ἐντολῆς ὑπεράρασθαι, ὡς οὐ μόνον βοηθὸν τούτῳ δοθῆναι ταυτηνὶ κατ' αὐτόν, ἀλλὰ καὶ ταῖς παρ' ἑαυτῆς εἰσηγήσεσι τὸν ἄνδρα δοκεῖν τὰ κρείττω πρὸ τῶν ἄλλων αἱρεῖσθαι καὶ ὑψηλότερα· ἐντεῦθεν ὁ βίος αὐτοῖς κεκαθαρμένος ἢ καθαιρόμενος καὶ τὰ ἑαυτῶν οὐχ ἧττον καὶ τῶν ξένων ἐστί, καὶ διὰ τῶν πενήτων διδόασι πάντα θεῷ καὶ ζῶσιν οὐχ ἑαυτοῖς μόνον, θεῷ δὲ τὸ πλεῖστον μέρος τῷ καθαρῷ τῶν φαιδροτέρων ψυχῶν ἐραστῇ· τί δ' ἄν τις λέγοι τὴν μετάθεσιν ὅλην, ἣν ὠδίνουσι πρὸς τὸν κύριον ὡς ὠδινήσαντας τούτους καὶ τεκεῖν πνεῦμα σωτήριον, ὃ δῆτα καὶ ἐπὶ τῆς γῆς μὲν ἀποκυήσουσιν, εἰς δὲ τὸν οὐρανὸν καὶ τὰ ἐπουράνια τὸν τόκον ἀποθήσουσι καὶ προσάξουσιν, οὗ δὴ καὶ πᾶσα συντελεῖται πρᾶξις καὶ ἡ τῶν πόνων ἀντίδοσις ἄρχεται, ὀρφανῶν πατέρες, τοῦτο δὴ τὸ τοῦ μακαρίου Ἰὼβ ἀκούειν ἐθέλουσι· καὶ χωλοῖς εἶναι πόδες καὶ προΐστασθαι χηρῶν καὶ πᾶσι τοῖς ἐν ἀνάγκαις παντὶ τρόπῳ καταβάλλεσθαι τὴν βοήθειαν ὁσημέραι σπεύδουσι, καὶ ἡ θύρα τούτοις κατ' αὐτόν γε καὶ αὖθις φάναι τὸν γενναῖον Ἰὼβ παντὶ παριόντι ἀνέῳκται. καὶ νῦν τοῦτο δὴ τῶν καλῶν ἐξευρίσκουσι, νῦν δὲ ζηλοῦσι τοῦτο, καὶ ὁ ζῆλος ἐγγὺς καὶ τὸ παράδειγμα οὐχ ἑτέρωθεν, ἀλλ' ἀφ' ἑαυτῶν καὶ ὅτῳ τὴν πηγὴν ἔρως ἰδεῖν θιγέτω τοῦ νάματος καὶ εἴπερ τινὶ

τὸν τούτου πατέρα γνῶναι οὐκ ἐξεγένετο, τὴν ἔμβιον εἰκόνα, τὸν υἱὸν δηλαδὴ βλεπέτω, καὶ τοῦ κατὰ σκοπὸν οὐ διήμαρτεν· οἷος γὰρ ἐκεῖνος ἀνθρώπων πάντων θαυμάσιος καὶ πολλὴν τὴν πρὸς θεὸν εὐσέβειαν ἑαυτῷ ἐπιμαρτυρόμενος ὁ μακαρίτης Κομνηνὸς κῦρ Κωνσταντῖνος Μαλιασηνὸς ὁ Βρυέννιος, ἀλλὰ δεῖγμα πρὸς τοῖς ἄλλοις τοῦ θείκοῦ τούτου ἔρωτος καὶ ἡ ἐπάνω τοῦ ὄρους Δημητριάδος σεβασμία πατριαρχικὴ μονὴ ἀνεγερθεῖσα βάθρων αὐτῶν τῇ θεοτόκῳ τῇ ἐπικαλουμένῃ Ὀξείᾳ Ἐπισκέψει καὶ ἐπιχωρίως λεγομένη Μακρινιτίσσῃ. ἀλλ' ἦν μὲν ἐκείνῳ ταῦτα καὶ τοῦ πρὸς θεὸν ἔρωτος γνώρισμα. ἦν δ' ἄρα καὶ τῷ υἱῷ χειραγωγία τοῦ κρείττονος, ναὶ μὴν καὶ τὴν φύσιν οὐ κατῄσχυνε, μᾶλλον δὲ καὶ φιλοτιμότερον εἰς δέον ταύτῃ ἐχρήσατο, ὡς καὶ τὸ τοῦ ἁγίου εὐαγγελίου χώραν ἔχειν εἰπεῖν καὶ τὸ δένδρον ἐπέγνωμεν ἀπὸ τοῦ καρποῦ. ἐζήλωκε μὲν ὁ υἱὸς καὶ ἐν ἄλλοις τὴν πατρικὴν ἀρετήν, καὶ οὐκ ἀγανακτήσει πατὴρ ἐπὶ παιδὶ βελτίστῳ καὶ ὑπερεβάλετο. ἀλλ' οἷον καὶ τοῦτο πρὸς τὸν πατέρα διημιλλήσατο. ἀνήγειρεν ἐκεῖνος τῇ θεομήτορι ναὸν περικαλλῆ καὶ οὐράνιον καὶ εἴπερ ἐν χειροποιήτοις ναοῖς κατοικεῖν ἔστι καὶ λέγεται ὁ θεός, ἀπαξιώσειεν ἂν ταυτηνὶ τὴν κατοίκησιν οὐδεπώποτε. ἀνήγειραν καὶ οὗτοι, ἡ θαυμαστὴ καὶ τρισευγένὴς συζυγία, ἐκ βάθρων αὐτῶν ἀντικρὺ τῷ τοῦ φωτὸς λύχνῳ τῇ πρὸ τοῦ λόγου φωνῇ τῷ Προδρόμῳ ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ναὸν ἐρίζοντα πρὸς ἐκεῖνον ταῖς χάρισι καὶ εἰς μάνδραν ἀφώρισαν θατέρου γένους τῆς φύσεως. ἡ γὰρ πατρῴα τούτῳ μονὴ ἀνδρῶν ἐστιν ὃ λέγεται μονή, οὐ μήν γε μέχρι τουτοῦ τὰ τῆς ἐφέσεως τούτῳ τῷ θαυμασίῳ ζεύγει ἀλλὰ διαγρηγοροῦσι καὶ τοῖς παλαιοτέροις τῶν νέων τὸ ἑδραῖον προσεπινοοῦνται καὶ τοῖς προσφάτοις καὶ νέοις τὸ τῶν ὄντων ἑδραῖον καὶ πάγιον. ἔνθεν τοι καὶ χρυσόβουλλοι λόγοι σεπτοὶ βασιλικοὶ τούτοις θεσπίζονται καὶ ἔγγραφα προβαίνει διατάγματα, οἷς τυπούμεναι ψυχαί, αἷς δή τισιν ὁ κόσμος ἐσταύρωται καὶ αἵτινες σταυροῦνται τῷ κόσμῳ θεῷ ζήσουσι καὶ ταῖς μακαρίαις ἐλπίσιν, ἀλλ' ἐπὶ τῇ τοιαύτῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ Προδρόμου τῇ καὶ Νέα ἐπικαλουμένῃ Πέτρα τῇ καὶ εἰς γυναικείαν μάνδραν ἀφωρισμένῃ χρυσόβουλλον λογὸν θεῖον καὶ σεπτὸν τοῦ κρατίστου καὶ θεοστεφοῦς ἁγίου μου αὐτοκράτορος ἐπορίσατο καὶ ὑπ' ὄψιν ἔθετο τῆς ἡμῶν μετριότητος καὶ ἐξῃτήσατο ταύτην ἀκολούθως τῷ σεπτῷ καὶ θείῳ

βασιλικῷ χρυσοβούλλῳ λόγῳ καὶ σιγιλλιῶδες ὑπόμνημα ταύτης παρασχέσθαι αὐτῷ, ὡς ἂν μένοιεν ἀναπόσπαστα καὶ ἀδιάσειστα τὰ προσόντα τῇ τοιαύτῃ μονῇ πάντα κινητὰ καὶ ἀκίνητα καὶ τὰ προσκορωθέντα παρὰ τῶν εὐγενῶν Κομνηνῶν καὶ κτητόρων ἐν αὐτῇ κτήματα, ἅτινά ἐστι ταῦτα· τὸ γονικὸν αὐτοῦ κτῆμα ἡ ἐπάνω Δρυανούβαινα εἰς ἣν ἀνεγέρθη καὶ ἡ μονὴ τῷ προδρόμῳ ἡ καὶ Νέα Πέτρα λεγομένη. σὺν αὐτῇ καὶ ἡ κάτω Δρυανούβαινα μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν, γῆς ὀρεινῆς καὶ πεδινῆς, ἀμπελώνων καὶ χωραφίων [καὶ] μυλικῶν ἐργαστηρίων. τὰ τρία μετόχια ταύτης ἐν τῇ τοιαύτῃ Δρυανουβαίνῃ, ἡ ὑπεραγία θεοτόκος ἡ Πορταρέα, ὁ ἅγιος Νικόλαος, τὸ ἐπιλεγόμενον τοῦ Παλιρροπάτου καὶ τὸ ἕτερον τὸ καὶ εἰς αὐτὸ εἰς ὄνομα τῆς ὑπεραγίας θεοτόκου τιμώμενον καὶ λεγόμενον Ἡσυχαστήριον, ὅπερ καὶ ὡς πατριαρχικὸν δωρεὰν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ τοῦ Προδρόμου πρὸς τῆς ἡμῶν μετριότητος προσκεκύρωται μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, γῆς ὀρεινῆς καὶ πεδινῆς, ἀμπελώνων καὶ χωραφίων, χερσαίας γῆς καὶ τῶν προσκαθημένων ἐν αὐτῇ ἀνθρώπων καὶ παντοίων κινητῶν καὶ ἀκινήτων πραγμάτων αὐτοῦ. τὰ ἐξ ἀγορασίας παρὰ τοῦ Κομνηνοῦ καὶ κτήτορος περιελθόντα τῇ δηλωθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ ἀμπέλια καὶ χωράφια, οἰκήματα καὶ περιβόλια καὶ δύο μυλικὰ ἐργαστήρια ἐν τῇ τοιαύτῃ Δρυανουβαίνῃ. ὡσαύτως καὶ τὰ ἐν τῷ Βελεστίνῳ ἐξ ἀγορασίας αὐτῷ περιελθόντα ἀμπέλια καὶ τὸ ζευγηλατεῖον τὸ ἐκ προσενέξεως περιελθὸν αὐτῷ, ἤγουν ἡ ἀρόσιμος γῆ τῶν Βραστῶν. ἐπειδὴ τοίνυν τὸ τοῦ κρατίστου καὶ θεοστεφοῦς ἁγίου μου αὐτοκράτορος σεπτὸν χρυσόβουλλον ὑπ' ὄψιν ἦλθε τῆς ἡμῶν μετριότητος, καὶ ἔδει ἀκολούθως ἐπὶ τούτῳ προβῆναι καὶ σιγιλλιῶδες ὑπόμνημα ταύτης, μὴ παριδοῦσα τὴν τῶν εὐγενῶν βασιλικῶν προσγενῶν Κομνηνῶν καὶ κτητόρων αἴτησιν ἡ μετριότης ἡμῶν ὡς ἐπαινετὴν καὶ φίλην θεῷ τῇ παρὰ τοῦ παναγίου πνεύματος δοθείσῃ αὐτῇ ἀποστολικῇ ἐξουσίᾳ καὶ χάριτι διακελεύεται, ὡς ἂν πάντα τὰ προσόντα κτήματα τῇ τοιαύτῃ σεβασμίᾳ πατριαρχικῇ προδρομικῇ μονῇ τῇ Νέᾳ Πέτρᾳ μόνιμα, ἐλεύθερα, ἀνενόχλητα, ἀναπόσπαστα εἴη πάντη, ἀκαταζήτητά τε καὶ ἀναφαίρετα, πάσης καὶ παντοίας ἀμέτοχα ἐξουσίας καὶ διαστίξεως καὶ μηδεμίαν παρά τινος βλάβην ὑφίστασθαι ἢ ταύτην ἢ τὰ ἑαυτῆς κτήματα, ἤγουν τὸ γονικὸν κτῆμα τῶν Κομνηνῶν καὶ κτητόρων τὴν

ἐπάνω καὶ κάτω Δρυανούβαιναν μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, γῆς ὀρεινῆς καὶ πεδινῆς, ἀμπελώνων, χωραφίων καὶ μυλικῶν ἐργαστηρίων, τὰ τρία μετόχια ταύτης τὰ ἐν τῇ τοιαύτῃ Δρυανουβαίνῃ, ἡ ὑπεραγία θεοτόκος ἡ Πορταρέα, ὁ ἅγιος Νικόλαος, τὸ ἐπιλεγόμενον τοῦ Παλιρροπάτου καὶ τὸ ἕτερον τὸ καὶ αὐτὸ εἰς ὄνομα τῆς ὑπεράγνου θεομήτορος τιμώμενον καὶ λεγόμενον Ἡσυχαστήριον, ὅπερ καὶ ὡς δωρεὰν πατριαρχικὴν ὀφείλει ἔχειν ἡ μονὴ τοῦ Προδρόμου ἀναφαίρετον πάντη καὶ ἀδιάσειστον εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτοῦ, γῆς ὀρεινῆς καὶ πεδινῆς, ἀμπελώνων καὶ χωραφίων, χερσαίας γῆς καὶ τῶν προσκαθημένων αὐτῷ ἀνθρώπων καὶ πάντων κινητῶν καὶ ἀκινήτων πραγμάτων αὐτοῦ, τὰ ἐξ ἀγορασίας περιελθόντα ἀμπέλια καὶ χωράφια τῇ σεβασμίᾳ μονῇ παρὰ τοῦ Κομνηνοῦ οἰκήματα καὶ περιβόλια καὶ δύο μυλικὰ ἐργαστήρια ἐν τῇ τοιαύτῃ Δρυανουβαίνῃ, ὡσαύτως καὶ τὰ ἐν τῷ Βελεστίνῳ περιελθόντα παρ' αὐτοῦ ἐξ ἀγορασίας ἀμπέλια τῇ μονῇ καὶ τὸ ζευγηλατεῖον τὸ ἐκ προσενέξεως περιελθὸν τῇ εἰρημένῃ πατριαρχικῇ μονῇ τῇ καὶ Νέᾳ Πέτρᾳ ἐπικαλουμένῃ, ἤγουν ἡ ἀρόσιμος γῆ τῶν Βραστῶν. ἐπειδὴ δὲ διελάμβανεν ὁ τοιοῦτος σεπτὸς καὶ θεῖος βασιλικὸς χρυσόβουλλος λόγος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ὅτι καὶ τὸ προγεγονὸς τῇ τῆς Μακρινιτίσσης σεβασμίᾳ πατριαρχικῇ μονῇ σεπτὸν καὶ θεῖον χρυσόβουλλον τῆς ἁγίας αὐτοῦ βασιλείας ἐπιβεβαιοῖ καὶ ἐπικυροῖ, πρὸς δὲ ἐθέσπιζε καὶ μετὰ τὴν τῶν εὐγενῶν Κομνηνῶν καὶ κτητόρων παρέλευσιν, τὸν περιπόθητον υἱὸν αὐτῶν, ἀγαπητὸν υἱὸν ἐν ἁγίῳ πνεύματι τῆς ἡμῶν μετριότητος, εὐγενέστατον Κομνηνὸν κῦρ Ἰωάννην Ἄγγελον Μαλιασηνὸν τὸν Παλαιολόγον κληρονόμον τέλειον εἶναι πάντων τῶν γονικῶν αὐτοῦ, ὅσα παρὰ τῶν γονέων αὐτοῦ πρὸς αὐτὸν διαβαίνει, καὶ κτήτορα εἶναι καὶ ὀνομάζεσθαι τῶν μονῶν, τῆς τε οἰκοδομηθείσης παρὰ τοῦ μακαρίτου πάππου αὐτοῦ, τοῦ εὐγενεστάτου Κομνηνοῦ κῦρ Κωνσταντίνου Μαλιασηνοῦ Δούκα τοῦ Βρυεννίου, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος μοναχοῦ Κωνσταντίνου, καὶ τοῦ εὐγενεστάτου Κομνηνοῦ κῦρ Νικολάου Μαλιασηνοῦ τοῦ Ἀγγέλου οἰκοδομηθείσης, τοῦ πατρὸς αὐτοῦ, ἐπεὶ ταῦτα περιελάμβανε τὸ θεῖον καὶ σεπτὸν χρυσόβουλλον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἀκολούθως διορίζεται καὶ ἐπισκήπτει ἡ

μετριότης ἡμῶν τῇ θεόθεν δοθείσῃ αὐτῇ ἀποστολικῇ ἐξουσίᾳ καὶ χάριτι, κληρονόμον εἶναι τοῦτον πάντων τῶν πατρικῶν αὐτοῦ καὶ κτήτορα εἶναι καὶ ὀνομάζεσθαι τῶν δύο μονῶν, ὧν ἀτέραν μὲν ὁ πάππος αὐτοῦ, καθὼς προείρηται, ἀνήγειρε, τὴν δ' ἑτέραν ὁ πατὴρ αὐτοῦ τῷ βαπτιστῇ προδρόμῳ ἀνῳκοδόμηκε καὶ Νέαν Πέτραν ὠνόμασεν. ὁ δ' εἰς τοῦτο τόλμης ἀφιξόμενος ἀποσπάσαι τι ἀπὸ τῶν τοιούτων σεβασμίων πατριαρχικῶν μονῶν, κἂν ὁποίου ἄρα προσώπου καὶ ἀξιώματος εἴη, ὡς πειρᾶσθαι διασείειν καὶ διαλύειν, ἃ ἡ μετριότης ἡμῶν τῇ θεόθεν δοθείσῃ αὐτῇ ἐξουσίᾳ καὶ χάριτι ἐντέλλεται καὶ περιφρονητικῶς διατίθεται τῷ τῆς ἡμῶν μετριότητος σιγιλλιώδει ὑπομνήματι, οὗτος τὸ τοῦ θεοῦ μὴ ὄψαιτο πρόσωπον καὶ τὸν φρικώδη ἀφορισμὸν ἐχέτω τῆς ἡμῶν μετριότητος καὶ τῆς μακαρίας καὶ ζωαρχικῆς τριάδος, πόρρω βεβλήσθω, καὶ εἴη τὸ μέρος αὐτοῦ μετὰ τῶν σταυρωτῶν τοῦ Χριστοῦ, καὶ μὴ εἴη τούτῳ τὴν ἁμαρτίαν ταύτην ἑτέροις κατορθώμασιν ἀφανίζειν, καὶ πρὸ πάντων τῆς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος πειραθείη ὀργῆς, καὶ μὴ εἴη τούτῳ ὁ βοηθῶν. ὡς γὰρ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ θεσπίζει, μηδεὶς ἤτω ὁ παρακούων, ἵνα μὴ καὶ ὧν ἀπηριθμησάμην ἔνοχος εἴη, καὶ κληρονόμος τοῦ σκότους γενήσεται, ὡς ἀθετητὴς πατρικῶν διατάξεων καὶ ἀπονοίας ὅλος καὶ πρὸς τὰ θεῖα καὶ τὸν θεὸν ἀποθρασυνόμενος· διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν σιγιλλιῶδες ὑπόμνημα τῆς ἡμῶν μετριότητος καὶ ἐπεδόθη τῇ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ προδρόμου τῇ καὶ Νέα Πέτρα λεγομένῃ εἰς ἀσφάλειαν. ἐγράφη καὶ ὑπεγράφη πρὸς τῆς ἡμῶν μετριότητος κατὰ μῆνα ὀκτώβριον τῆς τρίτης ἰνδ. τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ τρίτου ἔτους.

XVI. 6779—1270, mense decembri, ind. XIV.

Patriarcha Iosephus confirmat donationem praedii Rasusae, quam monasterio Macrinitissae fecit presbyter Theodosius.

Γράμμα σιγίλλιον τοῦ αὐτοῦ πατριάρχου κυροῦ Ἰωσὴφ τὸ ς'.

[Conditor codicis sequenti acto haec praemittit prooemii causa: Ὃν τρόπον τοῖς βασιλεῦσι νόμος ἀνέκαθεν δέδοται, ἐκείνας τῶν

ὑποθέσεων καὶ πράξεων διὰ χρυσοβουλλίου λόγου ἐπιτελεῖν, ὅσαι θεσπισμάτων δύναμιν ἔχουσι καὶ παρ' ὅσαις τὸ ἀμετακίνητον προσεῖναι σκοπὸς εἰς περιειλημμένον ἅπαν ἐν αὐταῖς, τὰς δ' ἄλλας ὡς ἐν ὁρισμοῦ τύπῳ καὶ προστάγματος ἐκπληροῦν σεσημειωμένου δι' ἐρυθρῶν γραμμάτων τὸν μῆνα σαφῶς ὑποδηλούντων, καθ' ὃν ἔσχε διεκτεθὲν ἕκαστον, τὸν αὐτὸν δὴ λόγον καὶ τοῖς τὸν πατριαρχικὸν θρόνον τῆς Κωνσταντίνου λαχοῦσι κοσμεῖν ἐκ παλαιοῦ κεχάρισται σιγιλλιώδεσιν ὑπομνήμασιν ἐξασφαλίζεσθαι τὰς ἀναγκαίας τῶν ὑποθέσεων, τὰς δ' ἄλλας ἑτέρῳ τρόπῳ, δι' ἐγγράφων δηλαδὴ σημειώσεων ὑπογραφομένων κάτωθεν διὰ μέλανος τὸν μῆνα, καθ' ὃν ἕκαστον γέγονε συνήθως διεγχαράττοντος. ἐπεὶ οὖν αἱ προηγησάμεναι γραφαὶ πατριαρχικαὶ τόπον εἶχον σιγιλλιωδῶν ὑπομνημάτων, εἰκότως καὶ προσετέθησαν, αἱ δ' ἑτέρως ἔχουσαι γραφαὶ ταύταις ὑπόκεινται, πρὸς ἐκείνας τέως ἀναφερόμεναι, μᾶλλον δὲ πρὸς τὸν σκοπὸν ἀποτείνουσαι καὶ τὰ παρ' ἑαυτῶν εἰς τὴν τοῦ παρόντος ἔργου κατασκευὴν συνεισφέρουσαι, δηλώσει δὲ ἑαυτὴν ἑκάστη τιθεμένη σαφῆ παριστῶσα τὴν ὑπόθεσιν, καθ' ἣν προβᾶσα τῷ πολλῷ τούτῳ ἀνδρὶ περὶ τὸ ἀκριβὲς τῆς ἀσφαλείας τῶν οἰκείων μονῶν κεχορήγηται . . .]

Συνάγειν οἶδεν ἡ φύσις εἰς ἓν τὰ ταύτῃ κοινά. τοῦτο δὲ ἐπί τε τῶν μετεχόντων ζωῆς, ἐπί τε τῶν πάντῃ καθέστηκεν ἀψύχων ὁρᾶν. ἔνθεν τοι καὶ πραγμάτων ἐπὶ πάντων τοῦτο διαβεβήκει, καὶ μακρὸν ἂν εἴη καὶ οὐ τοῦ ἡμετέρου καὶ λόγου καὶ ἔργου τὸ περὶ τούτου φιλοσοφεῖν, οὗ δ' εἵνεκεν εἰς κορυφὴν προυκαθέσθη τοῦ λόγου ὁ περιπόθητος γαμβρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, εὐγενέστατος Κομνηνὸς, ἐν ἁγίῳ πνεύματι γνήσιος υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Νικόλαος ὁ Μαλιασηνὸς, συμφωνίας ἐνεφάνισε δισσὰς τῇ ἡμῶν μετριότητι, αἵτινες ἐγένοντο παρά τινος μοναχοῦ, Θεοδόσιος αὐτῷ τὸ ὄνομα, διαλαμβάνουσαι προσκυροῦσθαι παρ' αὐτοῦ τῇ σεβασμίᾳ πατριαρχικῇ μονῇ τῆς ὑπεράγνου μου θεομήτορος τῆς Μακρινιτίσσης, ἧς δομήτωρ ὁ τούτου πατὴρ, καὶ οὗτος τὸ ἡσυχαστήριον, τὴν Ῥάσουσαν, ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ καὶ αὐτὸ ὄν, ὡς ἂν εἰς μετόχιον εἴη τῇ ἀνωτέρω εἰρημένῃ μονῇ τῆς Μακρινιτίσσης, προσαρμόζειν τε ταύτῃ καὶ τὰ ἱερὰ καὶ τὰς βίβλους καὶ τἄλλα πάντα, ὅσαπερ ἐκεῖσε γέγραπται, τά τ' ἀπὸ δωρεᾶς τοῦ κτήτορος τῆς Μακρινιτίσσης προσγεγονότα τῷ διδασκάλῳ αὐτοῦ τῷ

ἀββᾶ κυρῷ Ἰωάννῃ καὶ ψυχικῆς ἕνεκα σωτηρίας αὐτοῦ δοθέντα τῷ ἡσυχαστηρίῳ, ὡς ἡ δηλωθεῖσα ἔγγραφος συμφωνία διαλαμβάνει, μόνον ἵνα τῷ ἀββᾷ Ἰωάννῃ προσῇ τὸ μνημόσυνον ὡς προσῆκον, καὶ ἐδεήθη τῆς ἡμῶν μετριότητος, ἵνα εἴπερ ἄξιον εἴη στέργειν τὰς τοιαύτας ὁμολόγους συμφωνίας, βεβαιωθείη διὰ γράμματος τῆς ἡμῶν μετριότητος σιγιλλιώδους. ἡ μετριότης οὖν ἡμῶν τἄλλα μὲν ἅπαντα, ὅσαπερ αἱ εἰρημέναι διαλαμβάνουσι συμφωνίαι, στέργειν διοριζομένη, τοῦτο μόνον ἀναιρεῖ τὸ μετακομισθῆναι τὸ λείψανον τοῦ ἀββᾶ Ἰωάννου ἀπὸ τοῦ ἡσυχαστηρίου πρὸς τὴν τῆς Μακρινιτίσσης μονήν, ὡς τῇ ἐκκλησίᾳ μὴ δοκοῦν· ἑνοῖ γὰρ ἀπὸ τῆς σήμερον ἡ μετριότης ἡμῶν τὸ εἰρημένον ἡσυχαστήριον τὴν Ῥάσουσαν τῇ τῆς ὑπεράγνου μου θεομήτορος μονῇ τῆς Ὀξείας Ἐπισκέψεως τῆς Μακρινιτίσσης ἐπικεκλημένῃ, καὶ ἐσεῖται αὐτῇ εἰς μετόχιον ἀναποσπάστως καὶ ἐσεῖται ταύτῃ, καθὼς ἡ μετριότης ἡμῶν διορίζεται, εἰς μετόχιον, καὶ ἐπικρατηθήσεται παρ' αὐτῆς, ὅσα δὴ καὶ γνήσιον, καθὰ καὶ τὰ λοιπὰ ταύτης μετόχια, ἐσεῖται δὲ μετὰ παντὸς δικαίου καὶ προνομίου αὐτοῦ καὶ πάντων τῶν προσόντων αὐτῇ κινητῶν, αὐτοκινήτων καὶ ἀκινήτων, δεσποζόμενον παρὰ τῆς πολλάκις ῥηθείσης πατριαρχικῆς μονῆς τῆς Μακρινιτίσσης. ὁ δὲ ἀββᾶς Ἰωάννης ἕξει τὸ μνημόσυνον αὐτοῦ ἔν τε τῷ μεγάλῳ μοναστηρίῳ καὶ τῷ μετοχίῳ, τοῦ λειψάνου αὐτοῦ ὀφείλοντος μένειν ἀμεταθέτου, ἐξ οὗπερ κατετέθη τόπου, ἐν ᾧ καὶ τὸν ἀσκητικὸν ἀγῶνα διήνυσεν. ὀφείλει μέντοι ὁ τῆς Μακρινιτίσσης ἡγούμενος ἱερομόναχον θεῖναι ἐν τῷ τοιούτῳ μετοχίῳ ἄνδρα τῶν εὐλαβῶν ἐπιστήμονα τῆς μοναδικῆς βιοτῆς τε καὶ καταστάσεως εἰς σωτηρίαν τῶν ἐκεῖσε δυναμένων ἐνασκεῖν μοναχῶν, εἰς βελτίωσιν τοῦ τόπου, εἰς ὑμνῳδίαν καὶ δοξολογίαν τοῦ θεοῦ καὶ χρᾶσθαι αὐτῷ, ὡς οἰκείῳ καὶ μέρει ὄντι καὶ μέλει τῆς ὑπ' αὐτὸν μονῆς. τὸν μέντοι δηλωθέντα μοναχὸν Θεοδόσιον σπουδάσει κυβερνῆσαι θεαρέστως καὶ τοὺς εἴπερ καὶ εὕρηνται μετ' αὐτοῦ μοναχοὺς ἕνα τυχὸν ἢ καὶ δεύτερον καὶ πρὸς τὰ σωτήρια διιθῦναι· εἰς γὰρ παντοίαν ὠφέλειαν καὶ πρὸ πάντων ψυχικὴν ὑποτιθέαμεν τὴν Ῥάσουσαν τῇ Μακρινιτίσσῃ πατριαρχικὴν οὖσαν πατριαρχικῷ ἐπιφανεῖ μοναστηρίῳ, ἐφ' ᾧ καὶ οὐδεὶς, ὁποῖος ἂν καὶ εἴη, τολμήσει παραποιῆσαι τὰ εἰρημένα, οὐδ' αὐτὸς ὁ ῥηθεὶς μοναχὸς Θεοδόσιος ἐκ μεταμελείας δυνήσεται ἀνατροπὴν τούτων ποιήσασθαι, ἀλλὰ καθέξει τὴν Ῥάσου-

σαν ἡ τῆς Μακρινιτίσσης μονὴ μετὰ πάντων τῶν . . . . . . [1])

. . . .

δοκειανὴν καὶ τόπιον τὸ ἐπιλεγόμενον τῆς Καλῆς τὸ χωρίον. ταῦτα καὶ τὰς βίβλους καὶ τὰ ἱερὰ καὶ εἴ τι ἕτερον τῇ ὁμολόγῳ συμφωνίᾳ ἐμπεριείληπται, ἀναποσπάστως καθέξει ἡ πλεονάκις ῥηθεῖσα τῆς Ὀξείας Ἐπισκέψεως μονή, ἡ καὶ τῆς Μακρινιτίσσης καλεῖται. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν σιγίλλιον τῆς ἡμῶν μετριότητος ἐπεδόθη γεγονὸς κατὰ τὸν δεκέβριον μῆνα τῆς τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ [ἑβδομηκοκοστοῦ ἐννάτου ἔτους], καὶ τῇ βούλ[λῃ μολιβδίνῃ ἀπῃωρημένῃ κατωχύρωται].

[1]) *Excissae sunt lineae quattuor*

XVII. 6781—1272, 28 novembris, ind. I.

Synodus confirmat praedium Rasusae subiectum esse monasterio Macrinitissae.

Πρᾶξις συνοδικὴ παρὰ τοῦ αὐτοῦ πατριάρχου.

Μηνὶ νοεμβρίῳ εἰκοστῇ ὀγδόῃ, ἡμέρᾳ ἕκτῃ, ἰνδικτιῶνος πρώτης, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἰωσὴφ ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, ὑπερτίμου καὶ ἐξάρχου Θρᾴκης καὶ Μακεδονίας, Λέοντος, τοῦ Νικομηδείας, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, Ἰωάννου, τοῦ Νικαίας καὶ ὑπερτίμου Θεοφάνους, τοῦ Ναυπάκτου, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος Σεβαστείας τῆς μεγάλης, Ἰωάννου, τοῦ Θεσσαλονίκης καὶ ὑπερτίμου Ἰωαννικίου, τοῦ Φιλιππουπόλεως καὶ ὑπερτίμου Γεωργίου, τοῦ Μαδύτων Ἰωάννου, τοῦ Λακεδαιμονίας καὶ ὑπερτίμου Θεοδοσίου, τοῦ Καντιμονείας Ἰωάννου, τοῦ Διδυμοτείχου Ἰωάννου, τοῦ Κυφέλλων Κωνσταντίνου, τοῦ Βρύσεως Ἰωάννου καὶ τοῦ Βερροίας Λέοντος, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Φυτεύει μὲν Παῦλος, ἀρδεύει δὲ Ἀπολλώς, θεὸς δὲ αὐξάνει, γράμματά φησί που τὰ ἱερά, ἀλλ' ἐκεῖ μὲν τὴν τότε ἀρτιφύτευτον ἐκκλησίαν ἐδήλου ἡ τροπολογουμένη Παύλῳ φυτεία, ἡ δὲ ἄρδεια καὶ ἡ αὔξησις, τὰ νῦν δὲ ἀπᾷδον οὐδέν, εἰ ταῦτα μετεγκεντρισθήσεται προσφυῶς πρὸς τὸ τοῦ λόγου δένδρον, ὅπερ ὁ παράδεισος τῆς παρού-

σης γραφῆς ὑποδείξει τῷ ἀκροατῇ ὡς θεατῇ· φυτεύει μὲν γὰρ κἀνταῦθα φυτείαν πνευματικὴν ἀνὴρ εὐγενὴς τὸ γένος, τὸν τρόπον θεοφιλής, τὸ σῶμα περιφανής, περιφανέστερος τὴν ψυχήν, ἀρδεύει δὲ ταύτην ὁ φὺς ἐξ ἐκείνου καὶ τῆς ἐκείνου φυτηκομίας διάδοχος, θεὸς δ' ἄνωθεν ἐπισφραγίζει τὴν αὔξησιν. καὶ φυτηκόμος μὲν ὁ μακαριστὸς ἐκεῖνος Κομνηνὸς κῦρ Κωνσταντῖνος ὁ Μαλιασηνός, φυτεία δὲ τῆς ἐκείνου σπουδῆς καὶ γνώμης ἀξία ἡ περὶ τὴν χώραν Δημητριάδος ἀνεγερθεῖσα παρ' ἐκείνου μονή, ἀρδεία δὲ ἡ παρὰ τοῦ περιποθήτου γαμβροῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, γνησίου δ' ἐκείνου υἱοῦ, ἀγαπητοῦ κατὰ κύριον υἱοῦ τῆς ἡμῶν μετριότητος, εὐγενεστάτου Κομνηνοῦ κῦρ Νικολάου τοῦ Μαλιασηνοῦ, ἐπιμέλεια τῆς μονῆς καὶ πρὸς τὸ κρεῖττον ἐπίδοσις. φθάνει μὲν γὰρ ὁ μακαρίτης ἐκεῖνος περὶ τὴν χώραν, ὡς εἴρηται, Δημητριάδος θεῖον ναὸν δείμασθαι ἐπ' ὀνόματι τῆς ὑπεράγνου μου θεομήτορος τῆς Ὀξείας Ἐπισκέψεως, ἥτις τῆς Μακρινιτίσσης κατονομάζεται, καὶ τὰ περὶ τὸν ναὸν εὖ μάλα καί, ὡς ἐχρῆν, πρὸς εὐπρέπειαν ἀπαρτίσαι, εὖ δὲ καὶ εἰς ἀνδρῶν μοναστῶν καταγώγιον οὗτος αὐτὴν κατεσκεύασε, χρήματα, κτήματα, πράγματα προσαφιερώσας πλούσια πάντα, ὅθεν τοῖς μοναχοῖς ἔσται διατροφὴ καὶ τοῦ τόπου σύστασις καὶ ἐπίδοσις· ἀλλ' ἔστιν ἰδεῖν μὴ μόνον ἐν τούτοις προκεχωρηκὸς τὸ τούτου πρόθυμον, ἀλλὰ καὶ ἐν οἷς περί τινα σεβάσμιον ἐνεδείξατο ἄνδρα μοναχὸν τὸ σχῆμα, μοναχὸν τὸν τρόπον, τὴν κλῆσιν Ἰωάννης, ὃς ἔωθεν ἀφικόμενος πρὸς δυσμὰς καὶ ἀκριβῆ δοκιμασίαν τῆς αὐτοῦ παρασχόμενος ἀρετῆς εἰς πνευματικὸν πατέρα τῷ μακαρίτῃ ἐκείνῳ γεγόνε Μαλιασηνῷ, καὶ ἐπεὶ ὁ μοναχὸς οὗτος χῶρον ἐκεῖσέ που κατεῖδε κοσμικῆς συγχύσεως ἔρημον, πρὸς ψυχικὴν συντείνοντα τὴν ὠφέλειαν, Ῥάσουσα τῷ χώρῳ τὸ ὄνομα, καὶ ἀπὸ τῶν δικαίων τοῦ εὐγενεστάτου Κομνηνοῦ κυροῦ Νικολάου τοῦ Μαλιασηνοῦ, ἡσυχαστήριον αὐτὸς ἀνεγείρει, ὁ δὲ Κομνηνὸς κῦρ Νικόλαος ὁ Μαλιασηνὸς τὰ πρὸς οἰκοδομὰς ἀναλώματα καταβάλλει καὶ θεὸς τὴν τελείωσιν ἐπιχορηγεῖ, ὅθεν πᾶν ἔργον εὐδοκίας ἐστὶν ἀγαθόν, ἐπεὶ γὰρ εἰς ἄνδρας προέκοψε μονάζοντας δυοκαίδεκα τὸ ἡσυχαστήριον σπουδαῖς μὲν τοῦ μοναχοῦ· τοῖς δὲ τοῦ περιποθήτου γαμβροῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος εὐγενεστάτου Κομνηνοῦ, ἀγαπητοῦ κατὰ κύριον υἱοῦ τῆς ἡμῶν μετριότητος, κυροῦ Νικολάου τοῦ Μαλιασηνοῦ, ἀναλώμασι. καὶ

ἐπὶ τούτοις πρῶτον εἰς μαθητείαν αὐτοῦ τετύπωκε τὸν μοναχὸν Θεοδόσιον, ὥστε φέρειν τὰ τούτου δευτερεῖα. ἀπρόοπτον οὗτος θάνατον θνήσκει, καὶ ἡ προστασία τῶν ἀδελφῶν κατὰ τὴν τοῦ γέροντος ἐκλογὴν διαβαίνει πρὸς Θεοδόσιον, καὶ προΐσταται τούτου καὶ τοῦ ἡσυχαστηρίου κρατεῖ. ἀλλὰ μετὰ τὴν προστασίαν ὁ Θεοδόσιος βουλὴν βουλεύεται κρείττονα καὶ φθάνει τοῦτο δὴ τὸ ἡσυχαστήριον μετὰ τοῦ ἀγριδίου αὐτοῦ; ὃ τοῦ Ζερβοῦ τῆς Καλῆς ἐπικέκληται, ὑπὸ τὴν ἐκεῖσε περιφανῆ μονὴν ἀναθεῖναι τῆς ὑπεράγνου μου θεομήτορος τῆς Μακρινιτίσσης διὰ γράμματος ἐγχαραχθέντος κατὰ λέξιν παρ' αὐτοῦ ἅτε γονικοῦ ὄντος τῷ Κομνηνῷ, καθὼς ὁ ἀπογραφεὺς Ἄγγελος ἐγγράφως διομολογεῖ, καὶ τὴν σύστασιν εἰληχότων καὶ ἑκατέρων τῶν ἱερῶν φροντιστηρίων παρ' ἑκατέρων τοῦ υἱοῦ δηλαδὴ μετὰ τὸν πατέρα καὶ ὑπὸ μίαν τελούντων διοίκησιν τῆς πατριαρχικῆς μεγαλειότητος. ἐπεὶ δὲ καὶ ὑπέθετο τὸ ἡσυχαστήριον οὕτως ὁ Θεοδόσιος ἐν ἀσαλεύτῳ τῆς γνώμης, ὁ περιπόθητος γαμβρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, εὐγενέστατος Κομνηνὸς κῦρ Νικόλαος ὁ Μαλιασηνός, σιγίλλιον ἐπὶ τῇ τοιαύτῃ ὑποταγῇ λαμβάνει τῆς ἡμῶν μετριότητος, ἔτι δὲ καὶ ὑπόμνημα ταύτης εἰς ἀναφαίρετον δεσποτείαν τοῦ ἡσυχαστηρίου δι' ἐμπεδώσεως βάρους ἀφορισμοῦ, καὶ ἐπὶ τούτοις σεπτὸν χρυσόβουλλον λόγον πορίζεται τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ὡς ἂν εἴη τοῦ λοιποῦ ὑπὸ τὴν τῆς Μακρινιτίσσης μονὴν ὡς τὰ λοιπὰ ταύτης μετόχια ἀμεταποίητον μέχρι παντός· ἐπεὶ δὲ τὴν σήμερον ἐκεῖθεν ἐκ τῆς τοῦ ἡσυχαστηρίου τῶν ἀδελφῶν ὁμηγύρεως εἴς τις μοναχὸς ἀφίκετο, (Ἀκάκιος τούτῳ τὸ ὄνομα), καὶ περὶ τοῦ ἡσυχαστηρίου ἔγκλησιν ἐποιεῖτο, ὡς γνώμης δίχα τοῦ λοιποῦ πληρώματος ὑπετέθη παρὰ τοῦ μοναχοῦ Θεοδοσίου τῇ τῆς Μακρινιτίσσης μονῇ· ὁ δὲ Θεοδόσιος ἦν καὶ οὗτος ἐκεῖθεν ἐλθὼν συμπαριστάμενος τούτῳ καὶ στέργων τὰ πεπραγμένα αὐτοῦ, καθὼς ἐβεβαίου, ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἀρχιερέων στέργουσα τὰ τοῦ γράμματος, ἐπεὶ πολλαπλῆν ἐφευρίσκει τὴν ὠφέλειαν, τὴν ἀθάνατον δηλαδὴ μνήμην τοῦ γέροντος ἐκείνου Ἰωάννου, τὴν πνευματικὴν ἐπὶ τὸ βέλτιον διαγωγὴν τῶν ἐκεῖσε ἀδελφῶν καὶ τὴν τοῦ ἡσυχαστηρίου σύστασιν καὶ ἐπίδοσιν, ηὐδόκησεν εἶναι τὸ ἡσυχαστήριον ὑπὸ τὴν τῆς Μακρινιτίσσης μονὴν ὡς μετόχιον νῦν τε καὶ εἰς αἰῶνα τὸν ἅπαντα καὶ οὐ παρὰ τοῦτο τοῖς ἐκεῖσε μοναχοῖς, ὡς λόγος εὔλογος προτεθήσεται,

ὅτι γνώμης αὐτῶν δίχα ὁ Θεοδόσιος εἰς μετόχιον ὑπεβίβασεν αὐτό, ἀλλὰ τὸ μὲν ἡσυχαστήριον εἰς μετόχιον ἔσται τῇ πρωτοτύπῳ τῆς Μακρινιτίσσης μονῇ, τῶν ἐν τῷ ἡσυχαστηρίῳ μοναχῶν οἱ βουλόμενοι ἢ ἐν αὐτῷ τῷ ἡσυχαστηρίῳ τὸν ἀσκητικὸν διανύσαιεν δρόμον τῷ καθηγουμένῳ τῆς πρωτοτύπου μονῆς ὑποκείμενοι ἢ ἐν τῇ πρωτοτύπῳ τῆς μονῆς μεταχωρήσαιεν, εἴγε τοῦτο ἀρέσκον αὐτοῖς, ὅτι ἀπάρτι οὐκ ἔσται παρὰ τοῦτο ἕτερον, οὐδὲ μετατραπείη τὰ τῇ συνόδῳ δόξαντα, ἀλλὰ τοῦ λοιποῦ . . . .
ἔθημα . . . . κεκρατηκότα ἀνέκαθεν, ἀλλ' οὐδ' εἰ μετάμελόν ποτε σχοίη ὁ Θεοδόσιος ἐξ ὑποθήκης τινῶν, ὥστε τὸ ἡσυχαστήριον πειρᾶσθαι τῆς πρωτοτύπου διαχωρίσαι μονῆς· ἡ γὰρ τούτου ἐγγραφὴ φρικώδης ταῖς τῶν εὐσεβῶν ἀκοαῖς διὰ τὸ τῆς πράξεως ἰσχυρόν τε καὶ βέβαιον. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας . . . . .

Finis deest.

Pasini, p. 338. Excissae sunt lineae tres.

XVIII. Sine anno, mense februario, ind. III.

Arsenius, episcopus Demetriadis, profitetur, monasterium Macrinitissae esse stauropegium.

Γράμμα τοῦ Δημητριάδος κυροῦ Ἀρσενίου πρὸς τὸν Κομνηνὸν κῦρ Κωνσταντῖνον τὸν Μαλιασηνὸν καὶ κτήτορα πρῶτον.

Καρπὸς τὸ δένδρον, ὅθεν ἐξέφυ παρέστησε . . . καὶ πρᾶξις τὴν τεκοῦσαν ἤδη προαίρεσιν ὑπεσήμανε, κἂν μὲν ἀγαθὰ τὰ βλεπόμενα κἀκεῖνα πάντως τὰ μὴ φαινόμενα. ταῦτα δ' ἂν εἶεν πονηρὰ καὶ κατηγορούμενα τῆς αὐτῆς κἀκεῖνα πέφυκε τάξεως· χρηστὸν οὖν ἔργον καὶ λίαν θεοφιλὲς ἐργασάμενος ὁ περιφανὴς τὴν ἀρετὴν οὐχ ἧττον ἢ τὴν κατὰ κόσμον εὐγένειαν Κομνηνὸς κῦρ Κωνσταντῖνος ὁ Μαλιασηνός, ὁ ἐπ' ἀνεψιᾷ γαμβρὸς τοῦ κυροῦ Θεοδώρου Κομνηνοῦ τοῦ Ἀγγέλου, ἔδειξεν ἐντεῦθεν, οἵαν αὐχεῖ καλλίστην προαίρεσιν. τὸ δ' ἔργον . . . . δος ταύτην λέγω τὴν ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου τῆς Μακρινιτίσσης καὶ πρὸς τὴν πατριαρχικὴν ἐφορείαν ταύτην ἀναθεῖναι. ὡς γοῦν

ἤφατο προθύμως τοῦ ἔργου, συνεργὸν ἔλαβε ἐπὶ τούτῳ καὶ ἐμὲ τὸν ἀνάξιον ἐπίσκοπον Δημητριάδος, Ἀρσένιον μοναχόν,· τὰς δαπάνας μὲν αὐτὸς καταβαλών, τὰς ἐξόδους, τὴν ὕλην ἅπασαν, ἐμοὶ δὲ τὴν ἐπιστασίαν τῶν οἰκοδομούντων καὶ τῶν ὑπηρετούντων ἐμπιστευσάμενος, εἰδώς, ὡς ἕξει μὲν οὗτος τὸν μισθὸν παρὰ θεοῦ ἐντελόμισθον, προξενήσει δὲ καὶ ἡμῖν, οὓς ἀδελφοὺς γνησίους στέργει τε καὶ ποθεῖ τὴν παρὰ θεοῦ ἀναλόγως ἐν τοῖς τοιούτοις ἀντίδοσιν. εἶχε μὲν οὖν ταῦθ' οὕτως, ἀλλ' ἐδειλίασε φόβον ὁ πανευγενέστατος Κομνηνὸς καὶ φόβον ἀξιεπαίνετον· ἀναλογισάμενος γάρ, ὡς ἐπεὶ τοῦ τοιούτου ἔργου ἐπιστάτης ἐγώ, μή πως μετὰ τὴν ἐμὴν ἀποβίωσιν ὁ μετ' ἐμὲ ἐπίσκοπος τῆσδε τῆς χώρας ὑπὸ τὴν οἰκείαν ἐξουσίαν ταύτην ποιήσηται τὴν μονὴν καὶ τῆς πατριαρχικῆς, ἴσως ἐφορείας ἀποστερήσῃ, ἐζήτησε τὴν ἐμὴν ταπεινότητα βεβαιώσασθαι τοῦτο δι' ἐνυπογράφου αὐτῆς γράμματος, μηδέποτε τοιουτῳδήτινι ἐπιχειρῆσαι κατὰ τῆσδε τῆς σεβασμίας μονῆς, ἀλλὰ καὶ τοῖς μετ' αὐτὴν ὅσον ἔχει ἰσχύος ἐμποδίσαι καὶ ἀποτρέψαι τοῦ τοιούτου σκοποῦ. ὡς εὔλογον οὖν καὶ δικαίαν τὴν αἴτησιν τοῦ δηλωθέντος πανευγενεστάτου Κομνηνοῦ γνοῦσα ἡ ταπεινότης ἡμῶν, μαρτύρεται τῷ τοιούτῳ διὰ τῆς παρούσης αὐτῆς γραφῆς, μηδέποτε μετὰ θάνατον τούτου τοῖς τῆς ἐπισκοπῆς προνομίοις ὑποθεῖναι τὴν τοιαύτην μονήν· δεῖ γὰρ ἡμᾶς πρῶτον τὴν περὶ τούτου ποιῆσαι ἀσφάλειαν μὴ μέρος αὐτῆς, μή τι τῶν ἐκτὸς ἢ τῶν ἐντὸς τῶν πόρρω ἢ προσεχῶν, ἀλλὰ φυλάξαι ταύτην ἐλευθέραν, ὡς ἔχει μέχρι τῆς σήμερον, ἅτε τῇ πατριαρχικῇ μεγαλειότητι ὑποκειμένην καὶ παρ' ἐκείνης ἐφορεύεσθαι καὶ ἐπισκέπτεσθαι μέλλουσαν, ὅθεν καὶ οἱ μετ' ἐμὲ τῆς Δημητριάδος θεοφιλέστατοι ἐπίσκοποι φυλάξουσι τήνδε τὴν σεβασμίαν μονὴν ἐλευθέραν πάντη καὶ ἀκαταδούλωτον, καθὼς καὶ ἡ ἐμὴ ταπεινότης πεποίηκεν, ὑφορωμένοι, ὡς εἰ ἕτερόν τι διαπράξαιεν, ὑποποιήσασθαι τὴν τοιαύτην βουληθέντες μονήν, ἕξουσιν ἐπὶ τούτῳ ἀντιδίκους ἐν τῷ μέλλοντι φοβερῷ τοῦ κυρίου καὶ θεοῦ ἡμῶν δικαστηρίῳ τόν τε πανευγενέστατον Κομνηνὸν κῦρ Κωνσταντῖνον τὸν Μαλιασηνὸν καὶ τὴν ἐμὴν ταπεινότητα, ἔτι δὲ καὶ τὴν πατριαρχικὴν ἐνταῦθα δικαίαν καὶ εὔλογον ἀγανάκτησιν. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα γραφὴ τῆς ἡμῶν ταπεινότητος τῷ πανευγενεστάτῳ Κομνηνῷ κυρῷ Κωνσταντίνῳ τῷ Μαλιασηνῷ δι' ἀσφάλειαν. Μηνὶ φευρουαρίῳ ἰνδ. τρίτης.

XIX. Sine anno, mense septembri, ind. III.

Sebastocrator Ioannes Comnenus Palaeologus confirmat monasterio Macrinitissae possessionem praedii domini Hilarionis in Almyro.

Γραφὴ τοῦ σεβαστοκράτορος κυροῦ Ἰωάννου Κομνηνοῦ τοῦ Παλαιολόγου, οὔπω δεσπότου τυγχάνοντος.

Ἐπεὶ ἡ κατὰ τὸ μέρος τῆς Δημητριάδος διακειμένη σεβασμία μονὴ τῆς οὕτω πως ἐπονομαζομένης τῆς ὑπεραγίας Θεοτόκου τῆς Μακρινιτίσσης ἐκέκτητο ἐν τῇ χώρᾳ τοῦ Ἁλμυροῦ μετόχιον τὸ ἐπονομαζόμενον τοῦ κυροῦ Ἱλαρίωνος, ὅπερ δὴ μετόχιον προσεπιδέδωκε πρό τινος καιροῦ ὁ μακαρίτης ἐκεῖνος Κομνηνὸς ὁ Μαλιασηνὸς ψυχικῆς αὐτοῦ ἕνεκεν σωτηρίας, ἔφθασε δὲ ἀποσπασθῆναι ἀπὸ τῆς ῥηθείσης μονῆς τὸ τοιοῦτον μετόχιον τοῦ κῦρ Ἱλαρίωνος πρὸ ὀλίγου παρὰ τῶν προαυθευόντων τὴν τοιαύτην χώραν δεσποτῶν διὰ τὸ ἔχειν ἀπεχθῶς ἐπὶ τῷ Μαλιασηνῷ ἐκείνῳ, ἐν ᾧ δὴ μετοχίῳ τοῦ κῦρ Ἱλαρίωνος προσεπεκυρώθη καὶ γῆ χωραφιαία ὡσεὶ μοδίων πεντακοσίων παρὰ τοῦ Μαλιασηνοῦ ἐκείνου καὶ κτήτορος, καὶ ἐδεήθησαν οἱ ἐν τῇ τοιαύτῃ πατριαρχικῇ μονῇ τῆς Μακρινιτίσσης ἀσκούμενοι μοναχοί, ὡς ἵνα καὶ αὖθις ἐπαναστραφῇ τὸ ῥηθὲν μετόχιον τοῦ κῦρ Ἱλαρίωνος σὺν τοῖς ὑπ' αὐτοῦ κατεχομένοις κτήμασι πρὸς τὴν ῥηθεῖσαν μονήν, τυχεῖν γραφῆς τῆς βασιλείας μου εἰς ἐπιστηριγμὸν καὶ ἀσφάλειαν τῆς τοιαύτης πατριαρχικῆς μονῆς, τῆς δεήσεως αὐτῶν ἐπακούσασα ἡ βασιλεία μου παρακελεύεται διὰ τῆς παρούσης αὐτῆς γραφῆς, ὡς ἵνα καὶ αὖθις κατέχηται τὸ μετόχιον τοῦ κῦρ Ἱλαρίωνος παρὰ τῆς μονῆς τῆς Μακρινιτίσσης μετὰ καὶ πάντων τῶν προσκυρωθέντων αὐτῷ παρὰ τοῦ Μαλιασηνοῦ ἐκείνου καὶ κτήτορος, ἀλλὰ δὴ καὶ τῆς γῆς τῆς δοθείσης αὐτῇ . . . . . τος παντάπασιν ἀνεπηρέαστος ἀπὸ παντὸς δημοσιακοῦ φορολογήματος κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῷ παλαιγενῶν δικαιωμάτων τῇ ἐμφανείᾳ τῆς παρούσης γραφῆς τῆς βασιλείας μου. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῆς Μακρινιτίσσης καὶ ἡ παροῦσα γραφὴ τῆς βασιλείας μου δι' ἀσφάλειαν μηνὶ σεπτεβρίῳ ἰνδ. τρίτης.

Σεβαστοκράτωρ ὑπογέγραπ αι κάτω
καὶ δοῦλος αὐτάδελφος, ὡς ἔστιν ἔθος,
τοῦ κρατίστου καὶ κρατοῦντος Αὐσόνων.

XX. Sine anno, mense octobri, ind. II.

Sebastocrator Ioannes Comnenus Palaeologus decernit, vicum Cyracalae Zerbi restituendum esse monasterio Macrinitissae, ei olim donatum a Nicolao Maliaseno.

Γραφὴ τοῦ αὐτοῦ.

Ἐπεὶ τὸ χωρίον τὸ ἐπιλεγόμενον τῆς Κυρακαλῆς τοῦ Ζερβοῦ τὸ καὶ διακείμενον ἐν τῇ Ζαγορᾷ ἔνι διαφέρον γονικόθεν τῷ οἰκείῳ τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ καὶ περιποθήτῳ μοι γαμβρῷ κῦρ Νικολάῳ τῷ Μαλιασηνῷ καὶ ἀφιέρωσε τοῦτο αὐτὸς ὡς κτήτωρ τῇ σεβασμίᾳ αὐτοῦ μονῇ τῇ ἐπ' ὀνόματι τιμωμένῃ τῆς ὑπεράγνου μου θεομήτορος Ὀξείας τῆς Ἐπισκέψεως, ἐπικεκλημένῃ δὲ τοπικῶς Μακρινιτίσσῃ, ἐδέησε δὲ καὶ δέδωκα τοῦτο αὐτὸς τῷ Ζωριάνῳ διά τινα καιρικὴν περιπέτειαν, οἱ δὲ ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ μοναχοὶ στερηθέντες τοῦ τοιούτου κτήματος οὐχ ὑπέμενον τῇ στερήσει κάμνειν αὐτοῦ ὡς διὰ χρυσοβούλλου λόγου προσκυνητοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τῇ κατ' αὐτοὺς μονῇ ἐπιβραβευθέντος, ὅθεν καὶ κατέλαβον πρός με καὶ περὶ τοῦ τοιούτου χωρίου ἐξεῖπόν μοι, μὴ δεῖν οἰηθεὶς αὐτὸς καὶ ἐπὶ τούτου στερεῖσθαι αὐτούς, ἀλλὰ κρίνας ἄξιον, ὅπερ ἔσχον ἐκ τῆς ἐλεημοσύνης τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως διὰ χρυσοβούλλου λόγου προσκυνητοῦ κεκτῆσθαι τοῦτο, παρακελεύομαι διὰ τῆς παρούσης μου γραφῆς, ἵνα καὶ αὖθις ἡ τοιαύτη σεβασμία μονὴ ἐπιλάβηται τοῦ τοιούτου κτήματος καὶ κατέχῃ τοῦτο καὶ νέμηται, ὡς τὸ πρότερον, κατὰ τὴν περίληψιν τοῦ προσόντος αὐτῇ χρυσοβούλλου λόγου τοῦ αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου καὶ τὴν ἐξ αὐτοῦ ἅπασαν πρόσοδον ἀποφέρηται. ὡς ἂν ἐκτενέστερον ὑπερεύχωνται οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοὶ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως. ἐπὶ τούτῳ γὰρ γεγονυῖα ἡ παροῦσα μου γραφὴ ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ εἰς ἀσφάλειαν μηνὶ ὀκτωβρίῳ ἰνδ. δευτέρας.

Ἁπλούστερον νῦν ὑπογέγραπται κάτω
Παλαιολόγος Ἰωάννης καὶ μόνον
καὶ δοῦλος αὐτάδελφος, ὡς εἰθισμένον
. . . . . ος . . . ἁπάσης Ῥωμαΐδος.

XXI. Sine anno, mense septembri, ind. XI.

Despota Ioannes Comnenus Palaeologus donat monasterio Macrinitissae praedium S. Demetrii prope vicum Megalae.

Γραφὴ τοῦ αὐτοῦ, δεσποτου τυγχάνοντος.

Περιπόθητε γαμβρὲ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, πανσέβαστε λογοθέτα τοῦ δρόμου καὶ περιπόθητέ μοι γαμβρέ, κῦρ Βασίλειε Μετρητόπουλε. ἐπεὶ οἱ ἀπὸ τῆς σεβασμίας μονῆς τῆς πανυπεραγνου μου θεομήτορος τῆς Ὀξείας Ἐπισκέψεως, τῆς οὕτω πως ἐπικεκλημένης τῆς Μακρινιτίσσης ἀσκοῦντες μοναχοὶ ἀνήνεγκάν μοι, ὅτι εἶχον εἰς τὸ μετόχιον αὐτῶν τὴν Κριποῦς γῆν ἀρόσιμον, ἐξ ἧς ἐπορίζοντο τὰ πρὸς ζωὴν αὐτῶν, συνέβη δὲ ἀπὸ τῆς καταφορᾶς τοῦ ὕδατος καὶ ἔχυσε τὸ βάλτον καὶ . . . . τῶν προθύρων τοῦ τοιούτου μονιδίου τοῦ καὶ μετοχίου τοῦ ἁγίου Νικολάου ἐπονομαζομένου, μὴ ἔχοντες οἱ μοναχοὶ ὅτι καὶ δράσειεν ἐδεήθησαν μου, ἵνα ἀντὶ τῆς τοιαύτης γῆς τῆς καταποθείσης ἀπὸ τοῦ ὕδατος ἐπιδοθῇ πρὸς αὐτὸν ἑτέρα ἀρόσιμος γῆ, ὅπως ἔχωσιν οἱ μοναχοὶ τὰ πρὸς ζωάρκειαν αὐτῶν, παρακελεύομαί σοι διὰ τῆς παρούσης μου γραφῆς, ἵνα ἐπιδώσεις πρὸς τὴν τοιαύτην σεβασμίαν μονὴν τὴν καὶ Ὀξείαν Ἐπίσκεψιν τῆς Μακρινιτίσσης τὸ μονίδιον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος καὶ μυροβλύτου Δημητρίου τὸ σύνεγγυς τοῦ χωρίου τῆς Μεγάλης, ἀμέτοχον δὲ ὂν ἀπὸ τοῦ τοιούτου χωρίου ἔκπαλαι καὶ ἐς δεῦρο, ὃ δὴ μονίδιον καὶ προσεκυρώθη οἰκείᾳ βουλῇ καὶ γνώμῃ καὶ προαιρέσει καὶ οἰκείῳ θελήματι παρὰ τοῦ κτήτορος ἐκείνου τοῦ μοναχοῦ κῦρ Διονυσίου εἰς τὴν τοιαύτην σεβασμίαν μονὴν τῆς Ὀξείας Ἐπισκέψεως ἔτι τῷ βίῳ περιόντος καὶ ἀποκαταστήσῃς τοῦ ἔχειν οἱ μοναχοὶ τοῦτο ψυχικῆς ἕνεκα σωτηρίας τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως μετὰ πάσης τῆς περιοχῆς αὐτοῦ καὶ διακρατήσεως ἔξω πάσης καὶ παντοίας ἐπηρείας καὶ ὀχλήσεως δημοσιακῆς, μή τινος τῶν ἁπάντων διασείοντος

, παρενοχλοῦντος τοῖς μοναχοῖς ἐπὶ τῇ κατοχῇ καὶ νομῇ τούτου τὸ σύνολον, ἀλλ' εἰς κυρίαν δεσποτείαν καὶ αὐθεντίαν κατέχωσι τοῦτο οἱ μοναχοὶ ὡς οἷα μετόχιον αὐτῶν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ὅπως καὶ οἱ μοναχοὶ οὐ παύσωνται ὑπερεύχεσθαι τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως. ποίησον οὖν, καθὼς σοι παρακελεύομαι ἀντιστρέψας τοῖς διαλεφθεῖσι μοναχοῖς τὴν παροῦσάν μου γραφὴν δι' ἀσφάλειαν, ἵνα τῇ ἐμφανείᾳ ταύτης ἀποπέμπωνται καὶ ἀποκρούωνται καὶ ἀποσκορακίζωνται οἱ βουλόμενοι πειρᾶν καὶ ἐνοχλεῖν καὶ διασείει‿ καὶ λέγειν τι πρὸς τὸ μέρος τῆς μονῆς. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσά μου γραφὴ καὶ ἐπεδόθη τῷ μέρει τῆς μονῆς δι' ἀσφάλειαν μηνὶ σεπτεβρίῳ ἰνδ. ἑνδεκάτης.

Ὁ δεσπότης μὲν ὑπογέγραπται κάτω.

Πλὴν δοῦλος αὐτάδελφος.

Τοῦ καὶ κρατίστου καὶ κρατοῦντος Αὐσόνων.

Παλαιολόγου Μιχαὴλ βασιλέως.

XXII. Sine anno, mense augusto, ind. XI.

Despota Ioannes Comnenus Palaeologus praedium domini Hilarionis et alias possessiones, quas monasterium Macrinitissae tenet in Almyro, eximit de tributis.

Γραφὴ τοῦ δεσπότου Κομνηνοῦ τοῦ Παλαιολόγου.

Ἐπεὶ τῇ σεβασμίᾳ πατριαρχικῇ μονῇ τῆς ὑπεράγνου μου θεομήτορος τῆς Μακρινιτίσσης τῆς Ὀξείας Ἐπισκέψεως τῆς ἐν τῷ ὄρει τοῦ Δρόγγου διακειμένης, τῆς καὶ ἐκ βάθρων ἀνεγερθείσης παρὰ τοῦ μακαρίτου ἐκείνου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ καὶ αὐτοῦ δὴ τοῦ υἱοῦ ἐκείνου, τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου κῦρ Νικολάου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ πρόσεισι παλαιγενῆ δικαιώματα καὶ πατριαρχικὰ σιγίλλια διαλαμβάνοντα ἔχειν αὐτήν τε καὶ τὰ ὑπ' αὐτὴν μετόχια ἐλευθερίαν παντοίαν καὶ ἀνενοχλησίαν, ὧν ἔστιν ἓν καὶ ἡ παρὰ τοῦ τοιούτου κτήτορος προσκυρωθεῖσα μονή, ἡ ἐν τῷ Ἁλμυρῷ διακειμένη καὶ ἐπιλεγομένη τοῦ κυροῦ Ἱλαρίωνος, οἱ δὲ δημοσιακῶς ἐνεργοῦντες τῷ τότε ὑπέθεντο τελεῖν ἐτησίως αὐτὴν μετὰ τῶν προσκαθημένων ἐκεῖσε πτωχῶν καὶ ἀμπελουργῶν πρὸς τὸ μέρος τοῦ δημοσίου ὑπέρπυρα εἴκοσι τρία δίμοιρον, ὡσαύτως δὴ ὑπέθεντο

καὶ ἕτερα ὑπέρπυρα δέκα εἰς τὰ ἐξ ἀγορασίας περιελθόντα αὐτῇ ἀμπέλια ἐν τῷ Ἁλμυρῷ τοῦ Μορίβορι τὰ εἰς τὴν Μαγούλαν μετὰ τῆς ἐκεῖσε ἐκκλησίας τοῦ σωτῆρος μου Χριστοῦ, ἅπερ δὴ καὶ ἐξεκόπησαν παρὰ τῶν δεσποτῶν ἐκείνων, τοῦ τε κυροῦ Μανουὴλ καὶ τοῦ κυροῦ Μιχαὴλ, ηὐδόκησε δὲ ἀρτίως ὁ παντοκράτωρ θεὸς, γενέσθαι τὴν τοιαύτην χώραν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως διὰ τῆς ἐλεημοσύνης τῆς κραταιᾶς καὶ ἁγίας αὐτοῦ βασιλείας, παρακελεύομαι μένειν καὶ αὖθις ἀπαρασάλευτον τὴν τοιαύτην ἐκκοπὴν τῶν δηλωθέντων εἴκοσι τριῶν διμοίρου ὑπερπύρων τοῦ μετοχίου τῆς εἰρημένης μονῆς τοῦ κυροῦ Ἱλαρίωνος καὶ τῶν δέκα ὑπερπύρων τῶν δηλωθέντων ἀμπελίων, ὥστε εἶναι τοὺς μοναχοὺς ἀνενοχλήτους πάντη καὶ ἀταράχους παρὰ τοῦ μέρους τοῦ δημοσίου καὶ κατέχειν αὐτοὺς τὸ τοιοῦτον μετόχιον, ὡς τὸ πρότερον κατὰ τὴν προγενομένην αὐτοῖς ἡμετέραν σεβαστοκρατορικὴν γραφὴν, ἐφ' ᾧ καὶ ὁ νῦν κεφαλατικεύων τὴν τοιαύτην χώραν, περιπόθητος γαμβρὸς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, πανσέβαστος λογοθέτης τοῦ δρόμου καὶ περιπόθητός μοι γαμβρὸς κῦρ Βασίλειος ὁ Μετρητόπουλος καὶ οἱ μετ' αὐτὸν δημοσιακῶς ἐνεργήσοντες οὐκ ὀφείλουσιν ὅλως ὄχλησίν τινα παρεισάγειν τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ ἕνεκα τῶν δηλωθέντων ὑπερπύρων, ἀλλ' ἐᾶν αὐτὴν ἀνενόχλητον πάντη καὶ ἀδιάσειστον καὶ ἀπ' αὐτῆς δὴ τῆς ἐπερχομένης τῇ χώρᾳ διανομῆς. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ τῆς ὑπεράγνου μου θεομήτορος τῆς Μακρινιτίσσης τῆς Ὀξείας Ἐπισκέψεως καὶ ἡ παροῦσα ἡμετέρα γραφὴ εἰς παντελῆ ἐλευθερίαν αὐτῆς καὶ ἀνενοχλησίαν μ η ν ὶ α ὐ γ ο ύ σ τ ῳ ἰ ν δ ι κ τ ι ῶ ν ο ς ἑ ν δ ε κ ά τ η ς.

Pasini, p. 345.

XXIII. Sine anno, mense decembri, ind. XII.

Despota Ioannes Comnenus Palaeologus iubet monasterio Macrinitissa reddi vicum Capraenam.

Γ ρ α φ ὴ τ ο ῦ δ ε σ π ό τ ο υ Κ ο μ ν η ν ο ῦ τ ο ῦ Π α λ α ι ο λ ό γ ο υ.

Περιπόθητε γαμβρὲ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, πανσέβαστε λογοθέτα τοῦ δρόμου καὶ περιπόθητέ μοι γαμβρὲ, κῦρ Βασίλειε Μετρητόπουλε. παρακελεύομαί σοι, ὡς ἂν πα-

ραδώσεις τῇ μονῇ τῆς ὑπεράγνου μου θεομήτορος τῆς Ὀξείας Ἐπισκέψεως τῆς Μακρινιτίσσης τὸ χωρίον τὴν Κάπραιναν μετὰ πάντων τῶν διαφερόντων τούτῳ δικαίων καὶ προνομίων, καθὼς κατεῖχε τοῦτο καὶ πρότερον καὶ ἐνέμετο ἀνενοχλήτως, τοῖς δὲ γε κατέχουσι τοῦτο Τζέκωσιν ἐπίδος ἑτέρωθι ἰσόποσον τούτου, ἤγουν τῷ Χριστοφόρῳ καὶ τῷ Παπανικολοπούλῳ· θέλημα γὰρ ἔχω κατέχεσθαι τοῦτο παρὰ τῆς μονῆς διὰ τῆς ἐλεημοσύνης τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ ποίησον οὕτω δι' ἀσφάλειαν ἀντιστρέψας τῇ μονῇ καὶ τὴν παροῦσάν μου γραφήν. μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος δωδεκάτης.

XXIV. Sine anno, mense maio, ind. XIII.

Despota Ioannes Comnenus Palaeologus statuit, ut vicus Capraena sit monasterii Macrinitissae.

Γραφὴ τοῦ δεσπότου Κομνηνοῦ τοῦ Παλαιολόγου.

Ἐπεὶ πρὸ καιροῦ δέδωκα διὰ γραφῆς μου πρὸς τὴν σεβασμίαν μονὴν τὴν εἰς τὴν Δημητριάδα διακειμένην τῆς ὑπεραγίας μου δεσποίνης θεοτόκου τῆς Ὀξείας Ἐπισκέψεως καὶ ἐπονομαζομένης Μακρινιτίσσης τὸ ἐκεῖσε διακείμενον χωρίον τὴν Κάπραιναν, τὸ εἰς ὑπέρπυρα ποσούμενον πεντήκοντα, ὕστερον δὲ ἐξῃτήσατο τὸ τοιοῦτον χωρίον Χριστόφορος ὁ Τζέκων καὶ ἐγένετο αὐτῷ περὶ τούτου γραφὴ ἡμετέρα, παρακελεύομαι αὖθις διὰ τῆς παρούσης μου γραφῆς κατέχεσθαι τὸ τοιοῦτον χωρίον ψυχικῆς ἕνεκα σωτηρίας τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως παρὰ τῆς δηλωθείσης μονῆς καὶ νέμεσθαι τοῦτο μετὰ πάντων τῶν διαφερόντων αὐτῷ δικαίων καὶ προνομίων καὶ τὴν ἐξ αὐτοῦ ἀποφέρεσθαι πρόσοδον ἐφ' ᾧ καὶ ὁ περιπόθητος ἐξάδελφος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ περιπόθητός μοι ἐξάδελφος, ὁ δομέστικος κῦρ Ἀλέξιος ὁ Καβαλλάριος ὀφείλει παραδοῦναι τὸ δηλωθὲν χωρίον πρὸς τὴν τοιαύτην μονήν. εἰς ἀσφάλειαν γοῦν ἐγεγόνει καὶ ἡ παροῦσα ἡμετέρα γραφὴ μηνὶ μαΐῳ ἰνδικτιῶνος τρισκαιδεκάτης.

Pasini, p. 343.

XXV. Sine anno, mense decembri, ind. XIV.

Caesar Comnenus Strategopulus confirmat donationem praedii S. Demetrii, factam monasterio Macrinitissae.

Γραφὴ τοῦ καίσαρος Κομνηνοῦ τοῦ Στρατηγοπούλου.

Ἐπεὶ ὁ περιπόθητος αὐτάδελφος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν ἡμῶν αὐθέντου καὶ βασιλέως, ὁ πανευτυχέστατος δεσπότης, προσήλωσε τὸ μονίδιον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος καὶ μυροβλύτου Δημητρίου τὸ σύνεγγυς τοῦ χωρίου μου τῆς Μεγάλης εἰς τὴν μονὴν τῆς πανυπεράγνου καὶ θεομήτορος τῆς Ὀξείας Ἐπισκέψεως τῆς οὕτω πῶς ἐπικεκλημένης τῆς Μακρινιτίσσης· ἔγνωκα γὰρ ἀκριβῶς ὅτι καὶ ὁ ἐκ βάθρων ἀνεγείρας τὸ τοιοῦτον μονίδιον τοῦ μεγαλομάρτυρος Δημητρίου εἰς τὴν δηλωθεῖσαν μονὴν τῆς Ὀξείας Ἐπισκέψεως τῆς Μακρινιτίσσης προσήνεγκε τοῦτο, ὅπως κατέχωσι τοῦτο εἰς μετόχιον αὐτῶν καὶ διὰ τοῦτο ἠθέλησε καὶ ὁ περιπόθητος αὐτάδελφος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ὁ πανευτυχέστατος δεσπότης καὶ διωρίσατο τῷ τότε κεφαλατικεύοντι ἐκεῖσε λογοθέτῃ τοῦ δρόμου τῷ Μετρητοπούλῳ, ὅπως ποιήσῃ πρὸς τὴν δηλωθεῖσαν μονὴν τῆς ὑπεραγίας θεοτόκου τῆς Ὀξείας Ἐπισκέψεως τῆς Μακρινιτίσσης καὶ παραδοτικὸν γράμμα, ὅπως κατέχωσι τὸ ἄνωθεν δηλούμενον μονίδιον εἰς μετόχιον ἕνεκα ψυχικῆς σωτηρίας τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ νέμωνται τοῦτο μετὰ πάντων τῶν δικαίων αὐτοῦ καὶ προνομίων, ἐδεήθησαν δὲ καὶ ἡμετέρου γράμματος εἰς πλείονα τούτων ἀσφάλειαν, ὅθεν καὶ πεποίηκα πρὸς αὐτοὺς τὴν παροῦσαν ἡμετέραν γραφὴν καὶ οὐκ ὀφείλει τις τῶν ἡμετέρων ἀνθρώπων τῶν κατὰ καιροὺς ἐκεῖσε ἐνεργούντων τὸ κτῆμα μου, ἢ ἄλλος τις παρεμποδίσαι αὐτοῖς ἢ ἐνοχλῆσαί ἐπὶ τῇ κατοχῇ καὶ νομῇ τούτων τῇ ἐμφανείᾳ τῇσδε τῆς γραφῆς μου τῆς δοθείσης τῇ μονῇ τῆς ὑπεράγνου θεοτόκου δι' ἀσφάλειαν. μηνὶ δεκεβρίῳ ἰνδ. ιδʹ. Ὁ καῖσαρ ὑπέγραψεν ὡς δοῦλος κατο.

Καὶ θεῖος ἅμα χρηματίσας κατ' ἔθος τοῦ . . . .

XXVI. 6780—1271, mense septembri, ind. XV.

Incolae vici Dryanubaenae suscipiunt in se annuum tributum, quod solvebat fundus Michaëlis Archontitsis, donatus monasterio Novae Petrae, ut id immune sit.

{Ad acta privata haec praemittit conditor codicis:

Αἱ ἐκθέσεις τούτων προάγονται κατὰ τὴν τάξιν, οὐδὲν δὲ ᾠήθημεν δεῖν καὶ τὰς σιγνογραφίας διεκθεῖναι καὶ τὰς τῶν μαρτύρων ὑπογραφὰς περιττὸν εἶναι δόξαντες τοὺς ἐν τοῖς κυρίοις καταγεγραμμένους κἀνταῦθα διεκτιθέναι, τὸ τῶν ὑποθέσεων δὲ μόνον διὰ παντὸς αὐταῖς λέξεσι διεγχαράξαι. δύνανται γὰρ τὸ ἀληθὲς τε καὶ βέβαιον παρασχεῖν καὶ ἐξ ἑαυτῶν μὲν, ἀλλὰ καὶ ἐξ ὧν ταῦτα τὸ ἑδραῖον καὶ ἀσφαλὲς προσειλήφασιν.]

Ἡ καταθετικὴ ἐνυπόγραφος γραφὴ τῶν Δρυανουβαινιτῶν.

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἡμεῖς οἱ ἅπαντες ἔποικοι τοῦ χωρίου τῆς Δρυανουβαίνης κοινῇ βουλῇ, γνώμῃ τε καὶ ἀρεσκείᾳ ἄνωθεν τοῦ παρόντος ὕφους τὰς οἰκείας σιγνογραφίας πονησάμενοι τὸ παρὸν ἑκούσιον. καὶ ἀμεταμέλητον καταθετικὸν ἐνυπόγραφον ἔγγραφον ἡμῶν τιθέμεθα καὶ ποιοῦμεν σὺν τοῖς παντοίοις κληρονόμοις καὶ διακατόχοις ἡμῶν, ἑκουσίως καὶ ἀβιάστως καθαρῶς καὶ ἀρραδιούργως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ ἀρχοντικῆς καταδυναστείας, σὺν προθυμίᾳ δὲ μᾶλλον ἁπάσῃ, ὁλοψύχῳ προθέσει καὶ ἁπλῶς εἰπεῖν μετὰ πολλῆς ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους, τόν τε περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Ἄγγελον Κομνηνὸν τὸν Μαλιασηνὸν κῦρ Νικόλαον καὶ περιπόθητον σύμβίον σου καὶ περιπόθητον ἀνεψιὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Δούκαιναν Κομνηνὴν τὴν Παλαιολογίναν κυρὰν Ἄνναν τὴν Μαλιασηνήν, τὴν καὶ κτητόρισσαν χρηματίζουσαν τῆς εὐαγεστάτης πατριαρχικῆς γυναικείας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ τιμίου πανενδόξου προφήτου Προδρόμου καὶ δι' ὑμῶν πρὸς τὸ ἅπαν μέρος καὶ πλήρωμα τῆς τοιαύτης μονῆς, καθὼς δηλω-

θήσεται. καὶ γὰρ ἐπειδὴ ἐκ θεοῦ ὁδηγηθέντες προεθυμήθητε οἱ ἀναγεγραμμένοι πανευγενέστατοι ὁμόζυγοι ἐκ βάθρων αὐτῶν ἀνεγεῖραι ἐν τῷ θέματι τοῦ χωρίου ἡμῶν τῆς Δρυανουβαίνης, τοποθεσίᾳ δὲ τοῦ Ἀρχοντίτζη, γυναικείαν πατριαρχικὴν μονὴν ἐπ' ὀνόματι τοῦ τιμίου Πανενδόξου προφήτου Προδρόμου τῆς Νέας Πέτρας, ἥτις σὺν θεῷ μέλλει γενέσθαι καὶ πολλῶν ψυχῶν φροντιστήριον, ἠθελήσατε δὲ ἐξωνήσασθαι καὶ τὴν ὅλην στάσιν τοῦ Ἀρχοντίτζη Μιχαήλ, τὴν πρὸ πολλῶν ἤδη ἐνιαυτῶν παρ' αὐτοῦ νεμομένην λόγῳ τῆς τοιαύτης μονῆς μετὰ πάντων καὶ παντοίων τῶν ἀρχαίων καὶ δικαίων προνομίων αὐτῆς, καθὰ καὶ ἐν τῷ πρατηρίῳ ἐγγράφῳ τῷ παρὰ τοῦ Ἀρχοντίτζη Μιχαὴλ γεγονότι σαφέστερον δηλοῦνται, προσέκειτο δὲ τῇ δηλωθείσῃ στάσει ἐτήσιον τέλος νομίσματα ὑπέρπυρα δύο καὶ κοκκία ὀκτὼ καὶ ἐπεὶ ἔμελλεν ἡ τοιαύτη ἅπασα στάσις ἀφιερωθῆναι τῷ θεῷ παρ' ὑμῶν τῶν πανευγενεστάτων ὁμοζύγων καὶ εἰδότες, ὡς τὸ ἅπαξ ἀφιερωθὲν τῷ θεῷ οὐ δουλοῦται, ἕνεκεν τούτου διεκρίθημεν καὶ ἡμεῖς πάντες οἱ ἀναγεγραμμένοι ἔποικοι τῆς Δρυανουβαίνης, ὡς τὸ ἐπικείμενον τῇ διαληφθείσῃ στάσει ἐτήσιον τέλος, δηλονότι τὰ δύο τρίτον ὑπέρπυρα μὴ ἐπικεῖσθαι καὶ τῇ μονῇ, ἀλλὰ ἀτελῆ πάντη καὶ ἀκαταδούλωτον δεσπόζεσθαί τε καὶ νέμεσθαι παρὰ τῆς μονῆς τὴν τοιαύτην ἅπασαν στάσιν· τοῦτο γοῦν οὕτω ποιῆσαι διανοηθέντες καὶ ἐγγράφως τὴν τοιαύτην ἡμῶν ἀγαθὴν βουλὴν προεθυμήθημεν ἐκτελέσαι καὶ ἰδοὺ διὰ τῆς παρούσης ἑκουσίου καὶ ἀμεταμελήτου καταθετικῆς ἡμῶν γραφῆς ἀναδεχόμεθα τὸ δηλωθὲν ἐτήσιον τέλος καὶ προστιθέμεθα τοῦτο τοῖς ἡμετέροις ἐτησίοις ἀκροστίχοις, ὡς καὶ τοῦτο τελεῖσθαι παρ' ἡμῶν ἀναλόγως κατὰ τὴν ἑκάστου ἰσχὺν καὶ τὴν μονὴν ἀνενόχλητον διατηρεῖσθαι ἕνεκεν τῆς δόσεως τοῦ ἐτησίου τέλους καὶ βάρους, ἤγουν τῶν δύο τρίτον ὑπερπύρων τὸ μὲν χάριν ψυχικῆς σωτηρίας ἡμῶν, τὸ δὲ διὰ τὴν κατὰ θεὸν ἀγάπην, ἣν ἐξ ὅλης τῆς ψυχῆς ἡμῶν κεκτήμεθα πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους ὑπὲρ τῆς τιμῆς καὶ κυβερνήσεως καὶ εὐεργεσίας, ἣν καθ' ἑκάστην ἔχομεν ἀφ' ὑμῶν καὶ οὐδέποτε τῶν καιρῶν ἢ τῶν χρόνων ἢ ἡμεῖς αὐτοὶ ἤ τις τῶν παντοίων κληρονόμων καὶ διακατόχων ἡμῶν τολμήσειεν ἀπιδεῖν εἰς ἀναίρεσιν τοῦ παρόντος καταθετικοῦ ἐγγράφου ἡμῶν μερικῶς ἢ καθόλου, εἰ μὴ βούλεται τὰς ἀρὰς ἐπισπάσασθαι τῶν τριακοσίων δεκαοκτὼ ἁγίων

θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἀνάθεμα ἐκ κυρίου θεοῦ προσκληρώσασθαι. οὕτως οὖν ἀρεσθέντες καὶ συμφωνήσαντες καὶ κατατεθέντες καὶ τὸ παρὸν ἑκούσιον καὶ ἀμεταμέλητον καταθετικὸν ἐνυπόγραφον ἔγγραφον ἡμῶν πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους ἐξεθέμεθα, ὅπερ εἰ τολμήσομεν ἀρνήσασθαι μερικῶς ἢ καθόλου, μὴ μόνον, ἵνα μὴ εἰσακουόμεθα, κἂν εἴ τι ἂν καὶ λέγειν ἐπιχειρήσωμεν, ἀλλὰ καὶ πρόστιμον ζημιωθησόμεθα πρὸς ὑμᾶς καὶ πρὸς τὴν πολλάκις ῥηθεῖσαν μονὴν νομίσματα ὑπέρπυρα λίτραν μίαν, ἀλλὰ καὶ τὰς ἄνωθεν δηλουμένας ἀρὰς ἐπισπασόμεθα. ἐπεὶ δὲ ταβουλλαρίου ἀμοιρεῖ ἡ χώρα ἅπασα τῆς Δημητριάδος, διὰ παρακλήσεως ἡμῶν πάντων ἐγράφη τὸ παρὸν ὕφος διὰ χειρὸς τοῦ πανιερωτάτου ἀρχιερέως ἡμῶν Δημητριάδος καὶ Ἁλμυροῦ καὶ πρωτοσυγκέλλου, κυροῦ Μιχαήλ, μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος πεντεκαιδεκάτης ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ.

Αὕτη καὶ ἡ καταθετικὴ ἔγγραφος καὶ ἐνυπόγραφος γραφὴ τῶν Δρυανουβαινιτῶν πρὸς τὴν σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας. .

Pasini, pag. 344.

XXVII. 6780—1271, mense septembri, ind. XV.

Zoë, filia Stephani Syropuli, vendit monasterio Novae Petrae possessiones suas.

Τὸ πρατήριον γράμμα Ζωῆς τῆς Συροπουλίνης.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ζωὴ ἡ θυγάτηρ μὲν τοῦ ἀποιχομένου ἐκείνου Στεφάνου τοῦ Συροπούλου, γυνὴ δὲ χρηματίσασα τοῦ ἀποβεβιωκότος ἐκείνου Ἰωάννου τοῦ Μελαχρηνοῦ ἄνωθεν τοῦ παρόντος ὕφους τὸν τύπον τοῦ ζωηφόρου σταυροῦ οἰκείᾳ χειρὶ ἐντυπωσαμένη τὸ παρὸν ἑκούσιον καὶ ἀμεταμέλητον τῆς καθαρᾶς καὶ ἀπλανοῦς καὶ ἀρραδιουργου διαπράσεως ἐνυπόγραφον ἔγγραφον μου τίθημι καὶ ποιῶ σὺν παντὶ τῷ γένει καὶ μέρει μου καὶ αὐτοῖς τοῖς κληρονόμοις καὶ διαδόχοις μου ἑκουσίως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀρραδιούργως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ φόβου ἢ δόλου ἢ χλεύης

ἢ βίας ἢ ἐρραδιουργημένου σκοποῦ ἢ συναρπαγῆς ἢ ἀρχοντικῆς καταδυναστείας, σὺν προθυμίᾳ μᾶλλον ἁπάσῃ, ὁλοψύχῳ προθέσει καὶ μετὰ μεριμνημένου καὶ ἠκριβωμένου σκοποῦ καὶ φρενῶν ἀκεραιοτάτης τῆς σταθηρότητος ἀποβαλλομένη καὶ ἀποταττομένη ἐκ συμφώνου μου ὁμολογίας καὶ ἐπερωτήσεως μὴ μόνον πᾶσαν καὶ παντοίαν ἰδιωτείαν καὶ ἀγροικίαν καὶ γυναικείαν ἀσθένειαν καὶ ἀπάτην τὴν τοῦ τοῦ νόμου καὶ φάκτου ἄγνοιαν, τὸ βελιάνειον δόγμα τὸ ταῖς ἀπατωμέναις γυναιξὶ προσβοηθοῦν τὴν μετὰ διετίαν ἐπερώτησιν, ἀλλὰ καὶ αὐτὸν τὸν μετάμελον καὶ τὸν ἐπὶ τῷ μεταμέλῳ μετάμελον καὶ τὴν ἐκ τούτου τικτομένην μοι ἀγωγὴν εἰς ἀναίρεσιν τοῦ παρόντος ἐρηρεισμένου καὶ ἀκραδάντου πρατηρίου ἐνυπογράφου ἐγγράφου μου πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους, τόν τε πανευγενέστατον Ἄγγελον Κομνηνόν, κῦρ Νικόλαον τὸν Μαλιασηνόν, τὸν περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ τὴν περιπόθητον σύμβιον σου καὶ περιπόθητον ἀνεψιὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τὴν Κομνηνὴν Δούκαιναν Παλαιολογίναν κυρὰν Ἄνναν τὴν Μαλιασηνήν, τὴν καὶ κτητόρισσαν χρηματίζουσαν τῆς παρ' ὑμῶν σὺν θεῷ ἀνεγερθησομένης εὐαγεστάτης πατριαρχικῆς γυναικείας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ τιμίου πανενδόξου προφήτου Προδρόμου καὶ βαπτισοῦ Ἰωάννου τῆς Νέας Πέτρας καὶ δι' ὑμῶν τῶν ὁμοζύγων πρὸς τοὺς κληρονόμους καὶ διαδόχους ὑμῶν καὶ πρὸς τὴν τοιαύτην σεβασμίαν πατριαρχικὴν γυναικείαν μονὴν τοῦ Προδρόμου καὶ τὸ ἅπαν μέρος καὶ πλήρωμα ταύτης, καθὼς παρακατιὼν ὁ λόγος δηλώσει σαφέστερον· καὶ γὰρ ἐπειδὴ μονογενὴς καὶ πτωχὴ καὶ ἐξητονημένη καὶ ἄπαις κατελείφθην καὶ μὴ ἔχουσα ποῦ τὴν κεφαλὴν κλῖναι, ὡς καὶ αὐτῆς τῆς ἀναγκαίας τροφῆς ὑστερουμένη, ἔγνων δὲ καὶ εἶδον ὡς ὅτι σὺ ἡ πανευγενεστάτη Κομνηνὴ Δούκαινα Παλαιολογίνα ἡ Μαλιασηνὴ κυρὰ Ἄννα ὁδηγηθεῖσα ἐκ θεοῦ ἠβουλήθης ἐκ βάθρων αὐτῶν φροντιστήριον γυναικείας πατριαρχικῆς μονῆς ἀνεγεῖραι εἰς ὄνομα τιμώμενον τοῦ τιμίου πανενδόξου Προδρόμου τῆς Νέας Πέτρας, ὃ δὴ καὶ σὺν θεῷ δι' ὀλίγου μέλλεις ἀπαρτίσαι, κατέφυγον εἰς τὴν κηδεμονίαν καὶ ἐπικουρίαν τῆς ἀντιλήψεώς σου μετὰ παρακλήσεως ὅτι πολλῆς καὶ ἐδεήθην τῆς φιλοχρίστου σου ψυχῆς ὡς ἐξωνήσασθαι ἐπὶ παντελεῖ διαπράσει τὴν πᾶσαν καὶ παντοίαν μου στάσιν τὴν γονικόθεν μοι

διαφέρουσαν μετὰ πάντων καὶ παντοίων τῶν ἀρχαίων καὶ δικαίων προνομίων αὐτῆς, καθὼς καὶ παρ' ἐμοῦ νέμεταί τε καὶ δεσπόζεται, τὴν ἐν τῷ θέματι τῆς Δρoανουβαίνης διακειμένην, ἥτις δὴ στάσις κέκτηται ἀμπελῶνα μετὰ τοῦ σύνεγγυς αὐτῷ ἀμπελοχωραφίου, περιβολίου καὶ ἕτερα τρία χωράφια τμήματα ἐν τῇ τοποθεσίᾳ τῶν Παλατίων καὶ ἕτερον χωράφιον ἐν τῇ τοποθεσίᾳ τοῦ Πλατέος Λίθου καὶ ἕτερα δύο ἀμπελίτζα ἐν τῇ τοποθεσίᾳ τῆς Δρoανουβαίνης πλησίον τοῦ θεοσεβεστάτου ἱερέως καὶ ἐξάρχου κῦρ Βασιλείου τοῦ Βαρυβαστάκτου καὶ τῆς Κορμοκοπαίνης καὶ δένδρον συκαμινέαν πλησίον τοῦ Σκαρπαγγέλου καὶ οἰκήματα δύο, ἐν οἷς τὴν καταμονὴν ποιοῦμαι, ἔχοντα ἔσωθεν καρούτια καὶ βάγνα· κοινολογησάμενοι γοῦν μετὰ τῆς ἀντιλήψεώς σου περὶ τοῦ τιμήματος τῆς δηλωθείσης ὅλης μου στάσεως, περιεστήσαμεν τὸ ὅλον τίμημα ἐξ ἀρεσκείας μου τῆς ἀναγεγραμμένης Ζωῆς εἰς νομίσματα ὑπέρπυρα πέντε, τὸ δ' ὑπέρπλεον τούτων, εἰ καὶ κατὰ πολὺ τὸ διπλάσιον καὶ τριπλάσιον ὑπερβαίνει, ἀποχαρίζομαί σοι τοῦτο ἁπλῷ καὶ ἀμεταμελήτῳ τῷ τρόπῳ κἂν ὅσον ἄρα καὶ ἔστιν, ἐπείπερ ἐκ θεοῦ ὁδηγηθεῖσα κατεδέξω καὶ ὑπεσχέθης μοι μετὰ τὴν ἀπάρτισιν τῆς δηλωθείσης σου ἁγίας μονῆς τοῦ Προδρόμου εἰσάξαι με ἐν τῇ τοιαύτῃ μονῇ ἄνευ τινὸς δόσεως καὶ προσενέξεως καὶ ἀποκεῖραί με ἐν αὐτῇ καὶ ἔχειν με τὸ ἅπαν μου ἀδελφάτον, καθὼς καὶ αἱ λοιπαὶ πᾶσαι μοναχαὶ τῆς τοιαύτης μονῆς, δι' ὅλης μου τῆς βιοτῆς· εἰ δέ γε καὶ πρὸ τῆς παντελοῦς ἀπαρτίσεως ταύτης συμβῇ μοι τὸ τοῦ θανάτου κοινὸν χρέος, μέλλω ἀποκαρῆναι καὶ κηδευθῆναι καὶ ἐνταφιασθῆναι καὶ μνημονευθῆναι διὰ παντοίας ἐξόδου τῆς ἀντιλήψεώς σου. ἃ δὴ νομίσματα ὑπέρπυρα πέντε καὶ ἀπὸ τῶν χειρῶν τοῦ πανευγενεστάτου Κομνηνοῦ, τοῦ περιποθήτου συζύγου σου, δεξαμένη εἰς τὰς ἡμετέρας χεῖρας ἀληθῶς καὶ δίχα ἀναργυρίας οἱασδήτινος ἐνώπιον τῶν ὑπογραφάντων καὶ σιγνογραφησάντων κάτωθεν μαρτύρων, παραδέδωκα καὶ ἐγὼ ἀπεντεῦθεν καὶ ἀπὸ τῆς σήμερον τὴν διηγορευμένην ὅλην μου στάσιν, καθὼς ἀνωτέρω ὀνομαστὶ δεδήλωται, ἣν δὴ ὅλην στάσιν καὶ καθέξετε σὺν τῷ μέρει τῆς δηλωθείσης μονῆς κατὰ τελείαν νομὴν καὶ δεσποτείαν ἀτελῆ πάντη καὶ ἐλευθέραν καὶ ἄνευ τινὸς δόσεως, τέλους καὶ βάρους, ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως. εἰ δέ τις τῶν καθ' αἷμά μοι προσγενῶν τῶν ἐγγὺς καὶ τῶν πόρρωθεν ἢ καὶ τῶν ἀλλοτρίων

ποτὲ τῶν καιρῶν ἢ τῶν χρόνων τολμήσει διασεῖσαι ἢ παρενοχλῆσαι τὴν δηλωθεῖσαν εὐαγεστάτην μονὴν ἐπὶ τῇ διαλειφθείσῃ στάσει μερικῶς ἢ καθόλου μὴ μόνον τὰς ἀρὰς ἐπισπάσεται τῶν τριακοσίων δεκαοκτὼ ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, ἀλλὰ καὶ μετ' ἐμοῦ λόγους ὀφέξει ἐν τῷ πανδήμῳ καὶ ἀδεκάστῳ βήματι ὁπηνίκα τῶν ἀνθρώπων καὶ λόγοι καὶ πράξεις εὐθύνονται, ἀλλὰ καὶ πρόστιμον ζημιωθήσεται πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὸ μέρος τῆς μονῆς, νομίσματα ὑπέρπυρα λίτραν μίαν καὶ τῷ δημοσίῳ τὸ διαφέρον πρὸς τῷ καὶ αὖθις ἐρρῶσθαι τὸ παρὸν πρατήριον μετὰ καὶ τὴν τοῦ προστίμου καταβολήν, τοῦ ὕφους γραφέντος διὰ παρακλήσεως τῶν ἀμφοτέρων μερῶν διὰ χειρὸς τοῦ ἱερωτάτου ἀρχιερέως ἡμῶν Δημητριάδος καὶ Ἁλμυροῦ καὶ πρωτοσυγκέλλου, κυροῦ Μιχαήλ, διὰ τὸ μὴ εἶναι ταβουλλάριον ἐν τῇ χώρᾳ τῆς Δημητριάδος, μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος πεντεκαιδεκάτης ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ.

Καὶ τοῦτο γράμμα πρατήριον Ζωῆς τῆς δηλωθείσης, γεγονὸς πρὸς τὴν τοιαύτην σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας.

Panini, p. 347.

XXVIII. 6780—1271, mense septembri, ind XV.

Michaël Archontitzes vendit monasterio Novae Petrae possessionem suam.

Τὸ πρατήριον γράμμα τοῦ Ἀρχοντίτζη Μιχαήλ.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Μιχαὴλ ὁ Ἀρχοντίτζης καὶ Μαρία ἡ τούτου σύμβιος, ἔτι δὲ καὶ ἡμεῖς οἱ γνήσιοι τούτων παῖδες ἀμφότεροι κοινῇ γνώμῃ, βουλῇ τε καὶ ἀρεσκείᾳ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τύπους τοῦ τιμίου καὶ ζωηφόρου σταυροῦ οἰκείαις χερσὶν ἐγχαράξαντες τὸ παρὸν τῆς καθαρᾶς, φανερᾶς, εἰλικρινοῦς καὶ ἀπλανοῦς διαπράσεως ἑκούσιον καὶ ἀμεταμέλητον καὶ οἰκειοθελὲς ἐνυπόγραφον ἔγγραφον ἡμῶν τιθέμεθα καὶ ποιοῦμεν σὺν παντὶ τῷ γένει καὶ μέρει ἡμῶν καὶ αὐτοῖς τοῖς κληρονόμοις καὶ διακατόχοις ἡμῶν ἑκουσίως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀρραδιούργως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ φόβου ἢ δόλου ἢ Χλεύης ἢ ἀπάτης ἢ ἀρχοντικῆς καταδυναστείας, σὺν προ-

θυμίᾳ δὲ μᾶλλον ἁπάσῃ, ὁλοψύχῳ προθέσει καὶ μετὰ μεμεριμνημένου καὶ ἠκριβωμένου σκοποῦ καὶ φρενῶν ἀκεραιοτάτης τῆς σταθηρότητος καὶ ἁπλῶς εἰπεῖν, μετὰ πολλῆς ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως, ἀποβαλλόμενοι καὶ ἀποταττόμενοι ἐκ συμφώνου ἡμῶν ὁμολογίας καὶ ἐπερωτήσεως μὴ μόνον πᾶσαν καὶ παντοίαν ἰδιωτείαν καὶ ἀγροικιὰν ἀλλὰ καὶ αὐτὸν τὸν μετάμελον καὶ τὴν ἐκ τούτου τικτομένην ἡμῖν ἀγωγὴν εἰς ἀναίρεσιν τοῦ παρόντος ἐρηρεισμένου καὶ ἀκραδάντου ἐνυπογράφου ἡμῶν πρὸς σέ, τὸν περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τὸν πανευγενέστατον Κομνηνὸν Ἄγγελον, κῦρ Νικόλαον τὸν Μαλιασηνὸν καὶ διὰ σοῦ πρὸς τὴν περιπόθητον σύμβιόν σου, τὴν ποθεινοτάτην ἀνεψιὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Δούκαιναν Παλαιογίναν τὴν πανευγενεστάτην Κομνηνὴν κυρὰν Ἄνναν τὴν Μαλιασηνὴν καὶ δι' ὑμῶν πρὸς τὸ ὅλον γένος καὶ μέρος καὶ αὐτοὺς τοὺς κληρονόμους καὶ διαδόχους ὑμῶν καὶ πρὸς τὴν παρ' ὑμῶν ἐκ βάθρων αὐτῶν ἀνεγερθησομένην μονὴν τοῦ τιμίου πανενδόξου προφήτου Προδρόμου δηλονότι τῆς Νέας Πέτρας, καθὼς δηλωθήσεται· καὶ γὰρ ἐπειδὴ ἐκ θεοῦ ὁδηγηθέντες οἱ ἀναγεγραμμένοι πανευγενέστατοι ὁμόζυγοι προεκρίνατε καὶ ἐβουλήθητε ἕνεκεν ψυχικῆς ὑμῶν σωτηρίας καὶ μνημοσύνου διηνεκοῦς καὶ διαιωνίζοντος τῶν ἀοιδίμων καὶ τρισμακαριωτάτων καὶ εὐγενεστάτων γεννητόρων ὑμῶν ἐκ βάθρων αὐτῶν ἀνεγεῖραι ταύτην τὴν μονὴν εἰς δοξολογίαν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ἐν τῷ θέματι τῆς Δρυανουβαίνης, ἠρέθητε δὲ ἀνεγεῖραι ταύτην ἐν τῷ τοπίῳ τῷ ἐπιλεγομένῳ τοῦ Ἀρχοντίτζη διὰ τὸ φιλήσυχον καὶ πάντη ἀναχωρητικὸν τοῦ τόπου, ἵνα μὴ σκινδαλμὸς γίνηται ταῖς μοναχαῖς ταῖς μελλούσαις ἐν τῇ τοιαύτῃ μονῇ κατοικῆσαι, εὕρατε δὲ ἡμᾶς τοὺς ἀναγεγραμμένους ὁμοζύγους νεμομένους πρὸ ἐνιαυτῶν ἤδη πολλῶν τὴν τοῦ δηλωθέντος τοπίου στάσιν τὴν καὶ ὀνομαζομένην τοῦ Ἀρχοντίτζη, ἐξ ἧς οὐδὲ τὴν τυχοῦσαν συνεισφορὰν εἴχομεν (ἀπρόσοδον γὰρ πάντη καὶ ἀτημέλητον ἦν), εἰ μὴ καὶ μόνον εἰς κάθισιν ἡμῶν χρηματίζουσαν, οὐκ ἠθελήσατε ταύτην κατακρατῆσαι ὡς κύριοι καὶ δεσπόται ἡμῶν, ἐπεὶ καὶ ἀπεχαρίσθη ὑμῖν παρὰ τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἡ ἅπασα χώρα τῆς Δρυανουβαίνης, ὡς γονικόθεν σοι διαφέρουσα τῷ πανευγενεστάτῳ Κομνηνῷ ἀλλ' ὡς φύσει δικαιότατοι καὶ φιλόχριστοι ὄντες ἠθελήσατε

ὡς ἀλλότριοι καὶ παρεπίδημοι ἀφ' ἡμῶν ἐξωνήσασθαι ταύτην. ἰδόντες οὖν καὶ ἡμεῖς τὴν εὐδιάκριτον καὶ ἐλεήμονα καὶ ἀγαθὴν γνώμην καὶ προαίρεσιν ὑμῶν καὶ ὅτι ἐπεὶ ἀνεγέρσει θείας καὶ σεβασμίας μονῆς προεκρίθητε τὴν δηλωθεῖσαν στάσιν ἡμῶν ἐξωνήσασθαι, παρευθὺς καὶ ἐκ πρώτης ὑμῶν ἐρωτήσεως συνήλθομεν τῷ θελήματι ὑμῶν ἐνώπιον καὶ τῶν κρειττόνων ὅλων ἐποίκων τῆς Δρυανουβαίνης, ἱερωμένων τε, μοναζόντων καὶ λαϊκῶν καὶ ὅπερ ἂν ἡμεῖς μετὰ πολλῆς τῆς σκέψεως καὶ συντηρήσεως ἐξητήσαμεν ἀφ' ὑμῶν χάριν παντελοῦς διαπράσεως τῆς τοιαύτης ὅλης ἡμῶν στάσεως, δηλονότι νομίσματα ὑπέρπυρα δώδεκα, ἐξενεγκόντες παραυτίκα ἀπὸ τοῦ κιβωτίου ὑμῶν δεδώκατε ἡμῖν τὰ τοιαῦτα δώδεκα νομίσματα ὑπέρπυρα σῶα καὶ ἀνελλιπῆ ἀληθῶς καὶ δίχα ἀναργυρίας οἱασδήτινος ἐνώπιον καὶ τοῦ ἱερωτάτου ἀρχιερέως ἡμῶν καὶ πρωτοσυγκέλλου τοῦ Δημητριάδος καὶ Ἁλμυροῦ, κυροῦ **Μιχαὴλ**, καὶ πάντων τῶν κάτωθεν ὀφειλόντων δι' ὑπογραφῶν καὶ συγνογραφιῶν αὐτῶν βεβαιῶσαι τὸ παρὸν ἡμῶν ἐνυπόγραφον ἔγγραφον, ἃ δὴ δώδεκα ὑπέρπυρα καὶ ἀπὸ τῶν χειρῶν σου, τοῦ πανευγενεστάτου Κομνηνοῦ, εἰς τὰς ἡμετέρας χεῖρας λαβόντες κατὰ τὸ ἀπαράλειπτον, ὡς δεδήλωται, παραδεδώκαμεν καὶ ἡμεῖς ἀπεντεῦθεν καὶ ἀπὸ τῆς σήμερον πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὸ ὅλον μέρος καὶ γένος ὑμῶν καὶ αὐτοὺς τοὺς παντοίους κληρονόμους καὶ διαδόχους ὑμῶν καὶ πρὸς τὴν παρ' ὑμῶν σὺν θεῷ ἀνεγερθησομένην μονὴν τοῦ Προδρόμου τὴν πᾶσαν καὶ παντοίαν στάσιν ἡμῶν τὴν τοῦ Ἀρχοντίτζη ἀτελῆ πάντη καὶ ἐλευθέραν καὶ χωρὶς τινος τέλους καὶ δόσεως μετὰ πάντων καὶ παντοίων τῶν ἀρχαίων καὶ δικαίων καὶ διονομίων αὐτῆς, ἤγουν γῆς ὀρεινῆς, πεδεινῆς, νομαδιαίας, νομῆς ὕδατος τοῦ μύλου, ἀροσίμου γῆς, δένδρων ὀπωροφόρων καὶ ἀμπελῶνος ὀλιγοστοῦ ἀτημελήτου καὶ ἑτέρων παντοίων δικαίων τῶν διαφερόντων ἐξ ἀρχῆθεν τῇ τοιαύτῃ στάσει, ἣν δὴ στάσιν καὶ ὀφείλετε κατέχειν οἱ πανευγενέστατοι ὁμόζυγοι σὺν τοῖς παντοίοις κληρονόμοις ὑμῶν καὶ σὺν τῷ μέρει τῆς ῥηθείσης μονῆς τοῦ Προδρόμου τῆς Νέας Πέτρας ἀτελῆ πάντη καὶ ἐλευθέραν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ μέχρις ἂν τὸ πᾶν περιίσταται, κυρίως, αὐθεντικῶς καὶ ἀνεπικωλύτως, ἡμεῖς δὲ οἱ ἀναγεγραμμένοι ὁμόζυγοι σὺν τοῖς παισὶν ἡμῶν καὶ τοῖς παντοίοις κληρονόμοις καὶ διαδόχοις ἡμῶν ὀφείλομεν εἶναι ξένοι καὶ ἀλλότριοι τῆς νομῆς καὶ

δεσποτείας τῆς δηλωθείσης ὅλης στάσεως καὶ οὐδεὶς τοῦ παντὸς γένους καὶ μέρους ἡμῶν ἢ ἀλλότριος ἢ αὐτόχθων ποτὲ τῶν καιρῶν ἢ τῶν χρόνων τολμήσει διασεῖσαι ἢ πανενοχλῆσαι τὸ μέρος ὑμῶν τῶν πανευγενεστάτων ὁμοζύγων ἢ τὴν πολλάκις διαληφθεῖσαν μονὴν τοῦ Προδρόμου τῆς Νέας Πέτρας ἐπὶ τῇ νομῇ καὶ κατοχῇ τῆς δηλωθείσης ὅλης στάσεως, εἰ μὴ βούλεται τὰς ἀρὰς ἐπισπάσασθαι τῶν τριακοσίων ὀκτωκαίδεκα ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τὴν τοῦ Ἰούδα ἀγχόνην ἀποκληρώσασθαι. οὕτως οὖν ἀρεσθέντες καὶ συμφωνήσαντες, ὡς καὶ τὰ δώδεκα ὑπέρπυρα λαβόντες καὶ τὸ παρὸν ἐνυπόγραφον ἔγγραφον πρατήριον πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὴν μονὴν ἐξεθέμεθα, ὅπερ εἰ τολμήσομεν ἀρνήσασθαι μερικῶς ἢ καθόλου, μὴ μόνον, ἵνα μὴ εἰσακουώμεθα, κἂν εἴ τι ἂν καὶ λέγειν ἐπιχειρήσωμεν, ἀλλὰ καὶ πρόστιμον ζημιωθησόμεθα πρὸς ὑμᾶς καὶ πρὸς τὴν μονὴν νομίσματα ὑπέρπυρα ἑκατὸν καὶ τῷ δημοσίῳ τὸ διαφέρον, τοῦ ὕφους γραφέντος προτροπῇ ἡμῶν διὰ χειρὸς τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης ἐπισκοπῆς Δημητριάδος μηνὶ σεπτεβρίῳ ἰνδ. πεντεκαιδεκάτης ἐν ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσι[οστῷ ὀγδοηκοστῷ] . . . .
λιτρᾶς οἱ ἐπιγνη[σίαις θυγατράσι] γαμβροὶ χρηματίζοντες τῶν ἀναγεγραμμένων ὁμοζύγων ἄνωθεν τοῦ παρόντος ὕφους τὰς οἰκείας συγγραφίας ποιησάμενοι, καταδεχόμεθα καὶ κατατιθέμεθα καὶ στέργομεν καὶ ἐπικυροῦμεν σὺν τοῖς παντοίοις κληρονόμοις ἡμῶν τὸ παρὸν πρατήριον ἔγγραφον, ὡς τῇ οἰκείᾳ θελήσει καὶ βουλῇ τῇ ἡμετέρᾳ γεγονός, τῆς παρούσης προσθήκης ἰσχυούσης τῷ ἀνωτέρῳ προστίμῳ. μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις.

Οὕτως ἔχει καὶ τὸ τοῦ Ἀρχοντίτζη Μιχαὴλ πρατήριον τὸ πρὸς τὴν δηλωθεῖσαν μονὴν τοῦ τιμίου Προδρόμου . . . .

XXIX. 6780—1271, mense novembri, ind. XV.

Michaël Martinus et familia eius vendunt Nicolao Comneno Maliaseno vineam in Belestino.

Πρατήριον Μιχαὴλ τοῦ Μαρτίνου.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Μιχαὴλ ὁ Μαρτῖνος καὶ Ἄννα ἡ τούτου σύζυγος καὶ Εἰρήνη καὶ

Ἑλένη, αἱ γνήσιαι θυγατέρες αὐτῶν κοινῇ βουλῇ, γνώμῃ τε καὶ ἀρεσκείᾳ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τύπους τοῦ ζωηφόρου σταυροῦ οἰκείαις χερσὶν ἐντυπωσάμενοι τὸ παρὸν ἑκούσιον καὶ ἀμεταμέλητον τῆς καθαρᾶς, φανερᾶς διαπράσεως ἐνυπόγραφον ἔγγραφον ἡμῶν τιθέμεθα καὶ ποιοῦμεν σὺν παντὶ τῷ γένει καὶ μέρει ἡμῶν καὶ αὐτοῖς τοῖς κληρονόμοις καὶ διακατόχοις ἡμῶν ἑκουσίως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀρραδιούργως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ φόβου ἢ δόλου ἢ βίας ἢ ἀρχοντικῆς καταδυναστείας, σὺν προθυμίᾳ δὲ μᾶλλον ἁπάσῃ, ὁλοψύχῳ προθέσει καὶ ἁπλῶς εἰπεῖν μετὰ πολλῆς ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως, ἀποβαλλόμενοι καὶ ἀποταττόμενοι κοινῶς μὲν οἱ ὁμόζυγοι ἐκ συμφώνου ἡμῶν ὁμολογίας καὶ ἐπερωτήσεως πᾶσαν καὶ παντοίαν ἰδιωτείαν καὶ ἀγροικίαν, ἰδικῶς δὲ ἐγὼ ἡ Ἄννα ἀποβάλλομαι πᾶσαν καὶ παντοίαν γυναικείαν ἀσθένειαν καὶ ἀπάτην, τὴν μετὰ διετίαν ἐπερώτησιν καὶ αὐτὸ τὸ βελλιάνειον δόγμα τὸ ταῖς ἀπατωμέναις γυναιξὶ προσβοηθοῦν πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους, τόν τε περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κῦρ Νικόλαον Κομνηνὸν τὸν Μαλιασηνὸν καὶ τὴν περιπόθητον σύζυγόν σου, τὴν ποθεινοτάτην ἀνεψιὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Δούκαιναν Παλαιολογίναν κυρὰν Ἄνναν Κομνηνὴν τὴν Μαλιασηνὴν καὶ δι' ὑμῶν πρὸς τὴν παρ' αὐτῆς ἀνεγερθησομένην σεβασμίαν μονὴν πατριαρχικὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου πανενδόξου Προδρόμου τῆς Νέας Πέτρας καὶ πρὸς τὸ ἅπαν μέρος καὶ πλήρωμα ταύτης, καθὼς δηλωθήσεται· καὶ γὰρ ἐπειδὴ ἀπὸ τῆς ἄγαν στενοχωρίας καὶ πτωχείας ἡμῶν τῆς προσγενομένης ἡμῖν ἐκ τῆς πολυχρονίου κοσμικῆς σιτοδείας κατηντήσαμεν εἰς παντελῆ ἀπορίαν ὡς καὶ αὐτῆς τῆς ἀναγκαίας τροφῆς ὑστερεῖσθαι, κἀντεῦθεν κινδυνεύομεν λιμαγχονηθῆναι σὺν τοῖς ἀνηλίκοις παισὶν ἡμῶν, διέγνωμεν ὡς ἐπὶ παντελεῖ διαπράσει ἐκποιήσασθαι τὸ γονικόν μου τῆς Ἄννης ἀμπέλιον τὸ ἐν τῇ περιοχῇ τοῦ Βελεστίνου διακείμενον τὸ ποσούμενον εἰς ὁλοκοτιναρέαν μίαν ἁλμυριωτικήν, τὸ πλησίον Νικολάου τοῦ Βάρδα, τοῦ ἐμοῦ μὲν τοῦ Μιχαὴλ γυναικαδέλφου, ἐμοῦ δὲ τῆς Ἄννης αὐταδέλφου καὶ πλησίον τοῦ Τριακονταφύλλου, κρεῖσσον ἡγησαμένης μου τῆς Ἄννης ἐκποιήσασθαι τὸ τοιοῦτον ἀμπέλιον ἐπὶ διαπράσει παντελεῖ καὶ διὰ τοῦ τιμή-

ματος τούτου θρέψαι καὶ ἡμᾶς αὐτοὺς καὶ τὰ ἀνήλικα ἡμῶν τέκνα. τοῦτο γοῦν οὕτω ποιῆσαι διανοηθέντες προσήλθομεν ὑμῖν τοῖς πανευγενεστάτοις ὁμοζύγοις μετὰ παρακλήσεως ὅτι πολλῆς καὶ περὶ τῆς ἐκποιήσεως τοῦ δηλωθέντος ἀμπελίου δεδώκαμεν εἴδησιν· καὶ ἐπεὶ εὕρομεν ὑμᾶς ἑτοίμους πρὸς τὴν ἡμετέραν γνώμην, θέλοντας ἐξωνήσασθαι τοῦτο λόγῳ τῆς, ὡς εἴρηται, ευαγεστάτηπς ατριαρχικῆς μονῆς ὑμῶν τοῦ τιμίου Προδρόμου τῆς Νεάς Πέτρας καὶ κοινολογησάμενοι ἀμφότεροι ἐνώπιον καὶ τοῦ πανιερωτάτου ἐπισκόπου Δημητριάδος καὶ Ἁλμυροῦ καὶ πρωτοσυγκέλλου, κυροῦ Μιχαὴλ τοῦ Παναρέτου, καὶ τῶν εὐλαβεστάτων κληρικῶν τῆς ἁγιωτάτης ἐπισκοπῆς Βελεστίνου καὶ ἑτέρων τινῶν λαϊκῶν προσώπων περὶ τοῦ τιμήματος τοῦ δηλωθέντος ἀμπελίου περιεστήσαμεν τὸ τούτου τίμημα ἐξ ἀρεσκείας καὶ ἀμφοτέρων ἡμῶν τῶν μερῶν εἰς νομίσματα ὑπέρπυρα δέκα, τὸ δ' ὑπέρπλεον τούτου ἀποχοριζόμεθα ἁπλῷ καὶ ἀμεταμελήτῳ τῷ τρόπῳ τῇ δηλωθείσῃ τοῦ Προδρόμου μονῇ κἂν ὅσον ἄρα καὶ ἔστιν, εἰ καὶ τὸ διπλάσιον κατὰ πολὺ ὑπερβαίνει. ἃ δὴ δέκα νομίσματα ὑπέρπυρα ἀπὸ τῶν σῶν χειρῶν τοῦ αὐθέντου ἡμῶν τοῦ Κομνηνοῦ λαβόντες εἰς τὰς ἡμετέρας χεῖρας ἐνώπιον τοῦ τε ἀρχιερέως καὶ τῶν ἀναγεγραμμένων μαρτύρων σῶα καὶ ἀνελλιπῆ, ἀληθῶς καὶ δίχα ἀναργορίας οἱασδήτινος παραδεδώκαμεν καὶ ἡμεῖς ἀπεντεῦθεν καὶ ἀπὸ τῆς σήμερον πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὸ ὅλον μέρος καὶ πλήρωμα τῆς δηλωθείσης μονῆς τοῦ Προδρόμου τὸ, ὡς εἴρηται, ὅλον ἀμπέλιον ἡμῶν, δηλονότι τὴν μίαν ὁλοκοτιναραίαν, ὃ δὴ ἀμπέλιον καὶ καθέξετε σὺν τῷ μέρει τῆς μονῆς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ μέχρις ἂν τὸ πᾶν περιΐσταται, κυρίως, αὐθεντικῶς καὶ ἀνεπικωλύτως καὶ ἄτερ τινὸς δόσεως τέλους καὶ βάρους, ποιοῦντες ἐπ' αὐτῷ ὅσα βουλῆς καὶ θελήσεως ἔχετε καὶ ὅσα οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι ἐκκεχωρήκασι ποιεῖν τοὺς οἰκείους νομεῖς καὶ δεσπότας ἐπὶ τοῖς ἑαυτῶν πράγμασι, μὴ παρά τινος τοῦ παντὸς γένους καὶ μέρους ἡμῶν ἢ ὡς εἴρηται δηλωθεῖσα μονὴ τοῦ Προδρόμου εὑροῦσα τὸν τυχόντα διασεισμὸν ἢ ὄχλησιν ἢ ἐπήρειάν τινα ἐπὶ τῷ διηγορευμένῳ ἀμπελίῳ. οὕτως οὖν ἀρεσθέντες καὶ συμφωνήσαντες ὡς καὶ τὰ διηγορευμένα δέκα ὑπέρπυρα λαβόντες ἐπ' ὄψεσι τῶν κάτωθεν ὑπογραφόντων μαρτύρων καὶ τὸ παρὸν ἡμῶν ἔγγραφον ἐξεθέμεθα, ὅπερ εἰ τολμήσομεν ἀρνήσασθαι μερικῶς ἢ κα-

θόλου, μὴ μόνον ἵνα μὴ εἰσακουώμεθα κἂν εἴ τι ἂν καὶ λέγειν ἐπιχειρήσωμεν, ἀλλὰ καὶ πρόστιμον ζημιωθησόμεθα πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὴν μονὴν νομίσματα ὑπέρπυρα τριακονταέξ, καὶ τῷ δημοσίῳ τὸ διαφέρον, τοῦ ὕφους γραφέντος προτροπῇ ἡμῶν διὰ χειρὸς τοῦ πανευλαβεστάτου ἀναγνώστου κυροῦ Κωνσταντίνου τοῦ Ῥαγκαβὲ καὶ ταβουλλαρίου τῆς πόλεως Ἀλμυροῦ μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος πεντεκαιδεκάτης, ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ.

Οὕτως ἔσχε καὶ τὸ τοῦ Μαρτίνου πρατήριον ἔγγραφον, ὃ γέγονεν ἐπὶ ἀμπελίῳ πρὸς τὴν σεβασμίαν μονὴν τοῦ τιμίου Προ[δρόμου τῆς Νέας Πέτρας].

XXX. 6780—1271, mense novembri, ind. XV.

Nicolaus Bardas vendit monasterio Novae Petrae vineam in Belestino.

Τὸ πρατήριον τοῦ Βάρδα Νικολάου.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Νικόλαος ὁ Βάρδας ἄνωθεν τοῦ παρόντος ὕφους τὸν τύπον τοῦ ζωηφόρου καὶ προσκυνητοῦ σταυροῦ οἰκείᾳ χειρὶ ἐντυπωσάμενος τὸ παρὸν ἑκούσιον καὶ ἀμεταμέλητον τῆς καθαρᾶς, φανερᾶς διαπράσεως ἐνυπόγραφον ἔγγραφόν μου τίθημι καὶ ποιῶ σὺν παντὶ τῷ γένει καὶ μέρει μου καὶ αὐτοῖς τοῖς κληρονόμοις καὶ διακατόχοις μου ἑκουσίως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀρρᾳδιούργως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ ἀρχοντικῆς καταδυναστείας ἢ συναρπαγῆς ἢ περιγραφῆς ἢ παραγραφῆς σὺν . . . . πολλῆς μου τῆς ἀποδοχῆς καὶ θελήσεως ἀποβαλλόμενος καὶ ἀποταττόμενος ἐκ συμφώνου μου ὁμολογίας καὶ ἐπερωτήσεως μὴ μόνον πᾶσαν καὶ παντοίαν ἰδιωτείαν καὶ ἀγροικίαν καὶ ἀπάτην, ἀλλὰ καὶ αὐτὸν τὸν μετάμελον καὶ τὸν ἐπὶ τῷ μεταμέλῳ μετάμελον καὶ τὴν ἐκ τούτου τικτομένην ἀγωγὴν εἰς ἀναίρεσιν τοῦ παρόντος πρατηρίου ἐγγράφου μου πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους τόν τε περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου, καὶ βασιλέως, κῦρ Νικόλαον Κομνηνὸν τὸν Μαλιασηνόν, καὶ τὴν περιπόθητον σύμβιόν σου τὴν ποθεινοτάτην ἀνεψιὰν τοῦ κραταιοῦ καὶ ἁγίου

ἡμῶν αὐθέντου καὶ βασιλέως, Δούκαιναν Παλαιολογίναν κυρὰν Ἄνναν Κομνηνὴν τὴν Μαλιασηνήν, καὶ δι' ὑμῶν πρὸς τὴν παρ' αὐτῆς ἀνεγερθησομένην σεβασμίαν πατριαρχικὴν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου πανενδόξου Προδρόμου τῆς Νέας Πέτρας καὶ πρὸς τὸ ἅπαν μέρος καὶ πλήρωμα ταύτης, καθὼς δηλωθήσεται. καὶ γὰρ ἐπειδὴ ἀπὸ τῆς προσούσης μοι στενοχωρίας καὶ πτωχείας καὶ γυμνότητος εἰς τὸν παρόντα ἐμπερίστατον καιρὸν ἠθέλησα ἐκποιήσασθαι ἐπὶ διαπράσει παντελεῖ τὸ παρ' ἐμοῦ νεμόμενον καὶ δεσποζόμενον γονικόν μου ἀμπέλιον τὸ ἐν τῇ περιοχῇ τοῦ Βελεστίνου διακείμενον τὸ ποσούμενον εἰς ὁλοκοτιναραίαν ἁλμορωτικὴν μίαν, τὸ πλησίον τοῦ γαμβροῦ μου Μιχαὴλ τοῦ Μαρτίνου, ὡς ἂν διὰ τοῦ τιμήματος τούτου ἐξωνήσωμαι βοῦν ἀροτῆρα καματηρὸν καὶ ἐργάζωμαι δι' αὐτοῦ καὶ κατασπέρω, εἴ τι ἰσχύσω, ἀλλὰ καὶ τὴν γύμνωσίν μου σκεπάσω, καὶ ἐπεὶ ἔγνων, ὡς θέλημα καὶ βουλὴν ἔχετε οἱ κύριοί μου οἱ πανευγενέστατοι ὁμόζυγοι ἐξωνήσασθαι ἀμπέλια λόγῳ τῆς παρ' ὑμῶν, ὡς εἴρηται, ἀνεγερθησομένης πατριαρχικῆς μονῆς τῆς Νέας Πέτρας, κατὰ τοῦτο προσῆλθον ὑμῖν καὶ δέδωκα εἴδησιν περὶ τῆς ἐκποιήσεως τοῦ δηλωθέντος ἀμπελίου μου, καὶ ἐπεὶ εὕρομεν ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους ἑτοίμους πρὸς τὸ ἐμοὶ ἐφετόν, εὐθέως ἐκοινολογησάμεθα καὶ περιεστήσαμεν ἐξ ἀρεσκείας καὶ θελήσεώς μου τὸ τίμημα τοῦ δηλωθέντος ὅλου ἀμπελίου μου εἰς νομίσματα ὑπέρπυρα ἐννέα, καὶ ἀφ' ὑμῶν τῶν πανευγενεστάτων ὁμοζύγων εἰς τὰς ἡμετέρας χεῖρας δεξάμενος κατὰ τὸ ἀπαράλειπτον ἀληθῶς καὶ δίχα ἀναργυρίας οἱασδήτινος, τὸ δ' ὑπέρπλεον τούτου ἀποχαρίζομαι τῇ μονῇ ἁπλῷ καὶ ἀμεταμελήτῳ τῷ τρόπῳ, κἂν ὅσον ἄρα καὶ ἐστίν, εἰ καὶ κατὰ πολὺ τὸ διπλάσιον ὑπερβαίνει, παραδέδωκα καὶ ἐγὼ ἀπεντεῦθεν καὶ ἀπὸ τῆς σήμερον πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὴν ὑμετέραν πατριαρχικὴν μονὴν τό, ὡς εἴρηται, ὅλον ἀμπέλιόν μου, δηλονότι τὴν μίαν ὁλοκοτιναραίαν, ὃ δὴ ἀμπέλιον καὶ καθέξετε σὺν τῷ μέρει τῆς μονῆς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ μέχρις ἂν τὸ πᾶν περιΐσταται κυρίως, αὐθεντικῶς καὶ ἀνεπικωλύτως καὶ ἄνευ τινὸς δόσεως τέλους καὶ βάρους, ποιοῦντες ἐπ' αὐτῷ, ὅσα βουλῆς καὶ θελήσεως ἔχετε καὶ ὅσα οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι ἐκκεχωρήκασι ποιεῖν τοὺς οἰκείους νομεῖς καὶ δεσπότας ἐπὶ τοῖς ἑαυτῶν πράγμασι, μὴ παρά τινος τοῦ παντὸς γένους καὶ μέρους μου

ἡ, ὡς εἴρηται, δηλωθεῖσα μονὴ τοῦ Προδρόμου εὑροῦσα τὸν τυχόντα διασεισμὸν ἢ ὄχλησιν ἢ ἐπήρειάν τινα ἐπὶ τῷ δηλωθέντι ἀμπελίῳ. οὕτως οὖν ἀρεσθεὶς καὶ συμφωνήσας καὶ τὰ διηγορεομένα ἐννέα ὑπέρπυρα λαβὼν ἐπ' ὄψεσι τῶν κάτωθεν ὑπογραφόντων μαρτύρων καὶ τὸ παρὸν ἔγγραφόν μου ἐξεθέμην, ὅπερ εἰ τολμήσω ἀρνήσασθαι μερικῶς ἢ καθόλου, μὴ μόνον οὐ μὴ εἰσακούωμαι, κἂν εἴ τι ἂν καὶ λέγειν ἐπιχειρήσω, ἀλλὰ καὶ πρόστιμον ζημιωθήσομαι πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὴν μονὴν νομίσματα ὑπέρπυρα τριακονταὲξ καὶ πρὸς τὸ δημόσιον τὸ διαφέρον, τοῦ ὕφους γραφέντος προτροπῇ ἐμῇ διὰ χειρὸς τοῦ πανευλαβεστάτου ἀναγνώστου κῦρ Κωνσταντίνου τοῦ Ῥαγκαβὲ καὶ ταβουλλαρίου τῆς πόλεως Ἁλμυροῦ μηνὶ νοεμβρίῳ, ἰνδικτιῶνος πρώτης, ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ. εἰ καὶ ἄνωθεν κατὰ λήθην ἐγράφη, ὡς ὅτι ἐννέα νομίσματα ὑπέρπυρα ἔλαβον ἀφ' ὑμῶν τῶν πανευγενεστάτων ὁμοζύγων ὑπὲρ τοῦ τιμήματος τοῦ δηλωθέντος ἀμπελίου τῆς μιᾶς ὁλοκοτιναραίας τῆς καὶ διαιρουμένης εἰς δύο τμήματα, ἀλλ' οὖν δέκα νομίσματα ὑπέρπυρα ἔλαβον καὶ ἐγὼ ἀφ' ὑμῶν, ὡς καὶ ὁ γαμβρός μου ὁ Μαρτῖνος, καὶ ὁμολογῶ τοῦτο ἀληθῶς καὶ δίχα ἀναργυρίας οἱασδήτινος, μηνὶ καὶ ἰνδικτιῶνις τοῖς προγεγραμμένοις.

Τοιοῦτόν ἐστι καὶ τοῦτο τοῦ Νικολάου Βάρδα πρατήριον, ὃ γέγονεν ἐπὶ ἀμπελίῳ πρὸς τὴν δηλωθεῖσαν σεβασμίαν μονήν.

XXXI. 6780—1271, mense decembri, ind. XV.

Monachi monasterii S. Georgii Canaliorum vendunt Nicolao Maliaseno vineam in Belestino.

Τὸ πρατήριον τοῦ ἁγίου Γεωργίου τῶν Καναλίων' ὅπερ ἐποίησαν οἱ ἱερομόναχοι Μεθόδιος καὶ οἰκονόμος καὶ ὁ ἐκκλησιάρχης Βαρλαάμ.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγί υ πνεύματος. Μεθόδιος ἱερομόναχος καὶ οἰκονόμος τῆς σεβασμίας μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τῶν Καναλίων καὶ Βαρλαὰμ ἱερομόναχος ὁ ἐκκλησιάρχης τῆς αὐτῆς μονῆς, ἔτι δὲ καὶ ἡμεῖς οἱ λοιποὶ μοναχοὶ

τῆς τοιαύτης μονῆς, ὅ τε Θεόδουλος καὶ ὁ Καλλίνικος ἄνωθεν τοῦ παρόντος ὕφους οἱ μὲν τὰς οἰκείας προταγὰς αὐτοχείρως ποιησάμενοι, οἱ δὲ τοὺς τύπους τοῦ ζωηφόρου καὶ προσκυνητοῦ σταυροῦ οἰκείαις χερσὶν ἐντυπωσάμενοι πάντες κοινῇ βουλῇ, γνώμῃ τε . . .

. . . .

διαπράσεως ἐνυπόγραφον ἔγγραφον ἡμῶν τιθέμεθα καὶ ποιοῦμεν σὺν παντὶ τῷ μέρει καὶ πληρώματι τῆς δηλωθείσης μονῆς ἑκουσίως καὶ ἀβιάστως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ ἀπάτης ἢ δόλου ἢ συναρπαγῆς ἢ περιγραφῆς ἢ παραγραφῆς ἢ δωροληψίας ἢ κολακείας ἢ ἐπηρείας ἀρχοντικῆς, σὺν προθυμίᾳ δὲ μᾶλλον ἀπάσῃ, ὁλοψύχῳ προθέσει καὶ μεταμεριμνημένου καὶ ἠκριβωμένου σκοποῦ καὶ φρενῶν ἀκεραιοτάτης τῆς σταθηρότητος καὶ ἁπλῶς εἰπεῖν μετὰ πολλῆς ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως ἀποβαλλόμενοι καὶ ἀποταττόμενοι ἐκ συμφώνου ἡμῶν ὁμολογίας καὶ ἐπερωτήσεως μὴ μόνον πᾶσαν καὶ παντοίαν ἰδιωτείαν καὶ ἀγροικίαν, ἀλλὰ καὶ αὐτὸν τὸν μετάμελον καὶ τὸν ἐπὶ τῷ μεταμέλῳ μετάμελον καὶ τὴν ἐκ τούτου τικτομένην ἡμῖν τοῖς μοναχοῖς καὶ παντὶ τῷ μέρει τῆς μονῆς εἰς ἀναίρεσιν τοῦ παρόντος πρατηρίου ἐγγράφου ἡμῶν πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους, τόν τε περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κῦρ Νικόλαον Ἄγγελον Κομνηνὸν τὸν Μαλιασηνόν, καὶ τὴν περιπόθητον σύμβιόν σου, τὴν ποθεινοτάτην ἀνεψιὰν τοῦ κρατάιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Δούκαιναν Κομνηνὴν Παλαιολογίναν κυρὰν Ἄνναν τὴν Μαλιασηνήν, καὶ δι' ὑμῶν πρὸς τὸ ἅπαν μέρος καὶ πλήρωμα τῆς σεβασμίας πατριαρχρικῆς γυναικείας μονῆς τοῦ τιμίου πανενδόξου Προδρόμου τῆς Νέας Πέτρας τῆς παρὰ σοῦ τῆς Κομνηνῆς σὺν θεῷ ἀνεγειρομένης. καὶ γὰρ ἐπειδὴ ἠθελήσαμεν ἐκποιήσασθαι ἐπὶ διαπράσει παντελεῖ τὸ παρὰ τῆς, ὡς εἴρηται, μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου νεμόμενον καὶ δεσποζόμενον ἀμπέλιον ἐν τῇ περιοχῇ τοῦ Βελεστίνου, τὸ καὶ ποσούμενον εἰς ὁλοκοτιναραίας δύο, ὡς ἂν διὰ τοῦ τιμήματος τούτου ἐκπληρώσωμεν τινὰ τῶν χρεῶν τῶν εὑρεθέντων τῇ μονῇ μετὰ θάνατον τοῦ οἰκονόμου ἐκείνου ταύτης, τοῦ μοναχοῦ Λαζάρου, οὐχ εὑρίσκομεν δέ τινα τῶν ἐγγὺς ἢ καὶ τῶν πόρρω θέλοντα τοῦτο ἐξωνήσασθαι, τὸ μὲν διὰ τὸ εἶναι τοῦτο ἀτημέλητον, τὸ δὲ διὰ τὴν τοῦ καιροῦ κοσμικὴν ἀνωμαλίαν, ἀνεμάθο-

μεν δὲ καὶ ἔγνωμεν, ὡς ὅτι ὑμεῖς οἱ πανευγενέστατοι ὁμόζυγοι, ὁδηγηθέντες ἐκ θεοῦ ἐξωνεῖσθαι λόγῳ τῆς παρ' ὑμῶν ἀνεγειρομένης πατριαρχικῆς γυναικείας μονῆς τοῦ Προδρόμου ἀμπέλια ἐν τῇ περιοχῇ τοῦ Βελεστίνου, κατὰ τοῦτο προσήλθομεν ὑμῖν καὶ δεδώκαμεν εἴδησιν περὶ τῆς ἐκποιήσεως τοῦ δηλωθέντος ἀμπελίου, οὐχ εὕρομεν δὲ ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους εὐπειθεῖς πρὸς τὴν ἡμετέραν αἴτησιν διὰ τὸ εἶναι, ὡς εἴρηται, ἀτημέλητον τὸ δηλωθὲν ἀμπέλιον. παρακλητεύσαντες οὖν ὑμᾶς οὐκ ὀλίγα μετὰ καὶ ἄλλων τινῶν Βελεστινιωτῶν, δηλονότι τῶν κληρικῶν τῆς ἁγιωτάτης ἐπισκοπῆς Βελεστίνου, ὀψὲ καὶ μόλις ὑπεκλίνατε ὦτα πειθήνια τῇ αἰτήσει ἡμῶν τῶν μοναχῶν. κοινολογησάμενοι οὖν ἀμφότεροι περὶ τοῦ τιμήματος τοῦ δηλωθέντος ἀμπελίου, δηλονότι τῶν δύο ὁλοκοτιναραίων τοῦ πλησίον τῆς μονῆς τοῦ ἁγίου Νικολάου τοῦ Νέου, περιεστήσαμεν τὸ τούτου τίμημα ἐξ ἀρεσκείας ἡμῶν τῶν μοναχῶν εἰς νομίσματα ὑπέρπυρα δεκαπέντε, τὸ δ' ὑπέρπλεον τούτων ἀποχαριζόμεθα τῇ μονῇ τοῦ Προδρόμου τῆς Νέας Πέτρας, κἂν ὅσον ἄρα καὶ ἔστι, διὰ τὸ, ὡς εἴρηται, εἶναι ἀτημέλητον τὸ δηλωθὲν ἀμπέλιον, ἃ δὴ τοῦ χρυσίου δεκαπέντε νομίσματα ὑπέρπυρα ἀφ' ὑμῶν τῶν πανευγενεστάτων ὁμοζύγων λαβόντες εἰς τὰς ἡμετέρας χεῖρας κατὰ τὸ ἀπαράλειπτον ἐνώπιον τῶν μαρτυρησάντων κάτωθεν μαρτύρων, παραδεδώκαμεν καὶ ἡμεῖς οἱ μοναχοὶ ἀπεντεῦθεν καὶ ἀπὸ τῆς σήμερον τὸ διηγορευμένον ὅλον ἀμπέλιον πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους, ὅπερ καθέξετε σὺν παντὶ τῷ μέρει καὶ πληρώματι τῆς δηλωθείσης γυναικείας μονῆς τοῦ Προδρόμου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ μέχρις ἂν τὸ πᾶν περιίσταται, κυρίως, αὐθεντικῶς καὶ ἀνεπικωλύτως, μὴ παρά τινος τοῦ παντὸς μέρους καὶ πληρώματος τῆς ἡμετέρας μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου εὑροῦσα ἡ μονὴ τοῦ Προδρόμου ποτὲ τῶν καιρῶν ἢ τῶν χρόνων τὸν τυχόντα διασεισμὸν ἢ ὄχλησιν ἢ ἐπήρειαν ἢ τὴν τυχοῦσαν κωλύμην ὅσον ἐπὶ τῇ νομῇ καὶ κατοχῇ καὶ δεσποτείᾳ τοῦ τοιούτου ἀμπελίου, ἀλλὰ καὶ μᾶλλον ὀφείλει δεφενδεύεσθαι ἡ μονὴ τοῦ Προδρόμου ἀπὸ παντὸς οἱουδήτινος προσώπου τοῦ βουληθέντος διασεῖσαι ἢ παρενοχλῆσαι ταύτην ἐπὶ τῷ δηλωθέντι ἀμπελίῳ, ἀλλὰ καὶ ἀτελὲς καὶ ἀβαρὲς καὶ ἄνευ τινὸς δόσεως ὀφείλετε κατέχειν τοῦτο εἰς τὸ διηνεκές. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν πρατήριον ἔγγραφον ἡμῶν πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύ-

γους ἐξεθέμεθα, ὅπερ εἰ τολμήσομεν ἀρνήσασθαι μερικῶς ἢ καθόλου ἢ ἡμεῖς οἱ ἀναγεγραμμένοι μοναχοὶ ἢ ἕτερός τις ἀπὸ τοῦ μέρους τῆς μονῆς τοῦ ἁγίου Γεωργίου, οὐ μόνον ἵνα μὴ εἰσακουώμεθα, κἂν εἴ τι ἂν καὶ λέγειν ἐπιχειρήσωμεν, ἀλλὰ καὶ πρόστιμον ζημιωθησόμεθα πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὴν μονὴν τοῦ Προδρόμου νομίσματα ὑπέρπυρα πεντήκοντα καὶ πρὸς τὸ δημόσιον τὸ διαφέρον, τοῦ ὕφους γραφέντος προτροπῇ ἡμῶν διὰ χειρὸς ταβουλλαρίου τῆς πόλεως Ἁλμυροῦ, τοῦ εὐλαβεστάτου ἀναγνώστου κῦρ Κωνσταντίνου τοῦ Ῥαγκαβὲ μηνὶ δεκεβρίῳ, ἰνδικτιῶνος πεντεκαιδεκάτης, ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ.

Καὶ τὸ πρατήριον δὲ ἔγγραφον πρὸς τὴν αὐτὴν μονὴν τοῦ ἁγίου Γεωργίου τῶν Καναλίων ἐπὶ ἀμπελίῳ τοιαυτὴν ἔσχε τὴν ἔκθεσιν.

XXXII. 6780—1272, mense maio, ind. XV.

Fratres Constantinus et Ioannes Catzidones vendunt Nicolao Maliaseno vineas in Belestino.

I. Τὸ πρατήριον Κωνσταντίνου τοῦ Κατζιδώνη.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Κωνσταντῖνος ὁ Κατζιδώνης καὶ Ξένη ἡ σύμβιος τούτου, ἀμφότεροι κοινῇ βουλῇ, γνώμῃ τε καὶ ἀρεσκείᾳ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τύπους τοῦ ζωηφόρου καὶ προσκυνητοῦ σταυροῦ οἰκείαις χερσὶν ἐντυπωσάμενοι τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον καθαρὰν, φανερὰν, εἰλικρινῆ καὶ ἀμεταμέλητον διάπρασιν τοῦ κατωτέρω δηλωθησομένου ἀμπελίου τιθέμεθα καὶ ποιοῦμεν σὺν παντὶ τῷ γένει καὶ μέρει ἡμῶν καὶ αὐτοῖς τοῖς κληρονόμοις καὶ διαδόχοις ἡμῶν ἑκουσίως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀρρᾳδιούργως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ φόβου ἢ δόλου ἢ χλεύης ἢ βίας ἢ ἀπάτης ἢ ἀρχοντικῆς καταδυναστείας ἢ ἐρρᾳδιουργημένου σκοποῦ, σὺν προθυμίᾳ δὲ μᾶλλον ἁπάσῃ, ὁλοψύχῳ προθέσει καὶ μετὰ μεμεριμνημένου καὶ ἠκριβωμένου σκοποῦ καὶ φρενῶν ἀκεραιοτάτης τῆς σταθηρότητος καὶ ἁπλῶς εἰπεῖν μετὰ πολλῆς ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως, ἀποβαλλόμενοι καὶ ἀποταττόμενοι ἐκ συμφώνου ἡμῶν ὁμολογίας καὶ ἐπερωτήσεως μὴ μόνον πᾶσαν καὶ παντοίαν

ἰδιωτείαν καὶ ἀγροικίαν καὶ ἀρχοντικὴν καταδυναστείαν, ἀλλὰ καὶ αὐτὸν τὸν μετάμελον καὶ τὸν ἐπὶ τῷ μεταμέλῳ μετάμελον καὶ τὴν ἐκ τούτου τικτομένην ἡμῖν ἀγωγὴν εἰς αναίρεσιν τοῦ παρόντος ἐρηρεισμένου καὶ ἀκραδάντου πρατηρίου ἐγγράφου ἡμῶν πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ κυρίους ἡμῶν, τόν τε περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τὸν πανευγενέστατον Δούκαν Ἄγγελον κῦρ Νικόλαον Κομνηνὸν τὸν Μαλιασηνόν, καὶ τὴν περιπόθητόν σου σύμβιον, τὴν περιπόθητον ἀνεψιὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, πανευγενεστάτην Δούκαιναν Ἀγγελίναν Παλαιολαγίναν κυρὰν Ἄνναν Κομνηνὴν τὴν Μαλιασηνήν, τὴν κτητόρισσαν τῆς σεβασμίας πατριαρχικῆς μονῆς τοῦ τιμίου πανενδόξου προφήτου Προδρόμου τῆς οὕτω πως ἐπικεκλημένης τῆς Νέας Πέτρας τῆς ἐν τῷ θέματι τῆς Δρυανουβαίνης διακειμένης, δι' ὑμῶν τε πρὸς τὸ ὅλον μέρος καὶ πλήρωμα τῆς τοιαύτης μονῆς, καθὼς δηλωθήσεται. καὶ γὰρ ἐπειδὴ ἀπὸ τῶν καθημερινῶν ἐφόδων τῶν ἐπερχομένων τῇ χώρᾳ ἡμῶν τῇ Βελεστίνου εἰς παντελῆ ἀπορίαν κατηντήσαμεν γυμνιτεύοντες ὡς καὶ αὐτῆς σχεδὸν τῆς ἀναγκαίας τροφῆς ὑστερεῖσθαι, δεῖν ᾠήθημεν καθ' ἑαυτοὺς συνδιασκεψάμενοι ἐκποιήσασθαι ἐπὶ παντελεῖ διαπράσει τὸ ἀμπέλιον ἡμῶν τὸ ἐν τῇ περιοχῇ τοῦ Βελεστίνου τὸ πλησίον ἔνθεν κἀκεῖθεν τῶν δικαίων ἑτέρων τῆς δηλωθείσης μονῆς τοῦ Προδρόμου, τὸ δι' οἰκείων κόπων καὶ ἐξόδων ἐμοῦ τοῦ Κωνσταντίνου καταφυτευθέν, καθὼς τοῦτο πάντες γινώσκουσιν οἱ γειτνιάζοντες ἡμῖν, καὶ διὰ τοῦ τιμήματος τούτου ἐξωνήσασθαι βοῦν ἀροτῆρα καὶ ἐργάζεσθαι τὴν βότειραν γῆν, ἵνα κἂν ἐκ τούτου τὴν ζωάρκειαν ἡμῶν ἔχωμεν ἀνυστέρητον, καὶ τοῦτο οὕτως ποιῆσαι διανοηθέντες, προσήλθομεν ὑμῖν τοῖς πανευγενεστάτοις ὁμοζύγοις καὶ κυρίοις ἡμῶν, ὡς δίκαια ἔχουσι πλησιασμῶν, καὶ περὶ τῆς ἐκποιήσεως τοῦ δηλωθέντος ἀμπελίου δεδώκαμεν εἴδησιν τῇ ἀντιλήψει ὑμῶν, ὑμεῖς δὲ τὸ μὲν διὰ τὸ ἔχειν πόθον καὶ φροντίδα κατὰ θεὸν προσκτήσασθαι τῇ δηλωθείσῃ μονῇ τοῦ Προδρόμου ἀκίνητά τινα κτήματα, τὸ δὲ διὰ τὴν παράκλησιν ἡμῶν κατενεύσατε τῇ αἰτήσει ἡμῶν. κοινολογησάμενοι γοῦν ἀμφότεροι περὶ τοῦ τιμήματος τοῦ δηλωθέντος ἀμπελίου περιεστήσαμεν τὸ τούτου τίμημα ἐξ ἀρεσκείας καὶ ἀμφοτέρων ἡμῶν τῶν μερῶν εἰς νομίσματα ὑπέρπυρα ὀκτώ, τὸ δ' ὑπέρπλεον τούτων ἀποχαριζόμεθα τῇ δηλωθείσῃ μονῇ,

κἂν ὅσον ἄρα καὶ ἐστὶν, εἰ καὶ κατὰ πολὺ τὸ διπλάσιον ὑπερβαίνει, ἃ δὴ τοῦ χρυσίου νομίσματα ὑπέρπυρα ὀκτὼ καὶ ἀπὸ τῶν χειρῶν τοῦ ἀνθρώπου ὑμῶν τοῦ Βασιλικοῦ κυροῦ Μιχαὴλ δεξάμενοι εἰς τὰς ἡμετέρας χεῖρας ἡμῶν ἀληθῶς καὶ δίχα ἀναρτησίας οἱασδήτινος ἐνώπιον τῶν κάτωθεν συγνογραφησάντων μαρτύρων παραδεδώκαμεν πρὸς ὑμᾶς τὸ διηγορευμένον ὅλον ἀμπέλιον, ὅσον καὶ οἷον ἐστὶν, ἀπεντεῦθεν καὶ ἀπὸ τῆς σήμερον, ὃ δὴ ἀμπέλιον καὶ καθέξει δι' ὑμῶν ἡ δηλωθεῖσα γυναικεία μονὴ τοῦ Προδρόμου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ μέχρις ἂν τὸ πᾶν περιΐσταται, κυρίως, αὐθεντικῶς καὶ ἀνεπικωλύτως, καθολικῶς, γενικῶς, ἰδικῶς καὶ περιεκτικῶς, καὶ ἁπλῶς πάντα ποιεῖ καὶ πράττει ἡ μονὴ ἐπ' αὐτῷ, ὅσα βουλῆς καὶ θελήσεως ἔχει καὶ ὅσα οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι διορίζονται ποιεῖν καὶ πράττειν τοὺς οἰκείους νομεῖς καὶ δεσπότας ἐπὶ τοῖς ἑαυτῶν πράγμασι, μηδένα ἐμποδισμὸν ἢ διασεισμὸν ἢ ἔκπτωσιν ἢ ἀφαίρεσιν παρά τινος ὑφορωμένη ἡ μονὴ ἐπὶ τῷ δηλωθέντι ἀμπελίῳ, ὡς τοῦ παρόντος ἡμῶν ἐγγράφου ἀρκεῖν ὀφείλοντος τῇ μονῇ καὶ ἀντὶ τοπικῆς τούτου ἐπιστασίας καὶ σωματικῆς τελείας ἀποκαταστάσεως, ἀλλὰ καὶ καθολικὸν δεφενσίωνα ἐπαγγελλόμεθα τῇ μονῇ ἐπὶ τῷ δηλωθέντι ἀμπελίῳ. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον πρατήριον ἔγγραφον ἐξεθέμεθα πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ κυρίους ἡμῶν καὶ δι' ὑμῶν πρὸς τὸ ὅλον μέρος τῆς μονῆς, ὅπερ εἰ τολμήσομεν ἀρνήσασθαι μερικῶς ἢ καθόλου, μὴ μόνον ἵνα μὴ εἰσακουώμεθα, κἂν εἴ τι ἂν καὶ λέγειν ἐπιχειρήσωμεν, ἀλλὰ καὶ πρόστιμον ζημιωθησόμεθα πρὸς ὑμᾶς καὶ πρὸς τὸ μέρος τῆς μονῆς νομίσματα ὑπέρπυρα τριακονταὲξ καὶ τῷ δημοσίῳ τὸ διαφέρον, τοῦ ὕφους γραφέντος ἐκ παρακλήσεως ἡμῶν διὰ χειρὸς τοῦ πανιερωτάτου ἀρχιερέως ἡμῶν τοῦ Δημητριάδος καὶ Ἁλμυροῦ καὶ πρωτοσυγκέλλου, κυροῦ Μιχαὴλ τοῦ Παναρέτου, χάριν ψυχικῆς σωτηρίας αὐτοῦ μηνὶ μαΐῳ, ἰνδικτιῶνος πεντεκαιδεκάτης, ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ.

Ταῦτα διαλαμβάνει καὶ τὸ τοῦ Κατζιδώνη πρατήριον ἔγγραφον ἐπὶ ἀμπελίῳ πρὸς τὴν δηλωθεῖσαν μονὴν τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας.

II. Τὸ πρατήριον ἑτέρου Κατζιδώνη Ἰωάννου.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἰωάννης ὁ Κατζιδώνης καὶ Εἰρήνη ἡ τούτου σύζυγος ἀμφότεροι κοινῇ βουλῇ, γνώμῃ τε καὶ ἀρεσκείᾳ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τύπους τοῦ ζωηφόρου καὶ προσκυνητοῦ σταυροῦ οἰκείαις χερσὶν ἐντυπωσάμενοι τὸ παρὸν ἑκούσιον καὶ ἀμεταμέλητον τῆς καθαρᾶς, φανερᾶς διαπράσεως ἐνυπόγραφον ἔγγραφον ἡμῶν τιθέμεθα καὶ ποιοῦμεν σὺν παντὶ τῷ γένει καὶ μέρει ἡμῶν καὶ αὐτοῖς τοῖς κληρονόμοις καὶ διακατόχοις ἡμῶν ἑκουσίως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀρρᾳδιούργως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ μὴ ἐξ ἀνάγκης ἢ βίας ἢ φόβου ἢ δόλου ἢ ἀρχοντικῆς καταδυναστείας ἢ συναρπαγῆς ἢ περιγραφῆς ἢ παραγραφῆς, σὺν προθυμίᾳ δὲ μᾶλλον ἁπάσῃ, ὁλοψύχῳ προθέσει καὶ ἁπλῶς εἰπεῖν μετὰ πολλῆς ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως, ἀποβαλλόμενοι καὶ ἀποταττόμενοι κοινῶς μὲν οἱ ὁμόζυγοι ἐκ συμφώνου ἡμῶν ὁμολογίας καὶ ἐπερωτήσεως μὴ μόνον πᾶσαν καὶ παντοίαν ἰδιωτείαν καὶ ἀγροικίαν, ἀλλὰ καὶ αὐτὸν τὸν μετάμελον, καὶ τὸν ἐπὶ τῷ μεταμέλῳ μετάμελον καὶ τὴν ἐκ τούτου τικτομένην ἡμῖν ἀγωγὴν εἰς ἀναίρεσιν τοῦ παρόντος πρατηρίου ἐγγράφου ἡμῶν, ἰδικῶς δὲ ἐγὼ ἡ Εἰρήνη ἀποβάλλομαι πᾶσαν καὶ παντοίαν γυναικείαν ἀσθένειαν καὶ ἀπάτην σὺν τῇ μετὰ διετίαν ἐπερωτήσει καὶ αὐτὸ τὸ βελλιάνειον δόγμα τὸ ταῖς ἀπατωμέναις γυναιξὶ προσβοηθοῦν, πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους, τόν τε περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κῦρ Νικόλαον τὸν Μαλιασηνόν, καὶ τὴν ποθεινοτάτην σύζυγόν σου, τὴν περιπόθητον ἀνεψιὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Δούκαιναν Παλαιολογίναν κυρὰν Ἄνναν τὴν Μαλιασηνήν, καὶ δι' ὑμῶν πρὸς τὴν παρ' αὐτῆς ἀνεγερθησομένην σεβασμίαν πατριαρχικὴν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου πανενδόξου Προδρόμου τῆς Νέας Πέτρας καὶ πρὸς τὸ ἅπαν μέρος καὶ πλήρωμα ταύτης, καθὼς δηλωθήσεται. καὶ γὰρ ἐπειδὴ ἔγνωμεν, ὡς διὰ τὴν ψυχικὴν ὑμῶν σωτηρίαν ᾑρετίσασθε ἐξωνήσασθαι ἀμπελῶνας ἐν τῇ περιοχῇ τοῦ Βελεστίνου λόγῳ τῆς, ὡς εἴρηται, ὑμετέρας πατριαρχικῆς μονῆς τοῦ Προδρόμου πλησίον τῶν γειτνιαζόντων ἡμῖν, οὐ μικρῶς οὖν καὶ ἡμεῖς κατὰ τὸν βίον στενοχωρούμενοι ἐκ τῆς τὸ

πᾶν συνεχούσης καιρικῆς τῶν πραγμάτων ἀνωμαλίας καὶ πολυχρονίου σιτοδείας προσήλθομεν ὑμῖν τοῖς πανευγενεστάτοις ὁμοζύγοις μετὰ παρακλήσεως ὅτι πολλῆς καὶ δεδώκαμεν εἴδησιν καὶ περὶ τῆς ἐκποιήσεως τοῦ ἡμετέρου ἀμπελίου τοῦ ἐν τῇ περιοχῇ τοῦ Βελεστίνου διακειμένου τοῦ πλησίον Κωνσταντίνου τοῦ Κατζιδώνη, τοῦ ἐμοῦ μὲν τοῦ Ἰωάννου αὐταδέλφου, ἐμοῦ δὲ τῆς Εἰρήνης ἀνδραδέλφου, καὶ ἐπεὶ εὕρομεν ὑμᾶς τοὺς κυρίους ἡμῶν τοὺς πανευγενεστάτους ὁμοζύγους ἑτοίμους πρὸς τὴν ἡμετέραν θέλησιν, ἐκοινολογησάμεθα καὶ περὶ τοῦ τιμήματος τοῦ τοιούτου ἀμπελῶνος τοῦ καὶ ποσουμένου εἰς ὁλοκοτιναραίαν μίαν ἁλμυριωτικὴν παρὰ τρίτον καὶ περιεστήσαμεν τὸ τούτου τίμημα ἐξ ἀρεσκείας καὶ ἀμφοτέρων ἡμῶν τῶν μερῶν εἰς νομίσματα ὑπέρπυρα ἑπτὰ παρὰ τρίτον, τὸ δ' ὑπέρπλεον τούτων ἀποχαριζόμεθα τῇ, ὡς εἴρηται, εὐαγεστάτῃ μονῇ τοῦ Προδρόμου, κἂν ὅσον ἄρα καὶ ἐστίν, εἰ καὶ κατὰ πολὺ τὸ διπλάσιον ὑπερβαίνει, ἃ δὴ τοῦ χρυσίου νομίσματα ὑπέρπυρα ἑπτὰ παρὰ τρίτον ἀφ' ὑμῶν τῶν πανευγενεστάτων ὁμοζύγων εἰς τὰς ἡμετέρας χεῖρας δεξάμενοι κατὰ τὸ ἀπαράλειπτον ἀληθῶς καὶ δίχα ἀναργυρίας οἱασδήτινος, παραδεδώκαμεν καὶ ἡμεῖς ἀπεντεῦθεν καὶ ἀπὸ τῆς σήμερον πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους τὸ διαληφθὲν ὅλον ἀμπέλιον καὶ καθέξετε τοῦτο σὺν παντὶ τῷ μέρει καὶ πληρώματι τῆς διαληφθείσης μονῆς τοῦ Προδρόμου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ μέχρις ἂν τὸ πᾶν περιΐσταται, κυρίως, αὐθεντικῶς καὶ ἀνεπικωλύτως, καὶ οὐδέποτε τῶν καιρῶν ἢ τῶν χρόνων ἢ ἡμεῖς αὐτοὶ οἱ ὁμόζυγο ἤ τις τῶν κληρονόμων καὶ διακατόχων ἡμῶν τολμήσει διασεῖσαι ἢ παρενοχλῆσαι τῇ μονῇ τοῦ Προδρόμου ἐπὶ τῷ δηλωθέντι ἀμπελῶνι, ὡς ἀληθῶς καὶ δίχα τινὸς ἀναργυρίας λαβόντες ἐπ' ὄψεσι τῶν κάτωθεν ὑπογραφόντων μαρτύρων τά, ὡς εἴρηται, ἑπτὰ παρὰ τρίτον νομίσματα ὑπέρπυρα, καὶ ὁμολογοῦμεν, ὡς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἶναι ξένους καὶ ἀλλοτρίους τῆς τοῦ δηλωθέντος ἀμπελῶνος νομῆς τε καὶ δεσποτείας, ὑμᾶς δὲ τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ τὸ ὅλος μέρος καὶ πλήρωμα τῆς, ὡς εἴρηται, μονῆς τοῦ Προδρόμου εἶναι ἀληθεῖς καὶ ἀνεκπτώτους νομεῖς καὶ δεσπότας τοῦ τοιούτου ἀμπελῶνος. οὕτως οὖν ἀρεσθέντες καὶ συμφωνήσαντες καὶ τὸ παρὸν πρατήριον ἔγγραφον ἡμῶν ἐξεθέμεθα ὅπερ . . . .

Reliqua desunt, folio e codice evulso.

XXXIII. Sine anno.

Nicolaus Malesianus emit molendinum in Dryanubaena.

Πρατήριον ἐπὶ μυλικῷ ἐργαστηρίῳ.

Initium deest.

. . . .

κοινῇ βουλῇ, γνώμῃ τε καὶ ἀρεσκείᾳ ἄνωθεν τοῦ παρόντος ὕφους τοὺς τόπους τοῦ ζωηφόρου σταυροῦ οἰκείαις χερσὶν ἐντυπωσάμενοι τὸ παρὸν ἑκούσιον καὶ ἀμεταμέλητον τῆς καθαρᾶς, φανερᾶς διαπράσεως ἐνυπόγραφον ἔγγραφον ἡμῶν τιθέμεθα καὶ ποιοῦμεν σὺν παντὶ τῷ μέρει ἡμῶν καὶ αὐτοῖς τοῖς κληρονόμοις καὶ διακατόχοις ἡμῶν, ἑκουσίως καὶ ἀβιάστως, καθαρῶς καὶ ἀρραδιούργως, αὐτοθελῶς καὶ αὐτοπροαιρέτως καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ φόβου ἢ δόλου ἢ βίας ἢ ἀρχοντικῆς καταδυναστείας, σὺν προθυμίᾳ δὲ μᾶλλον ἁπάσῃ, ὁλοψύχῳ προθέσει καὶ ἁπλῶς εἰπεῖν μετὰ πολλῆς καὶ ἡμῶν τῆς ἀποδοχῆς καὶ θελήσεως ἀποβαλλόμενοι καὶ ἀποταττόμενοι κοινῶς μὲν οἱ ἄνωθεν σιγνογραφήσαντες ἐκ συμφώνου ἡμῶν ὁμολογίας καὶ ἐπερωτήσεως πᾶσαν καὶ παντοίαν ἰδιωτείαν καὶ ἀγροικίαν, ἀποβαλλόμεθα δὲ πᾶσαν καὶ παντοίαν γυναικείαν ἀσθένειαν καὶ ἀπάτην, τὴν μετὰ διετίαν ἐπερώτησιν καὶ αὐτὸ τὸ βελλιάνειον δόγμα τὸ ταῖς ἀπατωμέναις γυναιξὶ προσβοηθοῦν, πρὸς ὑμᾶς τοὺς ὁμοζύγους πανευγενεστάτους, τόν τε περιπόθητον γαμβρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κῦρ Νικόλαον Κομνηνὸν τὸν Μαλιασηνόν, καὶ τὴν περιπόθητον σύζυγόν σου, τὴν ποθεινοτάτην ἀνεψιὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Δούκαιναν Παλαιολογίναν κυρὰν Ἄνναν Κομνηνὴν τὴν Μαλιασηνήν, καὶ δι' ὑμῶν πρὸς τὴν παρ' αὐτῆς ἀνεγερθησομένην σεβασμίαν μονὴν πατριαρχικὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ τιμίου πανενδόξου Προδρόμου τῆς Νέας Πέτρας καὶ πρὸς τὸ ἅπαν μέρος καὶ πλήρωμα ταύτης, καθὼς δηλωθήσεται. καὶ γὰρ ἐπειδὴ ἀπὸ τῆς ἄγαν στενοχωρίας καὶ πτωχείας ἡμῶν τῆς προγεγενημένης ἡμῖν ἐκ τῆς πολυχρονίου κοσμικῆς σιτοδείας κατηντήσαμεν εἰς παντελῆ ἀπορίαν, ὡς καὶ αὐτῆς τῆς ἀναγκαίας τροφῆς ὑστερεῖσθαι, κἀντεῦθεν κινδυνεύσομεν λιμαγχονηθῆναι σὺν τοῖς ἀνηλίκοις παισὶν ἡμῶν, διέγνωμεν ὡς ἐπὶ παντελεῖ διαπράσει ἐκποιήσασθαι τὸ γονικόν μας πρᾶγμα μυλοθέσιον ἀνενέρ-

γητον ἔκπαλαι, πάντη ἠμελημένον καὶ μὴ ἔχον λίθον ἐπικείμενον ἐν τῇ τηρήσει αὐτοῦ, τὸ ἐν τῇ τοποθεσίᾳ καὶ περιοχῇ διακείμενον τῆς Δρυανουβαίνης μετὰ καὶ περιαυλίου γῆς τῆς τετάρτης μερίδος, τὸ καὶ πλησίον αὐτοῦ, ὅσον καὶ οἷον ἐστὶ, κρεῖσσον ἡγησάμενοι ἐκποιήσασθαι τὸ τοιοῦτον μυλικὸν ἐρειποτόπιον ἐπὶ διαπράσει παντελεῖ καὶ διὰ τοῦ τιμήματος τούτου θρέψαι καὶ ἡμᾶς αὐτοὺς καὶ τὰ ἀνήλικα τέκνα. τοῦτο γοῦν ποιῆσαι διανοηθέντες προσήλθομεν ὑμῖν τοῖς πανευγενεστάτοις ὁμοζύγοις μετὰ παρακλήσεως ὅτι πολλῆς, καὶ περὶ τῆς ἐκποιήσεως τοῦ δηλωθέντος μυλικοῦ ἐργαστηρίου δεδώκαμεν εἴδησιν. καὶ ἐπεὶ εὕρομεν ὑμᾶς ἑτοίμους πρὸς τὴν ἡμετέραν γνώμην θέλοντας ἐξωνήσασθαι τοῦτο λόγῳ τῆς, ὡς εἴρηται, εὐαγεστάτης πατριαρχικῆς μονῆς ὑμῶν τοῦ τιμίου ἐνδόξου Προδρόμου τῆς Νέας Πέτρας καὶ κοινολογησάμενοι ἀμφότεροι ἐνώπιον καὶ τῶν κάτωθεν ὑπογραφόντων ἀξιοπίστων ἀνδρῶν ἱερέων τε καὶ λαϊκῶν περὶ τοῦ τιμήματος τοῦ δηλωθέντος ἀνενεργήτου μυλικοῦ ἐργαστηρίου καὶ μετὰ πάντων [τῶν] δικαίων καὶ προνομίων αὐτοῦ περιεστήσαμεν τὸ τούτου τίμημα ἐξ ἀρεσκείας καὶ ἀμφοτέρων ἡμῶν τῶν μερῶν εἰς δουκάτα εἰκοσιέξ, ἃ καὶ ἐλάβομεν ἡμεῖς εἰς τὰς χεῖρας ἡμῶν ὡς κληρονόμοι, τὸ δ' ὑπέρπλεον τούτου ἀποχαριζόμεθα ἁπλῷ καὶ ἀμεταμελήτῳ τῷ τρόπῳ τῇ δηλωθείσῃ τοῦ Προδρόμου μονῇ, κἂν ὅσον ἄρα καὶ ἐστὶν, εἰ καὶ τὸ διπλάσιον κατὰ πολὺ ὑπερβαίνει, ἃ δὴ δουκάτα εἰκοσιὲξ ἀπὸ τῶν σῶν χειρῶν τοῦ αὐθέντου ἡμῶν τοῦ Κομνηνοῦ λαβόντες εἰς τὰς ἡμετέρας χεῖρας ἐνώπιον καὶ τῶν ἀναγεγραμμένων μαρτύρων ἀληθῶς καὶ δίχα ἀναργυρίας οἱασδήτινος, παραδεδώκαμεν καὶ ἡμεῖς ἀπεντεῦθεν καὶ ἀπὸ τῆς σήμερον πρὸς ὑμᾶς τοὺς πανευγενεστάτους ὁμοζύγους καὶ πρὸς τὸ ὅλον μέρος καὶ πλήρωμα τῆς δηλωθείσης μονῆς τοῦ Προδρόμου τῆς Νέας Πέτρας, ὃ δὴ μυλικὸν ἐργαστήριον ἐκ παλαιῶν χρόνων ἀνενέργητον μετὰ καὶ πάντων τῶν προνομίων αὐτοῦ καὶ καθέξετε σὺν τῷ μέρει τῆς μονῆς ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς ἅπαντας χρόνους καὶ μέχρις ἂν τὸ πᾶν περιΐσταται, κυρίως, αὐθεντικῶς καὶ ἀνεπικωλύτως καὶ ἄτερ τινὸς δόσεως τέλους καὶ βάρους, ποιοῦντες ἐπ' αὐτῷ οἷα βουλῆς καὶ θελήσεως ἔχετε καὶ οἷα οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι ἐκκεχωρήκασι ποιεῖν τοὺς οἰκείους νομεῖς καὶ δεσπότας ἐπὶ τοῖς ἑαυτῶν πράγμασι, μὴ παρά τινος τοῦ παντὸς γένους καὶ μέρους ἡμῶν ἤ, ὡς

εἴρηται, δηλωθεῖσα μονὴ τοῦ Προδρόμου εὑροῦσα τὸν τυχόντα διασεισμὸν καὶ ὄχλησιν ἢ ἐπήρειάν τινα ἐπὶ τῷ διηγορευμένῳ μυλικῷ τοποθεσίῳ. οὕτως οὖν ἀρεσθέντες καὶ συμφωνήσαντες καὶ τὰ διηγορευμένα εἰκοσιὲξ δουκάτα . . . .

Reliqua desunt; folium unum e codice evulsum.

XXXIV. Sine anno, mense septembri, ind. I.

Michaël Panaretus, episcopus Demetriadis, subiicit monasterio Novae Petrae monasterium Portaraeae.

Ἐκδοτήριον γράμμα τοῦ Δημητρίαδος Μιχαὴλ τοῦ Παναρέτου ἐπὶ τῇ τῆς Πορταραίας μονῇ.

Initium deest.

. . . .

πανευγενεστάτῃ Κομνηνῇ καὶ Δουκαίνῃ κυρᾷ Ἄννῃ τῇ Μαλιασηνῇ τὴν σεβασμίαν μονὴν τῆς ὑπεραγίας θεοτόκου τὴν ἐπικεκλημένην τῆς Πορταραίας, ὡς ἂν κατέχῃ ταύτην εἰς μετόχιον ἡ παρ' ἡμῶν ἐκ βάθρων αὐτῶν ἀνεγερθεῖσα γυναικεία πατριαρχικὴ μονὴ τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας ἡ ἐν τῷ θέματι τῆς Δρυανουβαίνης διακειμένη μετὰ πάντων τῶν ἀρχαίων δικαίων καὶ προνομίων αὐτῆς, ἤγουν ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς, πεδινῆς, νομαδιαίας καὶ τῶν ἐν αὐτῇ προσκαθημένων τινῶν Βλάχων, ἐπεὶ καὶ ὁ τρισμακάριστος καὶ ἀοίδιμος πατὴρ ὑμῶν, ὁ πανευγενέστατος Κομνηνὸς ὁ Μαλιασηνός, ὁ ἐν τῷ θείῳ καὶ ἀγγελικῷ σχήματι μετονομασθεὶς Κωνστάντιος μοναχός, οὐκ ὀλίγας ἐξόδους κατεβάλετο ἐν αὐτῇ εἰς καταφύτευσιν τοῦ ἐν αὐτῇ ἀμπελῶνος καὶ τῶν ταύτης κελλίων χάριν ψυχικῆς αὐτοῦ σωτηρίας καὶ διηνεκοῦς μνημοσύνου ἐκείνου. ὀφείλει δὲ κατέχεσθαι ἡ τοιαύτη ὑφ' ἡμᾶς μονὴ τῆς Πορταραίας ἡ ὑποκειμένη τῇ κατ' ἐμὲ ἁγιωτάτῃ ἐπισκοπῇ Δημητριάδος παρὰ τῆς σεβασμίας πατριαρχικῆς μονῆς τοῦ Προδρόμου ἀναποσπάστως εἰς τὸ διηνεκὲς ὡς οἰκεῖον ταύτης μετόχιον. ὀφείλω δὲ κἀγὼ καὶ οἱ μετ' ἐμὲ σὺν θεῷ μέλλοντες ἀρχιερατεῦσαι τῇ κατ' ἐμέ, ὡς εἴρηται, ἁγιωτάτῃ ἐπισκοπῇ ἔχειν ἀνεξάλειπτον καὶ διηνεκῆ τὴν συνήθη τοῖς ἀρχιερεῦσιν ἀναφορὰν ἐν τῇ τοιαύτῃ τῆς Πορταραίας μονῇ καὶ ἐτησίως κηρίου λίτρας τρεῖς καὶ πλέον οὐδὲν διὰ τὸ δοῦναι τὸν μακα-

ριώτατον αὐθέντα καὶ πατέρα ὑμῶν, τὸν πανευγενέστατον Κομνηνόν, πρὸς τὴν κατ' ἐμὲ ἁγιωτάτην ἐπισκοπὴν ὑπὲρ τῆς μονῆς τῆς Πορταραίας, τὸν ἀμπελῶνα τοῦ 'Αμμολοχέως καὶ τὰ χωράφια τῶν ἁγίων Θεοδώρων. οὐκ ὀφείλετε δὲ ἢ ὑμεῖς οἱ πανευγενέστατοι ὁμόζυγοι ἢ ἡ παρ' ὑμῶν ἀνεγερθεῖσα τοῦ Προδρόμου μονὴ ἕξειν ἐπ' ἀδείας ποτὲ τῶν καιρῶν ἢ τῶν χρόνων μεταποιῆσαι τὴν τῆς Πορταραίας μονὴν εἰς πατριαρχικὴν ἢ ἕτερον εὐκτήριον ναὸν ἀνεγεῖραι ἐν τῷ ὅλῳ περιόρῳ τῆς Πορταραίας ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ. εἰ δὲ καὶ τοῦτο ποιῆσαι ἐπιχειρήσετε, ὀφείλει ἀπεντεῦθεν ἐκδιώκεσθαι ἀπὸ τῆς ἡμετέρας μονῆς τῆς Πορταραίας ἡ τοῦ Προδρόμου μονή. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον γράμμα συνήθως βεβαιωθὲν παρ' ἐμοῦ ἐπεδόθη ὑμῖν εἰς ἀσφάλειαν μηνὶ σεπτεβρίῳ ἰνδ. πρώτης. παρεγγυώμεθα δὲ πᾶσι τοῖς μεθ' ἡμᾶς μέλλουσιν ἀρχιερατεῦσαι ἐν ἁγίῳ πνεύματι τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ ἐπισκοπῇ μὴ εἰς ἀναίρεσιν τοῦ παρόντος ἐγγράφου ἡμῶν ἀπιδεῖν μερικῶς ἢ καθόλου, ἐπεὶ οὐδὲ τὴν τυχοῦσαν ζημίαν ὑφίσταται ἐν τῷ κατέχεσθαι τὴν τῆς Πορταραίας μονὴν παρὰ τῆς μονῆς τοῦ Προδρόμου.

Οὕτω καὶ τὸ ἐκδοτήριον γράμμα τοῦ Δημητριάδος ἐπὶ τῇ τῆς Πορταραίας μονῇ πρὸς τὴν μονὴν τοῦ τιμίου [Προδρόμου].

XXXV. Sine anno, mense octobri, ind. I.

Michaël Panaretus, episcopus Demetriadis, monasterio Novae Petrae donat monasterium S. Nicolai Palirrhopati.

Ἐκδοτήριον τοῦ Δημητριάδος ἐπὶ τῇ μονῇ τοῦ ἁγίου Νικολάου τοῦ Παλιρροπάτου.

Παραδίδωμι πρὸς τὴν σεβασμίαν πατριαρχικὴν γυναικείαν μονὴν τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας ἐπονομαζομένην τὴν ἐν τῷ θέματι τῆς Δρυανουβαίνης διακειμένην τὴν ἐκ βάθρων αὐτῶν ἀνεγερθεῖσαν παρὰ τῶν εὐγενεστάτων ὁμοζύγων, τοῦ τε περιποθήτου γαμβροῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τοῦ Κομνηνοδουκοφυοῦς καὶ 'Αγγέλου κυροῦ Νικολάου τοῦ Μαλιασηνοῦ, καὶ τῆς περιποθήτου συμβίου αὐτοῦ, τῆς περιποθήτου ἀνεψιᾶς τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ [βασιλέως] . . . . . [1])

[1]) *Evulsae lineae duae.*

κα ' ἡμᾶς σεμνοτάτην μονὴν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου τὴν ἐπικεκλημένην τοῦ Παλιρροπάτου, καὶ ὀφείλει καθέξειν ταύτην ἡ τοῦ Προδρόμου, ὡς εἴρηται, μονὴ ὡς οἰκεῖον ταύτης μετόχιον μετὰ πάντων τῶν ἀρχαίων δικαίων καὶ προνομίων αὐτῆς, ἤγουν ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς, πεδινῆς, νομαδιαίας καὶ πάντων τῶν ἐξ ἀρχῆθεν διαφερόντων αὐτῇ δικαίων ἄνευ τῶν προσκαθημένων ἐν τῷ τόπῳ τῆς τοιαύτης μονῆς, ἤγουν τοῦ Ξηροτζερβούλη, καὶ τῶν ἑτέρων τεσσάρων, τοῦ τε Γρηγορίου, τοῦ Νικαέως, τοῦ Μιχαὴλ καὶ τοῦ Ἀμπαρᾶ· αὐτοὺς γὰρ καὶ μόνους ἀπεκράτησα κατέχεσθαι παρ' ἐμοῦ, μέχρις ἂν κἀγὼ σὺν θεῷ τοῖς ζῶσιν ὑπάρχω, μετὰ δὲ τὴν πρὸς κύριον ἐκδημίαν ὀφείλουσι καὶ οὗτοι κατέχεσθαι παρὰ τῆς μονῆς, τὴν δέ γε μονὴν τοῦ ἁγίου Νικολάου ὀφείλει κατέχειν ἡ μονὴ τοῦ Προδρόμου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ ἐς τὸ διηνεκὲς ἀναποσπάστως καὶ ἀναφαιρέτως, οὐχ ἕξει δ' ἐπ' ἀδείας ἡ τοιαύτη πατριαρχικὴ μονὴ τοῦ Προδρόμου μεταποιῆσαι τὴν τοῦ ἁγίου Νικολάου μονὴν εἰς πατριαρχικὴν μονήν, ἀλλ' οὐδὲ ἕτερον εὐκτήριον ναὸν ἀνεγεῖραι ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἐν τῷ ὅλῳ περιόρῳ τῆς τοιαύτης μονῆς τοῦ ἁγίου Νικολάου, ἀλλὰ καὶ μᾶλλον ὀφείλω ἔχειν κἀγὼ καὶ οἱ σὺν θεῷ μέλλοντες ἀρχιερατεῦσαι ἐν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ ἐπισκοπῇ μὴ εἰς ἀναίρεσιν ἀπιδεῖν τοῦ παρόντος ἐγγράφου ἡμῶν, εἰ μὴ βούλονται τὰς ἀρὰς ἐπισπάσασθαι τῶν ἁγίων τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον ὀφείλει τελεῖν ἐτησίως καὶ ἀνυστερήτως ἡ τοῦ Προδρόμου μονὴ κατὰ τὴν ἑορτὴν τοῦ παναγίου Νικολάου χάριν κανονικοῦ κηρίου λίτρας τέσσαρας καὶ πλέον οὐδέν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον γράμμα ἐδόθη τῇ τοιαύτῃ μονῇ τοῦ Προδρόμου εἰς ἀσφάλειαν μηνὶ ὀκτωβρίῳ ἰνδ. πρώτης.

XXXVI. Sine anno, mense novembri, ind. III.

Michaël Panaretus, episcopus Demetriadis, monasterio Novae Petrae dat monasteriola Sanctorum Apostolorum Megalogeni et S. Nicolai Xylopae, vetans stauropegia fieri.

Ἐκδοτήριον τοῦ αὐτοῦ ἐπὶ ταῖς δυσὶ μοναῖς τῶν Ἁγίων Ἀποστόλων τοῦ Μεγαλογένους καὶ τοῦ ἁγίου Νικολάου τοῦ Ξυλοπᾶ.

Παραδίδωσιν ἡ ταπεινότης ἡμῶν τῇ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ τιμίου Προδρόμου τῇ ἐπικεκλημένῃ Νέᾳ Πέτρᾳ τῇ ἐν τῷ θέματι τῆς Δρυανουβαίνης ἐκ βάθρων αὐτῶν ἀνεγερθείσῃ παρὰ τοῦ πανευγενεστάτου καὶ ἐν μοναχοῖς σεβασμιωτάτου καὶ πανοσιωτάτου κυροῦ Ἰωάσαφ Κομνηνοῦ τοῦ Μαλιασηνοῦ τὰ ποτὲ πρὸ πολλῶν χρόνων εἰς μονύδρια χρηματίσαντα καὶ αὐτὰ ἐν τῷ θέματι τῆς Δρυανουβαίνης διακείμενα. ὧν τὸ μὲν ἕν, τὸ ἐπιλεγόμενον τῶν Ἁγίων Ἀποστόλων τοῦ Μεγαλογένους πάντῃ ἐξῳκισμένον καὶ ἠφανισμένον καὶ ἐξηπορημένον, μήτε εὐκτήριον ναὸν ἔχον, μήτε κάθισιν, ἀλλὰ πρὸ πολλῶν, ὡς εἴρηται, χρόνων καταπεπτωκός, τὸ δὲ ἕτερον τοῦ ἁγίου Νικολάου, τὸ ἐπιλεγόμενον τοῦ Ξυλοπᾶ, καθώς ἐστιν ἰδιοπεριόριστον, ἔχον ναὸν μὲν ὑπὸ θόλου ἑτοιμόπτωτον καὶ κελλία δύο καὶ αὐτὰ ἑτοιμόπτωτα ἐξ ἀμελείας γεγονότα διὰ τὸ μὴ προσκαθῆσθαί τινα ἐντὸς τούτων, ὡς ἂν καθέξει ταῦτα ἡ δηλωθεῖσα τοῦ Προδρόμου μονὴ ὡς μετόχια εἰς οἰκείαν χρῆσιν αὐτῆς ἀπὸ τοῦ νῦν καὶ ἐς τὸ διηνεκὲς μετὰ πάντων τῶν ἀρχαίων καὶ δικαίων προνομίων αὐτῶν, ἤγουν ἀμπελώνων, χωραφίων, γῆς ὀρεινῆς καὶ πεδεινῆς νομαδιαίας καὶ τῶν πτωχῶν τῶν διαφερόντων τῇ τοῦ Μεγαλογένους μονῇ, δηλονότι τῶν παίδων καὶ προσγενῶν τοῦ Εὐνόστου ἐκείνου, ἀλλὰ καὶ μετὰ τοῦ μυλοτοπίου τοῦ διαφέροντος τῇ μονῇ, ὡς εἴρηται, τοῦ ἁγίου Νικολάου καὶ τῶν παντοίων ὀπωροφόρων δένδρων αὐτῶν τῶν ἐντὸς καὶ ἐκτός, καὶ ὀφείλει κατέχειν ταῦτα πάντα ἡ διαληφθεῖσα πατριαρχικὴ τοῦ Προδρόμου μονὴ εἰς οἰκείαν, ὡς εἴρηται, χρῆσιν αὐτῆς ὡς μετόχια, τὴν δὲ δεσποτείαν καὶ κυριότητα τούτων ὀφείλει κεκτῆσθαι ἡ καθ' ἡμᾶς ἁγιωτάτη ἐπισκοπὴ Δημητριάδος, λαμβάνουσα ἀπὸ τῆς μονῆς τοῦ Προδρόμου ἕνεκεν τῆς δεσποτείας καὶ κυριότητος ταύτης ἐτησίως καὶ ἀνυστερήτως κατὰ τὴν ἑορτὴν τοῦ ἁγίου Νικολάου κη-

ρίον καθαρὸν λίτρας δέκα καὶ πλέον οὐδὲν, ἀλλὰ καὶ ὁ ναος ὁ δηλωθεὶς τοῦ ἁγίου Νικολάου ὀφείλει ἀξιοῦσθαι ἐπιμελείας καὶ ἀνακτίσεως μετὰ καὶ τῶν κελλίων καὶ ἀδιαλείπτως ἐκδουλεύεσθαι ὁ ναὸς παρὰ ἱερέως, ἔχειν τε ἐν αὐτῷ τὸν κατὰ καιροὺς ἀρχιερέα Δημητριάδος τὴν προσήκουσαν τοῖς ἀρχιερεῦσιν ἀναφορὰν χωρίς τινος προφάσεως, καὶ οὐδέποτε μεταβληθήσεται ὁ τοιοῦτος ναὸς ὁ ἐπισκοπειανὸς εἰς πατριαρχικὸν, οὐδὲ ἕτερον εὐκτήριον πατριαρχικὸν ἀνεγερθήσεται ἐν τῷ περιόρῳ τῶν δηλωθέντων μονυδρίων· κρεῖσσον γὰρ ἡγησάμεθα ἀνατεθῆναι τὰ τοιαῦτα μονύδρια εἰς τὴν, ὡς εἴρηται, πατριαρχικὴν τοῦ Προδρόμου μονὴν καὶ σώζεσθαι ταῦτα ἢ ἐξ ἀμελείας καὶ ἐξ ἁρπαγῆς τῶν γειτνιαζόντων ἀδίκων ἀνθρώπων τελείως ἀφανισθῆναι ταῦτα. εἰ δ' ἴσως ἢ ἀρτίως ἤ ποτε τῶν καιρῶν ἀπίδῃ ἡ διαληφθεῖσα πατριαρχικὴ μονὴ τοῦ Προδρόμου εἰς ἀναίρεσιν τοῦ παρόντος ἡμετέρου γράμματος ἢ εἰς περιφρόνησιν τοῦ κατὰ καιροὺς ἀρχιερέως, ὀφείλει ἀπεντεῦθεν ἐκδιώκεσθαι ἀπὸ τῶν, ὡς εἴρηται, δηλωθέντων μονυδρίων καὶ ἀπὸ πάντων τῶν δικαίων αὐτῶν, εὐπειθῶς δὲ διακειμένης τῆς πατριαρχικῆς τοῦ Προδρόμου μονῆς πρὸς τὴν κατ' ἐμὲ ἁγιωτάτην ἐπισκοπὴν, οὔτ' αὐτὸς ἐγὼ ἢ οἱ σὺν θεῷ μέλλοντες ἀρχιερατεῦσαι μετ' ἐμὲ ἐν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ ἐπισκοπῇ, τολμήσομεν διασεῖσαι ἢ παρενοχλῆσαι τῇ, ὡς εἴρηται, πατριαρχικῇ τοῦ Προδρόμου μονῇ ἢ ἐκστῆσαι ταύτην ἀπὸ τῶν δηλωθέντων μονυδρίων, ὁ δὲ τοῦτο τολμήσας διαπράξασθαι ἔνοχος ἔσται τοῖς κανονικοῖς ἐπιτιμίοις καὶ ταῖς ἀραῖς τῶν ἁγίων καὶ θεοφόρων πατέρων. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον γράμμα γεγονὸς καὶ ὑπογραφὲν συνήθως παρ' ἡμῶν ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ εἰς ἀσφάλειαν μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος τρίτης.

Ἐκδοτήριον γράμμα καὶ τοῦτο τοῦ Δημητριάδος πρὸς τὴν μονὴν τοῦ Προδρόμου ἐπὶ τοῖς μονυδρίοις τῶν ἁγίων ἀποστόλων καὶ τοῦ ἁγίου Νικολάου.

Pasini, p. 350.

XXXVII. Sine anno, mense iulio, ind. V.

Pincerna Raul monasterio Novae Petrae adiudicat possessionem loci dicti Brastus.

Γράμμα κρίσεως ἀποκαταστικὸν τοῦ πιγκέρνη Ῥαοὺλ ἐπὶ τῷ τοπίῳ τῷ Βραστῷ, ὅπερ κέκτηται ἡ μονὴ διὰ χρυσοβούλλου.

Ὁ πλεονέκτης ἀεὶ μέμηνε περὶ τὸ πλουτεῖν καὶ ὧδε κἀκεῖσε τείνει τὴν χεῖρα πρὸς τὸ τὰ ἀλλότρια ἑλεῖν καὶ πλουτῆσαι πλοῦτον τὸν οὐ χρηστὸν, ἀλλ' ἡ ἄπληστος τούτου χεὶρ καὶ ἀκατάσχετος ψυχὴ ὑπὸ τοῦ δικαίου καὶ τῆς ἀληθείας παρακρούονταί τε καὶ οἷον συνέχονται· οὐδὲ γὰρ οἶδε τὸ δίκαιον κρύπτεσθαι καὶ ἡ ἀλήθεια τῷ ψεύδει καλύπτεσθαι, κἂν ὅτι λίαν ὑπὸ πολλῶν λόγων κρύπτηται καὶ ψευδῶν, ἀλλὰ μακρόθεν ὡς ἥλιος φαίνουσι τῶν νεφῶν ψευδῶν λόγων διαλυθέντων τῇ φαύσει τούτων τῇ ἰσχυρᾷ καὶ πόρρω που τὴν ἀδικίαν καὶ τὸ ψεῦδος ἐλαύνουσιν. ἔχει δὲ οὕτω τὰ τῆς ὑποθέσεως. οἱ τὴν ἄσκησιν ποιούμενοι μοναχοὶ ἐν τῇ σεβασμίᾳ καὶ θείᾳ μονῇ τοῦ τιμίου Προδρόμου, τῇ Νέᾳ προσκληθείσῃ Πέτρᾳ, λέγω τῇ μονῇ τοῦ πανευγενεστάτου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ, κατεβοῶντο τοῦ Μαρμαρᾶ πρωτονωβελλισίμου παρόντος καὶ τούτου ἡμῶν ἐνώπιον λέγοντες τοιαῦτα· κέκτηται ἡ μονὴ ἡμῶν μεθ' ὧν ἄλλων κέκτηται διὰ θείου καὶ σεπτοῦ χρυσοβούλλου λόγου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ τόπιον τὸ Βραστὸν προσαγορεύομενον, ἔχει διὰ προνοίας καὶ ὁ Μαρμαρᾶς χωρίον τὸν Τρίνοβον ἰδιοπεριόριστον ὃν παρὰ τὸν Βραστὸν, καὶ ἀδίκῳ γνώμῃ χρώμενος καὶ χειρὶ πειρᾶται σὺν τῷ Τρινόβῳ καὶ τὸν Βραστὸν ἑλεῖν, ὡς καὶ τὴν ἀνήκουσαν ἡμῖν μορτὴν οὗτος ἀφείλετο. καὶ ὁ Μαρμαρᾶς ἤρετο παρ' ἡμῶν, διὰ τί οὕτω ποιεῖ, καὶ ἀπελογήσατο, ὅτι δι' ὁρισμοῦ βασιλικοῦ κατέχω τὸν Τρίνοβον πρόνοιαν μετὰ τῆς ἐνούσης αὐτῷ περιοχῆς, καὶ ὁ Βραστὸς ὑπὸ τὴν περιοχὴν ὢν τοῦ Τρινόβου, πειρῶμαι κρατῆσαι αὐτὸν ὡς ἐμὸν, καὶ ἕτερ' ἄττα προσελάλει πρὸς τὸ τὴν ἀλήθειαν κρῦψαι τῷ ψεύδει, ὅθεν καὶ τὸν χρυσοβούλλιον λόγον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὃν ἡ σεβασμία μονὴ κέκτηται, ὑπαναγνόντες καὶ ἴδιον τόπον εὑρόντες ὄντα παρὰ τὸν Τρίνοβον τὸν Βραστὸν, σὺν τούτῳ καὶ οἱ τὰ τοῦ τόπου εἰδότες ἀκριβῶς διαμαρτυ-

ράμενοι, ὡς ἄλλο τόπιον ὁ Βραστὸς ἀμέτοχον καὶ ἔξω τῆς τοῦ Τρινόβου περιοχῆς, ἐκεῖθεν τοῦ Βραστοῦ τὸν πρωτονωβελλίσιμον ἀπεπέμψαμεν, ὡς κατέχειν μόνον τὸν Τρίνοβον μετὰ τῆς ἐνούσης αὐτῷ περιοχῆς. ἡ δὲ προρρηθεῖσα σεβασμία καὶ θεία μονὴ, ἵνα κατέχῃ τὸν Βραστὸν κατὰ τὴν περίληψιν τοῦ σεπτοῦ καὶ θείου χρυσοβούλλου λόγου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ προσόντος αὐτῇ, ἀποδῷ δὲ ὁ Μαρμαρᾶς πρὸς αὐτὴν καὶ τὴν ἣν ἀδίκως καὶ ἀμετόχως ἀφείλετο δεκατίαν ἀπὸ τοῦ τοπίου. διὰ γὰρ τοῦτο ἀπελύθη τῇ διαληφθείσῃ σεβασμίᾳ καὶ θείᾳ μονῇ τοῦ πανευγενεστάτου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ καὶ τὸ παρὸν ἡμέτερον γράμμα δι' ἀσφάλειαν μηνὶ ἰουλίῳ ἰνδικτιῶνος πέμπτης.

Οὕτω καὶ τὸ τῆς κρίσεως γράμμα τοῦ πιγκέρνη Ῥαοὺλ ἐπὶ τῷ τοπίῳ τῷ Βραστῷ, ὃ γέγονεν πρὸς τὴν σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας.

Pasini, p. 352.

XXXVIII. 6784—1276, 30 iunii, ind. IV.

Joasaph Maliasenus Cypriano, abbati monasterii S. Mariae, permittit possessionem dimidii terrae Petrae, donatae monasterio Macrinitissae a pincerna Raul.

Καταθετικὸν γράμμα τοῦ ἱερομονάχου Κυπριανοῦ, τοῦ ἡγουμένου τῆς Πανυπεράγνου, ἐπὶ τῇ γῇ τῆς Πέτρας πρὸς τὴν μονὴν τῆς Μακρινιτίσσης.

Ἐπειδήπερ ὁ περιπόθητος ἐξάδελφος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κεφαλὴ τῆς Μεγάλης Βλαχίας, ὁ πανευγενέστατος Ῥαοὺλ ὁ πιγκέρνης ὁ Κομνηνὸς, ἐποίησε γράμμα παραδοτικὸν αὐτοῦ πρὸς τὴν σεβασμίαν μονὴν τῆς πανυπεράγνου θεομήτορος τῆς Ὀξείας Ἐπισκέψεως τῆς Μακρινιτίσσης, ὡς ἵνα κατέχῃ ἡ τοιαύτη σεβασμία μονὴ τὴν ἅπασαν γῆν τῆς Πέτρας, τούτου γενομένου δι' ἔργου, κἀγὼ, ὁ τῆς σεβασμίας μονῆς τῆς Πανυπεράγνου ἡγούμενος Κυπριανὸς ἱερομόναχος, φιλικῶς καὶ ἀδελφικὸς ἐν εἰρήνῃ ἑνωθεὶς μετὰ τοῦ πανευκλεεστάτου Ἀγγελοκομνηνοῦ Δούκα τοῦ Μαλιασηνοῦ καὶ κτήτορος τῆς σεβασμίας ἁγίας βασιλικῆς πατριαρχικῆς μονῆς τῆς Ὀξείας Ἐπισκέψεως τῆς Μακρινιτίσσης. τοῦ ἐπικληθέντος

διὰ τοῦ ἀγγελικοῦ σχήματος κυροῦ Ἰωάσαφ συνέτυχον πρὸς αὐτὸν, ὡς ἵνα ἐάσῃ τὴν ὅλην ἡμίσειαν γῆν τῆς Πέτρας, τῆς καὶ ἀνωτέρω εἰρημένης, ὡς ἂν κατέχῃ τὴν ὅλην ἡμίσειαν γῆν τῆς δηλωθείσης Πέτρας ἡ ὑπ' ἐμὲ σεβασμία μονὴ τῆς πανυπεράγνου θεομήτορος, ἣν καὶ μετὰ εἰλικρινοῦς καὶ καθαρᾶς διαθέσεως βουλήσει καὶ θελήσει, καὶ προαιρέσει αὐτοῦ εἴασε πρὸς τὴν ὑπ' ἐμὲ σεβασμίαν μονὴν τὴν ἅπασαν ἡμίσειαν γῆν ἀπ' ἄκρων ἕως ἄκρων μετὰ πάντων δικαίων καὶ προνομίων τῆς πάσης ἡμίσεως, ἵνα κατέχῃ ταύτην ἡ ὑπ' ἐμὲ σεβασμία μονὴ ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς ἅπαντας αἰῶνας, τούτου γενομένου καὶ ἐγγράφου συμβιβαστικῆς γραφῆς αὐτοῦ πεπιστωμένης καὶ παρ' αὐτοῦ καὶ παρὰ τοῦ εὐγενεστάτου υἱοῦ αὐτοῦ, κυροῦ Ἰωάννου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ, καὶ παρὰ τῶν ἐκκρίτων μοναχῶν τῶν ἀσκουμένων ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ κυρωθέντος καὶ ἐπιδοθέντος εἰς τὴν ὑπ' ἐμὲ σεβασμίαν μονὴν τῆς πανυπεράγνου θεομήτορος, ἐπέλαχε πρὸς τὴν σεβασμίαν μονὴν τῆς Ὀξείας Ἐπισκέψεως τῆς Μακρινιτίσσης τὸ μέρος τὸ ἀποβλέπον τὸ Ἀρμενονῆσιν τὴν Κριποῦς, τοῦ Πλατυπόδη καὶ τὸν Λόγγον, πρὸς δὲ τὸ μέρος τῆς ὑπεράγνου θεομήτορος ἐπέλαχε τὸ μέρος τῆς Μεγάλης καὶ τὸ μέρος του ἁγίου Στεφάνου. εἴ τις γοῦν ἀκυρῶσαι βουληθῇ ἐκ τῶν ἀμφοτέρων μερῶν τῶν δύο μονῶν καὶ τῶν συμβιβαστικῶν ἐγγράφων ἡμῶν, εἴτε κτήτωρ, εἴτε ἡγούμενος, εἴτε ἄλλος τις τῶν μερῶν τῶν ἁγίων μονῶν μοναχὸς, μικρὸς εἴτε μέγας, ἵνα ἐπισπᾶται ὁ τοιοῦτος ἐν τῷ τραχήλῳ αὐτοῦ τὰς ἀρὰς τῶν ἁγίων καὶ θεοφόρων πατέρων τριακοσίων δέκα καὶ ὀκτὼ τῶν ἐν Νικαίᾳ, καὶ εἴη καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα καὶ ὁ κλῆρος αὐτοῦ μετὰ τῶν εἰρηκότων· ἆρον, ἆρον, σταύρωσον αὐτὸν τὸν κύριον τῆς δόξης. τοῦτο δὲ ἐγεγόνει κατὰ τὴν τριακοστὴν τοῦ παρόντος ἰουνίου μηνὸς τῆς νῦν τρεχούσης τετάρτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ τετάρτου ἔτους.

Τοιοῦτον δή τι καὶ τὸ καταθετικὸν γράμμα τοῦ ἡγουμένου τῆς πανυπεράγνου θεομήτορος ἐπὶ τῇ γῇ τῆς Πέτρας πρὸς τὴν μονὴν τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Μακρινιτίσσης καὶ Ὀξείας Ἐπισκέψεως.

Pasini, p. 353.

XXXIX. Sine anno, mense aprili, ind. VIII.

Michaël Panaretus, episcopus Demetriadis, monasterio Novae Petrae donat monasteriolum dictum Hesychasterium ut praedium.

Ἐκδοτήριον τοῦ Δημητριάδος Μιχαὴλ τοῦ Παναρέτου ἐπὶ μονιδίῳ τῷ λεγομένῳ Ἡσυχαστηρείῳ.

Initium deest.

. . . .

πανευγενεστάτῳ καὶ ἐν μοναχοῖς σεβασμιωτάτῳ, τῷ περιποθήτῳ ἀνεψιῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κυρῷ Ἰωάσαφ Κομνηνῷ τῷ Μαλιασηνῷ, τῷ κτήτορι τῆς σεβασμίας πατριαρχικῆς μονῆς τοῦ τιμίου Προδρόμου τῆς ἐπικεκλημένης Νέας Πέτρας τὴν σεβασμίαν μονὴν τῆς ὑπεραγίας θεοτόκου τὴν ἐπονομαζομένην Ἡσυχαστηρεῖον τὴν ἐν τῷ θέματι τῆς Δρυανουβαίνης διακειμένην, τὴν καὶ διὰ θείου καὶ προσκυνητοῦ χρυσοβουλλίου . . .
. . . .[1]
τῇ ἐκ βάθρων αὐτῶν ἀνεγερθείσῃ δι' οἰκείων παντοίων ἐξόδων τε καὶ ἀναλωμάτων τῆς τούτου σεβασμιότητος, ὡς ἂν κατέχῃ ταύτην τὴν τοῦ Ἡσυχαστηρείου μονὴν εἰς χρῆσιν αὐτοῦ εἰς μετόχιον· ἐπειδὴ γὰρ ὡς ὁρῶ, ὅτι πρὸ χρόνων πολλῶν ἠμελήθη ὅ τε ναὸς καὶ τὰ κελλία ἅπαντα ταύτης, κἀντεῦθεν κινδυνεύουσι καταπτωθῆναι καὶ παντελῶς ἀφανισθῆναι, δεῖν ἔκρινα καθ' ἑαυτὸν συνδιασκεψάμενος ἀναθεῖναι ταύτην τῇ παρ' αὐτοῦ, ὡς εἴρηται, σεβασμίᾳ μονῇ τοῦ Προδρόμου εἰς μετόχιον, ὅπως κατέχῃ ταύτην μετὰ πάντων καὶ παντοίων τῶν προσόντων ταύτῃ δικαίων καὶ προνομίων, ἤγουν ἀμπελώνων, χωραφίων, ὀπωροφόρων δένδρων καὶ ἑτέρων παντοίων ἀρχαίων προνομίων αὐτῆς. ὁ δέ γε θεῖος καὶ ἱερὸς ναὸς τῆς ὑπεραγίας θεοτόκου ὀφείλει ἐκδουλεύεσθαι διὰ τὸ ἀκριμάτιστον, τὴν γὰρ νομὴν καὶ χρῆσιν τῶν προσόντων αὐτῇ δικαίων ὀφείλει κεκτῆσθαι ἐπ' αὐτῇ ἡ μονὴ τοῦ Προδρόμου καὶ διδόναι ἐτησίως καὶ ἀνυστερήτως πρὸς τὸ μέρος τῆς κατ' ἐμὲ ἁγιωτάτης ἐπισκοπῆς Δημητριάδος κατὰ τὴν ἑορτὴν τοῦ αὐθέντου μου τοῦ παναγίου Νικολάου κηρίον λίτρας δύο, ἀλλὰ καὶ ὁ κατὰ καιροὺς ἀρχιερεὺς Δημητριάδος ὀφείλει ἔχειν ἐν τῷ ναῷ

[1]) *Evulsae lineae tres et dimidia.*

τῆς ὑπεραγίας θεοτόκου τὴν τοῖς ἀρχιερεῦσι συνήθη ἀναφορὰν, οὐχ ἕξει δέ τις ἐπ' ἀδείας ἢ ἀρχιερεὺς ὁ κατὰ καιροὺς ἢ ἕτερός τις τοῦ μέρους τῆς ἐπισκοπῆς Δημητριάδος ἐκστῆναι τὴν μονὴν τοῦ Προδρόμου ἀπὸ τῆς νομῆς καὶ χρήσεως τῆς μονῆς τοῦ Ἡσυχαστηρείου, εἰ μὴ βούλεται ἐπισπάσασθαι τὰς ἀρὰς τῶν τριακοσίων ὀκτωκαίδεκα ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἀλύτῳ ἀφορισμῷ ἐμπεσεῖν· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον γράμμα συνήθως βεβαιωθὲν παρὰ τῆς ἡμῶν ταπεινότητος ἐπεδόθη εἰς ἀσφάλειαν τῇ σεβασμίᾳ μονῇ τῇ πατριαρχικῇ τῆς Νέας Πέτρας τοῦ Προδρόμου μηνὶ ἀπριλλίῳ ἰνδ. ὀγδόης.

Τοιαύτην ἔσχε τὴν θέσιν καὶ τοῦτο τοῦ Δημητριάδος ἐκδοτήριον γράμμα ἐπὶ τῷ λεγομένῳ Ἡσυχαστηρείῳ πρὸς [τὴν σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας].

XL. Sine anno.

Michaël Panaretus, episcopus Demetriadis, monasterio Novae Petrae donat molendinam.

Ἐκδοτήριον τοῦ αὐτοῦ ἐπὶ μυλοτοπίῳ τῷ εἰς τὸν Βελεστίνον διακειμένῳ.

Εἰ καὶ πρός τινας διδόμενον ὡς οἰκεῖον δάνος τοῦτο λογίζεται κύριος καὶ σὺν τῷ ἑκατονταπλῶς καὶ βασιλείᾳ οὐρανῷ χαρίζεται, πόσῳ μᾶλλον τὸ πρὸς τοὺς θείους καὶ ἱεροὺς ναοὺς ἀφιερούμενον τῷ θεῷ λογισθήσεται, ἐν οἷς τὸ θεῖον δοξάζεται καὶ ἐξευμενίζεται καὶ βασιλεῖς εὐσεβεῖς καὶ φιλόχριστοι εὐχῶν ἀπολαύουσι καὶ τὰ σκῆπτρα τῆς βασιλείας αὐτῶν κρατύνονται. τοῦτο γοῦν εἰδὼς καὶ αὐτὸς δεῖν προέκρινα πολλὰ καθ' ἑαυτὸν συνδιασκεψάμενος ἀφιερῶσαι τῇ θείᾳ καὶ ἱερᾷ καὶ σεβασμίᾳ πατριαρχικῇ μονῇ [τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας τῇ ἐν τῷ θέ]ματι τῆς Δρυανουβαίνης διακειμένῃ, τῇ ἐκ βάθρων αὐτῶν ἀνεγερθείσῃ δι' οἰκείων κόπων, ἐξόδων τε καὶ ἀναλωμάτων τοῦ ἐν μονοτρόποις σεβασμιωτάτου καὶ πανευγενεστάτου ψυχῇ τε καὶ σώματι, τοῦ περιποθήτου ἀνεψιοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κυροῦ Ἰωάσαφ Κομνηνοῦ τοῦ Μαλιασηνοῦ, ἀπὸ τῶν ὅλων μυλοτοπίων, ὧν κέκτηται καὶ δεσπόζει καὶ νέμεται ἐξ ἀμνημονεύτων ἤδη χρόνων ἡ κατ' ἐμὲ ἁγιωτάτη ἐπισκοπὴ Δημητριάδος ἐν τῷ θέ-

ματι τοῦ Βελεστίνου διακειμένων μυλοτόπιον ἕν, οἷον ἀρεσθῇ καὶ ἐκλέξεται ὁ διαληφθεὶς πανευγενέστατος Κομνηνὸς κῦρ Ἰωάσαφ ὁ Μαλιασηνός, ὁ κτήτωρ τῆς, ὡς εἴρηται, σεβασμίας καὶ ἱερᾶς μονῆς τοῦ τιμίου Προδρόμου, ὡς ἂν δι' οἰκείων κόπων, ἐξόδων τε καὶ ἀναλωμάτων αὐτοῦ ἐκ βάθρων αὐτῶν ἀνεγείρῃ μυλικὸν ἐργαστήριον, καὶ καθέξει τοῦτο ἡ, ὡς εἴρηται, τοιαύτη μονὴ τοῦ Προδρόμου ἀναφαιρέτως καὶ ἀναποσπάστως ὡς οἰκεῖον αὐτῆς κτῆμα ἀτελὲς πάντη καὶ ἐλεύθερον καὶ ἀκαταδούλωτον ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ μέχρις ἂν τὸ πᾶν ὁ ἥλιος ἐφορᾷ· τὸ γὰρ ἅπαξ ἀφιερωθὲν τῷ θεῷ οὐ δουλοῦται. ὑπὲρ μνημοσύνου τῶν ἀοιδίμων ἐκείνων βασιλέων τῶν ἀφιερωτῶν τῶν δηλωθέντων μυλοτοπίων καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ εὐτελοῦς ἀρχιερέως Μιχαὴλ τοῦ Δημητρι[άδος] . . . .

Reliqua desunt, folio e codice evulso.

XLI. Sine anno, mense decembri, ind. VIII.

Michaël Panaretus, episcopus Demetriadis, monasterio Novae Petrae dat ecclesiam S. Mariae Cucurae.

Ἐκδοτήριον τοῦ αὐτοῦ ἐπὶ τῷ ναῷ τῆς θεοτόκου τῷ τοῦ Κουκουρᾶ πρὸς τὴν μονὴν τοῦ Προδρόμου τῆς Νέας Πέτρας.

Initium deest.

. . . .

τοῦ ἐν μονοπρόποις σεβασμιωτάτου καὶ πανευγενεστάτου ψυχῇ τε καὶ σώματι, τοῦ περιποθήτου ἀνεψιοῦ ποῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κυροῦ Ἰωάσαφ Κομνηνοῦ τοῦ Μαλιασηνοῦ, τὸν εὐκτήριον ναὸν τῆς ὑπεραγίας θεοτόκου τὸν τοῦ Κουκουρᾶ ἐπιλεγόμενον ἀποσκοπῶν εἰς χρηστὰς ἐλπίδας, ὡς καὶ τὸν ναὸν ἐκδουλεύεσθαι παρ' αὐτοῦ καὶ τὰ κελλία τὰ προσόντα τούτῳ ἀνακαινίζεσθαι καὶ ἀνακτίζεσθαι καὶ ἀποκερδαίνειν μονομερῶς καὶ ἀλογαριάστως τοῦτον τὴν πᾶσαν καὶ παντοίαν εἴσοδον τῶν ἐκεῖσε ὀπωροφόρων δένδρων καὶ τοῦ ἀμπελιτζίου καὶ τῆς χωραφιαίας γῆς. ἐπεὶ δὲ οὔτε διὰ φόβον θεοῦ, οὔτε δι' ἡμετέραν κατάκρισιν δειλιάσας 'δέσθη ἢ

φόβον θεοῦ ἔσχεν ἢ προέκρινεν ἀγαθόν τι ποιῆσαι ἐν τῷ τοιούτῳ ναῷ ἢ μικρὰν ἀνάκτισιν καὶ περιποίησιν ἐν τοῖς κελλίοις αὐτοῦ ἐνδείξασθαι, ἀλλὰ καὶ μᾶλλον ὡς μὴ ἔχων φόβον θεοῦ ἢ αἰδούμενος ἐμὲ τὸν ἀρχιερέα αὐτοῦ καὶ πάντας τοὺς καθορῶντας τοῦτο, παντελῶς ἠφάνισε καὶ τὸν μὲν ναὸν ἀποκατέστησε βουκολεῖον, καὶ τὰ κελλία πάντα ἐξ ἀμελείας αὐτοῦ καταπεπτώκασι, καὶ τὸ ὅλον εἰπεῖν εἰς παντελῆ ἐρήμωσιν ἀποκατέστησεν, οὐ παρεῖδον τὴν αὐτοῦ κακίστην οἰκονομίαν καὶ παντελῆ ἀπώλειαν, ἀλλὰ διέκρινα καθ' ἑαυτὸν πολλὰ διασκεψάμενος ἀναθεῖναι τόν τε ναὸν καὶ τὰ κελλία καὶ τὰ παντοῖα ἀρχαῖα δίκαια καὶ προνόμια τοῦ τοιούτου θείου καὶ ἱεροῦ ναοῦ, ἤγουν τὰ παντοῖα ὀπωροφόρα δένδρα, τὸ ἀμπελίτζιον, τὴν χωραφιαίαν γῆν τῷ δηλωθέντι σεβασμιωτάτῳ καὶ πανευγενεστάτῳ ψυχῇ τε καὶ σώματι κυρῷ Ἰωάσαφ Κομνηνῷ τῷ Μαλιασηνῷ, ὡς ἂν δι' οἰκείας σπουδῆς αὐτοῦ καὶ οἰκονομίας τε καὶ ἐξόδων ἀνακαινίσῃ ταῦτα καὶ καθέξει ἡ σεβασμία καὶ θεία καὶ ἱερὰ πατριαρχικὴ μονὴ τοῦ τιμίου Προδρόμου τῆς Νέας Πέτρας, ἡ ἐκ βάθρων αὐτῶν ἀνεγερθεῖσα δι' οἰκείων ἐξόδων τε καὶ ἀναλωμάτων αὐτοῦ, ὡς οἰκεῖον αὐτῆς κτῆμα ἀναφαίρετον καὶ ἀκαταδούλωτον· πολλὰ γάρ, ὡς ὁρῶ, καὶ ἕτερα εὐκτήρια καὶ σεμνεῖα ἀνηγέρθησαν παρ' αὐτοῦ ἕνεκεν ψυχικῆς αὐτοῦ σωτηρίας καὶ μνημοσύνου διηνεκοῦς τῶν ὀρθοδόξων βασιλέων καὶ πάντων τῶν χριστιανῶν· τὸν γὰρ δηλωθέντα παπᾶν Βασίλειον ἀποδιώκω καὶ ἀποπέμπω ἀπὸ τοῦ τοιούτου θείου καὶ ἱεροῦ ναοῦ καὶ τῶν παντοίων δικαίων καὶ προνομίων αὐτοῦ ὡς λυμεῶνα καὶ καταφρονητὴν τῶν θείων καὶ ἱερῶν κανόνων καὶ μὴ ἔχοντα φόβον θεοῦ ἢ αἰδούμενον τοὺς καθορῶντας τὴν αὐτοῦ ἄχρηστον πρᾶξιν, ἣν διεπράξατο ἐν τῷ δηλωθέντι ναῷ τῆς ὑπεραγίας θεοτόκου, καὶ οὐδέποτε τολμήσει λαλῆσαι ἢ παρενοχλῆσαι τῇ μονῇ τοῦ Προδρόμου ἕνεκεν τοῦ δηλωθέντος ναοῦ τῆς ὑπεραγίας θεοτόκου, εἰ μὴ βούλεται εἶναι ἀφωρισμένος ἔξω πάσης ἐκκλησίας καὶ χριστιανικῆς ὁμηγύρεως. ἐπεὶ δὲ καὶ διὰ θείου καὶ προσκυνητοῦ βασιλικοῦ χρυσοβούλλου λόγου ἐπεβραβεύθη ὁ δηλωθεὶς θεῖος καὶ ἱερὸς ναὸς τῆς ὑπεραγίας θεοτόκου τῇ δηλωθείσῃ νέᾳ μονῇ τοῦ Προδρόμου μετὰ καὶ τῶν ἄλλων παντοίων γονικῶν αὐτοῦ κτημάτων καὶ προαστείων, ὀφείλει καθέξειν τὸν τοιοῦτον ναὸν ἡ δηλωθεῖσα μονὴ τοῦ Προδρόμου εἰς αἰῶνα τὸν ἅπαντα ἀδιασείστως πάντῃ καὶ ἀνενοχλήτως,

ἔχειν τε καὶ τὸν κατὰ καιροὺς ἀρχιερέα τῆς κατ' ἐμὲ ἁγιωτάτης ἐπισκοπῆς Δημητριάδος τὴν συνήθη τοῖς ἀρχιερεῦσιν ἀναφορὰν ἐν τῷ τοιούτῳ ναῷ τῆς ὑπεραγίας θεοτόκου καὶ ἐτησίως καὶ ἀνυστερήτως τελεῖν πρὸς τὴν κατ' ἐμὲ, ὡς εἴρηται, ἁγιωτάτην ἐπισκοπὴν κατὰ τὴν ἑορτὴν τοῦ αὐθέντου ἡμῶν τοῦ παναγίου Νικολάου κηρίον λίτρας δύο καὶ πλέον οὐδὲν, καὶ οὐδεὶς τοῦ παντὸς μέρους καὶ πληρώματος τῆς κατ' ἐμὲ, ὡς εἴρηται, ἁγιωτάτης ἐπισκοπῆς Δημητριάδος ἢ ὁ κατὰ καιροὺς ἀρχιερεὺς ἢ κληρικὸς ἢ ἕτερός τις τολμήσει διασεῖσαι ἢ παρενοχλῆσαι τῇ δηλωθείσῃ μονῇ τοῦ Προδρόμου ἕνεκεν τοῦ δηλωθέντος θείου καὶ ἱεροῦ ναοῦ τῆς ὑπεραγίας θεοτόκου, εἰ μὴ βούλεται ἐπισπάσασθαι τὰς ἀρὰς τῶν τριακοσίων ὀκτωκαίδεκα ἁγίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἀλύτῳ μεγίστῳ ἀφορισμῷ ἐμπεσεῖν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον γράμμα συνήθως ὑπογραφὲν καὶ βεβαιωθὲν παρ' ἡμῶν ἐπεδόθη τῇ σεβασμίᾳ μονῇ τοῦ Προδρόμου εἰς ἀσφάλειαν μηνὶ δεκεβρίῳ ἰνδ. ὀγδόης.

Τοιοῦτον ἐστὶ καὶ τοῦτο τὸ ἐκδοτήριον γράμμα τοῦ Δημητριάδος ἐπὶ ναῷ τῆς ὑπεραγίας θεοτόκου τοῦ Κουκουρᾶ πρὸς τὴν μονὴν τοῦ Προδρόμου τῆς Νέας Πέτρας.

XLII. 6785—1275, 15 augusti, ind. V.

Hieromonachus Theodosius monasterio Macrinitissae donat ut praedium monasteriolum S. Mariae in Charmaena ad pedes montis Ossae.

Ἐκδοτήριον Θεοδοσίου ἱερομονάχου ἐπὶ μονιδίῳ τῆς Παναγίας τῷ εἰς τὴν Χάρμαιναν διακειμένῳ ὑπὸ τοὺς πρόποδας τοῦ Κισσάβου.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Θεοδόσιος ἱερομόναχος, ἀρχιμανδρίτης τῆς τῶν Χαρμενιτῶν χώρας καὶ ἡγούμενος ὢν τοῦ ὄντος ἐκεῖσε μονιδίου τοῦ εἰς ὄνομα τιμωμένου τῆς ὑπεραγίας θεοτόκου καὶ οὕτω καλουμένης Παναγίας, ὁ αὐτοχείρως ἐνταῦθα προτάξας, καθὰ ὁρᾶται. ἐπεὶ ἔφθασα εἰς γῆρας ἤδη πολὺ καὶ καθ' ἑκάστην εἰς ἑαυτὸν ὁρῶ τὸν θάνατον, μὴ ἔχων ὅπη τὸ βάρος τοῦ ταπεινοῦ μου σώματος καὶ ψυχῆς ἐκθέσθαι, μετὰ παρακλήσεως ὅτι πολλῆς πρὸς τὸν πανευγενέστατον Κομνηνὸν τὸν

Μαλιασηνὸν τὸν διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ἰωάσαφ μετονομασθέντα προσέδραμον, ἵνα ἀναδέξηταί μου τὸ γῆρας καὶ τὴν ψυχήν, ἔνθεν τοι καὶ τὸ παρ' ἐμοῦ κατεχόμενον μονίδιον τὰ ἄνωθεν εἰρημένον καὶ εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας θεοτόκου καὶ οὕτω καλούμενον Παναγίας παραδίδωμι ἀπεντεῦθεν καὶ ἐξ αὐτῆς τῆς σήμερον εἰς μετόχιον πρὸς τὴν σεβασμίαν μεγάλην γονικὴν μονὴν τοῦ πανευγενεστάτου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ἰωάσαφ μετονομασθέντος, τὴν Ὀξεῖαν Ἐπίσκεψιν καὶ οὕτως ὀνομαζομένην Μακρινίτισσαν οὐχ ἁπλῶς, ἀλλὰ μετὰ συνεσκεμμένου καὶ μεμεριμνημένου καὶ ἀκριβωμένου σκοποῦ καὶ παρουσίᾳ τοῦ ὁσιωτάτου καθηγουμένου τῆς δηλωθείσης μεγάλης καὶ σεβασμίας μονῆς θεομητορικῆς τῆς Ὀξείας Ἐπισκέψεως καὶ οὕτω καλουμένης Μακρινιτίσσης, τοῦ ἱερομονάχου κυροῦ Ἀθανασίου, ἧς μεγάλης καὶ σεβασμίας θεομητορικῆς μονῆς ὑπάρχει ὁ ἄνωθεν δηλωθεὶς πανευγενέστατος Κομνηνὸς ὁ Μαλιασηνός, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ἰωάσαφ μετονομασθείς, κτήτωρ καὶ δομήτωρ καὶ τῶν ἐν τῇ τοιαύτῃ μονῇ ὄντων ἐντίμων καὶ σεβασμίων ἱερομονάχων ἀνδρῶν, τοῦ ἱερομονάχου κυροῦ Ἀντωνίου, τοῦ ἐκκλησιάρχου κυροῦ Μελετίου, τοῦ ἱερομονάχου κυροῦ Κυπριανοῦ, τοῦ ἱερομονάχου κυροῦ Ἀρσενίου, τοῦ ἱερομονάχου κυροῦ Γαλακτίωνος, τοῦ ἱερομονάχου κυροῦ Νίκωνος τοῦ Μπατζοῦ, τοῦ ἱεροδιακόνου κυροῦ Λαζαρίτζου, τοῦ δομεστίκου κυροῦ Ναθαναήλ, τοῦ οἰκονόμου κυροῦ Ὑακίνθου, τοῦ μοναχοῦ κυροῦ Νίφωνος, τοῦ ἱερέως κυροῦ Γεωργίου καὶ ἑτέρων τῶν μὴ γραφέντων διὰ τὸ πλῆθος, λοιπὸν καὶ ὀφείλει ἀπάρτι καὶ εἰς τὸ ἑξῆς ἡ δηλωθεῖσα μεγάλη καὶ σεβασμία θεομητορικὴ μονὴ ἡ Ὀξεῖα Ἐπίσκεψις καὶ οὕτως ἐπονομαζομένη Μακρινίτισσα κατέχειν καὶ διακατέχειν εἰς μετόχιον τὸ δηλωθὲν μονίδιον μετὰ πάντων τῶν δικαίων αὐτοῦ παλαιῶν τε καὶ νέων καὶ ὧν κέκτηται κινητῶν, ἀκινήτων καὶ αὐτοκινήτων πραγμάτων, ἤγουν ὀσπητίων, ἀμπελώνων, χωραφιαίας γῆς, βιβλίων τῆς ἐκκλησίας ψαλλομένων καὶ ἀναγινωσκομένων καὶ ποσουμένων ἀμφοτέρων εἰς κομμάτια εἴκοσι πέντε, καλυβιτῶν τῶν ἐκεῖσε προσκαθημένων, παροίκων τριῶν, ἤγουν τοῦ Εὐφήμη, τοῦ Γεωργίου καὶ τοῦ Ἰωάννου, μετὰ καὶ τοῦ στασίου αὐτῶν, τέλος ἐχόντων νομίσματα ὑπέρπυρα τέσσαρα, ἐδόθησαν δὲ οὗτοι εἰς τὸ μονίδιον παρὰ τοῦ πολλαχῶς

δηλωθέντος πανευγενεστάτου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ, τοῦ διὰ τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος Ἰωάσαφ μετονομασθέντος, ὑπὲρ ψυχικῆς σωτηρίας τοῦ ἀοιδίμου καὶ ἁγιοκοιμήτου πατρὸς αὐτοῦ, ἀλλὰ δὲ καὶ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ, οὐ μόνον δὲ οὗτοι ἐδόθησαν εἰς τὸ μονίδιον παρὰ τοῦ πανευγενεστάτου Κομνηνοῦ, ἀλλὰ καὶ ἡ χωραφιαία γῆ ἡ ἀπὸ τούμπας εἰς τούμπαν καὶ τὸ ὕδωρ τὸ κατὰ τετράδα εἰσερχόμενον εἰς τὸ ἐκεῖσε ἀμπελοκηποπεριβόλιον. καὶ ταῦτα μὲν εἰς ἐνθύμησιν εὑρίσκονταί μοι, ὅτι ἐδόθησαν παρὰ τοῦ πανευγενεστάτου Κομνηνοῦ, τὰ δὲ μὴ εἰς ἐνθύμησιν μυρία, εἰσὶ δὲ ἐν τῷ τοιούτῳ μονιδίῳ βοΐδια ζευγνύμενα τέσσαρα, ὀνομουλικὸν ἕν, ὀνικὰ δύο, πρόβατα ἑβδομήκοντα, ὑδρομύλων ἥμισυς, ὃς ἐδόθη εἰς τὸ μονίδιον παρὰ τοῦ μοναχοῦ Τεντᾶ, ὁ δ' ἥμισυς παρὰ τοῦ τοιούτου μοναχοῦ κατέχεται μέχρι καὶ τῆς ἀποβιώσεως αὐτοῦ, ἔκτοτε δὲ ἵνα ἔνι ὁ ἅπας ὑδρομύλων τοῦ μονιδίου, καθὼς καὶ τὸ ἔγγραφον τούτου διαλαμβάνει, ἵνα δὲ κατέχωνται ἀμφότερα παρὰ τοῦ μονιδίου ἐπισκεπτόμενα παρὰ τῆς μεγάλης καὶ σεβασμίας θεομητορικῆς μονῆς τῆς Ὀξείας Ἐπισκέψεως καὶ οὕτω καλουμένης Μακρινιτίσσης, βίαν δὲ ἐς ὕστερον ἢ μετάμελον ἢ συναρπαγὴν καὶ ἀπάτην οὐ βουληθήσομαι ἔγωγε· ἐκ τῆς ἀχράντου γὰρ δεσποίνης ἡμῶν θεοτόκου τῆς μορφώσεως τὸν κόνδυλον τῆς προταγῆς μου ἀφεῖλον καὶ ἐν τῷ μονιδίῳ εἰσεκόμισα τὴν τοιαύτην κεκοσμημένην ἄχραντον εἰκόνα διὰ πλειοτέραν βεβαίωσιν καὶ ἀσφάλειαν, ὀφείλω δὲ παρέξειν πάλιν ἔγωγε ἑτέραν εἰκόνα εἰς ὄνομα τιμωμένην τῆς ὑπεραγίας θεοτόκου ἀπὸ τοιούτου μονιδίου πρὸς τὴν μεγάλην καὶ σεβασμίαν θεομητορικὴν μονὴν τὴν Ὀξεῖαν Ἐπίσκεψιν, καὶ οὕτως ὀνομαζομένην Μακρινίτισσαν, καὶ ὁ πειραθησόμενος πρὸς ἀνατροπὴν καὶ ἀθέτησιν τοῦ παρόντος ἐγγράφου μου μερικῶς ἢ καθόλου ἢ βουληθήσεταί τις ποιῆσαι τὸ τοιοῦτον μονίδιον κύριον μοναστήριον καὶ μὴ εἶναι μετόχιον τῆς πολλαχῶς δηλουμένης μεγάλης καὶ σεβασμίας θεομητορικῆς μονῆς τῆς Ὀξείας Ἐπισκέψεως, ὁποῖος ἄρα καὶ εἴη, ἵνα ἐπισπᾶται εἰς ἑαυτὸν τὰς τῶν ἀπ' αἰώνων πάντων ἁγίων ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τὴν ἀλλοτρίωσιν τοῦ σωτῆρος Χριστοῦ, καὶ ἡ μερὶς αὐτοῦ ἔσται μετὰ τοῦ Ἰούδα, ἀλλὰ δὴ ἵνα ἔχῃ ἀντίδικον καὶ τὴν ὑπεραγίαν θεοτόκον, εἰς ἣν ἐπωμοσάμην καὶ ἀφεῖλον τὸν κόνδυλον τῆς προταγῆς μου ἐκ τῆς ἀχράντου αὐτῆς μορφῆς,

ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως καὶ τὴν κατάραν ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀθλίου γέροντος· τεσσαράκοντα γὰρ ἤδη χρόνους κεκοπίακα ἐν τῷ τοιούτῳ μονιδίῳ, καθὼς καὶ οἱ ἔποικοι τῆς ἐκεῖσε χώρας γινώσκουσι, καὶ ὁπόσα ἐβιάσθην καὶ ἀνέστησα, θεὸς μόνος γινώσκει καὶ οἱ ἐκεῖσε ὄντες φιλόχριστοι καὶ φιλευσεβεῖς ἄνδρες, καὶ ἵνα μὴ ἐπ' ἀδείας ἕξει τις πρὸς ἀνάλωσιν καὶ ἀφανισμὸν τοῦ τοιούτου μονιδίου· ζῶν γὰρ ἔτι θεοῦ χάριτι καὶ τὸν νοῦν ἐρρωμένον ἔχων καὶ ὑγιῆ, τὰς φρένας σώας καὶ τὴν γλῶτταν ἀπαραφόρως συστρεφομένην πρὸς λαλιὰν, ἐν μεγάλῃ καὶ ὑψηλοτάτῃ μονῇ τὸ τοιοῦτον μονίδιον εἰσεκόμισα, ἵνα ἐπαυξηθῇ καὶ εὐεργετηθῇ εἰς τὸ ἔμπροσθεν, καὶ ὡς ἵνα ἔχωσι καὶ οἱ ἡμέτεροι γονεῖς καὶ ἡ ταπεινή μου ψυχὴ μνημόσυνον. καὶ ὁ βουληθεὶς πειρᾶσαι ἢ ἐνοχλῆσαι περὶ τούτου τὸ τυχὸν ἐκκλησιαστικὸς ὢν ἢ δημοσιακὸς ἵνα λαμβάνῃ εἰς ἑαυτὸν τὰς ἄνωθεν δηλουμένας ἀρὰς, καὶ ἡ ὁδὸς αὐτοῦ γένηται σκότος ἢ ὀλίσθημα καὶ ἄγγελος κυρίου καταδιώκων αὐτόν. διὰ τοῦτο γὰρ ἄνωθεν τὸ παρὸν ἔγγραφον οἰκειοχείροις γράμμασιν ἐνεχαράχθη παρ' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀθλίου γέροντος εἰς ἀσφάλειαν διηνεκῆ καὶ βεβαίωσιν μηνὶ αὐγούστῳ πεντεκαιδεκάτῃ, ἰνδικτιῶνος πέμπτης ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ †.

Οὕτω καὶ τὸ παρὸν ἐκδοτήριον γράμμα ἔν τινι μονιδίῳ πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεραγίας θεοτόκου τῆς 'Οξείας 'Επισκέψεως τῆς Μακρινιτίσσης τῷ εἰς τὴν Χάρμαιναν διακειμένῳ ὑπὸ τοὺς πρόποδας τοῦ ὄρους Κισσάβου.

Pasini, p. 355.

Τοῦ χρηματίσαντος λογοθέτου τῶν ἀγελῶν στίχοι περὶ τῆς ἐπιγραφῆς καὶ τῆς βούλλης.

'Εκ βασιλικῆς προταγῆς εὐσονέτου
Παλαιολόγου Κομνηνοβλάστου κλάδου
ἀθροίσας εἰς ἓν τῶν μονῶν τῶν ἰδίων
καὶ πατριαρχῶν ὑπομνήμασιν ἔτι

Μιχαὴλ τρισάνακτος 'Αγγελωνύμου
Μαλιασηνὸς Κομνηνὸς 'Ιωάσαφ,
τὰ χρυσόβουλλα σὺν ὁρισμοῖς κοσμίως
οὐκ ἔσχεν αὐτοῖς τὴν χέρα βασιλέως

ἐρυθροβάφῳ δεξιᾷ σημασίᾳ βεβαιότητα παρέχουσαν ἀξίαν,
ὁ γὰρ θάνατος ἐξάπινα προφθάσας ἥρπασεν ἐκ γῆς τὸν σοφὸν βασιλέα,
ὁ τοῦδε γοῦν γνήσιος υἱὸς τριοάναξ, μέγιστος Ἀνδρόνικος Ῥωμαίων κράτος,
ὁ πάντα γλυκὺς, εὐσεβὴς αὐτοκράτωρ, κῦρος παρασχὼν τοῖς γεγραμμένοις λόγοις,
ἐρυθρομόρφοις ὑπεσήμανε χρόαις τῆς κλήσεώς τε τῆς ἰδίας σημασίᾳ
ἔθει βεβαίῳ τῶν σοφῶν βασιλέων.

ἔτους ,ϛφϞδ' ἰνδ. ιδ'.

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

† Ἰωάννης, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Subscriptio imperatoris cinnabaro, patriarchae vero nigro colore.

INDEX CHRONOLOGICUS.

pag.

6495—987, mense februario et aprili, ind. XV. *Compositio facta inter monasterium Lamponii et monasterium S. Pauli in monte Latro de permutatione possessionum et de confinibus eorum, confirmata a patriarcha Nicolao* 308

6557—1049, mense augusto, ind. II. *Constantinus cubiclisius et clericus magnae ecclesiae decernit, controversiam ortam inter monasteria S. Pauli et Salvatoris Agraulorum in monte Latro diiudicandam esse a synodo in urbe* 315

6683—1175, mense februario, ind. VIII. *Ioannes Chrysanthus, nomine et vice Andronici Cantacuzeni, ducis et exactoris thematis Mylassae et Melanudii, confirmat monasterio S. Pauli in monte Latro exemptionem de tributis publicis* 317

6690—1081, 27 octobris, ind. XV. *Maria Angelina Chrysoberga Theodoro Branae Comneno vendit arbores et campum* 122

6697—1189, mense augusto, ind. VII. *Basilius Vatatzes, exactor vectigalium thematis Mylassae et Melanudii, confirmat monasterio S. Pauli in monte Latro possessionem bonorum et exemptionem de tributis* ... 319

6700—1192, mense septembri, ind. X. *Monachus Gerontius monasterio S. Mariae bona sua donat* 201

6703—1194, mense octobri, ind. XII. *Uxor Costomaris eximitur a tributo pendendo pro agro* 184

6703—1195, mense augusto, ind. XIII. *Imperator Isaacius Angelus confirmat monasterio S. Pauli in monte Latro ad instantiam monachorum possessionem praediorum Messingumii et Cypparisii* 320

Sine anno. *Dux thematis Mylassae et Melanudii, Michaël Ducas, iubente imperatore Isaacio Angelo confirmat monasterio S. Pauli in monte Latro possessionem praedii Messingumii* 323

» » mense ianuario, ind. VII. *Imperator iterum confirmat monasterio S. Pauli in monte Latro possessionem praedii dicti Messingumii* . 327

» » mense aprili, ind. VI. *Fragmentum litterarum ducis thematis Mylassae et Melanudii, Theodori Pepani, de possessionibus monasterii S. Pauli in monte Latro* 329

pag.

6704—1196, 10 iunio, ind. XIV. *Iudex hippodromi Theodorus Pyropulus profitetur, monasterium S. Pauli in monte Latro exemptum esse de potestate ecclesiastica* 305

Sine anno. mense novembri, ind. IV. *Litterae imperatoris datae ad prothospatharium et iudicem mysticum hippodromi Basilium, iubentes determinari confinia monasteriorum S. Pauli in monte Latro et Lamponii* 307

6716—1207, mense novembri, ind. XI. *Gunaropuli Basilio Blatero campos vendunt* 185

6716—1208, mense martio, ind. IX. *Nicolaus Gunaropulus Annae uxori Nicetae Blateri campos vendit* 183

6719—1210, mense octobri, ind. XIII. *Poleae Leoni Muzethrae olivas donant* 119

6722—1213, mense septembri, ind. II. *Coscinae Leoni Muzethrae vendunt olivas* 118

Sine anno, 24 martii, ind. V. *Magnus logotheta Strategopulus monasterio S. Pauli in monte Latro adiudicat praedium Alexandrii* 290

6731—1222, mense septembri, ind. XI. *Patriarcha Manuel I. Charitopulus abbati monasterii S. Pauli in monte Latro archimandritae, exarchi et inspectoris variorum monasteriorum defert munus* 295

6736—1228, mense augusto, ind. I. *Imperator Ioannes Ducas Vatatzes restaurat monasterium Beatae Virginis in monte Lembo* 1

6737—1228, mense decembri, ind. II. *Georgius, metropolita Smyrnae, controversiam diiudicat ortam inter monasterium Lembi et Prinobaritas* 187

6737—1229, mense februario, ind. II. *Acta de vivario Gyri, quod est monasterii Lembi* 239

6739—1230, 10 septembris, ind. IV. *Cellae S. Georgii Exocastritae donatur salina* 48

6739—1231, mense ianuario, ind. IV. *Monacha Xene Angelina cellae S. Georgii Exocastritae donat campum* 46

6739—1231, mense iulio, ind. IV. *Anna Comnena vendit monasterio Lembi campum in castro antiquo Smyrnae* 51

6739—1231, mense augusto, ind. IV. *Xenus Legas et familia vendunt monasterio Lembi olivas in vico Panareti* 60

Sine anno, mense iulio, ind. XI. *Bardas Lebunes, praefectus Smyrnae, et Ioannes Galenus adiudicant monasterio Lembi possessionem olivarum, quas Casanes iniuste occupaverat* 62

» » mense septembri, ind. VIII. *Ioannes Chante et familia eius vendunt Ioanni Mancaphae olivas in vico Paracalamo* 64

6740—1232, mense februario, ind. V. *Michaël Cacabas monasterio Lembi vendit olivas viginti sex, quas possidet in vico Panareto* 77

Sine anno. *Donatio equitis Sir Adam* 79

6740 et 6741, 1232 et 1233, ind. V. et VI. *Alexius Tesaites monasterio Lembo donat monasteriolum S. Panteleemonis, ut sit praedium eius* 56

6740—1232, mense maio, ind. V. *Acta de vivario Gyri* 239

» » mense aprili, ind. V. *Georgius Ponerus monasterio Lembi campum vendit* 197

Sine anno, mense iulio, ind. VI. *Donatio vici Barae monasterio Lembi iterum confirmatur* 198

pag.

Sine anno, mense augusto, ind. V. *Monachus Nicander Gunaropulus Basilio Blatero campos vendit* 189

6742—1234, mense februario, ind. VII. *Acta de vivario Gyri* 239

Sine anno, mense augusto, ind. XII. *Promissio Annae, uxoris Angeli Michaëlis, et filiorum de vivario Carpathiae* 244

» » mense maio, ind. VII. *David Brullas monasterio Lembo adiudicat liberam possessionem vivariorum Gyri et Carpathiae* 246

» » mense aprili, ind. II. *Imperator tributis eximit scaphas piscatorias monasterii Lembi* 247

» » mense iunio, ind. XV. *Imperator permittit monasterio Lembo, ut introducat in possessiones suas inquilinos exemptos de tributis* 248

» » mense maio, ind. XIII. *Imperator locum Melorum eximit tributis navalibus* 249

» » mense aprili, ind. X *Imperator inquilinos Melorum eximit tributis navalibus* 250

» » *Imperator possessiones monasterii Lembi eximit tributis* 251

» » mense iulio, ind. IV. *Imperator monasterio Lembo donat quindecim hyperpyra* 254

» » mense iunio, ind. XIV. *Imperator tuetur iura monasterii Lembi*.. 254

» » mense februario, ind. II. *Imperator iubet, incolas Barae subiectos et tributarios esse monasterii Lembi* 255

» » mense martio, ind. V. *Imperator tuetur iura et possessiones monasterii Lembi* 256

» » mense martio, ind. V. *Imperator monachos Lembi tuetur contra iniurias inquilinorum Neostongi* 257

» » mense martio, ind. V. *Clerici metropolis Smyrnae examinant controversiam inter monasterium Lembum et Neostongum* 258

» » mense novembri, ind. VI. *Imperator iura monasterii Lembi tuetur* 260

» » mense maio, ind. II. *Imperator inquilinos fugitivos monasterii Lembi reduci iubet* 261

6742—6747, 1234—1239. *Acta de possessione praedii Sphurni, quod est monasterii Lembi* 32

Sine anno. *Acta, quibus monasterio Lembo conceditur et confirmatur possessio cellae S. Georgii Exocastritae* 43

6742—1234, mensibus martio et maio, ind. VII. *Imperator Ioannes Ducas Vatatses monasterio Lembo campum donat* 146

6743—1235, mense martio, ind. VIII. *Descriptio possessionum monasterii Lembi facta a stratopedarcha Michaële Phoca* 4

» » mense iunio, ind. VIII. *Aurea bulla imperatoris Ioannis Ducae Vatatzae de possessionibus monasterii Lembi* 18

Sine anno. *Patriarcha Germanus II. Nauplius monasterium S. Pauli in monte Latro et eius possessiones eximit de tutela exarchi, et patriarcha Manuel hanc exemptionem confirmat* 293

6744—1235, mense septembri, ind. IX. *Patriarcha Germanus II. Nauplius declarat monasterium S. Pauli in monte Latro exemptum esse de potestate civili et episcopali* 301

6744—1236, mense martio, ind. IX. *Patriarcha II. Nauplius confirmat mona-*

pag.

sterium Zigritsam et praedia Daphnaeae et Axyli subiecta esse monasterio Ruphianorum 303

6744—1236, mense aprili, ind. IX. *Ioannes Rhabdocanaces monasterio Lembo campum vendit* 195

Sine anno, mense augusto, ind. V. *Imperator monasterio Lembo confirmat donationem vici Barae* 194

6745—1237, mense iunio, ind. X. *Rhadenus et Pennadus vendunt Theodoro Curticae olivas* 89

Sine anno, mense aprili, ind. III. *Nicolaus Adam monasterio Lembo donat praedium, ecclesiam et arbores* 91

» » mense octobri, ind. XII. *Monasterio Lembo duae arbores restituuntur* 92

» » mense ianuario, ind. XIII. *Transactio inter Michaëlem Patritsem et monasterium Lembum* 92

» » mense decembri, ind. XII. *Diiudicatur lis inter monasteria Stylli et Lembo de olivis et campis* 93

6746—1237, mense novembri, ind. X. *Georgius, metropolita Smyrnae, donat monasterio Lembo campum in Ommata* 52

Sine anno, mense februario, ind. V. *Imperator confirmat monasterio Lembo exemptionem a vectigali piscationis* 54

» » mense maio, ind. IX. *Dirimitur controversia de possessione quarumdam domorum a monasterio emptarum in castro novo Smyrnae* 55

6748—1239, mense octobri, ind. XIII. *Constantinus Agriparmes monasterio Lembo campum vendit* 157

6748—1240, mense aprili, ind. XIII. *Maria, uxor Michaëlis Gunaropuli, monasterio Lembo campum vendit* 195

6750—1242, mense martio, ind. I. *Maximus et Basilius Planetae donant monasterio Lembo campos et arbores in vico Mantea* 66

6754—1246, mense maio, ind. IV. *Despota Michaël Ducas donat Constantino Maliaseno monasterium Hilarionis in Almyro* 345

6755—1246, mense decembri, ind. V. *Ioannes Blatterus et familia monasterio Lembo molendinum vendunt* 196

6755—1246, mense decembri, ind. V. *Monachus Matthaeus Chiotes et filii presbytero Stephano campum donant* 203

6758—1250, mense aprili, ind. VIII. *Maria Cataphygiotissa et Georgius Tsancaropulus monasterio Lembo campos vendunt* 205

Sine anno, mense augusto, ind. XI. *Imperator monasterio Lembo donationem possessionum in vico Barae confirmat* 206

» » mense iulio, ind. II. *Imperator Theodorum Calothetum iura monasterii tueri iubet* 208

» » mense augusto, ind. II. *Theodorus Calothetus monasterio Lembo adiudicat campos et vineam* 209

» » mense novembri, ind. XII. *Imperator diiudicat controversiam ortam inter monasterium Lembum et Pothum Apelmene* 210

» » mense maio, ind. XIV. *Georgius Macrenus, dux thematis Thracesiorum, monasterio Lembo adiudicat campos et vineam occupata a Manteanis* 211

pag.

Sine anno, *Theodorus Callistus, metropolita Smyrnae, confirmat acta, quae monasterio Lembo adiudicant possessiones occupatas a Manteanis* 212

» » mense augusto, ind. VII *Imperator vetat monasterium Lembum a Comneno Phila vexari* . 213

» » mense iulio, ind. XII. *Imperator iubet Theodorum Icanatum tueri iura monasterii Lembi* 215

» » mense februario, ind. VIII. *Imperator tuetur monasterium Lembum contra vexationes Tsirithonis* 215

» » mense ianuario, ind. V. *Pincerna Cantacusenus exemptionem monasterii Lembi a tributis confirmat* 216

» » mense iunio, ind. X. *Imperator tuetur iura Basilii Blatteri in Demosio* 217

» » mense octobri, ind. IV. *Imperator tuetur iura Ioannis Rhabdocanacis in Demosio* 218

» » mense iunio, ind. VI. *Imperator Ioanni Rhabdocanaci adiudicat possessiones quasdam* 219

» » mense maio, ind. IV. *Imperator confirmat iura et privilegia monasterii Lembi* 220

» » mense iulio, ind. II. *Imperator confirmat iura et privilegia monasterii Lembi* 221

» » mense decembri, ind. IV. *Imperator iterum confirmat iura et privilegia monasterii Lembi* 222

» » mense martio, ind. III. *Imperator ducem Thracesiorum iubet tueri iura monasterii Lembi contra Manteanos* 223

» » mense iulio, ind. II. *Georgius Macrenus, dux thematis Thracesiorum, monasterium Lembum a tributis eximit* 224

» » *Irene Comnena Branaena et gener eius Theodorus Comnenus Philes donant monasterio Lembo campum* 225

» » mense februario, ind. II. *Theodorus Comnenus Philes confirmat monasterio Lembo donationem campi* 225

6758—1250, mense augusto, ind. VIII. *Filii Gunaropoli monasterio Lembo possessiones vendunt* 200

6760—1251, mense septembri, ind. X. *Imperator Ioannes Ducas Vatatses confirmat privilegia monasterii Lembi* 22

» » 15 octobris, ind. X. *Iudicium contra Ioannem Poleam et filios eius* 80

6760—1252, mense iulio, ind. X. *Hierotheus, episcopus Menoeci, monasterium S. Mariae Amanariotissae dat fratribus Monomachis* 262

Sine anno, mense octobri, ind. XI. *Constantinus, episcopus Menoeci, Georgio Cappari dat monasterium S. Marinae* 263

» » mense octobri, ind. XII. *Incolae Genici monasterio Lembo donant monasteriola S. Mariae et S. Marinae* 265

» » mense octobri, ind XIV. *Georgius Tsausius monasterio Lembo donat possessiones* 266

» » mense decembri, ind. XIII. *Manuel Calampaces possessiones Georgii Tsausii tradit monasterio Lembo* 267

» » mense ianuario, ind. XIII. *Manuel Calampaces monasterio Lembo tradit possessiones Georgii Tsausii* 268

pag.

6761—1253, mense ianuario, ind. XI. *Donationes factae monasterio Lembo a protovestiaritissa Irene* 232
6762—1254, mense maio, ind XII. *Constantinus Ceporus et Nicolaus Dermatas monasterio Lembo vendunt campos* 152
Sine anno, mense februario, ind. II. *Imperator iubet monasterio Lembo restitui campum Barycheri venditum* 153
» » mense iunio, ind. II. *Imperator iubet monasterio Lembo restitui campum Barycheri venditum* 154
Ante 6763—1255. *Patriarcha Manuel II. monasterium S. Pauli in monte Latro et eius possessiones eximit de tutela exarchorum et episcoporum* .. 302
6763—1255, mense februario, ind. XIII. *Testamentum Maximi Planetae pro monasterio Lembo* 74
Sine anno, mense martio, ind. XIII. *Ioannes Alethinus monasterio Lembo donat olivas in vico Panareto* 75
6765—1265, mense octobri, ind. XV. *Patriarcha Arsenius profitetur, monasterium Macrinitissae esse stauropegium exemptum de potestate episcopi Demetriadis* 353
6765—1256. mense martio, ind. XV. *Constantinus Creticus alii monasterio Lembo vendunt campos* 163
» » mense iunio, ind. XV. *Miles Michaël Petritzes monasterio Lembo confirmat possessionem olivarum in vico Mantea* 59
Sine anno, mense martio, ind. I. *Iudicium Ioannis Tornicae, ducis thematis Thracesiorum* 73
6765—1257, mense iunio, ind. XV. *Basilius et Anysia Planetae confirmant donationem factam monasterio Lembo a Maximo Planeta* 86
Sine anno, mense octobri, ind. XII. *Constantinus Planeta declarat, monasterium Lembum immune esse a vectigali duorum hyperperorum* .. 89
6767—1259, mense aprili, ind. II. *Irene Scholares monasterio Lembo olivas vendit* 132
Sine anno, mense iulio, ind. VI. *Ioannes Pardoleo monasterio Lembo vendit olivas* 133
6767—1259, mense iulio, ind. II. *Donatio facta monasterio Lembo a Maximo Planeta confirmatur* 79
6769—1261, mensibus aprili et maio, ind. IV. *Donationes factae monasterio Lembo a protovestiaritissa Irene* 232
6770—1262, mense martio, ind. V. *Michaël Petratus monasterio Lembo vendit campum Coleli* 237
Sine anno, mense augusto, ind. II. *Imperator confirmat conventionem factam inter monasterium Lembum et Basilium Planetam et Constantinum Rhentacem de possessionibus in Mantea sitis* 238
6771—1262, mense decembri, ind VI. *Imperator Michaël Palaeologus confirmat privilegia et possessiones monasterii Lembi* 26
6771—1263, mense ianuario, ind. VI. *Ioannes Meles monasterio Lembo vendit campum et olivas* 124
Sine anno, *Theodorus Gordatus eidem monasterio donat campum et vineam* . 125
6771—1263, mense martio, ind. VI. *Michaël Bardachlas, filius Barycheris, monasterio Lembo restituit campum a patre emptum* 155

pag.

Sine anno, mense augusto, ind. VI. *Nicolaus Creticus et filius monasterio Lembo campum vendunt* 158

6773—1265, mense aprili, ind. VIII. *Nicolaus et Xenus Dermatae monasterio Lembo donant campos* 150

6774—1266, mense augusto, ind. IX. *Georgius Petritzes et alii monasterio Lembo donant campum* 159

6775—1266, mense septembri, ind. X. *Despota Nicephorus Ducas Nicolao Maliaseno confirmat possessiones omnes monasterii Macrinitissae et donationem monasterii Hilarionis in Almyro, factam a Michaële Duca Constantino Maliaseno* 349

6776—1267, mense septembri, ind. XI. *Anna Angelina et filii monasterio Lembo donant campum* 169

6776—1268, mense martio, ind. XI. *Michaël Apelmene monasterio Lembo tradit fundum* 161

6779—1270, mense decembri, ind. XIV. *Patriarcha Iosephus confirmat donationem praedii Rasusae, quam monasterio Macrinitissae fecit presbyter Theodosius* 376

6780—1271, mense septembri, ind. XV. *Habitatores vici Dryanubaenae suscipiunt in se annuum tributum, quod solvebat fundus Michaëlis Artitzes donatus monasterio Novae Petrae, ut id immune sit* 391

» » mense septembri, ind. XV. *Zoë, filia Stephani Syropuli, vendit monasterio Novae Petrae possessiones suas* 393

» » mense novembri, ind. XV. *Michaël Martinus et familia eius vendunt Nicolao Comneno Maliaseno vineam in Belestino* 399

» » mense novembri, ind. XV. *Nicolaus Bardas vendit monasterio Novae Petrae vineam in Belestino* 402

» » mense decembri, ind. XV. *Monachi monasterii S. Georgii Canaliorum vendunt Nicolao Maliaseno vineam in Belestino* 404

6780—1272, mense aprili, ind. XV. *Theodorus Gordatus Phocae campum vendit* 126

Sine anno, 25 augusti, ind. VIII. *Lis inter monasterium Lembum et Phocam dirimitur* 128

6780—1272, mense aprili, ind. XV. *Nicolaus Creticus et filius monasterio Lembo vendunt campum* 164

Sine anno, mense novembri, ind. XIV. *Gudeles Catacalon protopapas monasterio Lembo campum adiudicat* 165

» » mense novembri, ind. XIV. *Georgius Scutariotes monasterio Lembo adiudicat campum* 167

6780—1272, mense maio, ind. XV. *Imperator Michaël Palaeologus confirmat monasterio Macrinitissae omnes possessiones eximitque eas de tributis* 330

6780—1272, mense maio, ind. XV. *Fratres Constantinus et Ioannes Catzidones vendunt Nicolao Maliaseno vineas in Belestino* 407

Sine anno. *Nicolaus Maliasenus emit molendinum in Dryanubaena* 412

» » mense septembri, ind. I. *Michaël Panaretus, episcopus Demetriadis, subiicit monasterio Novae Petrae monasterium Portareae* 414

pag.

Sine anno, mense octobri, ind. I. *Idem episcopus donat monasterio Novae Petrae monasterium S. Nicolai Palirrhopati* 415

» » mense novembri, ind. I. *Idem episcopus donat monasterio Novae Petrae monasteriola SS. Apostolorum Megalogeni et S. Nicolai Xylopae, vetans stauropegia fieri* 417

» » mense iulio, ind. V. *Pincerna Raul adiudicat monasterio Novae Petrae possessionem loci dicti Brastus* 49

» » mense iulio, ind. XV. *Patriarcha Iosephus confirmat auream bullam imperatoris Michaëlis Palaeologi de possessionibus monasterii Macrinitissae* 357

» » mense decembri. *Patriarcha Iosephus tuetur iura monasterii Novae Petrae* 361

6780—1272, mense iulio, ind. XV. *Patriarcha Iosephus iterum confirmat possessiones monasterii Novae Petrae, eximens eas de tributis* 363

6781—1272, 28 novembris, ind. I. *Synodus confirmat, praedium Rasusae subiectum esse monasterio Macrinitissae* 379

Sine anno, mense februario, ind. III. *Arsenius, episcopus Demetriadis, profitetur, monasterium Macrinitissae esse stauropegium* 382

» » mense septembri, ind. III. *Sebastocrator Ioannes Comnenus Palaeologus confirmat monasterio Macrinitissae possessionem praedii domini Hilarionis in Almyro* 384

» » mense octobri, ind. II. *Sebastocrator Ioannes Comnenus Palaeologus decernit, vicum Cyracalae Zerbi restituendum esse monasterio Macrinitissae, ei olim donatum a Nicolao Maliaseno* 385

» » mense septembri, ind. XI. *Despota Ioannes Comnenus Palaeologus donat monasterio Macrinitissae praedium S. Demetrii prope vicum Megalae* 386

» » mense augusto, ind. XI. *Despota Ioannes Comnenus Palaeologus praedium domini Hilarionis et alias possessiones, quas monasterium Macrinitissae tenet in Almyro, eximit de tributis* 387

» » mense decembri, ind. XII. *Despota Ioannes Comnenus Palaeologus iubet monasterio Macrinitissae reddi vicum Capraenam* 388

» » mense maio, ind. XIII. *Despota Ioannes Comnenus Palaeologus iubet, ut vicus Capraenae sit monasterii Macrinitissae* 389

» » mense decembri, ind. XIV. *Caesar Comnenus Strategopulus confirmat donationem praedii S. Demetrii factam monasterio Macrinitissae* 390

6781—1272, mense decembri, ind. XV. *Patriarcha Iosephus confirmat monasterio Novae Petrae possessionem praediorum S. Nicolai Palirrhopati et S. Mariae Portareae, eximitque eas de potestate episcopi Demetriadis* 366

6781—1273, mense augusto, ind. I. *Patriarcha Iosephus profitetur, praedium dictum Hesychasterium esse subiectum monasterio Novae Petrae, stauropegium et exemptum de potestate episcopi Demetriadis* 369

6782—1274, mense ianuario, ind. II. *Martha Thracessina et filia eius monasterio Lembo vendunt arbores et campum* 94

pag.

Sine anno, mense septembri, ind. IX. *Michaël Tesaites tradit monasterio Lembo ecclesiam S. Praecursoris* 97

6782—1274, mense ianuario, ind. II. *Tsycapites et Coscinas Theodoro Branae vendunt olivas* 115

» » mense iulio, ind. XII. *Monasterio Lembo traditur praedium S. Georgii* 106

» » » » » » *Ioannes, metropolita Smyrnae, confirmat donationem praedii S. Georgii factam monasterio Lembo*.......... 110

6783—1274, mense septembri, ind. III. *Imperator Michaël Palaeologus confirmat possessionem monasteriorum Macrinitissae et Novae Petrae*...... 333

» » mense octobri, ind. XIII. *Patriarcha Iosephus iterum confirmat possessionem et iura monasterii Novae Petrae* 371

Post 6782—1274. *Imperator Michaël Palaeologus Iosepho Maliaseno concedit monasterium Salvatoris Christi Latomi in urbe Thessalonica, confirmans coniunctionem monasterii Macrinitissae et Novae Petrae* ... 336

Sine anno. *Imperator Michaël Palaeologus confirmat monasterio Novae Petrae liberam possessionem camporum, quos emerat* 340

» » *Idem imperator confirmat monasterio Novae Petrae possessionem praediorum Portareae et Palirrhopati* 340

» » *Despota Ioannes Comnenus Palaeologus reddit monasterio Macrinitissae vicum Capraenam donatque ei scaphas in lacu S. Stephani* 342

6783—1275, mense martio, ind. XIII. *Neophytus, abbas monasterii Eerinorum, monasterio Lembo vendit campum*.......................... 170

» » mense martio, ind. III. *Eudocia Petritza et familia eius monasterio Lembo donant campum* 171

» » mense augusto, ind. IV. *Hieromonachus Theodosius monasterio Macrinitissae donat ut praedium monasteriolum S. Mariae in Charmaena ad pedes montis Ossae* 426

6784—1295, mense septembri, ind. IV. *Michaël Archontitzes vendit monasterio Novae Petrae possessionem suam* 396

6784—1276, mense martio, ind. IV. *Michaël Petritzes vendit monasterio Lembo campum in Pyrgo* 172

» » mense aprili, ind. IV. *Tyranina et filii monasterio Lembo vendunt campos in Aulacio* 174

Sine anno, mense martio, ind. XIII. *Ioannes Comes, iubente imperatrice, monasterio Lembo tradit locum Hagiam* 175

» » mense octobri, ind. X. *Michaël Branas Comnenus monasterio Lembo tradit locum Hagiam* 176

6784—1276, mense iunio, ind. IV. *Nicolaus Creticus et familia monasterio Lembo vendunt campum et ecclesiam* 174

» » 30 iunii, ind. IV. *Ioasaph Maliasenus permittit Cypriano, abbati monasterii S. Mariae, possessionem dimidiae terrae Petrae, donatae monasterio Macrinitissae a pincerna Raul*............... 420

Sine anno, mense aprili, ind. IV. *Michaël Panaretus, episcopus Demetriadis, monasterio Novae Petrae donat monasterium dictum Hesychasterium ut praedium* 422

» » *Idem episcopus monasterio Novae Petrae donat molendinum* 423

pag.

Sine anno, mense decembri, ind. VIII. *Idem episcopus monasterio Novae Petrae donat ecclesiam S. Mariae Cucurae* 424

6786—1278, mense februario, ind. VI. *Donatio facta monasterio Lembo*...... 84

Sine anno, mense iunio, ind. III. *Ioannes, metropolita Smyrnae, monacho Callinico Scullato donat campum* 84

» » mense septembri, ind. XII. *Ioannes Costomoeres, tabularius catepani Smyrnae, possessionem quamdam monasterii Lembi a vectigali immunem esse iubet*.......... 85

6787—1279, mense martio, ind. VII. *Christophorus Germenaces monasterio Lembo vendit olivas* 136

6788—1280, mense martio, ind. VIII. *Georgius Cacabas vendit monasterio Lembo campum in Lilida* 226

6789—1280, mense septembri, ind. IX. *Theodorus Garares et uxor monasterio Lembo donant campum*.......... 177

Sine anno, mense novembri, ind. VII. *Iudex exercitus Chilas controversiam diiudicat ortam inter monasterium Lembum et Michaël em Comnenum Branam* 178

» » mense augusto, ind. VII. *Imperator describi iubet ascripticios vici Melorum et agros monasterii*.......... 182

6789—1281, mense aprili, ind. IX *Uxor Ioannis Isidori et Anna Conti monasterio Lembo vendunt olivas* 135

6790—1281, mense septembri, ind. X. *Testamentum monachae Marthae Thracesinae pro monasterio Lembo*.......... 112

» » mense novembri, ind. X. *Theodorus Comnenus Branas monasterio Lembo donat olivas et quercus* 98

6790—1282, mense iulio, ind. X. *Michaël Phocas monasterio Lembo vendit olivas* 129

6791—1283, mense ianuario, ind. XI. *Ioannes Scullatus et soror monasterio Lembo vendunt vineam*.......... 131

» » mense martio, ind. XI. *Georgius Petritses monasterio Lembo vendit vineam et arbores*.......... 130

6791—1283, mense ianuario, ind XI. *Michaël Ceramonites et familia monasterio Lembo vendunt campum*.......... 269

Sine anno, *Synodus diiudicat controversiam de possessione Georgii Tzausii* .. 271

» » mense maio, ind VI. *Imperator praedium S. Mariae monasterio Lembo restitui iubet* 272

» » mense maio, ind. VI. *Monasterio Lembo possessio quaedam traditur* 273

6792—1283, mense novembri, ind. XII. *Gordatae monasterio Lembo vendunt domus et vineam*.......... 99

Sine anno, *Georgius Caloeidas eidem monasterio cedit olivas* 102

6792—1284, mense aprili, ind. XII. *Imperator Andronicus II. Palaeologus confirmat privilegia et possessiones monasterii Lembi*.......... 28

6793—1285, mense iunio, ind. XIII. *Theodorus Comnenus Branas monasterio Lembo tradit olivas* 114

» » mense martio, ind. XIII. *Monachus Lucas Tzurules monasterio Lembo donat olivas et campum* 137

Sine anno, mense martio, ind. V. *Imperator monasterio Lembo confirmat possessionem praedii S. Panteleemonis et olivarum, quae sunt in vico Panareti*.......... 138

pag.

Sine anno, mense martio, ind. III. *Imperator Ioannes Ducas Vatatzes possessiones monasterii Lembi defendi iubet* 139

6795—1287, mense martio, ind. XV. *Constantinus Gabales et familia monasterio Lembo vendunt campos in loco Bare* 228

» » mense aprili, ind. XV. *Charta de quadam permutatione* 103

Sine anno, mense februario, ind. IV. *Constantinus Ducas Neostongus confirmat donationem factam monasterio Lembo a domino Adam* 103

» » *Monasterio Lembo venduntur olivae et quercus* 104

» » mense februario, ind. II. *Manuel Ducas monasterio Lembo confirmat liberam possessionem camporum Potami et Monopeuci* 104

» » *Donatio facta monasterio Lembo a Manuele Duca* 105

6796—1287, mense octobri, ind. I. *Acta in controversia inter monasterium Lembum et Michaëlem Comnenum Branam* 273

Sine anno, mense septembri, ind. I., octobri, ind. XII., iulio, ind. II. *Imperator monasterio Lembo donat ducentos modios salis* 284

6791—1291, mense februario, ind. IV. *Michaël Angelus Cumpariotes monasterio Lembo donat olivas* 140

Sine anno, mense februario, ind. XI. *Testimonium Barnabae Planitae de quibusdam olivis* 141

» » 9 februarii, ind. II. *Manuel Ducas monasterio Lembo donat campos* 141

» » mense iunio, ind. IV. *Imperator monasterio Lembo donat campos* 142

» » mense iulio, ind. IV. *Descriptio duorum camporum monasterii Lembi* 142

» » mense maio, ind. VII. *Imperatoris praeceptum de dono, quod fecit monasterio Lembo de loco dicto Cuculo* 145

» » mense februario. *Imperator monasterio Lembo possessiones restitui iubet* 145

6801—1293, mense maio, ind. IV. *Manuel Syropulus iussu imperatoris describendos curat fines possessionum monasterii Lembi* 229

6802—1293, mense novembri, ind. VII. *Incolae Neochorii promittunt se non moturos esse litem de finibus monasterii Lembi* 231

6802—1294, 23 martii, ind. VII. *Gudeles Tyrannus monasterio Lembo cedit possessiones suas* 285

Sine anno. *Patriarcha Arsenius iura et privilegia monasterii Lembi confirmat* 287

Typi et charta Leopoldi Sommer & Comp.

δηλωθέντος πανευγενεστάτου Κομνηνοῦ τοῦ Μαλιασηνοῦ, τοῦ διὰ τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος Ἰωάσαφ μετονομασθέντος, ὑπὲρ ψυχικῆς σωτηρίας τοῦ ἀοιδίμου καὶ ἁγιοκοιμήτου πατρὸς αὐτοῦ, ἀλλὰ δὲ καὶ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ, οὐ μόνον δὲ οὗτοι ἐδόθησαν εἰς τὸ μονίδιον παρὰ τοῦ πανευγενεστάτου Κομνηνοῦ, ἀλλὰ καὶ ἡ χωραφιαία γῆ ἡ ἀπὸ τούμπας εἰς τούμπαν καὶ τὸ ὕδωρ τὸ κατὰ τετράδα εἰσερχόμενον εἰς τὸ ἐκεῖσε ἀμπελοκηποπεριβόλιον. καὶ ταῦτα μὲν εἰς ἐνθύμησιν εὑρίσκονταί μοι, ὅτι ἐδόθησαν παρὰ τοῦ πανευγενεστάτου Κομνηνοῦ, τὰ δὲ μὴ εἰς ἐνθύμησιν μυρία, εἰσὶ δὲ ἐν τῷ τοιούτῳ μονιδίῳ βοΐδια ζευγνύμενα τέσσαρα, ὀνομουλικὸν ἕν, ὀνικὰ δύο, πρόβατα ἑβδομήκοντα, ὑδρομύλων ἥμισυς, ὃς ἐδόθη εἰς τὸ μονίδιον παρὰ τοῦ μοναχοῦ Τεντᾶ, ὁ δ' ἥμισυς παρὰ τοῦ τοιούτου μοναχοῦ κατέχεται μέχρι καὶ τῆς ἀποβιώσεως αὐτοῦ, ἔκτοτε δὲ ἵνα ἕνι ὁ ἅπας ὑδρομύλων τοῦ μονιδίου, καθὼς καὶ τὸ ἔγγραφον τούτου διαλαμβάνει, ἵνα δὲ κατέχωνται ἀμφότερα παρὰ τοῦ μονιδίου ἐπισκεπτόμενα παρὰ τῆς μεγάλης καὶ σεβασμίας θεομητορικῆς μονῆς τῆς Ὀξείας Ἐπισκέψεως καὶ οὕτω καλουμένης Μακρινιτίσσης, βίαν δὲ ἐς ὕστερον ἢ μετάμελον ἢ συναρπαγὴν καὶ ἀπάτην οὐ βουληθήσομαι ἔγωγε· ἐκ τῆς ἀχράντου γὰρ δεσποίνης ἡμῶν θεοτόκου τῆς μορφώσεως τὸν κόνδυλον τῆς προταγῆς μου ἀφεῖλον καὶ ἐν τῷ μονιδίῳ εἰσεκόμισα τὴν τοιαύτην κεκοσμημένην ἄχραντον εἰκόνα διὰ πλειοτέραν βεβαίωσιν καὶ ἀσφάλειαν, ὀφείλω δὲ παρέξειν πάλιν ἔγωγε ἑτέραν εἰκόνα εἰς ὄνομα τιμωμένην τῆς ὑπεραγίας θεοτόκου ἀπὸ τοιούτου μονιδίου πρὸς τὴν μεγάλην καὶ σεβασμίαν θεομητορικὴν μονὴν τὴν Ὀξεῖαν Ἐπίσκεψιν, καὶ οὕτως ὀνομαζομένην Μακρινίτισσαν, καὶ ὁ πειραθησόμενος πρὸς ἀνατροπὴν καὶ ἀθέτησιν τοῦ παρόντος ἐγγράφου μου μερικῶς ἢ καθόλου ἢ βουληθήσεταί τις ποιῆσαι τὸ τοιοῦτον μονίδιον κύριον μοναστήριον καὶ μὴ εἶναι μετόχιον τῆς πολλαχῶς δηλουμένης μεγάλης καὶ σεβασμίας θεομητορικῆς μονῆς τῆς Ὀξείας Ἐπισκέψεως, ὁποῖος ἄρα καὶ εἴη, ἵνα ἐπισπᾶται εἰς ἑαυτὸν τὰς τῶν ἀπ' αἰώνων πάντων ἁγίων ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τὴν ἀλλοτρίωσιν τοῦ σωτῆρος Χριστοῦ, καὶ ἡ μερὶς αὐτοῦ ἔσται μετὰ τοῦ Ἰούδα, ἀλλὰ δὴ ἵνα ἔχῃ ἀντίδικον καὶ τὴν ὑπεραγίαν θεοτόκον, εἰς ἣν ἐπωμοσάμην καὶ ἀφεῖλον τὸν κόνδυλον τῆς προταγῆς μου ἐκ τῆς ἀχράντου αὐτῆς μορφῆς,

ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως καὶ τὴν κατάραν ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀθλίου γέροντος· τεσσαράκοντα γὰρ ἤδη χρόνους κεκοπίακα ἐν τῷ τοιούτῳ μονιδίῳ, καθὼς καὶ οἱ ἔποικοι τῆς ἐκεῖσε χώρας γινώσκουσι, καὶ ὁπόσα ἐβιάσθην καὶ ἀνέστησα, θεὸς μόνος γινώσκει καὶ οἱ ἐκεῖσε ὄντες φιλόχριστοι καὶ φιλευσεβεῖς ἄνδρες, καὶ ἵνα μὴ ἐπ' ἀδείας ἕξει τις πρὸς ἀνάλωσιν καὶ ἀφανισμὸν τοῦ τοιούτου μονιδίου· ζῶν γὰρ ἔτι θεοῦ χάριτι καὶ τὸν νοῦν ἐρρωμένον ἔχων καὶ ὑγιῆ, τὰς φρένας σώας καὶ τὴν γλῶτταν ἀπαραφόρως συστρεφομένην πρὸς λαλιάν, ἐν μεγάλῃ καὶ ὑψηλοτάτῃ μονῇ τὸ τοιοῦτον μονίδιον εἰσεκόμισα, ἵνα ἐπαυξηθῇ καὶ εὐεργετηθῇ εἰς τὸ ἔμπροσθεν, καὶ ὡς ἵνα ἔχωσι καὶ οἱ ἡμέτεροι γονεῖς καὶ ἡ ταπεινή μου ψυχὴ μνημόσυνον. καὶ ὁ βουληθεὶς πειρᾶσαι ἢ ἐνοχλῆσαι περὶ τούτου τὸ τυχὸν ἐκκλησιαστικὸς ὢν ἢ δημοσιακὸς ἵνα λαμβάνῃ εἰς ἑαυτὸν τὰς ἄνωθεν δηλουμένας ἀράς, καὶ ἡ ὁδὸς αὐτοῦ γένηται σκότος ἢ ὀλίσθημα καὶ ἄγγελος κυρίου καταδιώκων αὐτόν. διὰ τοῦτο γὰρ ἄνωθεν τὸ παρὸν ἔγγραφον οἰκειοχείροις γράμμασιν ἐνεχαράχθη παρ' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀθλίου γέροντος εἰς ἀσφάλειαν διηνεκῆ καὶ βεβαίωσιν μηνὶ αὐγούστῳ πεντεκαιδεκάτῃ, ἰνδικτιῶνος πέμπτης ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ †.

Οὕτω καὶ τὸ παρὸν ἐκδοτήριον γράμμα ἔν τινι μονιδίῳ πρὸς τὴν σεβασμίαν μονὴν τῆς ὑπεραγίας θεοτόκου τῆς Ὀξείας Ἐπισκέψεως τῆς Μακρινιτίσσης τῷ εἰς τὴν Χάρμαιναν διακειμένῳ ὑπὸ τοὺς πρόποδας τοῦ ὄρους Κισσάβου.

Pasini, p. 355.

Τοῦ χρηματίσαντος λογοθέτου τῶν ἀγελῶν στίχοι περὶ τῆς ἐπιγραφῆς καὶ τῆς βούλλης.

Ἐκ βασιλικῆς προταγῆς εὐσυνέτου Παλαιολόγου Κομνηνοβλάστου κλάδου
Μιχαὴλ τρισάνακτος Ἀγγελωνύμου Μαλιασηνὸς Κομνηνὸς Ἰωάσαφ,
ἀθροίσας εἰς ἓν τῶν μονῶν τῶν ἰδίων
τὰ χρυσόβουλλα σὺν ὁρισμοῖς κοσμίως
καὶ πατριαρχῶν ὑπομνήμασιν ἔτι
οὐκ ἔσχεν αὐτοῖς τὴν χέρα βασιλέως